Н. КРІОНА П НИКОЛА
№ 1276.

№ 1276.

ΧΙΤΟΠΑΔΑΣΣΑ

Ἢ

ΠΑΝΤΣΑ ΤΑΝΤΡΑ (ΠΕΝΤΑΤΕΥΧΟΣ),

Συγγραφεῖσα ὑπὸ τοῦ σοφοῦ

ΒΙΣΝΟΥΣΑΡΜΑΝΟΣ

ΚΑΙ

ΨΙΤΤΑΚΟΥ

ΜΥΘΟΛΟΓΙΑΙ ΝΥΚΤΕΡΙΝΑΙ,

ΜΕΤΑΦΡΑΣΘΕΝΤΑ ΕΚ ΤΟΥ ΒΡΑΧΜΑΝΙΚΟΥ

ΠΑΡΑ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ, ΑΘΗΝΑΙΟΥ.

Νῦν δὲ πρῶτον ἐκδοθέντα, μετὰ τῆς ὑπὸ Συμεῶνος Μαγίστρου τοῦ Σηθ γενομένης μεταφράσεως τῆς Πενταπεύχου, ὡς συμπλήρωμα τῆς τοῦ Δ Γαλανοῦ,

Καὶ μετὰ προλεγομένων καὶ παρατηρήσεων πλουτισθέντα,

Δαπάνῃ μὲν καὶ μελέτῃ

ΓΕΩΡΓΙΟΥ Κ. ΤΥΠΑΛΔΟΥ,

Ἐφόρου τῆς Δημοσίου καὶ Πανεπιστημιακῆς Βιβλιοθήκης,

Ἐπιστασίᾳ δὲ

Γ. ΑΠΟΣΤΟΛΙΔΟΥ ΚΟΣΜΗΤΟΥ,

Βιβλιοφύλακος.

ΕΝ ΑΘΗΝΑΙΣ.

Ἐκ τῆς Τυπογραφίας Γ. Χαρτοφύλακος.

1851.

Τῷ
ΜΕΓΑΛΕΙΟΤΑΤΩι
ΒΑΣΙΛΕΙ
ΤΗΣ
ΕΛΛΑΔΟΣ
ΟΘΩΝΙ ΤΩι Α'.
Τὸν ἕκτον Τόμον
Τῶν Ἰνδικῶν εὐγνωμονῶν,
ἕνεκα τῆς ὑπὲρ
ΑΥΤΩΝ
Ἀναναχτορικῆς Προσασίας τε
καὶ Ἀντιλήψεως,
Εὐσεβάστως ἀνατίθησιν
Ὁ ἘΚΔΟΤΗΣ.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

Ο ἕκτος οὗτος τόμος τῶν Ἰνδικῶν περιέχει δύο πονήματα Ἀπολόγων, ἐπιγραφόμενα τὸ μὲν *Χιτοπαδάσσα* ἢ *Παντσα-Τάντρα*, τὸ δὲ *Ψιττακοῦ Μυθολογίαι Νυκτεριναί*. Πρὸς δὲ τούτοις καὶ ἀρχαιοτέραν ἄλλην ἑλληνικὴν τοῦ πρώτου μετάφρασιν, ἣν πρὸς συμπλήρωσιν, τῆς μὴ ἀποπερατωθείσης μεταφράσεως τοῦ ἀοιδίμου Γαλανοῦ, συγχρόνως ἐκδίδομεν· ἀμφότεραι δὲ αἱ πραγματεῖαι αὗται εἰσὶ Μύθων καὶ μυθικῶν Διηγημάτων Συλλογαί.

Ἐξ ὅσων μέχρι τοῦδε ἐδημοσιεύσαμεν πληροφορεῖται ὁ φιλόμουσος ἀναγνώστης, ὅτι ἡ Σανσκριτικὴ φιλολογία ἐστὶ πλουσιωτάτη καὶ ἀρχαία· τὸ δὲ Ἰνδικὸν ἔθνος ὑπῆρξε, κατὰ τοὺς ἀρχαίους χρόνους, μέγα, ὄλβιον, καὶ πεπαιδευμένον. Τοῦτο μαρτυροῦσι, τὰ ἱερὰ αὐτοῦ βιβλία ἡ Βέδαι, αἱ θεσμοθεσίαι, τὰ μεγάλα καὶ ποικίλα ἐπικὰ ποιήματα, τὰ διάφορα φιλοσοφικὰ συστήματα, αἱ θεωρίαι, τὰ πολυειδῆ θεοσοφικὰ δόγματα, τὰ μεγαλοπρεπῆ μνημεῖα, τὰ ἐπ' αὐτῶν τῶν ὀρέων ἀνάγλυφα, ἡ πλουσιωτάτη Σανκριτικὴ διάλεκτος, μήτηρ πασῶν, οὕτως εἰπεῖν, τῶν παλαιῶν καὶ νεωτέρων γνωσσῶν (1), καὶ αὐτὴ ἡ τῶν Ἀπολόγων χρῆσις.

(1) Ὁ Ἀδελοῦγκος ἀριθμεῖ 30 τὰς κυριωτέρας γλώσσας, αἵτινες ἀξιοσημείωτον ἔχουσι συγγένειαν μετὰ τῆς Σανσκριτικῆς. Τοιαῦταί εἰσιν ἡ Πελβικὴ καὶ ἡ νεωτέρα Περσική, ἡ Ἀραβικὴ καὶ Ἰνδοστανική, ἡ Ἑβραϊκὴ καὶ Συρεακὴ, ἡ Χαλδαϊκὴ, ἡ Ἑλληνικὴ καὶ Ῥωμαϊκὴ, ἡ Γερμανικὴ, Γοτθικὴ καὶ

Οἱ Ἰνδοὶ σοφοὶ, ἔχοντες ἀπεριόριστον ἐλευθερίαν πρὸς ζήτησιν καὶ ἔκφρασιν τῆς ὑψηλῆς ἀληθείας καὶ τῆς περὶ Θεοῦ, Κόσμου, καὶ ἀνθρώπου ἐμβριθοῦς αὐτῶν ἐρεύνης, δὲν διετήρησαν τὴν αὐτὴν ἀνεξαρτησίαν καὶ ὡς πρὸς τὰς ἠθικὰς καὶ πολιτικὰς αὐτῶν ἀρχάς· διότι κυβερνώμενοι παρ' ἀπολύτων δεσποτῶν δὲν ἐτόλμουν, φαίνεται, ἵνα ἐπικρίνωσι τὰς αὐθαιρέτους τῶν ἡγεμόνων πράξεις, οὔτε τὰ εἰκότα πρὸς τὸν λαὸν συμβουλεύσωσι. Τούτου ἕνεκα, βλέποντες ἀφ' ἑνὸς μὲν τὴν παρεκτροπὴν, ἀφ' ἑτέρου δὲ φοβούμενοι τὴν ἐκ τῆς παῤῥησίας ἀγανάκτησιν τῶν ἰσχυρῶν, κατέφυγον ἔκπαλαι εἰς μύθους, εἰς ἀλληγορίας, εἰς παραβολὰς, καὶ παντοῖα μυθικὰ διηγήματα, ἐξ ὧν τὸ εἶδος τοῦτο τῶν Ἀπολόγων προέκυψεν (1).

Ἡ Ἰνδικὴ οὖν γῆ, κοιτὶς φανεῖσα τοῦ ἀρχαίου πολιτισμοῦ (2), καὶ τῆς διανοητικῆς ἀναπτύξεως τοῦ ἀνθρωπίνου γένους, ὑπῆρξεν ἐπίσης καὶ ἡ ἑστία, οὐ μόνον τῶν θρησκευτικῶν μύθων τῆς ἀνεξιχνιάστου δογματικῆς μυθολογίας (3),

---

Σλαβικὴ, ἡ Ἀγγλικὴ καὶ Γαλλικὴ, ἡ Ἰταλικὴ καὶ Ἱσπανικὴ, κτλ. (Bibl. Sansc. p. 62—90).

Ἴδε πρὸς τούτοις τὰ προλεγόμενα τοῦ Κολεβρωκκίου εἰς τὸ λεξικὸν τοῦ Ἀμάρα Κόσχα. Τὸ ὀνομαστικὸν τοῦ Κ. Οὐίλσωνος. Τὰ προλεγόμενα τοῦ Λαγκλεσίου εἰς τὸν Κατάλογον τῶν Σανσκριτικῶν χειρογράφων. Βοππίου Glossarium Sauscritum. Ἰουλίου Κλαπρότου Table Alphabétique du jonrnal Asiatique. Paris 1829 p. 112—135.

(1) Pantcha-Tantra par M. l'Abbé Dubois. Préface.—Moeurs, institutions et cérémonies des peuples de l' Iinde, par le même Auteur. — Φαβρ. Βιβλ. Ἑλλ. Τ. 7 σελ. 778 σχόλ. w. w.

(2) Προλεγόμενα τῶν προεκδοθέντων τόμων τῆς παρούσης Ἰνδικῆς Σειρᾶς.

(3) Εἶπον θρησκευτικοὺς μύθους, καὶ δογματικὴν μυθολογίαν, διότι μεταξὺ τῶν ἀναριθμήτων αἱρέσεων ὑπάρχει ἐν τῇ Ἰνδίᾳ καὶ ἡ τῶν Σίκκων

ἀλλὰ καὶ τῶν ἠθικοπολιτικῶν μύθων, τῶν τερπνῶν μυθικῶν διηγημάτων, καὶ τῶν μυθολογικῶν παραδόσεων, αἵτινες εἰς ἅπασαν τὴν Ἀσίαν πρὸ αἰώνων διετηρήθησαν, καὶ διὰ τῶν ἀρχαίων σοφῶν, καὶ τῶν μετὰ ταῦτα Ἀράβων εἰς τὴν Εὐρώπην μετέβησαν, καὶ εἰς πᾶσαν τὴν ὑφήλιον διεσκορπίσθησαν (1).

Πρὶν δὲ προχωρήσωμεν εἰς τὰ πρόσω, ἀνάγκη ἵνα διακρίνωμεν, πρῶτον· Κατὰ τί διαφέρουσιν οἱ θρησκευτικοὶ τῶν ἠθικοπολιτικῶν μύθων, καὶ δεύτερον ἵνα γνωρίνωμεν ἐπίσης τὴν μεταξὺ τῶν Ἰνδικῶν καὶ τῶν Αἰσωπείων μύθων διαφοράν.

Α^ον. Οἱ θρησκευτικοὶ μῦθοι τῶν Ἰνδῶν ἀλληγορικῶς ἑρμηνεύουσι τὴν παρ' αὐτοῖς δογματικὴν θεολογίαν, ἤτοι τὰ περὶ τῆς ὑπερουσίου φύσεως τοῦ ὑψίστου Θείου, τὰ περὶ τῆς ἀνάρχου καὶ αὐθυπάρκτου Μονάδος, ἥτις ἐν θεωρίᾳ οὖσα τῶν ἀφάτων αὐτῆς τελειοτήτων, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐδημιούργησε δι' ἀμέσου ἐκπορεύσεως τὴν πρωτογενῆ

(Sieks), οἵτινες δεχόμενοι, ὡς ἐρρέθη ἐν τοῖς προλεγομένοις τῆς Ἰτιχάσας, τὰ περὶ τοῦ ἐνιαίου καὶ ἀπολύτου Θεοῦ δόγματα τῶν Βεδῶν, ἀπορρίπτουσιν, ἄνευ οὐδεμιᾶς ἐξαιρέσεως, τὰ περὶ τῶν λοιπῶν θεῶν θεολογούμενα. Ὅσα ἑπομένως ἀναφέρουσι τὰ θεολογικὰ τῶν Ἰνδῶν συγγράμματα περί τε τῆς Τριάδος, καὶ τῆς χορείας τῶν ἄλλων θεῶν. θεοτήτων, πνευμάτων, νυμφῶν, δαιμόνων, γιγάντων, κτλ. ταῦτα πάντα λέγω οἱ Σίκκες θεωροῦσιν ὡς μύθους καὶ θεολογικὴν μυθολογίαν ἀποκαλοῦσι. Τοῦτο βεβαιοῖ ὁ μονοθεϊστὴς Βραχμὰν Ῥαμοχοὺνδ, ὁ τοῦ περικλεοῦς Οὐίλλιαμ Ἰῶνες καὶ τοῦ συνταγματάρχου Πολιέρου διδάσκολος. (Ἴδε Πολιέρου Μυθολ. Ἰνδῶν. Τ. Ι. σελ. 151. καὶ Translation of several principal books passages, and Texts of the Veds, etc. by Rajah Rammohun Roy. Loudon 1832).

(1) Abbé Dubois. Προρρηθέντα συγγράμματα. Καὶ Gilchrist's Oriental fabulist, Calcutta 1802.

θεὰν Βαβανὴν ἡ Δουργάν (1), τὴν Ἰνδικὴν Τριάδα, καὶ τὴν χορείαν ἀκολούθως τῶν ὑποδεστέρων θεῶν καὶ πνευμάτων, ἅτινα μετέχοντα τελειότητος καὶ ἀτελείας, καὶ ἐλευθέραν ἐκλογὴν ἔχοντα, κατεχράσθησαν τῇ ἰδιότητος ταύτης, καί τινα ἐξ αὐτῶν ὑψηλοφρονήσαντα ἀπεσκίρτησαν, καὶ παρὰ τῆς θεᾶς Δουργᾶς (Βαβανῆς) καταπολεμηθέντα εἰς τὴν ἄβυσσον τοῦ σκότους κατεκριμνήσθησαν (2). Τοιοῦτοι καὶ ὅμοιοι τούτοις εἰσὶν οἱ περὶ τῆς ἀΰλου δημιουργίας μῦθοι.

Ἕπονται ἀκολούθως οἱ περὶ τὴν Ἰνδικὴν Τριάδα μῦθοι, ἤτοι οἱ περὶ τοῦ δημιουργοῦ Βραχμᾶ, οἱ περὶ τοῦ τὰ σύμπαντα τηροῦντος Βισνοῦ, καὶ οἱ περὶ τοῦ τὰ πάντα ὀλλύοντος Σίβα, οἱ περὶ θεογονίας καὶ κοσμογονίας, καὶ ἡρωογονίας, οἱ περὶ ἐνσαρκώσεως τῶν θεῶν, οἱ περὶ τῶν διαφόρων ἐνανθρωπήσεων τοῦ Βισνοῦ, οἱ περὶ τῆς καθολικῆς ψυχῆς τοῦ παντὸς, οἱ περὶ παλιγγενεσίας καὶ μετενσωματώσεως τῆς ἀναλλοιώτου ψυχῆς κτλ. μῦθοι, περὶ ὧν ἐνασχολοῦνται αἱ Πουράναι, καὶ ἰδίως ἡ Βαγαβάθα Πουράνα, ἣν μετὰ τῆς Δουργᾶς δημοσιεύσομεν εἰς τὸν Ζ'. τόμον τῆς παρούσης Ἰνδικῆς Σειρᾶς.

Μετὰ τούτους ἀκολουθοῦσιν οἱ μῦθοι, οἱ διαλαμβάνοντες τὰ περὶ ἑνὸς ἑκάστου τῶν ὑποδεεστέρων θεῶν, θεοτήτων, δαιμόνων, γιγάντων, καὶ ὁσίων θεολογούμενα (3). Τοιοῦτοί εἰσιν,

---

(1) Οὕτως παρουσιαζομένη ἡ πρωτογενὴς θεὰ Βαβανὴ ὁμοία τις ἐστὶ τῇ Αἰγυπτιακῇ Ἴσιδι, τῇ Ἑλληνικῇ οὐρανίᾳ Ἀφροδίτῃ, τῇ ῥωμαϊκῇ Λουκίνῃ, κτλ. Θεωρουμένη δὲ ὡς πολεμικὴ θεὰ, καλεῖται Δουργὰ, καὶ ὁμοία φαίνεται τῇ Ἑλληνικῇ Παλλάδι, ἥτις ἐγεννήθη καὶ αὐτὴ ἔνοπλος ἐκ τῆς κεφαλῆς τοῦ ὑψιβρεμέτου Διός.

(2) Περὶ τούτων λαλήσομεν ἐν τοῖς προλεγομέναις τοῦ Ζ'. τόμου.

(3) Τοιοῦτοί εἰσιν ὁ τοῦ οὐρανοῦ θεὸς Ἴνδρας· ὁ τοῦ πυρὸς Ἀγνῆς· ὁ τοῦ

ἐν συντόμῳ, οἱ καθόλου καὶ κατὰ μέρος θρησκευτικοὶ μῦθοι, οἵτινες διαφέρουσι μὲν οὐσιωδῶς τῶν ἠθικοπολιτικῶν μύθων· συμφωνοῦσι δὲ εἰς πολλὰ ὡς πρὸς τοὺς θρησκευτικοὺς μύθους, καὶ τὰς θεολογικὰς δοξασίας πολλῶν ἀρχαίων ἐθνῶν (1).

Βον. Τὸ δεύτερον εἶδος εἰσὶν οἱ Ἀπόλογοι, ἤτοι οἱ ἠθικοπολιτικοὶ μῦθοι, καὶ τὰ παντοῖα μυθικὰ διηγήματα, σκοπὸν ἔχοντα τὴν πρὸς τοὺς ἀνθρώπους παραίνεσιν καὶ διδασκαλίαν. Ὁ τρόπος οὗτος τοῦ συμβουλεύειν τὰ εἰκότα ἦν ἐν μεγίστῃ χρήσει παρὰ τοῖς ἀρχαίοις, καὶ ἰδίως τοῖς Ἀσιανοῖς· καὶ τὸν τρόπον τοῦτον παρεδέχθησαν οἱ Ἕλληνες (2), οἱ Ῥωμαῖοι, καὶ τὰ πλειότερα τῶν νεωτέρων ἐθνῶν (3).

Ἡ ἐπισημοτέρα τῶν τοιούτων Ἀπολόγων συλλογὴ ἐστὶν ἡ

πλούτου Κουβέρας· ὁ τοῦ ᾄδου Ἰάμας. κ. τ. λ. (Ἴδε Πολιέρου Μυθολογίαν Ἰνδῶν, καὶ Bagavadam ou Doctrine divine, canonique sur l'Être supreme, les Dieux, et les Geans etc. par Foucher d' Obsenville. Paris 1788. Καὶ Mem. de l'Acad. des Inscr. et belles. lett. T. XXVI.

(1) Zend—Avesta par Anquetil.—Dupuis, Religion univers.—Herders, ælteste Urkunde des Menschengeschlechtes.

(2) Πρὸ τοῦ Αἰσώπου, λέγει ὁ ἀοίδιμος Κοραῆς, μυθοποιὸς Ἕλλην δὲν εἶναι γνωστὸς κανείς. Μῦθοι ὅμως ἦσαν εἰς ὅλα τὰ ἔθνη· διότι ὁ Θέων εἰς τὰ προγυμνάσματα ὀνομάζει μύθους Καρικοὺς, Λιβυκοὺς, Συβαρικοὺς, κ. τ. λ. Ὁ ἀρχαιότερος τῶν γνωστῶν μύθων εὑρίσκεται εἰς τῆς Παλαιᾶς Διαθήκας τὸ βιβλίον, ἐπιγραφόμενον Κριταὶ (κεφ. θ'. 8.) καὶ ἀποδίδεται εἰς τὸν προφήτην Σαμουὴλ, ὅστις ἤκμασε 500 σχεδὸν ἔτη πρὸ τοῦ Αἰσώπου. Μεταξὺ τῶν ἑλληνικῶν μύθων πρῶτον θεωροῦσι τὸν τοῦ Ἡρακος καὶ τῆς ἀηδόνος τοῦ Ἡσιόδου (300. πρὸ τοῦ Αἰσώπου). Ὁ Ἡρόδοτος ἔγραψεν εἰς πεζὸν λόγον τὸν μῦθον τοῦ Αὐλητοῦ. (Αἰσώπου μῦθοι. Ἐκδ. Κοραῆ· Προλ. σελ. ιά. καὶ ἑφεξῆς).

(3) Ὁ Ἀρχίλοχος, καὶ μάλιστα ὁ Αἴσωπος θεωρεῖται ὡς ὁ κατεξοχὴν μυθοποιὸς τῶν ἑλλήνων. Ὁ Φαῖδρος τῶν Ῥωμαίων. Ὁ Λαφονταῖνος τῶν Γάλλων κ.τ.λ.

παροῦσα Χιτοπαδάσσα ἢ Πάντσα-Τάντρα (1), τῆς ὁποίας συγγραφεὺς λέγεται ὁ Βραχμὰν Βισνουσαρμὰν, ἀκμάσας ἐν τῇ Ἰνδίᾳ περὶ τὴν πέμπτην Μ. Χ. ἑκατονταετηρίδα. «Ἐν τῇ πόλει Μαχιλαρουπῇ ἦν Βασιλεὺς ὁ Ἀμαρασσακτής. Τούτῳ γίνονται υἱοὶ τρεῖς, πάντῃ δύσνοες. Ὁ οὖν Βασιλεὺς λυπούμενος συνεκάλεσε τοὺς ἑαυτοῦ συμβούλους· εἷς δ' ἐξ αὐτῶν ἔφη· «Ἔστιν εἷς Βραχμὰν, οὗ τὸ ὄνομα Βισνουσσαρμάν. Τούτῳ τοὺς παῖδας ἐγχείρισον· ὁ δὲ, ἐν βραχεῖ νοήμονας αὐτοὺς ἀποτελέσει.» Τούτου τῶν λόγων ἀκούσας ὁ Βασιλεὺς, καλέσας ἐκεῖνον τὸν Βισνουσσαρμᾶνα παρέδωκεν εἰς ἐκπαίδευσιν τοὺς παῖδας. Ὁ δὲ παραλαβὼν οἴκαδε ᾤχετο· ὧν χάριν πέντε συνέγραψε βιβλία· τὸ μὲν *περὶ διαλύσεως φιλίας*· τὸ δὲ *περὶ κτήσεως φιλίας*· Τὸ δὲ *περὶ στρατηγήματος καὶ μάχης*· τὸ δὲ *περὶ στερήσεως τοῦ κτηθέντος*· τὸ δὲ πέμπτον *περὶ ἀπερισκέπτου ἔργου*. Ταῦτα δὲ παιδευόμενοι, ὡς ἐν παιδιᾷ, οἱ παῖδες τοιοῦτοι ἐγένοντο, οἵους εἴρηκεν ὁ Βισνουσσαρμὰν, καὶ ἤθελεν ὁ Βασιλεὺς κτλ. (2). »

Τινὲς ὅμως ἀποδίδουσι τὴν ἀρχὴν τῶν Ἀπολόγων τούτων εἰς ἄλλον ἀρχαιότερον σοφὸν Ἰνδὸν Πιλπάϊδα, ἢ ὀρθώτερον Πιδπάϊδα καλούμενον. Διὸ καὶ τοὺς Ἀπολόγους τῆς Πάντσα-Τάντρας ἔν τε τῇ Περσίᾳ, καὶ ἐν ἁπάσῃ τῇ Ἀσίᾳ *Πιδπάϊδος μῦθοι* ἀποκαλοῦσιν (Fables de Pidpai) (3). Ὁ δὲ μετα-

(1) Ἴδε τὸν πρόλογον τοῦ Κολεβρωκκίου εἰς τὴν παρ' αὐτοῦ δημοσιευθεῖσαν Χιτοπαδάσσαν, καὶ τὴν ἀξιόλογον ἀνάλυσιν τοῦ συγγράμματος τούτου παρὰ τοῦ Οὐϊλσῶνος. (Transact. of the. R. Asiat. Society V. I. P. 52).

(2) Προοίμιον τῆς παρούσης Χιτοπαδάσσας.

(3) Calila et Dimna (ἡ Χιτοπαδάσσα) ou Fables de Bidpai par Silvestre de Sacy.— Fables et contes de Bidpai ὀνομάζει τοὺς αὐ-

γενέστερος τούτου Βισνουσσαρμὰν αὐτούς τε καὶ ἄλλους Ἀπολόγους συλλέξας ἢ συνθέσας, καὶ κατὰ τὸν σκοπὸν αὐτοῦ συναρμολογήσας, τὴν Χιτοπαδάσσαν ἐσύνθεσεν (1).

Ὁ Ἀλμουκαφφᾶς, ὁ μόνος ἴσως ὅστις ἀναφέρει περὶ τούτου, εἰς τὴν εἰσαγωγὴν τῆς Ἀραβικῆς αὐτοῦ μεταφράσεως λέγει, ὅτι ὁ μέγας Ἀλέξανδρος (330 Π. χ.), νικήσας τὸν Βασιλέα τῆς Ἰνδίας Φοὺρ (Πόρον), ἀντικατέστησεν ἕνα τῶν στρατηγῶν αὐτοῦ, ὃν ἀποβαλλόντες οἱ Ἰνδοὶ μετὰ τὴν ἀναχώρησιν τοῦ μεγάλου Ἀλεξάνδρου, ἐξελέξαντο Βασιλέα τὸν ἐκ τῆς βασιλικῆς οἰκογενείας καταγόμενον Δαψίλιμον. Ἀλλ' οὗτος τύρανος σκληρὸς φανεὶς, ἀπανθρώπως τοὺς Ἰνδοὺς ἐκυβέρνα. Τοῦτο παρεκίνησε τὸν Βραχμᾶνα Πιδπάϊδα, ὅπως παρουσια-

---

τοὺς ὁ Γαλλάνδης. Μυθολογικὸν Πιλπάϊδος καλεῖ τὴν αὐτὴν συλλογὴν τῶν ἀπολόγων ὁ ἐκδότης τοῦ βιβλιαρίου τούτου Λαμπανιτζιώτης.

(1) 'Ο Βισνουσσαρμὰν, λέγει εἰς τὸ προοίμιον, «πᾶν βιβλίον διελθὼν πολιτικὰ, οἰκονομικὰ, καὶ ἠθικὰ διαλαμβάνον, συνέγραψε τοῦτο τὸ λίαν χάριεν καὶ ἀπαράμιλλον ποίημα, ὅπερ εἰς πέντε βιβλία διαιρεῖται.» (Προοίμ. Χιτοπαδ. σελ. 3 στίχ. 4)· ὥστε ὁ Βισνουσσαρμὰν ὠφελήθη ἀπὸ τὰ τῶν προγενεστέρων αὐτοῦ ἔργα.

'Ο κλεινὸς 'Ιῶνες βεβαιοῖ, ὅτι εἰς τὴν Περσίαν πιστεύουσι κοινῶς, ὅτι οἱ ἀπόλογοι τῆς Πάντσα-Τάντρας εἰσὶ τοῦ Πιδπάϊδος, καὶ ὅτι ἐξ αὐτῆς συλλέξας ὁ Βισνουσσαρμὰν τὴν Χιτοπαδάσσαν ἐσύνθεσε. (Ἴδε Προλεγ. Χιτοπαδ. τοῦ Οὐϊλιὰμ 'Ιῶνες.—Adel. Bibl. Sanscr. σελ. 288 σημ. 2).

'Ο Σίλβεστρος ὁ Σασῦς ἀναφέρει τὴν ῥῆσιν τοῦ ἱστορικοῦ Ἄραβος Μασουδῆ, ἀκμάσαντος περὶ τὰ μέσα τῆς τετάρτης ἑκατονταετηρίδος τῆς Ἐγείρας, δι' ἧς ἀποδίδει τὴν Συλλογὴν τῶν ἀπολόγων τούτων εἰς ἀρχαιότερον 'Ινδὸν Μυθοποιόν. Τὸ αὐτὸ βεβαιοῖ καὶ ὁ ἐκ τῆς 'Ινδικῆς εἰς τὴν Πελβικὴν πρῶτος μεταφραστής. Αὐτὸ τοῦτο καὶ ὁ Φερδουσὴς εἰς τὸ ἐπικὸν αὐτοῦ ποίημα Σὰχ-Νεμέχ. (Ἴδε IX καὶ X. τόμ. Notices et extraits de la Bibl. du Roi. Καὶ τὸ ἱστορικὸν ὑπόμνημα, προταθὲν εἰς τὸ Calila et Dimna par Silvestre de Sacy).

σθεὶς τὴν ἀδικίαν τοῦ τυράνου ἐλέγξῃ. Ὁ δὲ λίαν ὀργισθεὶς, τὸν σοφὸν Ἰνδὸν ἐφυλάκισε. Μετὰ παρέλευσιν δὲ χρόνου τινὸς, καλέσας τὸν Πιδπαΐδα ἐπρότεινεν εἰς αὐτὸν τινὰς περὶ τῆς δημιουργίας τοῦ Παντὸς ἀπορίας. Εὐχαριστηθεὶς δ' εἰς τὰς ἀπαντήσεις, οὐ μόνον ἠλευθέρωσεν, ἀλλὰ καὶ πλησίον καλέσας ὡς πρωτοσύμβουλον μετεχειρίζετο, καὶ δικαίως ἔκτοτε τὴν Ἰνδίαν μετ' αὐτοῦ ἐκυβέρνησεν. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν εἶπεν εἰς αὐτόν· «Οἱ προκάτοχοί μου ἐδοξάσθησαν δι' ἀξιολόγων συγγραμμάτων, ἅτινα ἐπὶ τῶν ἡμερῶν αὐτῶν ἐγράφησαν. Ἐπιθυμῶ κἀγὼ ἵνα συνθέσῃς βιβλίον, ὅπως διὰ τῆς ἀξίας αὐτοῦ διαιωνήσω τὴν ἐποχὴν τῆς Βασιλείας μου, καὶ εἰς τοὺς διαδόχους μου ὡς ἱερὰν κληρονομίαν ἀφήσω. Ἐκ τούτου παρακινηθεὶς ὁ Πίδπαΐς τοὺς Ἀπολόγους τῆς Πάντσα-Τάντρας πρὸς ὠφέλειαν τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων συνέγραψε (1). Τούτους ἀναγνώσαντες πάντες ἐθαύμασαν, καὶ τοιαύτην ἔκτοτε ἔσχον ὑπόληψιν, ὥστε οὐ μόνον ἐν τῇ Ἰνδίᾳ, ἀλλὰ καὶ ἐν ἁπάσῃ τῇ Ἀσίᾳ ἐν χρήσει εἰσίν, καὶ εἰς ὅλας σχεδὸν τὰς ἀσιατικὰς διαλέκτους μεταφρασθέντες, πανταχοῦ διδάσκονται· ὥστε, ἐκτὸς τῆς θείας Γραφῆς, λέγει ὁ Ἀδελοῦγκος, οὐδὲν ἕτερον πόνημα τοιαύτην ἔλαβε πογκόσμιον φήμην καὶ ἔπαινον, ὡς ἡ Πάντσα-Τάντρα (2).

(1) Silvestre de Sacy. ouvrages precités, p. 397—466.— Journal des Savants 1847. Mai.

(2) Villeicht ist kein Buch, die Bibel allein ausgenommen, in so viele Sprachen übersetzt worden, als dieses. (Adel. Bib. Sansc. p. 286. BB.)

Transact of the Royal Asiat. Society V. I. p. II. London. 1826· p. 155—200.

D. A. T. An Histor. sketch of Sansc. liter. etc. V. p. 194—204.

Τὰς παραινέσεις τοῦ Πιδπάϊδος, καὶ τὰ παραγγέλματα τῶν Ἀπολόγων τούτων ἀκολουθήσας ὁ Δαψίλιμος, καὶ οἱ διάδοχοι αὐτοῦ, τὴν εὐημερίαν τῆς Ἰνδίας ἐν διαστήματι, λέγουσι, πολλοτάτων ἐτῶν ἐπέφερον.

Ἡ φήμη τῆς τοιαύτης Κυβερνήσεως, καὶ ἡ τῶν Ἀπολόγων δόξα διαδοθεῖσα, προϊόντος τοῦ χρόνου, εἰς ἅπασαν τὴν Ἀσίαν, παρεκίνησε τὸν μέγαν τῆς Περσίας Βασιλέα Χοσρόην, τὸν ἐπικληθέντα Νουσχιρεβὰν, ὅπως πέμψῃ περὶ τὰς ἀρχὰς τῆς ἕκτης (Μ. Χ.) ἑκατονταετηρίδος εἰς τὴν Ἰνδίαν τὸν ἰατρὸν Βαρζοβιὰν (Περζοὲ), πρὸς ζήτησιν τῶν Ἀπολόγων τούτων Ὁ δὲ οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ ἄλλους Ἀπολόγους, καὶ διάφορα μυθικὰ διηγήματα συλλέξας, εἰς τὴν Περσίαν μετέφερε, καὶ εἰς τὴν Πελβικὴν (ἀρχαίαν Περσικὴν) πρῶτος τὸ πρῶτον μετέφρασε, καὶ ἐκ τῆς μεταφράσεως τοῦ Βαρζοβιὰν καὶ τοῦ Ἀλμοκαφφᾶ αἱ πλειότεραι Ἀσιατικαὶ μεταφράσεις ἐγένοντο (1).

Ἡ Χιτοπαδάσσα μετεφράσθη ἐσχάτως παρὰ τοῦ Δυβοΐου Γαλλιστὶ (1826) παρὰ Σχλεγέλου καὶ Λασσένου (Bonn 1829—31) Ἀγγλιστὶ παρὰ Wilkins (Bath 1787). Ἐδημοσιεύθη παρὰ τοῦ Κολεβρωκκίου τὸ Σανκριτικὸν πρωτότυπον (Serap. 1804).

(1) Τὸ βιβλίον τοῦτο, λέγει ὁ Συμεὼν ὁ Σὴθ, μετακομισθὲν ἐκ τῆς Ἰνδίας καὶ δοθὲν τῷ Βασιλεῖ Χοσρόῃ ἐν Περσίδι, παρά τινος Περζωὲ σοφοῦ, καὶ ἰατροῦ τὴν τέχνην, καὶ μετενεχθὲν εἰς τὴν Ἀράβων γλῶσσαν, ὑπὸ δὲ Συμεὼν μαγίστρου τοῦ Σὴθ εἰς τὴν Ἑλλήνων διάλεκτον μεταβληθὲν, καλεῖται ἀραβιστὶ μὲν Κυλίλε καὶ Δίμνε, ἑλληνιστὶ δὲ Στεφανίτης καὶ Ἰχνηλάτης. (Προοίμ. Στεφ. καὶ Ἰχνηλ.).

Ὁ Ἰατρὸς Βαρζοβιὰν (Περζωὲ) μετέφερε τοὺς Ἀπολόγους εἰς τὴν Περσίαν καὶ Πελβιστὶ μετέφρασε τὸ ἔτος 540 Μ. Χ. Ἐκ δὲ τῆς Πελβικῆς εἰς τὴν Ἀραβικὴν παρὰ τοῦ Ἀλμοκαφφᾶ εἰς τὰ 760. Ἐκ τῆς Ἀραβικῆς εἰς τὴν Ἑλληνικὴν παρὰ Σὴθ εἰς τὰ 1080. Ὁ Ῥαββῖνος Ἰωὴλ μετέφρασεν

Ὁ Νουσχιρεβὰν καὶ οἱ διάδοχοι αὐτοῦ εἶχον εἰς μεγίστην ὑπόληψιν τὴν Συλλογὴν τῶν Ἀπολόγων τοῦ Βαρζοβιάν. Ἀλλὰ μετὰ τὴν κατάκτησιν τῆς Περσίας παρὰ τοῦ Ὁμὰρ καὶ τῶν φανατικῶν Ἀράβων, ἡ Συλλογὴ αὕτη διόλου ἐλησμονήθη, μέχρι τοῦ δευτέρου Καλήφου Ἐλμασάρ, ἐκ τῆς οἰκογενείας τῶν Ἀββασιδῶν. Οὗτος φιλόμουσος ὢν, καὶ τὴν ἀξίαν τῶν Ἀπολόγων γινώσκων, ἐζήτησε, καὶ εὐτυχῶς εὗρε τὴν μετάφρασιν τοῦ Βαρζοβιάν.

Ὁ δὲ Ἀβδ-ἀλλὰχ-Ἀλ-Μοκαφφᾶς μετέφρασεν ἐκ τῆς Πελβικῆς εἰς τὴν Ἀραβικὴν τὴν Χιτοπαδάσσαν καὶ *Κυλίλε* καὶ *Δίμνε* τὴν βίβλον ὠνόμασεν, ἐκ τῆς προσηγορίας τῶν δύο θώων ἢ Κυνολύκων, Καρατάκα καὶ Δαμανάκα, πρὸς δὲ τούτοις καὶ προλεγόμενα νέα, ὡς εἰσαγωγὴν ἐπρόσθεσε. Τὴν μετάφρασιν ταύτην ἀντέγραψαν κατὰ διαφόρους καιροὺς, διάφοροι λόγιοι Ἄραβες καὶ Πέρσαι, προσθαφαιροῦντες ἕκαστος νέους Ἀπολόγους· ὥστε ἐκ τῶν σωζομένων ἀραβικῶν

εἰς τὴν Ἑβραϊκὴν, καὶ τὸ ὄνομα τοῦ Πιλπάϊδος εἰς Σανδεβὰδ μετέβαλεν. Ἐκ δὲ τῆς Ἑβραϊκῆς εἰς τὴν Λατινικὴν μετέφρασε Πέτρος-Ἀλφόνσος ὁ ἐκ Καπύης, ὑπὸ τὸν τίτλον Directorium humanae vitae. Ἐκ τῆς Ἀραβικῆς μετεφράσθη εἰς τὴν νεωτέραν Περσικὴν εἰς τὰ 1120. Καὶ πάλιν εἰς τὰ 1520 παρὰ Βαΐζου, περὶ οὗ ἀκολούθως. Ἐξ αὐτῆς μετέφρασεν εἰς τὴν Τουρκικὴν ὁ Ἀλλὴ-τζελεπὴς εἰς τὰ 1540, ὑπὸ τὸν τίτλον Χουμαΐ-Ναμέχ· ἐξ αὐτῆς εἰς τὴν Γαλλικὴν ὁ Γαλλάνδος εἰς τὰ 1644. Ὁ Λαφενταῖνος ἔλαβεν ἀπολόγους τινὰς καὶ εἰς τὴν συλλογὴν τῶν μύθων αὐτοῦ ἐπρόσθεσε· τοιοῦτοι εἰσὶν οἱ δύο φίλοι, ὁ Λέων καὶ ἡ Ἄρκτος, οἱ δύο Ψιττακοὶ, κ. τ. λ. Ἐκ δὲ τῆς Γαλλικῆς εἰς τὴν Γερμανικὴν μετέφρασε ὁ Οὐεβερος (Ueber. Nuremb. 1802). Ἡ Χιτοπαδάσσα μετεφράσθη εἰς ὅλας σχεδὸν τὰς κυριωτέρας Ἀσιατικὰς Γλώσσας. (Silvestre de Sacy. Tom.IX-X. Notices et extraits de la Bibl. du Roi. Calila et Dimna τοῦ αὐτοῦ. Adel. Q. Bibl. Sanscr. p. 286—296).

χειρογράφων, δυσκόλως εὑρίσκει τις δύο κατὰ πάντα ὅμοια χειρόγραφα (1). Τὴν αὐτὴν ἀσυμφωνίαν ἀπαντᾷ τις καὶ μεταξὺ τῶν διαφόρων μεταφράσεων· διότι ἄλλος ἄλλο μετεχειρισθεὶς χειρόγραφον, καὶ ὁ μὲν ἐκ τῆς Πελβικῆς, ὁ δὲ ἐκ τῆς Ἀραβικῆς, ἢ Περσικῆς ἢ Τουρκικῆς, ἢ ἄλλης ἀσιατικῆς γλώσσης ἐκ νέου μεταγλωττίσας, νέαν ἔκαμε μετάφρασιν. Τὸ δὲ περιεργώτερον, ὅτι καὶ αὐταὶ αἱ ἀπ' εὐθείας ἐκ τῆς Σανκριτικῆς μεταφράσεις δὲν συμφωνοῦσι καθ' ὅλα πρὸς ἀλλήλας, ὡς δύναται ἵνα πληροφορηθῇ ἕκαστος παραβάλλων τὴν τοῦ Δυβοΐου δημοσιευθεῖσαν τῷ 1826, καὶ τὴν παροῦσαν τοῦ Γαλανοῦ, καὶ πάλιν ἀμφοτέρας ταύτας, μετὰ τῆς πρὸ ὀκτακοσίων, ὡς ἔγγιστα, ἐτῶν γενομένης πρώτης ἑλληνικῆς μεταφράσεως παρὰ Συμεὼν τοῦ Σήθ (2).

Ὁ δὲ Χοσαΐν Βαέζας, ὁ ἐκ τῆς Ἀραβικῆς εἰς τὴν Περσικὴν παραφράσας, δύο ἐπέφερε μεταβολάς· ἀ. Τὴν ἀλλαγὴν τοῦ ὀνόματος· διότι ἀντὶ τοῦ Ἰνδικοῦ τίτλου Πάντσα-Τάντρα, ἢ Χιτοπαδάσσα, ἢ τοῦ Ἀραβικοῦ Κυλίλε καὶ Δίμνε, *Ἀνβαρῆ Σοχαϊλῆ*, ἤτοι φῶς τοῦ Σοχαϊλῆ τὴν βίβλον ἐκά-

---

(1) Cette variété est telle qu' on est quelque fois tenté de croire qu' il existe plusieurs versions Arabes de ce livre, tout-à-fait differentes l' une de l' autre. (Calila et Dimna. Memoire Histor. par Sylv. de Sacy. p. 14).

(2) Πρέπει ἴσως, ἵνα ἀποδώσῃ τις τὴν τοιαύτην διαφοράν, οὐ μόνον εἰς τοὺς μεταφραστὰς καὶ ἀντιγραφεῖς, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν φύσιν τῶν μύθων, οὓς ἕκαστος ἀπὸ μνήμης ἐκφωνῶν ἢ διηγούμενος προσθαφαιρεῖ ῥήσεις, γνώμας, καὶ τεμάχια ὁλόκληρα, ὡς πληροφορεῖται ἕκαστος παρατηρῶν τοὺς Αἰσωπείους μύθους, καὶ συγκρίνων αὐτοὺς μεταξὺ αὐτῶν, καὶ μεταξὺ αὐτῶν καὶ τῶν παραλλήλων μύθων, οὓς ἐπρόσθεσεν ὁ ἀείδιμος Κοραῆς περὶ τὰ τέλη τῆς παρ' αὐτοῦ ἐκδοθείσης συλλογῆς τῶν τοῦ Αἰσώπου μύθων.

λεσε. Καθότι ὁ τότε ἡγεμὼν, ἀπόγονος τοῦ Ταμερλάνου, Σογαΐλης ὠνομάζετο, καὶ ἐξ αὐτοῦ κολακευτικῶς τὴν νέαν παράφρασιν ἐκάλεσε.

ϐ'. Τὴν ἀλλαγὴν τῆς εἰσαγωγῆς· διότι ὁ Βαέζας ἀφαιρέσας τὰ προλεγόμενα τῶν προγενεστέρων αὐτοῦ, ἐπρόσθεσε νέαν εἰσαγωγὴν, ἣν μετέφερεν ὁ Γαλλάνδης εἰς τὴν Γαλλικὴν αὐτοῦ μετάφρασιν, μέρος ἀποτελοῦσαν τῆς συλλογῆς τῶν παρ' αὐτοῦ ἐκδοθέντων Ἀπολόγων. Αὐτὴν εὑρίσκει ὁ ἀναγνώστης καὶ εἰς τὴν ἁπλοελληνικὴν μετάφρασιν, ἐκδοθεῖσαν παρὰ τοῦ Λαμπανιτζιώτου (1). Τὴν εἰσαγωγὴν ταύτην πάντῃ διάφορον οὖσαν τῆς τοῦ Γαλανοῦ καὶ Σὴθ, ἀναφέρω ἐν συντόμῳ ἐνταῦθα.

Ὁ Βασιλεὺς τῶν Σινῶν Εὔσημος εἰς τερπνὸν ἀναπαυόμενος τόπον, εἶδε σμῆνος μελισσῶν, ὧν τὴν ἐργασίαν παρατηρήσας, ἠρώτησεν ἕνα τῶν ὑπουργῶν αὐτοῦ, παρ' οὗ ἔμαθε πᾶσαν τὴν τακτικὴν τῶν μελισσῶν κυβέρνησιν. Οὕτω, λέγει, κυβερνῶν καὶ ὁ ἔμφρων βασιλεὺς, τοὺς μὲν ἐναρέτους καὶ ἀγαθοὺς ὑπαλλήλους τιμήσει· τοὺς δὲ κακοὺς καὶ ῥαθύμους τιμωρήσει. Ταῦτα μιμούμενος καὶ ὁ τῶν Ἰνδῶν βασιλεὺς Δαψίλιμος, τὰ σοφὰ παραγγέλματα τοῦ Πιδπάϊδος ἀκολουθῶν, εὐτυχεῖς τοὺς λαοὺς τῆς Ἰνδίας ἀποκατέστησε, καὶ αὐτὸς δόξαν καὶ κλέος ἄϊδιον προσεκτήσατο.

(1) Ἀγνοεῖται τὸ ὄνομα τοῦ μεταφραστοῦ. Ἡ μετάφρασις ὅμως αὕτη ἀναφέρεται εἰς τὸν κατάλογον τοῦ Κ. Α. Βρετοῦ Παππαδοπούλου σελ. 27. ἀριθ. 250 οὕτως· «Μυθολογικὸν Ἠθικὸν, Πολιτικὸν τοῦ Πιλπαΐδος (Πιδπαΐδος) Ἰνδοῦ φιλοσόφου, ἐκ τῆς Γαλλικῆς εἰς τὴν ἡμετέραν διάλεκτον μεταφρασθέν. Νῦν δὲ πρῶτον τύποις ἐκδοθὲν, δαπάνῃ καὶ ἐπιμελείᾳ Πολυζώη Λαμπανιτζιώτου τοῦ ἐξ Ἰωαννίνων. αψπγ'. ἐν Βιέννῃ 1783.»

«Τίς οὗτος ὁ Δαψίλιμος; καὶ τίς ὁ Πίδπαϊς; ἠρώτησεν ὁ Εὔσημος· πολλάκις παρὰ πολλῶν τὰ ὀνόματα αὐτῶν ἤκουσα, ἀλλὰ τίνες εἰσὶν ἀγνοῶ.»

«Πρὸ ἐτῶν, ἀπήντησεν ὁ ὑπουργὸς, ὁ βασιλεὺς Δαψίλιμος θεοφιλῶς τὴν Ἰνδίαν ἐκυβέρνα (1). Πολλὰς δέ ποτε ποιήσας ἀγαθοεργίας, καὶ κοιμηθεὶς εἶδε καθ' ὕπνον γηραιὸν σεβάσμιον, ὃς εἶπεν αὐτῷ· «Ὁ Θεὸς θέλων ἵνα ἀνταμείψῃ τὰς ἀρετάς σου, χαρίζει σοι μέγα θησαυρὸν, ὃν εὑρήσεις πορευόμενος κατ' ἀνατολάς.» Τῇ ἐπαύριον ἐγερθεὶς ἐπορεύθη κατ' ἀναταλάς· φθάσας δ' εἰς ἐρημικὸν τόπον, καὶ τοῦτον περιθεωρῶν, εἶδε γηραιὸν καθήμενον εἰς τὸ πρόθυρον ἑνὸς σπηλαίου, πρὸς ὃν διευθύνθη. Ὁ δὲ ἐγερθεὶς προαπήντησε τὸν Βασιλέα, εἰπών· «Ὁ τόπος οὗτος, καίτοι ἐρημικὸς, συνεχῶς ἐπεσκέπτετο παρὰ τῶν προκατόχων σου Βασιλέων, ἐπιθυμούντων ἵνα συλλέγωσιν, ὡς αἱ μέλισσαι, τὰς καλὰς τῶν ἀναχωρητῶν γνώμας.» Ὁ μὲν Μονάρχης ἡσθεὶς πολλὴν ὥραν μετὰ τοῦ ἐρημίτου συνδιελέχθη. Ὁ δὲ γηραιὸς, ἰδὼν τὸν βασιλέα ἑτοιμαζόμενον ἵνα ἀναχωρήσῃ, προσήνεγκεν αὐτῷ δέλτον, ἐν ᾗ ἦσαν γεγραμμένα δέκα καὶ τέσσαρα ἄρθρα, εἰπών· «Ἂν ἐπιθυμῇς τὴν λύσιν αὐτῶν, πορεύθητι εἰς τὸ ὄρος τῆς Περάνσεως, ἔνθα διατρίβει ὁ Βραχμὰν Πίδπαϊς, ὅστις εἰς ἄκρον ὢν σοφὸς, ἐξηγήσει αὐτὰ, καὶ πλείονα τούτων διδάξει σε.» Ἡ δὲ δέλτος περιεῖχε τὰ ἑξῆς·

ά. Πρέπει ὁ Βασιλεὺς ἵνα ἐκλέγῃ πάντοτε ἀγαθοὺς καὶ

---

(2) Διαφωνεῖ ἐνταῦτα ἡ περὶ Λαψιλίμου γνώμη τοῦ Βαέζου, καὶ ἡ τοῦ Λλ-Μοκαφφᾶ.

ἐναρέτους ὑπουργούς. Προτέρημα μέγα ἐστὶ τοῖς κρατοῦσιν ἡ καλὴ ἐκλογή.

β'. Ὁ Βασιλεὺς ὀφείλει ἵνα προσκολλᾶται εἰς τοὺς φιλαλήθεις, ἀποστρεφόμενος τοὺς κόλακας, καὶ τὴν πονηρίαν, ἥτις προσπαθεῖ ὅλαις δυνάμεσι, ἵνα πλησιάσῃ τὸν θρόνον.

γ'. Ἀπαιτεῖται συμφωνία μεταξὺ τοῦ Βασιλέως καὶ τῶν ὑπουργῶν, καὶ ὁμόνοια μεταξὺ αὐτῶν τούτων.

δ'. Ὁ Βασιλεὺς ὀφείλει ἵνα θεωρῇ ὡς ἐχθροὺς αὐτοῦ καὶ τοῦ ἔθνους τοὺς προσπαθοῦντας ἵνα εὐαρεστήσωσιν εἰς αὐτὸν, κρύπτοντες τὴν ἀλήθειαν τῶν πραγμάτων, καὶ περιποιούμενοι τὰς ἀδυναμίας, τὰς ἐπιθυμίας, ἢ τὰ πάθη αὐτοῦ διὰ κακῆς θεραπείας.

ε. Οὐδέποτε ὁ ἡγεμὼν ἐπιχειρισθῇ πόλεμον ἀμφίβολον, ἐκτὸς ἂν βιασθῇ παρὰ τοῦ ἐχθροῦ.

ς'. Πρὸ παντὸς ἔργου ἀπαιτεῖται ὥριμος σκέψις, καὶ μετὰ τὴν σκέψιν ταχεῖα ἐκτέλεσις· διότι ἡ μὲν ὥριμος σκέψις ἐστὶ τὸ ὄμμα τοῦ νοός· ἡ δὲ ταχεῖα ἐκτέλεσις δύναμις ἐστὶ τοῦ Βασιλέως.

ζ'. Ὁ Βασιλεὺς οὐδέποτε ἀπατήσει, ἐκτὸς ἂν τὸ δίκαιον ἀσθενὲς ὂν καταπιέζεται, σερημένον δυνάμεως καὶ προσασίας.

η. Ὁ ἀγαθὸς ἐστὶ μετριόφρων καὶ ἐπιεικής. Ὁ πονηρὸς κενόδοξος καὶ φθονερός. Τοῦτον ἀποβαλλέτω ὁ Βασιλεὺς καὶ προσοικειωθήτω τὸν πρῶτον, ὅτι διὰ τοῦ ἀγαθοῦ ἀγαθὰ πράξει. Ἀλλ' οὐδέποτε ὁ Βασιλεὺς ἔξει ἀγαθοὺς ὑπουργοὺς, ἀγαθοὺς ὑπαλλήλους, ἐὰν μὴ ἢ αὐτὸς ὁ ἴδιος ἀγαθὸς, ἐνάρετος, καὶ φιλαλήθης.

θ'. Ἡ μὲν κακία τιμωρηθήτω· ἡ δὲ χάρις ἔστω ἀνάλογος τῆς προαιρέσεως τοῦ ἁμαρτήσαντος, καὶ ἡ ποινὴ ἀνάλογος τῆς βλάβης, καὶ τῆς προμελέτης τοῦ κακούργου.

ί. Ἡ τοῦ λαοῦ πρὸς τὸν Βασιλέα πίστις ἔστω ἀποτέλεσμα ἀγάπης, καὶ οὐχὶ φόβου.

ιά. Ὁ Βασιλεὺς ἔστω δίκαιος καὶ ἐπιεικής· διότι ἀμφότερά εἰσιν ἀποτέλεσμα ὀρθῆς σκέψεως καὶ ἀγαθῆς καρδίας.

ιβ'. Οὐδὲν ἀπαιτήσει ὁ Βασιλεὺς, ὅπερ ὑπερβαίνει τὰς δυνάμεις τῶν ὑπουργῶν, ἢ τῶν ὑπηκόων.

ιγ'. Ὁ Βασιλεὺς οὐδέποτε ὑψηλοφρονήσει, οὐδὲ μεγαλορρημονήσει, ὅτι ἀμφότερα ταῦτα κουφότητα δηλοῦσι καὶ οὐχὶ ἐμβρίθειαν.

ιδ'. Ἂν ποτε συμβῇ ἀνέλπιστον συμβεβηκὸς εἰς τὸ Κράτος, ὁ Βασιλεὺς μὴ ἀποδειλιασάτω, ἀλλὰ μετὰ φρονήσεως καὶ σταθερότητος θεραπευσάτω τὸ κακόν. Τὸ δὲ συμβεβηκὸς τοῦτο καταδείξει εἰς τὸν Βασιλέα τίνες εἰσὶν οἱ ἀληθεῖς φίλοι αὐτοῦ, τίνες οἱ ἀδιάφοροι, καὶ τίνες οἱ ἐχθροὶ καὶ ἐπίβουλοι.

Ταῦτα τὰ τέσσαρα καὶ δέκα ἄρθρα, (ἅπερ σκοπὸς, οὕτως εἰπεῖν, ἐστὶ τῆς Χιτοπαδάσσας (1) καὶ εἰς τὴν ἔννοιαν

---

(1) Ὁ Σὴθ, κατὰ μίμησιν τοῦ ἀραβικοῦ κειμένου, διαιρεῖ τὴν ὕλην εἰς δέκα καὶ τέσσαρα κεφάλαια, προσθέτει ὅμως καὶ δέκατον πέμπτον (Τμῆμα δέκατον πέμπτον) «Ἔγνων τὸ τοιοῦτον παράδειγμα· λοιπὸν ἔσχατον τοῦτο ἀνάγγειλόν μοι· Πῶς δεῖ τὸν ἄνθρωπον μὴ ζητεῖν, ὃ οὐ δύναται καταλαβεῖν, ἵνα μὴ, καὶ ὅπερ ἔχει, ἀπολέσῃ. (Στεφαν. καὶ Ἰχνηλ. ἐκδ. Βερολίου σελ. 285.) «Ταῦτα τὰ ΙΕ τμήματα μετέβαλεν ἐκ τῆς Ἰνδικῆς εἰς τὴν Περσίδα διάλεκτον ὁ σοφὸς Ἰατρὸς Περζωὲ, μετακομίσας ἐκ τῆς Ἰνδίας· ἐκ δὲ τῆς Περσικῆς εἰς τὴν Ἀράβων μετεβλήθησαν γλῶσσαν· ἐκ δὲ τῆς Ἀράβων παρ' ἡμῶν εἰς τὴν Ἑλληνίδα.»

καὶ τὸ πνεῦμα τῶν ὁποίων περιστρέφονται οἱ Ἀπόλογοι) ἀναγνώσας ὁ Δαψίλιμος, καὶ τὴν σοφίαν αὐτῶν θαυμάσας, καὶ τὸν θησαυρὸν τοῦ ἐνυπνίου ἐν αὐτοῖς ἐγνώρισε (1), καὶ τὸν Πιδπάϊδα ἰδεῖν ἐπεθύμησεν. Ἐπὶ τούτῳ ἠρώτησε τὴν γνώμην τῶν δύο αὐτοῦ ὑπουργῶν ἐπὶ τῆς μελετωμένης ὁδοιπορίας. Ἐξ αὐτῶν, ὁ μὲν διηγούμενος τὸν μῦθον τῶν δύο περιστερῶν ἀπέτρεπε τὸν Βασιλέα· ὁ δὲ εἰς τὴν αὐτὴν ἔφθανε συνέπειαν, διηγούμενος τοὺς μύθους τοῦ Ἱέρακος, τῆς πολυφάγου Γαλῆς κ. τ. λ. (2). Ἀλλ' ὁ Δαψίλιμος ἐπιμένων εἰς τὴν ἀπόφασιν αὐτοῦ, ἐκίνησε καὶ μετὰ μακρὰν ὁδοιπορίαν ἔφθασεν εἰς τὸ ὄρος τῆς Περάνσεως, ἔνθα εὑρὼν τὸν σοφὸν Πιδπάϊδα, ἐπρότεινεν εἰς αὐτὸν τὴν λύσιν τῶν προτάσεων. Οὕτως ὁ Ἰνδὸς Βραχμὰν ἤρξατο τῆς ἀφηγήσεως περὶ τῆς μεταξὺ Λέοντος καὶ Ταύρου διαλύσεως τῆς φιλίας παρὰ τοῦ συκοφάντου Κυνολύκου, καὶ ἐξ αὐτῆς ἄρχεται ἡ Χιτοπαδάσσα τοῦ τε Γαλανοῦ, καὶ τοῦ Σήθ. Ὥστε ἡ ῥηθεῖσα εἰσαγωγὴ ἔργον ἐστὶ τοῦ Βαέζου. Διὰ τοῦτο οὔτε εἰς τὰς Ἑλληνικὰς μεταφράσεις εὑρίσκεται, οὔτε εἰς τὴν τοῦ Δυβοΐου, μεταφράσαντος καὶ τούτου, ὡς ἐρρέθη, ἐκ τοῦ Ἰνδικοῦ. Καὶ ἡ μὲν τοῦ Γαλανοῦ, μετὰ σύντομον προοίμιον, ἄρχεται οὕτως· «Μεγάλη φιλία οὖσα Λέοντος

---

(1) Ἡ Γαλλικὴ μετάφρασις λέγει, ὅτι ὁ Δαψίλιμος εὗρε πραγματικῶς θησαυρὸν, καὶ μετ' αὐτοῦ κιβώτιον, καὶ ἐντὸς αὐτοῦ κίλυνδρον χάρτου περιέχοντα τὰ δεκατέσσαρα ἄρθρα.

(2) τινὲς τῶν Ἀπολόγων τούτων λείπουσιν ἐκ τῆς μεταφράσεως τοῦ Γαλανοῦ· ὥςτε προσθῆκαι φαίνονται μεταγενέστεραι τῶν Ἀράβων καὶ Περσῶν μεταφραστῶν.

καὶ Ταύρου ἐν ἄλσει, διαλύεται ὑπὸ Κυνολύκου λίαν πλεονέκτου καὶ συκοφάντου.» Ἡ δὲ τοῦ Σήθ· «Ὁ τῶν Ἰνδῶν βασιλεὺς Ἀβεσαλὼμ ἤρετο τινὰ τῶν περὶ αὐτὸν φιλοσόφων. Βούλομαι ὑποδειγματίσαι μοι τῷ τρόπῳ δόλιος καὶ πονηρὸς ἀνὴρ, μεσολαβήσας, εἰς ἔχθραν μεταβάλλει τὴν μεταξὺ τινῶν συστᾶσαν φιλίαν; ». Ὁ δὲ Δυβόϊος ἄρχεται· «Ὁ Βασιλεὺς Σουχαδαρούχας, ἔχων τρεῖς δύσνοας υἱοὺς, ἤρετο τὸν ὑπουργὸν αὐτοῦ Ἀμαρασσατὴν περὶ τῆς ἐκπαιδεύσεως αὐτῶν. Ὁ δὲ ἀποκριθεὶς προτείνει γενικὴν συνέλευσιν τῶν Βραχμάνων. Οἱ δὲ συνελθόντες ἀρνοῦνται πᾶσαν συνδρομήν. Ὁ δὲ Βασιλεὺς θυμωθεὶς ἠπείλησεν αὐτούς. Τότε ὁ Βισνουσσαρμὰν ἀναλαμβάνει τὴν ἐκπαίδευσιν τῶν βασιλοπαίδων. Οἱ Βραχμᾶνες κατακρίνουσι τὸν Βισνουσσαρμᾶνα, ὑποσχεθέντα τὰ ἀδύνατα. Ὁ δὲ διηγούμενος τὸν Ἀπόλογον τῆς κόρης, μεταμορφωθείσης ὕστερον εἰς ἄῤῥενα, καὶ τὸν τοῦ Βραχμᾶνος, τοῦ πεσόντος εἰς τὴν θάλασσαν, κατέπεισε τὴν ὀμήγυριν, ὅτι μεγάλως ὠφελεῖται ὁ ἄνθρωπος ἐν καιρῷ τῶν δεινῶν περιστάσεων, κερδίζων καιρὸν μόνον τινά· ὅτι τὸ μέλλον ἐστὶν ἄδηλον. Οὕτως ὁ Βισνουσσαρμὰν ἀνέλαβε τὴν παιδαγωγίαν τῶν νέων. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ἀναπαυόμενοι οἱ νεανίαι εἰς τερπνὸν τόπον, παρεκάλεσαν τὸν διδάσκαλον ἵνα διηγηθῇ εἰς αὐτοὺς εὐάρεστόν τι διήγημα· ὁ δὲ ἤρξατο διηγούμενος δι' Ἀπολόγων τὴν μεταξὺ Λέοντος καὶ Ταύρου συστᾶσαν φιλίαν, καὶ τὴν διάλυσιν αὐτῆς ὑπὸ τοῦ πονηροῦ Κυνολύκου (1).»

(1) Pantcha—Tantra, ou les cinq ruses par l'abbé Dubois.—Pré-

Ἡ δὲ ἁπλοελληνικὴ μετάφρασις ἄρχεται διὰ τοῦ διηγήματος τοῦ Δαψιλίμου καὶ τοῦ Πιδπάϊδος, καὶ ἀναφέρει ἐν εἴδει εἰσαγωγῆς εἰς τὸ πρῶτον μέρος πέντε Ἀπολόγους. Εἰς δὲ τὸ δεύτερον ἄρχεται τῆς ὑποθέσεως τῆς Χιτοπαδάσσας, καὶ διηγεῖται ἐν εἴκοσι καὶ ἓξ Ἀπολόγοις τὰ περὶ Λέοντος καὶ Ταύρου.

Δυσκόλως τῷ ὄντι, δύναται ἵνα σημειώσῃ τὰς διαφορὰς, ὅσας παρατηρεῖ τις εἰς τὰς Περσοαραβικὰς παραφράσεις, καὶ οὐχ ἧττον εἰς τὰς τῶν νεωτέρων μεταφράσεις τῆς Χιτοπαδάσσας. Περὶ τούτων ἀναφέρει ἐν ἐκτάσει Σίλβεστρος ὁ Σασῦς εἰς τὸ ἱστορικὸν αὐτοῦ ὑπόμνημα, προταθὲν εἰς τὴν βίβλον Καλίλα καὶ Δίμνα (1).

Μεταξὺ δὲ τῶν ἀρχαίων μεταφράσεων τῆς Χιτοπαδάσσας ὑπάρχει, ὡς ἐῤῥέθη, καὶ ἡ Ἑλληνικὴ τοῦ Σὴθ, ἣν ἕνεκα τῆς σπανιότητος, ἔτι δὲ καὶ πρὸς σημπλήρωσιν τῆς μὴ ἀποπερατωθείσης μεταφράσεως τοῦ Γαλανοῦ, μετατυπόνομεν ἤδη, καὶ περὶ ἧς ὀλίγα τινά.

Σημεὼν Σὴθ Μάγιστρος ἐξ Ἀντιοχείας, τὸ ἐπάγγελμα Ἰατρὸς, καὶ πρωτοσπαθάριος, ἢ πρωτοβιστιάριος (2) τὸ ἀξίω-

---

mier Tantra, appelé Mitra Bedaia-Tantra, ou l' art de mettre la division parmis les amis. p. 29—136.

Φαβρικ. Βιβλ. De Pilpaeo (Pidpai) et Locmanno. De fabulis Pidpaei, sive de antiquissimo libro fabulari Indorum. Calila va Dimna, etc.

(1) Calila et Dimna ou fables de Pidpai Καὶ Notices et extraits de la Bibl. du Roi. T. IX-X. Par Silvestre de Sacy. Τὸ Σύγγραμμα τοῦτο μετά τινων ἄλλων ὁμοίων πονημάτων χρεωστῶ εἰς τὴν φιλόμουσον καὶ εὐγενῆ φροντίδα τοῦ Κ. Ἀ. Μαυροκορδάτου, νῦν πρέσβεως τῆς Ἑλλάδος ἐν Παρισίοις, ὃν μετ' εὐγνωμοσύνης δημοσίως εὐχαριστῶ.

(2) Schœll. Hist. de la litt. prof. T. 7. p. 262.

μα, ἤκμαζεν ἐπὶ τῶν ἡμερῶν τῶν αὐτοκρατόρων Ἀνδρονίκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Μιχαὴλ Δοῦκα, Νικηφόρου τε καὶ Ἀλεξίου τοῦ Κομνηνοῦ, ἤτοι περὶ τὰ τέλη τῆς ἑνδεκάτης μ. Χ. ἑκατονταετηρίδος (1080). Οὗτος ἰατρὸς ὢν, καὶ διακεκριμένος φιλόσοφος, συνέγραψε διάφορα πονήματα (1), καὶ ἐκ τῆς ἀραβικῆς εἰς τὴν ἀρχαίαν ἑλληνικὴν μετέφρασε τὴν Χιτοπαδάσσαν, ἣν, ὡς λέγει, Κελίλαν καὶ Δίμναν ὀνομάζουσιν οἱ Ἄραβες, Στεφανίτην δὲ καὶ Ἰχνηλάτην αὐτός (2). Τὰ ζῶα ταῦτα ἦσαν δύο θῶες· « Διῆγε δὲ πλησίον αὐτοῦ λέων τις τῶν » θηρίων Βασιλεύς· παρῴκουν δὲ τούτῳ θηρίων καὶ ζώων » γένη διάφορα . . . Παρῆσαν δὲ ἐκεῖσε σὺν τοῖς ὑπ' αὐτὸν

---

(1) Τοιαῦτα εἰσὶ ά. Σύνταγμα κατὰ στοιχεῖον περὶ τροφῶν Δυνάμεων. β'. Σύνοψιν καὶ ἀπάνθισμα φυσικῶν τε καὶ φιλοσοφικῶν δογμάτων. γ'. Ὑπόμνημα φιλοσοφικὸν καὶ ἰατρικὸν ἀνέκδοτον, εὑρισκόμενον ἐν τῇ Βιβλιοθήκῃ τοῦ Μονάχου (Κώδ. 173). δ'. Λεξικὸν κατὰ ἀλφάβητον, ἑρμηνεῦον ἀκριβῶς τὰς βοτάνας. ε. Περὶ φουκᾶς (ζύθου). ς'. Τὰ κατὰ Στεφανίτην καὶ Ἰχνηλάτην· ἴσως δὲ καὶ ἕτερα ἀνέκδοτα κατὰ τὸν Φαβρίκιον. (Fabr. Bibl. Gr. Τόμ. ἑνδέκατος, σελ. 320—328. Schœll. Hist. de la Litt. Gr. prof. T. 7. p. 262).

(2) Τὰ ἐν τῷ πρώτῳ βιβλίῳ διαλεγόμενα ζῶα, οἱ μὲν Ἰνδοὶ Καρατάκαν καὶ Δαμανάκαν ὀνομάζουσιν· οἱ δὲ Περσοάραβες Καλίλαν καὶ Δίμναν· ὁ δὲ Σὴθ Στεφανίτην καὶ Ἰχνηλάτην. Titulus in arabico est Calila et Dimna· in Greco Στεφανίτης καὶ Ἰχνηλάτης, quasi Coronatum et vestigatorem dicas. (Fabr. αὐτόθι). Τὰ δὲ ζῶα ταῦτα εἰσὶ θῶες, τοῦ γένους τῶν λύκων ἢ κυνολύκων, ὅπερ canis aureus ὀνομάζει ὁ Λινναῖος. Θῶας ὀνομάζει καὶ ὁ Αἰλιανὸς, καὶ φιλανθρωπότατον ζῶον. (Ἀἰλ. περὶ Ζώων ἰδιότητος Τόμ. ά. κεφ. ζ'.).

Τῆνον μὲν θῶες, τῆνον λύκοι ὠρύσαντο. (Θεοκρ. Εἰδύλ. Ἀ. στίχ. 71).

Ἴδε Schreberi not. ad Theocr. idyll. I. 71. Καὶ Φαβρ. Βιβ. Τόμ. 7, σελ. 778.

Οἱ θῶες ἔχουσιν ὁμοιότητά τινα μετὰ τῆς ἀλώπεκος. διὸ καὶ εἰς τὴν ἁπλοελληνικὴν μετάφρασιν ἀρσενικὴν καὶ θηλείαν ἀλώπεκα ὀνομάζουσιν. (Ἴδε Μυθολογ. Πιδπαΐδος σελ. 59 καὶ ἑφεξῆς).

» θῶες δύο· ὁ μὲν Στεφανίτης, ὁ δὲ Ἰχνηλάτης καλούμενος. » Ἀλλ' ὁ Ἰχνηλάτης πονηρὸς ἦν τὴν ψυχὴν, καὶ πλέον ἐφιέ- » μενος τῆς τῶν πραγμάτων καταλήψεως (1). »

Τὴν ἑλληνικὴν μετάφρασιν τοῦ Σηθ λατινιστὶ μετέφρα- σεν ὁ Ποσῖνος, εἰς ἣν καὶ Προλεγόμενα ἐπρόσθεσεν. Αὐτὴν σὺν τῷ Ἑλληνικῷ κειμένῳ ἐδημοσίευσεν ἐν Βερολίνῳ ὁ Στάρ- κερος τῷ 1697, ἄνευ τῶν Προλεγομένων, ὑπὸ τὸν τίτλον Specimen Sapientiæ Indorum veterum: id est liber ethico-politicus pervetustus, dictus κ.τ.λ. Τὰ δὲ Προλε- γόμενα τοῦ Ποσίνου ἐδημοσίευσεν ἀκολούθως ἐν Οὐψάλῃ τὸ ἔτος 1780 ὁ Φλόδερος ὑπὸ τὸν τίτλον: Prolegomena ad librum Στεφανίτης καὶ Ἰχνηλάτης (2).

Ὁ Σηθ ἐν τῇ μεταφράσει αὐτοῦ δὲν ἐπεριορίσθη εἰς μόνην τὴν ἀλλαγὴν τοῦ τίτλου, ἀλλ' εἰσῆξε γνώμας καὶ δοξασίας τῶν ἀρχαίων Ἑλλήνων, ῥήσεις τῶν Γραφῶν, καὶ πεποιθήσεις χριστιανικὰς οὐκ ὀλίγας, κατὰ τὴν παρατήρησιν αὐτοῦ τοῦ Φλοδέρου. Οὗτος τὸν μὲν Βασιλέα Δαψίλιμον, Ἀβεσσαλὼμ ὠνόμασε (3)· τὸν δὲ Βασιλέα τῶν Μυῶν, Τρωγλοδύτην, καὶ

---

(1) Στεφαν. καὶ Ἰχνηλ. Τμῆμα Ἀ. σελ. 5. Ἐκδ. Βερολ.

(2) Βιβλ. Φαβρικίου Τ. Ι. σελ. 650—653, καὶ Τόμ. XI. σελ. 326.

(3) Καὶ ἐπονομάζει, λέγει ὁ ἀοίδιμος Κοραῆς, Στεφανίτην καὶ Ἰχνηλάτην Σημειὼν ὁ Σηθ διάλογον τινὰ μεταξὺ φιλοσόφου καὶ δὲν ἐξεύρω τίνος Βασιλέως τῆς Ἰνδίας Ἀβεσσαλώμ. (Αἰσ. Μῦθ. Ἐκδ. Κοραῆ, σελ. λϑ'.). Παρατηρητέον δὲ, ὅτι εἰς ἓν τῶν χειρογράφων, τῶν ἐν τῇ Ἐθνικῇ Βιβλιοθήκῃ τῶν Παρισίων εὑρι- σκομένων, ἀναγινώσκεται Δησαλώμ· ἐξ οὗ εἰκάζεται, ὅτι καὶ οἱ ἀντιγρα- φεῖς τῆς μεταφράσεως τοῦ Σηθ εἰσῆξαν νέας μεταβολάς.

Dialogus inter Abessalonem Indorum regem et Gymnosophistam. (Fabr. Bib. T. 7 p. 777).

Ducange Constantinopolis Christiana lib. II. sect. 16. n. 5.

τοὺς τρεῖς αὐτοῦ πρωτοσυμβούλους, τὸν μὲν Τυροφάγον, τὸν δὲ Κρεοβόρον, τὸν δὲ Ὀθονοφάγον ὠνόμασεν. Ἐνίοτε, συντομίας χάριν, συντέμνει τὸν Ἀπόλογον, ὡς φαίνεται ἡμῖν ὁ μῦθος τῶν μυῶν. Ἄλλοτε ἐκτείνει ὁπωσοῦν αὐτόν (1). Ἀλλὰ καὶ οὕτω, χάριν, καὶ χάριν μεγίστην ὀφείλομεν πρὸς τὸν Σημεῶνα Σὴθ, ὅτι διὰ τῆς παρ᾽ αὐτοῦ πρὸ ὀκτακοσίων, ὡς ἔγγιστα, ἐτῶν μεταφράσεως τῆς Χιτοπαδάσσας, συμπληροῦμεν σήμερον τὴν μὴ διεκπεραιωθεῖσαν τοῦ ἀοιδίμου Γαλανοῦ νέαν Ἑλληνικὴν μετάφρασιν (2).

Φαίνεται δὲ, ὅτι οἱ Ἀπόλογοι τῆς Χιτοπαδάσσας, ἦσαν εἰς μεγίστην ὑπόληψιν παρὰ τοῖς τότε Βυζαντινοῖς· διότι ὁ Αὐτοκράτωρ τοῦ Βυζαντίου, δημηγορῶν, τοὺς Ἀπολόγους τοῦ Ἰχνηλάτου ἔφερεν ὡς παράδειγμα· « Καὶ μέσον αὐτῶν ἴσα-» ται, λέγει ὁ Παχυμέρης, καὶ καθικετεύει ἐκ τῶν Ἰχνηλά-» του Παραβολῶν κ.τ.λ. (3). »

Ἡ δὲ νεωτέρα μετάφρασις τοῦ ἀοιδίμου Γαλανοῦ, γενομένη ἐν τῇ ἱερᾷ πόλει Κασσῇ ἢ Βαρανασῇ (Βεναρὲς), δεικνύει, ὅτι ἐκ τῆς Σανσκριτικῆς γλώσσης ἀπ᾽ εὐθείας μετέφρασε, μεταχειρισθεὶς βεβαίως χειρόγραφον ἐγνωσμένον, καὶ παρὰ τῶν Βραχμάνων διδασκόμενον εἰς τὰ κοινὰ ἐκπαιδευτήρια. Κατὰ δυστυχίαν ὅμως ἐκ τοῦ χειρογράφου τούτου δὲν μετέφρασεν,

---

(1) Τμῆμα δέκατον τέταρτον. Calila et Dimna, fable intitulée le Roi des rats. p. 61.

(2) Ἐκ τῆς παραλληλίας τῶν δύο Ἑλληνικῶν μεταφράσεων, ἃς διαχωρίζουσιν ὀκτὼ σχεδὸν ἑκατονταετηρίδες, γνωρίσει ὁ ἀναγνώστης, καὶ τὰς διαφορὰς καὶ ἀλλοιώσεις τοῦ κειμένου, περὶ ὧν ἀνεφέραμεν, καὶ τὴν διαφορὰν τοῦ λεκτικοῦ τοῦ τε Ἀντιοχέως Σὴθ, καὶ τοῦ Ἀθηναίου Γαλανοῦ.

(3) Γεώρ. Παχυμ. Ἱστορ. βιβ. VI. κεφ. XVIII.

εἰ μὴ τὸ πρῶτον βιβλίον, ὅπερ εὑρίσκεται ἄνευ οὐδενὸς σχολίου. Ὅτι δὲ ὁ Γαλανὸς ἐσκόπευεν, ἵνα προσθέσῃ σημειώσεις πολλὰς, φαίνεται ἐκ τῶν πολλῶν καὶ μεγάλων κενῶν χωρίων, ἅτινα εἰς ἕκαστον ἐδάφιον, ἑκάστης σελίδος τοῦ ἀντιγραφέντος μέρους, παρατηροῦνται.

Τὰ δὲ ἑπόμενα βιβλία Πρῶτον, Δεύτερον, καὶ Τρίτον, ἅτινα μετέφρασε, φαίνεται, ἐξ ἄλλου Ἰνδικοῦ χειρογράφου, εὕρομεν εἰς πρωτόγραφα λίαν δυσανάγνωστα· ὥστε τὸ πρῶτον βιβλίον ἀντεγράφη παρὰ τοῦ ἰδίου, ὡς προείρηται. Ἐν τούτοις παρατηρεῖται διαφορὰ οὐχὶ εὐκαταφρόνητος μεταξὺ τῶν δύο πρώτων βιβλίων, ὡς πληροφορεῖται ἕκαστος ἐκ τῆς συγκρίσεως· διότι, χάριν ἀκριβείας, ἀμφότερα ταῦτα δημοσιεύομεν. Ὥστε δύο ἀναμφιβόλως μετεχειρίσθη χειρόγραφα, τὸ μὲν εἰς ἐκτεταμένην, τὸ δὲ εἰς συντομοτέραν ἀνῆκον συλλογήν.

Ἡ αὐτὴ διαφορὰ παρατηρεῖται μεταξὺ τῆς μεταφράσεως τοῦ Γαλανοῦ, καὶ τῆς Γαλλικῆς τοῦ Δυβοΐου, τοῦ τοσαῦτα καὶ τούτου ἔτη ἐν τῇ Ἰνδίᾳ διατρίψαντος, καὶ ἐκ τῆς Σανκριτικῆς καὶ αὐτοῦ μεταφράσαντος· ἐξ οὗ εἰκάσει τις εὐκόλως τὰς πολυειδεῖς ἀλλοιώσεις, ὅσας ὑπέστη τὸ ἀρχαῖον πρωτότυπον καὶ ἐν αὐτῇ τῇ Ἰνδίᾳ. Διότι καὶ εἰς τὴν μετάφρασιν τοῦ Γαλανοῦ ἀπαντῶμεν πολλὰς γνώμας, ῥήσεις, ἠθικὰ παραγγέλματα, καὶ ὁλόκληρα τεμάχια τῶν προεκδοθέντων παρ' ἡμῖν Ἰνδικῶν συγγραμμάτων, ἅπερ δὲν εὑρίσκονται εἰς τὴν τοῦ Δυβοΐου μετάφρασιν· ὥστε ἂν ἡ Χιτοπαδάσσα τοῦ Γαλανοῦ δὲν φέρει ὁλόκληρον τὴν σφραγίδα τῶν ἀρχετύπων Ἀπολόγων τοῦ Πιδπαΐδος καὶ Βισνουσαρμᾶ-

νος, ἔχει δμως; ἀναμφιλόγητον Ἰνδικὸν χαρακτῆρα, ὅπερ ἔτι μᾶλλον ἐπικυροῖ τὴν γνώμην, ὅτι ἡ Ἰνδία ἐστὶν ἡ μήτηρ τῶν Ἀπολόγων, τῶν μύθων καὶ τῶν μυθικῶν διηγημάτων, ὅσα πρὸ αἰώνων τέρπουν τὰς ἀκοὰς, οὐ μόνον τῶν Ἀσιανῶν καὶ Ἀράβων, ἀλλὰ καὶ αὐτῶν τῶν τοσοῦτον προωδευμένων Εὐρωπαίων.

Καὶ δεύτερον συμπέρασμα, ὅτι ἡ διαφορὰ τῶν ἐν αὐτῇ τῇ Ἰνδίᾳ χειρογράφων τῆς Χιτοπαδάσσας δεικνύει ἐναργῶς τὴν ἀλήθειαν, ἣν πολλάκις, καὶ μέχρι κόρου, ἐξεφράσαμεν, ὅτι εἰς τὰ ἀρχαῖα Σανσκριτικὰ συγγράμματα πολλαὶ παρὰ πολλῶν μεταγενεστέρων παρεισέφρυσαν προσθαφαιρέσεις, καὶ ὅτι οὐδὲν, ἴσως, ἐξ αὐτῶν ἔφθασε μέχρις ἡμῶν καθαρόν. Ἐκ τούτου αἱ πολλαὶ τῆς ἑλληνικῆς φιλοσοφίας δοξασίαι, καὶ αἱ ἀναρίθμητοι τῆς χριστιανικῆς ἠθικῆς ἔννοιαι, ἃς ἁπαντᾷ ὁ ἀναγνώστης εἰς ἑκάστην σελίδα τῶν Σανσκριτικῶν συγγραμμάτων, καὶ εἰς ἀπορίαν φέρουσιν, ἂν αὐτοὶ ἐκείνους, ἢ ἐκεῖνοι αὐτοὺς ἐμιμήθησαν, ἢ καὶ ἀμφότερα ταῦτα συνέβησαν κατὰ διαφόρους ἐποχὰς, καὶ χρόνων περιόδους.

Εἶπον ἀνωτέρω, ὅτι ἡ Ἰνδία ἐστὶν ἡ ἑστία τῶν Ἀπολόγων. Τριῶν πραγμάτων, λέγει καὶ ὁ Ἀββᾶς Δυβόϊος, εἰσὶν ἐφευρεταὶ οἱ Ἰνδοί· ἀ. τοῦ Πυθαγορικοῦ Πίνακος. β'. τοῦ Ζατρικίου, καὶ γ'. τῶν Ἀπολόγων (1). Παρατηρεῖται τῷ ὄντι,

(1) Pantcha Tantra préface. Καὶ Moeurs, institutions et cérémonies des peuples de l'Inde par l'abbé Dubois. 1. vol. in 8.

Ἀλλ' ὁ Φαβρίκιος λέγει· Tria sunt quibus excellant Indi quibusque reliques homines prævertant: liber Calila et Dimna (οἱ Ἀπόλογοι). Ludus Shatrangi, et novem figuræ numerariæ. Saphadius Commentario

ὅτι ἐκτὸς τῶν Ἀπολόγων τῆς Χιτοπαδάσσας καὶ τοῦ Ψιττακοῦ, καὶ τῶν ἀναριθμήτων μυθικῶν διηγημάτων, πᾶσα αὐτῶν ἡ ποίησις, Ἐπικὴ, Τραγικὴ, Λυρικὴ, Ἐρωτικὴ, Διδακτικὴ, κ.τ. οὐ μόνον ἐςὶ πλήρης τῶν τοιούτων ἀφηγήσεων, ἀλλ' ὅτι ὁ μῦθος ἐστὶν, οὕτως εἰπεῖν, ἡ οὐσία, καὶ τὸ συςατικὸν αὐτῆς, ὡς πληροφορεῖται ὁ ἀναγνώστης, ῥίπτων ἐν βλέμμα εἰς τὴν Μαχαβαράταν, ἢ τὴν Βαλαβαράταν, εἰς τὴν Ῥαμαϊάναν, ἢ Ῥαγγοῦ Βάνσαν, εἰς τὴν Ἰτιχασα-Σαμουτσαΐαν, καὶ εἰς αὐτὴν τὴν Γιτὰν καὶ τὸν Πρόδρομον τῶν Ἰνδικῶν. Τίς λησμονήσει ποτὲ τὸν μῦθον τῆς Γαουταμῆς, τὸν τοῦ Βασιλέως Σιβῆ, τῶν δύο περιστερῶν καὶ τοῦ θηρευτοῦ, τοῦ λέοντος Καμαρούπα καὶ τῆς δαμάλεως Βαχουλᾶς; κ.τ.λ. (1). Οἱ Ἰνδοὶ διδάσκουσι τὰς ἀρετὰς διὰ παραδειγμάτων, καὶ τὰ παραδείγματα καὶ ἐπιχειρήματα αὐτῶν εἰσὶ Μῦθοι κομψοὶ, Ἀπόλογοι, καὶ μυθικὰ Διηγήματα ἀμιμήτου καλλονῆς.

Τὰ δὲ διαλεγόμενα ἐν αὐτοῖς πρόσωπα εἰσὶ, ποτὲ μὲν ἄνθρωποι καὶ ζῶα, ὡς ἐν τῷ διαλόγῳ τῶν δύο περιστερῶν καὶ τοῦ θηρευτοῦ· πότε ζῶα μετὰ ζώων διαλεγόμενα δι' ἐνάρθρου φωνῆς καὶ ἐμβριθῶς σκεπτόμενα, ὡς ἐν τῷ διαλόγῳ τοῦ λέοντος καὶ τῆς Βαχουλᾶς, ἔνθα αἱ ὑψηλότεραι ἠθικαὶ ἀρχαὶ

---

ad Carmen Tograi, apud Hydeum prolegomena ad lib. Ludis orientalis. d. 3. (Fabr. Bib. Gr. T. 7. p. 778).

Ὁ Δυδσίος δὲν ἀναφέρει πόθεν ἠρύσθη τὴν μαρτυρίαν. ἣν εὕρομεν εἰς τὸν Φαβρίκιον. Ἀλλ' αὐτὴ λέγει τοὺς Ἰνδοὺς ἐφευρετὰς, οὐχὶ τοῦ Πυθαγορικοῦ Πίνακος, ἀλλὰ τῶν ἐννέα πρώτων ἀριθμῶν, οὓς ἀραβικοὺς νομίζοντες, ἐσφαλμένως καλοῦμεν. Τούτων οὖν ἐφευρεταί εἰσιν οἱ Ἰνδοὶ, ὡς καὶ ἡ ὁμοιότης τοῦ Ἰνδικοῦ αὐτῶν σχήματος μαρτυρεῖ.

(1) Ἴδε Ἰτιχάσα-Σαμουτσαΐα.

ἐκτίθενται. Τὸ τοιοῦτον ὅμως δὲν παρατηρεῖται εἰς τὰ ζῶα τῶν Αἰσωπείων μύθων, ἅτινα διατηροῦσι πάντοτε τὸν χαρακτῆρα τὸν ἀνήκοντα εἰς τὴν φύσιν ἑκάστου ζώου. Πανοῦργος π. χ. φαίνεται ἡ ἀλώπηξ, ἠλίθιος ὁ ὄνος, βωμολόχος ὁ πίθηξ, κτλ. Τὸ ἐναντίον παρατηρεῖται εἰς τὰ ζῶα τῶν Ἰνδικῶν μύθων. Ἐν αὐτοῖς αὐτὰ ἐνεργοῦσι καὶ σκέπτονται ὡς ὄντα πολλάκις ὑπερφυσικά, σωματικὴν ἰσχὺν, καὶ διανοητικὴν σκέψιν ἔχοντα, ἀσυγκρίτῳ λόγῳ ἀνωτέραν τῆς τοῦ ἀνθρώπου.

Ἡ διαφορὰ αὕτη πηγάζει, βεβαίως, ἐξ αὐτῆς τῆς θρησκευτικῆς πεποιθήσεως τῶν Ἰνδῶν, οἵτινες πρεσβεύουσιν, ὅτι ἡ οὐσία καὶ ἡ δύναμις τοῦ Θεοῦ ὑπάρχει ἐν πᾶσι τοῖς οὖσιν· ὅτι τὰ ζῶα μετέχουσιν ἐκ τῆς καθολικῆς ψυχῆς τοῦ Παντὸς, καὶ ὅτι οἱ θεοὶ ἐνσαρκούμενοι πολλάκις ὑπὸ τὴν μορφὴν, καὶ τὸ εἶδος τῶν διαφόρων ζώων, παρουσιάζονται ἐπὶ τῆς γῆς. Ἓν ἐκ τῶν πολλῶν παραδειγμάτων ἀναφέρω τὸ ἑξῆς·

Οἱ μάκαρες θεοὶ, λέγει ὁ Βαλμίκης εἰς τὴν Ῥαμαϊάναν, καὶ ὁ Καλιδάσας εἰς τὴν Ῥαγγοῦ-Βάνσαν, κατέφυγον εἰς τὸν ὕψιστον θεὸν Βισνοῦν, ὃν ὑμνήσαντες, ὡς τὸ στήριγμα τοῦ Παντὸς, ἐδεήθησαν ἵν' ἀπαλλάξῃ ἐκ τῆς κακουργίας τοῦ πρωτοστάτου τῶν δαιμόνων Ῥαβάνα. Ὁ δὲ θεὸς τῶν θεῶν Βισνοῦς, δεχθεὶς εὐμενῶς τὴν δέησιν τῶν ὑποδεεστέρων θεῶν ὑπεσχέθη, ὅτι ἐνανθρωπήσας γεννηθήσεται εἰς τὴν οἰκογένειαν τοῦ βασιλέως Δασσαράτα, καὶ τὸν μὲν Ῥαβάναν τιμωρήσει· τοὺς δὲ ἀγαθοὺς θεοὺς, τὰς θεὰς, καὶ τοὺς ὁσίους λυτρώσει ἐκ τῆς κακουργίας τοῦ πονηροῦ δαίμονος. Ὁ οὖν ὕψιστος Βισνοῦς ἐνανθρωπήσας ἐπεφάνη γεννηθεὶς εἰς τὸ πρόσωπον τοῦ Ῥάμα. «Βουλομένου »δὲ, λέγει ῥητῶς, τοῦ Βισνοῦ ἐλθεῖν εἰς φύσιν ἀνθρώπου, χάριν

»τῶν ἀγαθῶν θεῶν, ἠβουλήθησαν ὁ Ἴνδρας, καὶ οἱ λοιποὶ οὐράνιοι θεοὶ ἐλθεῖν εἰς φύσιν πιθήκων καὶ ἄρκτων, διὰ τῆς ἰδίας »αὐτῶν ἀπορροίας (1).» Τούτου ἕνεκα, ὅτε ἐκίνησεν ὁ Ῥάμας (ὁ ἐνανθρωπήσας Βισνοῦς) κατὰ τοῦ Ῥαβάνα, ἔλαβεν ὡς συμμάχους καὶ συμβοηθοὺς πλῆθος ἀναρίθμητον πιθήκων καὶ ἄρκτων, εἰς οὓς ἐνεσαρκώθη ἡ χορεία τῶν ὑποδεεστέρων θεῶν (2). Ἐκ τούτου τὰ μεγάλα καὶ ὑπερφυσικὰ κατορθώματα τῶν πιθήκων· ἡ παρ' αὐτῶν γεφύρωσις τοῦ μεγάλου διαστήματος τῆς θαλάσσης, τῆς διαχωριζούσης τὰς ἀκτὰς τῆς μεσημβρινῆς Ἰνδίας καὶ τῆς νήσου Ταπροβάνης (Ceylan) κτλ. Ὁ δὲ ἀρχηγὸς αὐτῶν, ὁ πίθηξ λέγω Χανουμὰν, ὡς ἀνώτερος θεὸς ἐνσαρκωθείς, ἐφάνη εἰς τὴν κατὰ τοῦ πρωτοστάτου Ῥαβάνα ἐκστρατείαν οὐ μόνον μεγαλουργὸς, ἀλλὰ φρονιμώτατος, πολύπειρος, ῥωμαλέος, καὶ ἡρωϊκότατος, οὗ ἕνεκα καὶ Μουχαβήρης, ἤτοι μέγας ἥρως ἐπωνομάσθη (3). Διὰ τὸν αὐτὸν λόγον ὁ δαίμων Μαρίτσας, θέλων ἵν' ἀπατήσῃ τὴν Σιτὰν, μετεμορφώθη εἰς χρυσῆν ἔλαφον, καὶ καιρὸν ἔδωκεν εἰς τὸν Ῥαβάναν, ἵνα ἁρπάσῃ τὴν Σιτάν (4). Οὕτω καὶ ὁ θεῖος Γαρούδας (ὁ ἀετὸς τοῦ Βισνοῦ) ἁμαρτήσας ποτὲ κατὰ διάνοιαν, κατεδικάσθη ἵνα διατρίψῃ παρὰ τῇ κορώνῃ Βυσχάνδᾳ, ἥτις πρὸ αἰώνων ὑπάρχουσα, ὑμνεῖ μὲν ἀφ' ἑνὸς τὸν Θεὸν τῶν θεῶν· ἀφ' ἑτέρου δὲ διηγεῖται πρὸς τὸν Γαροῦδαν τὰς διαφόρους αὐτοῦ μεταμορφώσεις ἐν τῷ διαστή-

---

(1) Ῥαγγοῦ-Βάνσα Κεφ. 10, σελ. 137. δίστ. 48.

(2) Πλῆθος Πιθήκων ἠκολούθουν τὸν Ῥάμαν, οἱ μὲν πεζῇ· οἱ δὲ ἐναερίως ἀκολουθοῦντες. (Αὐτόθι κεφ. 12).

(3) Αὐτόθι.

(4) Αὐτ. Κεφ. 12. δίστ. 53.

ματι τῶν ἀναριθμήτων αἰώνων (1). Ὥστε οἱ θεοὶ πάντες καὶ πᾶσαι ἐνσαρκοῦνται, καὶ διαφόρους διαφόρων ζώων μορφὰς καὶ εἴδη λαμβάνοντες ἐνεργοῦσι καὶ σκέπτονται οὐχὶ ὡς ἁπλᾶ ζῶα, ὡς τὰ τοῦ Αἰσώπου, ἀλλ' ὡς θεοὶ ἐνσαρκωθέντες, τὰ πάντα γινώσκοντες, καὶ τὰ πάντα δυνάμενοι.

Πρὸς τούτοις ἡ ψυχὴ ἀνώλεθρος οὖσα καὶ ἐν τῷ βίῳ ἁμαρτήσασα, δὲν τιμωρεῖται αἰωνίως, ἀλλ' ἀκαταπαύστως, κατὰ τοὺς θεολόγους Ἰνδοὺς, καθαρίζεται, καὶ τοῦτο διὰ πολλῶν παλιγγενεσιῶν, μετεμψυχώσεων, καὶ μετενσωματώσεων εἰς διαφόρων ζώων εἴδη, ἑωσοῦ ἐντελῶς καθαρισθεῖσα ἀπὸ παντὸς ῥύπου ἁμαρτίας, ἐπιστρέψει ἁγνὴ καὶ ἄχραντος εἰς τὸ ἁγνὸν καὶ ἄχραντον Θεῖον, καὶ μετ' αὐτοῦ συγχωνευθεῖσα, οὕτως εἰπεῖν, ἑνωθῇ. Τὰ ὁρώμενα ἑπομένως ζῶα ἦσαν ποτὲ ἄνθρωποι, ἤγουν Βραχμᾶνες, Ξατραὶ, Βαϊσσαῖοι, Σοῦδραι, ἢ θεοὶ ἁμαρτήσαντες, ἢ πνεύματα πεπτωκότα (2).

Τούτων οὕτως ἐχόντων, οὐδόλως παράδοξον φανήσεται, ἂν τὰ ζῶα εἰς τοὺς Ἀπολόγους, καὶ τὰ μυθικὰ Διηγήματα τῶν Ἰνδῶν, ὁμιλοῦντα ἀνθρώπειον φωνὴν ἐκθέτουσιν ἀρχὰς ὑψηλῆς ἠθικῆς, φιλοσοφίας καὶ θεοσοφίας. Κατὰ τοῦτο διαφέρουσι τῶν Αἰσωπείων ζώων, καὶ ἡ διαφορὰ αὕτη πηγάζει, ὡς ἐρρέθη, ἐξ αὐτῶν τῶν θρησκευτικῶν πεποιθήσεων τῶν Ἰνδῶν, τῆς μεγάλης ἐννοίας τοῦ πανθεϊσμοῦ, καὶ τῆς δοξασίας τῆς μετεμψυχώσεως, καὶ παλιγγενεσίας.

Νῦν δὲ καὶ περὶ τοῦ τίτλου τοῦ συγγράμματος. Ὁ ἀοίδιμος

---

(1) Iones works. VI. p. 399.

(2) Polier Myth. des Indoux. I. σελ. 158—150. Καὶ Τόμ. II. σελ. 416—417.

μεταφραστὴς παρουσιάζει μίαν καὶ τὴν αὐτὴν πραγματείαν, ὑπὸ διπλοῦν τίτλον: *Χιτοπαδάσσα* λέγει ἡ *Πάντσα-Τάντρα*.

Κυρίως ὅμως τρεῖς ὑπάρχουσι συλλογαὶ Ἀπολόγων, τρία διαφορετικὰ φέρουσαι ὀνόματα, μεγίστην ὁμοιότητα, ὡς πρὸς τὴν οὐσίαν καὶ τὸ πραγματικὸν ἔχουσαι, καὶ συγχρόνως διαφοράν τινα οὐκ εὐκαταφρόνητον πρὸς ἀλλήλας παρουσιάζουσαι.

Καὶ ἡ μὲν λέξις *Χιτοπαδάσσα* φιλικὴ παραίνεσις ἑρμηνεύεται(1). Ἡ δὲ *Πάντσα-Τάντρα*, πέντε Κεφάλαια, ἢ βιβλία φανερόνει, ἐξ οὗ ἡ Πεντάτευχος τοῦ Γαλανοῦ, ἡ Πεντάβιβλος. Ἔστι δὲ καὶ τρίτον, ἤτοι Καλίλα καὶ Δίμνα τῶν Περσοαράβων μεταφραστῶν, ὀνόματα, ὡς ἐρρέθη, τῶν δύο διαλεγομένων ζώων, ἄτινα Καρατάκαν καὶ Δαμανάκαν ὀνομάζει ὁ Γαλανός· Στεφανίτην δὲ καὶ Ἰχνηλάτην ὁ Σήθ. Ὥστε ἡ μὲν πρώτη προσηγορία τὸ εἶδος τοῦ πονήματος φανερόνει (παραινετικόν)· ἡ δευτέρα τὴν διαίρεσιν τοῦ συγγράμματος (εἰς 5 βιβλ.)· ἡ δὲ τρίτη τὴν τῶν κυριωτέρων ζώων ἐπωνυμίαν διετήρησεν.

Ὁ Ἀββᾶ Δυβόϊος, διατρίψας πολλὰ ἔτη ἐν τῇ Ἰνδίᾳ, λέγει ῥητῶς· «Ἐκτὸς τῆς Πάντσα-Τάντρας, ὑπάρχει ἐν τῇ Ἰνδίᾳ καὶ ἑτέρα συλλογὴ Ἀπολόγων Χίττ-Ὀπαδάσσα καλουμένη, ἣν μετέφρασεν ἀγγλιστὶ ὁ Ἰῶνες. Αἱ δύο αὗται συλλογαὶ δὲν διαφέρουσι κυρίως, εἰμὴ κατὰ τὸν τίτλον. Ἡ τελευταία ὅμως Χίττ-Ὀπαδάσσα φαίνεται σύνοψις τῆς πρώτης· διότι ἡ Πάνστα-Τάντρα περιέχει πλειοτέρους Ἀπολόγους· ἴσως ὅμως ἡ Πάντσα-Τάντρα ἀντιγραφή τις ὑπῆρξε κατ' ἀρχὰς τῆς Χίττ-Ὀπαδάσ-

(1) Εὐστόχως οἱ κύριοι Σχλέγελος καὶ Λάσσενος ἑρμήνευσαν τὴν λέξιν Χιτεπαδάσσαν διὰ τῆς Σωτηρίου διδασκαλίας SalutarIs institutio.

σας, καὶ εἰς τὴν ἀντιγραφὴν αὐτὴν πολλοὶ μεταγενεστέρως προσθέσαντες νέους Ἀπολόγους ηὔξησαν αὐτὴν, καὶ τὴν μεταξὺ τῶν δύο συλλογῶν ἐπέφερον διαφοράν (1).» Διὰ τοῦτο, ἀκολουθεῖ ὁ Δυβόϊος, τὸ πέμπτον βιβλίον τῆς Πάντσα-Τάντρας δὲν εὑρίσκεται εἰς τὴν Χιτοπαδάσσαν, ὡς μεταγενέστερον· ὅθεν διαφέρει τὸ ὕφος αὐτοῦ καὶ τῶν προηγουμένων βιβλίων (2).

Οἱ Ἄραβες πάλιν διήρεσαν τὴν ὕλην εἰς δέκα καὶ τέσσαρα κεφάλαια, ἀναλόγως τῶν προτάσεων· ὁ δὲ Σὴθ ἔχει καὶ δέκατον πέμπτον.

Πρὸς δὲ τούτοις οἱ Ἀπόλογοι τῆς Χιτοπαδάσσας, κατὰ τὸν Δυβόϊον, εἰσὶ διὰ στίχων, ἐν ᾧ οἱ τῆς Πάντσα-Τάντρας εἰς ἅπαντα τὰ Ἰνδικὰ ἰδιώματα εἰσὶν εἰς πεζὸν λόγον, πρὸς εὐκολωτέραν κατάληψιν τοῦ λαοῦ καὶ τῶν παιδαγωγικῶν σχολείων· διότι οἱ Βραχμᾶνες τούτου μόνου τοῦ βιβλίου τὴν ἀνάγνωσιν ἐπιτρέπουσιν εἰς τὸν λαὸν, ὅστις οὔτε τὴν Σανσκριτικὴν γινώσκει, οὔτε τὴν ὑψηλὴν ποίησιν ἐννοεῖ (3).

Τὴν αὐτὴν, φαίνεται, δοξασίαν ἔχων καὶ ὁ κλεινὸς Κολεβρώκκιος, λέγει εἰς τὸν πρόλογον αὐτοῦ, ὅτι ἡ Χιτοπαδάσσα

---

(1) Outre le Pantcha Tantra il existe encore dans le pays un autre recueil d'Apologues, sous le titre de Hitt-Opadessa. Cependant les deux compositions ne different guère, que dans le titre ; et l'Hitt-Opadessa ne parait être que l'Abrégé de Pantcha Tantra, le dernier contenant un bien plus grand nombre de fables, que le premier. Peut-être anssi celui-ci ets-il une copie de Hitt-Opadessa, considerablement augmenté dans les temps plus modernes. (V. Pautcha Tantra préface par Dubois).

(2) Αὐτόθι.

(3) Αὐτόθι. Ὁ Ἀδελοῦγκος βεβαιοῖ, ὅτι τὸ ἥμισυ τῶν Ἀπολόγων ἐστὶ διὰ στίχων· τὸ δὲ ἕτερον ἥμισυ εἰς πεζὸν λόγον. (Βιβλ. Σανσκρ. σελ. 283).

ἔστιν ἀπάνθισμα τῆς Πάντσα-Τάντρας, ἥτις πλειοτέρους περιέχει Ἀπολόγους· διὸ συγκρίνων τις, λέγει, τὰς Περσικοαραβικὰς μεταφράσεις, εὑρίσκει αὐτὰς συμφωνούσας μᾶλλον μετὰ τῆς Πάντσα-Τάντρας, ἢ τῆς Χιτοπαδάσσας. Ἀλλ' ἐν ᾧ, ἀκολουθεῖ ὁ αὐτὸς, ὑπάρχει μεγίστη ὁμοιότης μεταξὺ τῶν δύο τούτων πονημάτων ὡς πρὸς τὴν οὐσίαν, παρατηρεῖται ἐπίσης διαφορὰ οὐκ εὐκαταφρόνητος, ὡς πρὸς τὸν ἀριθμὸν τῶν Ἀπολόγων, καὶ τὸν τρόπον τῆς συνθέσεως (1). Ὁ δὲ σοφὸς Ἰνδολόγος κύριος Λάσσενος λέγει· «Ἀκριβέστερον καὶ ὀρθώτερόν »ἐστι τὸ διακρίναι ἀπ' ἀλλήλων τήν τε Χιτοπαδάσσαν, καὶ »Πάντσα-Τάντραν (2).»

Αὐτὸς δὲ ὁ Βισνουσσαρμὰν βεβαιοῖ, ὅτι ὠφελήθη ἐξ ἄλλων ὁμοίων πονημάτων (3). « Ὁ Βισνουσσαρμὰν πᾶν βιβλίον διελθὼν, πολιτικὰ, οἰκονομικὰ, ἢ ἠθικὰ διαλαμβάνον, συνέγραψε τὸ ἀπαράμιλλον τοῦτο ποίημα (4).» Ὥστε οἱ Ἀπόλογοι τῆς Πάντσα-Τάντρας, Χιτοπαδάσσας, Καλίλας καὶ Δίμνας ἔχουσιν ἀναντιῤῥήτως μεγίστην καὶ ἀξιοσημείωτον ὁμοιότητα πρὸς ἀλλήλας, καὶ συγχρόνως οὐ σμικρὰν διαφοράν. Καὶ ἡ μὲν πρώτη ἀρχαιοτέρα ἀρχαιοτέρου, ἴσως, μυθοποιοῦ συγγραφὴ φαίνεται, τοῦ Πιδπαΐδος, ἢ Λωκμᾶνος (5)· ἡ δὲ δευτέρα

---

(1) Πρόλογος Κολεβρωκκίου εἰς τὴν παρ' αὐτοῦ ἐκδοθεῖσαν Χιτοπαδάσσαν τὸ ἔτος 1810. Καὶ Καλίλα καὶ Δίμνα Σιλβέστρου τοῦ Σασῦ, σελ. 54.

(2) Ἐπιστολὴ πρὸς ἡμᾶς τῆς 2 Ἰανουαρ. 1852.

(3) Αὐτόθι· σελ. 3. Σιλ. Σασῦ.

(4) Προοίμ. Χιτοπαδ. σελ. 1, δίστ. 4.

(5) Περὶ Λωκμᾶνος πολλὰ λέγουσιν οἱ Ἀσιανοί. Οἱ μὲν ἀνεψιὸν ἐξ ἀδελφῆς τοῦ Ἰὼβ νομίζουσιν· οἱ δὲ ἐγγονὸν τοῦ Ἀβραὰμ ὑποθέττουσιν. Ἕτεροι, ὅτι ἐγεννήθη ἐπὶ τῶν ἡμερῶν τοῦ Προφητάνακτος Δαβίδ, καὶ ὅτι ἔζη μέχρι τῶν χρό-

(ἡ Χιτοπαδάσσα) ἐστὶ τοῦ Βισνουσσαρμᾶνος νεωτέρα συλλογή. Οὗτος, ὡς φαίνεται, πρὸς παιδαγωγίαν τῶν βασιλοπαίδων, λαβὼν ἐκ τῆς Πάντσα-Τάντρας τοὺς πρὸς τὸν σκοπὸν αὐτοῦ ἀναγκαίους Ἀπολόγους, ἴσως δὲ καὶ ἄλλους ἰδίους προσθέσας, νέαν ἄλλην συλλογὴν Ἀπολόγων ἐσύνθεσε, καὶ *φιλικὴν παραίνεσιν*, ἢ *διδασκαλίαν* (Χιτοπαδάσσαν) ἐκάλεσε (1).

Προϊόντος δὲ τοῦ χρόνου, ὁ Βαρζοβιὰν, ἢ Περζωὲ, ἀπελθὼν, ὡς ἐρρέθη, μετέφερεν ἐκ τῆς Ἰνδίας εἰς τὴν Περσίαν ἀμφοτέρας τὰς συλλογὰς, καὶ ἄλλα, ἴσως, διάφορα μυθικὰ διηγήματα, καὶ Πελβιστὶ μετέφρασε. Καὶ, ἢ αὐτὸς, ἢ οἱ

νων τοῦ Προφήτου Ἰωνᾶ. Ἄλλοι διϊσχυρίζονται, ὅτι ὁ Λωκμᾶνος ἦν δοῦλος, ἢ ῥάπτης, ἢ ξυλουργὸς, κ.τ.λ. Πάντες δὲ συμφωνοῦσιν ὅτι ἦτον γέννημα καὶ θρέμμα τῆς Αἰθιοπίας ἢ Νουβίας. Ἀγορασθεὶς δὲ παρὰ τῶν Ἑβραίων μετεπωλήθη εἰς τὴν Ἰουδαίαν ἐπὶ τῶν ἡμερῶν τοῦ Δαβὶδ ἢ τοῦ Σολομῶντος. Ὁ δὲ ἀγοράσας τὸν Λωκμᾶνα, εὗρεν εἰς αὐτὸν πολλὴν σοφίαν καὶ φρόνησιν, οὗ ἕνεκα καὶ ἀπελευθέρωσεν. Οἱ δὲ συγγραφεῖς παρατηροῦντες πολλὴν ὁμοιότητα μεταξὺ Λωκμᾶννος καὶ Αἰσώπου ἔντε τῇ βιογραφίᾳ αὐτῶν, ταῖς παραβολαῖς καὶ ἀλληγορίαις, τοῖς ἀπολόγοις καὶ μύθοις κ.τ.λ. ὑπέθεσαν ὅτι ὁ Λωκμᾶνος καὶ ὁ Αἴσωπος εἰσὶν ἓν καὶ τὸ αὐτὸ πρόσωπον. Οὕτω καὶ οἱ Ὀθωμανοὶ συγχέουσι πάντας τοὺς μυθοποιοὺς, μετὰ τοῦ Ναστραδὶν-Χότζα. Ὑπάρχει ὅμως μεγίστη διαφορὰ μεταξὺ τῶν ἀπολόγων τοῦ Πιδπάϊδος ἢ Λωκμᾶνος, καὶ τῶν μύθων τοῦ Αἰσώπου· ἐξ οὗ εἰκάσει τις, ὅτι καὶ τὰ πρόσωπα διάφορα εἰσίν. Τὸ δὲ ἀληθὲς ἐστὶν, ὅτι οἱ Ἀσιανοὶ εἶχον καὶ ἔχουσι πολλὴν ὑπόληψιν εἰς τοὺς ἀπολόγους τῶν Μυθοποιῶν τούτων. Διὸ καὶ ὁ Μωάμεθ ἐν τῷ 31 κεφαλαίῳ τοῦ Ἀλκορανίου, λέγει ῥητῶς, ὅτι ὁ Θεὸς ὡμίλησε διὰ τοῦ στόματος τοῦ Λωκμᾶνος.

(1) Τὸ πρῶτον βιβλίον, γράφει πρὸς ἡμᾶς ὁ κύριος Λάσσενος, κατὰ τὸ προσίμιον ἀριθ. 8., εἶναι μετάφρασις τοῦ δευτέρου, κατὰ τὴν ὁποίαν τοῦτο τε, ὡς καὶ πολλὰ ἄλλα προγενεστέρα, μὴ ὀνομασθέντα συγγράμματα ἐλήφθησαν ὡς βοηθητικά. Μία ἀκριβεστέρα σύγκρισις ἀμφοτέρων τῶν συγγραμμάτων ἐγένετο ὑπὸ τοῦ κυρίου Οὐϊλσῶνος. (Ἴδε Trans. of the R. As. S. I. 153 καὶ ἑφεξῆς).

μεταγενέστεροι παραφρασταὶ Καλίλαν καὶ Δίμναν τὴν βίβλον ὠνόμασαν. Ἐκ τούτου παρατηρεῖται ἀφ' ἑνὸς ἡ μεγίστη μεταξὺ αὐτῶν ὁμοιότης, καὶ συγχρόνως ἡ διαφορὰ, κατά τε τὸν ἀριθμὸν τῶν Ἀπολόγων, τὴν σύνθεσιν, τὴν ἔκθεσιν, καὶ τὴν ἔκτασιν αὐτῶν (1). Ἐξ ἁπάντων τούτων εἰκάσει τις, ὅτι μία ὑπῆρξεν ἀπ' ἀρχῆς ἡ Πάντσα-Τάντρα τοῦ Πιδπάϊδος, ἐξ ἧς τὴν Χιτοπαδάσσαν ὁ Βισνουσσαρμὰν ἐσύνθεσεν. Οἱ δὲ μεταγενέστεροι, προσθαφαιροῦντες, δύο σχεδὸν συλλογὰς Ἀπολόγων ἀνέδειξαν, ἀνομοίας μὲν εἰς πολλὰ, ὁμοίως δὲ κατὰ τὴν οὐσίαν, οὗ ἕνεκα ὡς μίαν τὰς δύο θεωρήσας ὁ ἀοίδιμος Γαλανὸς, Χιτοπαδάσσαν, ἢ Πάντσα-Τάντραν τὴν Συλλογὴν ἐκάλεσε (2).

Ἐκτὸς ὅμως τῶν εἰρημένων μυθικῶν συλλογῶν ὑπάρχει καὶ ἑτέρα, συγκειμένη ἐκ δύο καὶ ἑξήκοντα Ἀπολόγων τοῦ φιλοσόφου Συντίπα, οὓς μὲν ὁ γραμματικὸς Μιχαὴλ Ἀνδρεόπουλος περὶ τὰ μέσα τῆς δεκάτης πέμπτης ἑκατονταετηρίδος ἐκ τῆς Συριακῆς Ἑλληνιστὶ μετέφρασε, καὶ *Παραδειγματικοὺς Λόγους* ἐκάλεσεν. Ὁ δὲ Ματθαῖος (Ch. Fr. Mathæi) ἐκ δύο τῆς Μόσχας χειρογράφων ἐν Λειψίᾳ τὸ ἔτος 1781 ἐδημοσίευσεν. Ἕτερον δὲ τῶν παρισίων χειρόγραφον φέρει τὸν τίτλον *Πρόλογος τοῦ λεγομένου Συντίπα τοῦ φιλοσόφου, μεταβληθεὶς ἐκ τῆς Συριακῆς βίβλου.*

---

(1) Silv. de Sacy. mem. Hist. dans Calila et Dimna.—Journal des Sav. 1826 Αὐγ. σελ. 468—479. Ὁ Σ. Σασῦς σημειοῖ τὰ ἓξ κεφάλαια, τὰ ἀποτελοῦντα τὴν διαφορὰν. καὶ ἐπιφέρει συγχρόνως καὶ τὴν ῥητὴν μαρτυρίαν τοῦ Ἄραβος μεταφραστοῦ. Περὶ τῆς προσθήκης ταύτης, ἴδ. σελ. 89.

(2) Ὅσον περισσότερον συγκρίνει τις τὰ δύο πρῶτα βιβλία τοῦ ἀοιδίμου Γαλανοῦ, τοσοῦτον μᾶλλον πείθεται, ὅτι τὸ μὲν ἓν ἀνήκει εἰς τὴν Πάντσα-Τάντραν, τὸ δὲ εἰς τὴν Χιτοπαδάσσαν.

Ὁ Πρόλογος οὖν οὗτος βεβαιοῖ, ὅτι ὁ συγγραφεύς ἐστι Πέρσης τις Μοῦσος καλούμενος. Ἀλλ' οἱ λόγιοι τῶν Ἀράβων τὸν Σανδεβὰδ ὑποθέτουσι συγγραφέα, εἰς ὃν ἀποδίδει ὁ Ῥαββῖνος Ἰοὴλ καὶ τοὺς Ἀπολόγους τῆς Χιτοπαδάσσας (σελ. θ'. σημ. 1. τῶν Πκρ. Προλ.). Καὶ ὁ μὲν Σανδεβὰδ, κατ' αὐτοὺς, ἦν Ἰνδὸς Βραχμὰν, ἀκμάσας ἕνα περίπου π. Χ. αἰῶνα· ἡ δὲ ὑπόθεσις, καὶ τὰ διαλεγόμενα δι' Ἀπολόγων πρόσωπα εἰσὶν ὁ υἱὸς τοῦ Βασιλέως (τοῦ Κύρου λέγουσιν)· ἡ Βασίλισσα μητρυιὰ αὐτοῦ, ἥτις δόλιος καὶ κακότροπος οὖσα κατηγορεῖ τὸν νέον, καὶ μυρίας μεταχειρίζεται ῥαδιουργίας καὶ μηχανὰς, ἵνα ἀπωλέσῃ αὐτὸν, καὶ ὁ παιδαγωγὸς τοῦ νέου Συντίπας μετὰ ἑπτὰ ἄλλων σοφῶν συμβούλων, προσπαθούντων ἵνα σώσωσι τὸν βασιλόπαιδα. Ὥστε καὶ ἐπὶ τῆς ἐνταῦθα σκηνῆς παρουσιάζεται ὁ καλὸς καὶ ὁ κακὸς ἄνθρωπος, καὶ πόλεμός τις τοῦ καλοῦ κατὰ τοῦ κακοῦ ὑπὲρ τῆς σωτηρίας τοῦ ἀγαθοῦ, ὡς καὶ ἐν τῇ Χιτοπαδάσσᾳ ὁ Στεφανίτης καὶ Ἰχνηλάτης ὑπὲρ τῆς σωτηρίας τοῦ ἀθώου Ταύρου, ὡς ἀποφαίνεται ὁ μεταφραστὴς Ἀνδρεόπωλος εἰς τὸν πρόλογον·

> Ἡ συγγραφὴ γὰρ ἥδε τοὺς κακεργάτας
> Διασύρει μάλιστα, καὶ πρὸς τῷ τέλει,
> Πράξεις ἐπαινεῖ τὰς καλῶς εἰργασμένας (1).

Ἐκ τούτων, καὶ ἄλλων εἰκάσει τις, ὅτι καὶ οἱ τοῦ Συντίπα Ἀπόλογοι ἔχουσιν Ἰνδικὴν καταγωγὴν, καὶ τὸν αὐτὸν σκοπὸν καὶ πνεῦμα. Ὑπάρχει δὲ καὶ μεγίστη ὁμοιότης, οὐ μόνον μεταξὺ τῶν Ἀπολόγων τοῦ Συντίπα, καὶ τῶν τῆς

(1) Πρόλογος Ἀνδρεοπώλου εἰς τὸν Συντίπα. Ἔκδ. Βοϊσσανάδου.

Χιτοπαδάσσας, ἀλλὰ καὶ μεταξὺ τῆς συνθέσεως καὶ κατασκευῆς αὐτῶν· διότι ὁ μὲν Βισνουσσαρμὰν ὑπόσχεται ἐν διαστήματι ἓξ μηνῶν, ὅτι ἐκπαιδεύσει τοὺς δύσνοας βασιλόπαιδας· «Ἐὰν μέντοι γε τούτους μετὰ παρέλευσιν μηνῶν ἓξ »εἰδήμονας πάσης ἠθικῆς φιλοσοφίας μὴ ἀποδείξω, κ.τ.λ.(1)» Ὁ δὲ Συντίπας τὸ αὐτὸ, αὐταῖς λέξεσιν, ἐπίσης ὑπόσχεται· «Ἑτοίμως ἔχω, ὦ Βασιλεῦ, ἐπὶ μησὶν ἓξ τοῦτον (τὸν »βασιλόπαιδα) ἐκπαιδεύσας, πάσης ἐμπλήσω φιλοσοφίας κ.τ.λ.(2).» Ἡ δὲ διαφορὰ συνίσταται, ὅτι ὁ μὲν Πίδπαϊς ἢ Βισνουσσαρμὰν μεταχειρίζεται τοὺς Ἀπολόγους πρὸς ἐκπαίδευσιν τῶν βαιλοπαίδων· ὁ δὲ Συντίπας ἢ Σανδεβὰδ ἢ Μοῦσος, πρὸς ἀναβολὴν τῆς καταδίκης, καὶ ἀθώωσιν τοῦ ἀδίκως κατηγορηθέντος βασιλόπαιδος. Ἀμφότεραι ὅμως διασύρουσαι τοὺς κακοὺς καὶ δολίους, ἐπαινοῦσι τὴν ἀρετὴν, τὴν δικαιοσύνην καὶ τὴν ἐπιείκειαν (3).

---

(1) Προοίμιον Χιτοπαδάσσας.

(2) Συντίπα πρόλογος σελ. 5—6. Ἐκδ. Boissonade.

(3) Τρεῖς ἐκδόσεις τοῦ Συντίπα ἔχω ὑπ' ὄψιν. Ἡ μὲν πρώτη (Syntipæ philosophi Persæ fabulæ LXI) δημοσιευθεῖσα ἐν Λειψίᾳ τῷ 1781 ἔτει, ἐστὶ Συλλογὴ μύθων, οὐδὲν διαφερόντων τῶν Αἰσωπείων, καὶ τῶν τοῦ Βαβρίου μύθων· διὸ καὶ πολλοὺς ἐξ αὐτῶν λαβὼν ὁ ἀοίδιμος Κοραῆς, εἰς τὴν παρ' αὐτοῦ ἐκδοθεῖσαν τῶν Αἰσωπείων μύθων Συναγωγὴν, κατεχώρησεν. Ἡ δὲ δευτέρα, δημοσιευθεῖσα παρὰ τοῦ Βοϊσσονάδου (Boissonade) ἐν Παρισίοις τῷ 1828 ἔτει, ἐστὶ Συλλογὴ μυθικῶν διηγημάτων, ὡς τὰ τῆς Χιτοπαδάσσας, ἢ Πάντσα-Τάντρας μυθικὰ διηγήματα, οὗ ἕνεκα καὶ Παραδειγματικοὶ Λόγοι καλοῦνται. Ἡ δὲ τρίτη, ἐκδοθεῖσα ἐν Βενετίᾳ τῷ 1790 ἔτει, ἐστὶ παράφρασις ἁπλουστέρα τῆς Ἑλληνικῆς, ἐκ τῆς Συριακῆς μεταφράσεως τοῦ Ἀνδρεοπώλου, οὐχὶ τῶν μύθων, ἀλλὰ τῶν παραδειγματικῶν λόγων. Ὥστε ὁ μὲν Συντίπας τοῦ Ματθαίου ἐστὶ Συλλογὴ μύθων· ὁ δὲ τοῦ Βοϊσσονάδου, Συλλογὴ μυθικῶν διηγημάτων, ἣν παραφράσαντες ἀνωνύμως ἐν Βενετίᾳ ἐδημοσίευσαν. Καθόσον δὲ

Περὶ δὲ τῆς ἐποχῆς τῶν πρώτων Ἀπολόγων οὐδὲν ἔχομεν εἰπεῖν, στερούμενοι τῶν ἀναγκαίων μνημείων, καὶ ἀκριβοῦς τινος χρονολογίας. Φαίνονται δὲ λίαν ἀρχαῖοι· διότι πρὸ αἰώνων ἦσαν ἐν χρήσει κατὰ πᾶσαν τὴν Ἰνδίαν, ὅτε ὁ Βασιλεὺς Νουσχιρεβὰν, ἀκμάσας περὶ τὰ τέλη τῆς ἕκτης ἑκατονταετηρίδος (579), μετέφερεν αὐτοὺς εἰς τὴν Περσίαν (1).

Εἰκάζουσι τινὲς, ἐν οἷς καὶ ὁ Δυβόϊος, ὅτι οἱ Ἀπόλογοι τῆς Χιτοπαδάσσας εἰσὶν ἀρχαιότεροι τῶν μύθων τοῦ Αἰσώπου, καὶ ὅτι οὗτος ἐμιμήθη αὐτούς, καί τινες, συγχέοντες τὸν Πιδπαΐδα μετὰ τοῦ Λωκμᾶνος καὶ τοῦ Αἰσώπου, ἰσχυρίζονται, ὅτι εἰσὶν ἓν καὶ τὸ αὐτὸ πρόσωπον· ἀλλ' ἡ διαφορὰ, ὡς ἐρρέθη, τῶν Ἀπολόγων διαφόρους διαφόρων χρόνων δεικνύει συγγραφεῖς.

Συμφωνοῦσιν ὅμως πάντες οἱ ὑπομνηματισταὶ ὡς πρὸς τὸν κυρίως σκοπὸν τῆς Χιτοπαδάσσας ἢ Πάντσα-Τάντρας, ἐκλαμβάνοντες αὐτοὺς ὡς τινα ἠθικὴν διδασκαλίαν, καὶ πολιτικὴν παραίνεσιν πρὸς τοὺς ἡγεμόνας. «Ἡ Βασιλεία, λέγουσι, τοῦ

διαφέρουσιν οἱ μῦθοι, τῶν μυθικῶν διηγημάτων, κατὰ τοσοῦτον ἐπίσης καὶ τὰ χειρόγραφα τοῦ τε Ματθαίου, καὶ τοῦ Βοϊσσονάδου. Ἴσως δὲ καὶ οἱ συγγραφεῖς αὐτῶν ἦσαν διάφοροι. Ὁ μὲν τῶν μύθων Βυζαντινός· ὁ δὲ τῶν μυθικῶν διηγημάτων, Ἰνδὸς, ἢ κατὰ τὸν Πρόλογον, Πέρσης. (Αἰσ. Μῦθοι. Ἐκδ. Κοραῆ. Προλ. σελ. λδ'.—μδ'.).

Εἰς τὰς μυθολογικὰς συλλογὰς τῶν Γάλλων ἀπαντῶμεν καὶ Histoire du Roi, de son fils, de la Marâtre, et des Sept Vizirs, ἥτις οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ εἱ τοῦ Συντίπα παραδειγματικοὶ λόγοι.

(1) Les fables de Pidpai, comme les Pyramides d'Égypte, semble avoir lassé les efforts destructifs des siècles. Leur patrie (l'Inde) est connue; on pourrait croire que la date de leur composition remonte à l'origine des temps historiques. (Dissertation sur les Mille et une nuits par M. Silvestre de Sacy).

»ἔχοντος βουλευτὴν ἀκηδῆ ὀλλυται. Ὁ Βασιλεὺς φυλαττέτω »τὸν λαὸν ἀπὸ τῆς οἰκείας πλεονεξίας, ἀπὸ τῶν κλεπτῶν, »ἀπὸ τῶν ἐπιστατῶν, ἀπὸ τῶν ἐχθρῶν, καὶ ἀπὸ τῶν βασι»λικῶν φίλων (1).»

Οἱ Βασιλεῖς τῆς Ἀσίας ἀπολύτως κυβερνῶντες περιστιχοῦνται, κακῇ τύχῃ πολλάκις, παρὰ ἀνθρώπων ἐμπαθῶν, καὶ συμβούλων πονηρῶν, τὸ ἴδιον αὐτῶν συμφέρον ὑπηρετούντων· οὗτοι οὐδόλως φροντίζοντες περὶ τῆς ἀληθοῦς δόξης τοῦ ἡγεμόνος, ἢ τῆς εὐκλείας τῆς πατρίδος, ἢ τῆς εὐημερίας τοῦ λαοῦ, τὴν ἀτομικὴν αὐτῶν ὠφέλειαν διώκουσιν. Οἱ τοιοῦτοι ἠνωμένοι διὰ τῆς πονηρίας περιφρουροῦσι τὸν ἐπὶ τοῦ Θρόνου καθήμενον, κρύπτουσιν ἐκ συστήματος τὴν ἀλήθειαν, παραμορφῶσι τὰ πράγματα, διαβάλλουσι τὴν ἀρετὴν, συκοφαντοῦσι τὸν ἐνάρετον, καὶ παντὸς εἴδους κατηγορίας ἀνυποστόλως χαλκεύοντες, τοὺς μὲν ἔμφρονας καὶ τιμίους ἄνδρας ἀπομακρύνουσιν, ἑαυτοὺς δὲ χρησίμους καὶ ἀναγκαίους ἀποδεικνύουσι. Διὰ τοιούτων οὖν ἀνοσίων μέσων κύριοι, μικρὸν κατὰ μικρὸν, τοῦ πεδίου γενόμενοι, θεραπεύουσι τὰς ἐπιθυμίας καὶ τὴν θέλησιν τοῦ κρατοῦντος, ἑλκύουσι διὰ κακῆς ὑπηρεσίας τὴν εὔνοιαν καὶ ἐμπιστοσύνην αὐτοῦ, καὶ εἰς καθαρὰν πονηροκρατίαν τὴν Κυβέρνησιν τοῦ τοιούτου Ἡγεμόνος μεταβάλλοντες, τὴν μὲν αἰώνιον ἀδοξίαν τοῦ Βασιλέως προετοιμάζουσι· τὴν δὲ ἐνεστῶσαν καὶ μέλλουσαν κακοδαιμονίαν καὶ ἀθλιότητα τοῦ λαοῦ ἐπιφέρουσι.

Τὰς τοιαύτας οὖν μηχανορραφίας τῶν πονηρῶν καὶ δο-

(1) Χιτοπ. βιβλ. ά. κλ. 92.

λίων γνωζοποιοῦντες καὶ στηλιτεύοντες ἐπιτηδείως οἱ Ἀσιανοὶ Μυθοποιοί, προτρέπουσι τοὺς ἡγεμόνας ἵνα ὦσι προσεκτικοὶ, κλείοντες τὰ ὦτα εἰς τὴν τοιαύτην ἐπίβουλον πονηροθεραπείαν. Ἀγαθοὶ δὲ καὶ φιλαλήθεις αὐτοὶ πρῶτοι γενόμενοι, ἀγαθοὺς καὶ φιλαλήθεις περὶ ἑαυτοὺς ὡς συμβούλους εὑρήσουσι καὶ ἐκλέξουσι. Κατ' αὐτὸν τὸν τρόπον καὶ ὁ ἡγεμὼν βελτίων γίνεται, καὶ τὸ Κράτος εὐδαιμονεῖ· « Συνετρίφα, λέγει, ὁ »Βασιλεὺς ἐν τῇ συναστροφῇ τοῦ ἔμφρονος Σανζηβάκα ἐν »ἡδείαις ὁμιλίαις· ἐν δ' ὀλίγαις ἡμέραις, οὕτω συνετὸς ἐγέ»νετο τῇ μετὰ τοῦ Σανζηβάκα ὁμιλίᾳ, σφόδρα εἰδήμονος »ὄντος πολλῶν ἐπιστημῶν, ὥστε ἀπολιπὼν τὸ ἄγριον ἦθος, »εἰς ἥμερον ἐτράπη (1).» Τοσαύτη ἐζὶν ἡ δύναμις τῆς ἀρετῆς, τῆς γνώσεως καὶ τῆς ἀληθείας ἐπὶ τῆς ἀγαθῆς καὶ μὴ διεφθαρμένης καρδίας! Γνωστὸν δ'ἐστὶ τοῖς πᾶσιν, ὅτι τὸ ὅμοιον φιλεῖ τὸ ὅμοιον, καὶ καθὼς ὁ πονηρὸς μετὰ τοῦ πονηροῦ συμφωνεῖ, οὕτω καὶ ὁ ἀγαθὸς μετὰ τοῦ ἀγαθοῦ κοινωνεῖ καὶ συνδιαιτᾶται. «Λέγεται γὰρ, ὡς ἀνταμείβουσιν ἀλλήλας αἱ καρδίαι (2). Τούτου ἕνεκα, λέγει ἡ μήτηρ πρὸς τὸν Βασιλέα υἱὸν αὐτῆς: «Ἔπρεπε, πρὶν πιστεύσῃς εἰς τὰς διαβολὰς τοῦ δολίου Καρατάκα, καὶ τὸν ἔμφρονα Σανζηβάκαν καταταδικάσῃς, ἔπρεπε, λέγω, ἵνα ἐρωτήσῃς τὴν καρδίαν σου πρῶτον, καὶ ἐκ τῆς πρὸς ἐκεῖνον διαθέσεώς σου, κρίνῃς τὴν ἐκείνου πρός σε διάθεσιν.» «Καὶ εἰ δίκαιος ἦς ἔδει σε πάντως τὴν »πρὸς αὐτόν σου διάθεσιν, τῇ πρὸς σεαυτὸν ἐκείνου διακρί-

(1) Χιτοπ. βιβλ. ά. σελ. 45.

(2) Στεφ. καὶ Ἰγνατ. τμῆμα δεύτερον.

»νειν διαθέσει (1).» Τοιοῦτος μέγας ἐστὶν ὁ κίνδυνος τῶν κρατούντων, ὄντων περικυκλωμένων παρὰ πονηρῶν καὶ φθονερῶν ἀνθρώπων, καὶ τοιοῦτόν ἐστι τὸ μάθημα καὶ ἡ διδασκαλία τῆς Χιτοπαδάσσας.

Ὁμολογητέον ὅμως ἐνταῦθα, ὅτι ἡ ἠθικὴ διδασκαλία τινῶν Ἀπολογων δὲν φαίνεται πάντοτε καθαρὰ, δεικνύουσα ἐνίοτε τὴν διὰ δόλου ἐπιτυχίαν. Τὸ μέσον τοῦτο ἐστὶ λίαν ἐπικίνδυνον εἰς τὴν Κυβέρνησιν τῶν λαῶν· διότι φιλεῖ τὸ ὑπήκοον τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν. Ἡ δὲ ἀρετὴ, ἢ ἡ κακία ταχέως διαδίδεται καὶ ἐξαπλοῦται εἰς τὸν λαὸν, καταβαίνουσαι ἐκ τῶν Ἀνακτόρων· ὅθεν τοῦ ἑνὸς δοθέντος, τὸ ἕτερον εὐκόλως μαντεύεται. Κατ' εὐτυχίαν τὸ σύνολον τῶν Ἀπολόγων ἐστὶν ἠθικὴ παραίνεσις, καὶ ὑγιοῦς πολιτικῆς συμβουλή. Ὁ δὲ σκοπὸς τῶν Ἀπολόγων, ὡς ἐρρέθη, ἐστὶν ἡ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων βελτίωσις.

Τὸ πρῶτον οὖν βιβλίον ἢ πρώτη Τάντρα διαλαμβάνει τὰ τεχνάσματα, ἅπερ μετεχειρίσθη ὁ πονηρὸς καὶ κενόδοξος Δαμανάκας, ἵνα πλησιάσῃ τὸν Βασιλέα, γνωρίσῃ τὰς ἐπιθυμίας αὐτοῦ, θεραπεύσῃ τὰς ἀδυναμίας, καὶ τὴν εὔνοιαν καὶ ἐμπιστοσύνην τοῦ ἡγεμόνος ἑλκύσῃ. Συνισᾷ πρῶτον εἰς τὸν Βασιλέα τὸν Σανζηβάκαν· ἀλλ' ἰδὼν ἀκολούθως τὴν πρὸς τὸν συστηθέντα εἰλικρινῆ ἀγάπην τοῦ Βασιλέως, φθονεῖ καὶ τὴν κατ' αὐτοῦ μελετᾷ συγηρὰν σκευωρίαν. Διαβάλλει πρῶτον τὸν ἐνάρετον σύμβουλον· κατηγορεῖ αὐτὸν ὡς μὴ εἰλικρινῶς ἀφοσιωμένον· ἔπειτα ὡς ἀντάρτην, ἐπιβουλευόμενον δῆθεν τὴν βασιλείαν,

(1) Αὐτόθι.

καὶ κατὰ τοῦ ἱεροῦ προσώπου τοῦ Βασιλέως σκευωροῦντα. Οὕτως ἐπιφέρει, κατ' ὀλίγον ὀλίγον, τὸν δισταγμὸν καὶ τὴν δυσπιστίαν εἰς τὴν καρδίαν τοῦ ἡγεμόνος· διαλύει, μικρὸν κατὰ μικρὸν, τὴν μεταξὺ αὐτῶν συστᾶσαν φιλίαν, καὶ ἐγείρει τὸ μῖσος τοῦ Βασιλέως κατὰ τοῦ ἀθώου Σανζηβάκα, ὃν ἐπὶ τέλους ὁ ἡγεμὼν ἀνιλεῶς καὶ ἀδίκως κατασπαράττει. Οὕτως οἱ πονηροὶ ἀπατῶσι τοὺς Βασιλεῖς, οἵτινες καὶ τοὺς ἀθώους καταδικάζουσι, καὶ τοὺς ἐναρέτους ἀπομακρύνουσι, καὶ αὐτοὶ ἄνευ εἰλικρινῶν συμβούλων καὶ φίλων διαμένουσι (1).

Τὴν αὐτὴν μέθοδον ἀκολουθῶν ὁ Μυθοποιὸς ἀποδεικνύει εἰς τὸ δεύτερον βιβλίον, ἢ δευτέραν Τάντραν (Περὶ κτήσεως φιλίας) τὰ καλὰ ἀποτελέσματα τῆς ἀληθοῦς φιλίας, λέγων· «Τοῦ ὄντος φίλου πιστοῦ ἀντάλλαγμα τῶν ὄντων οὐδέν (2).»

Εἰς τὴν τρίτην Τάντραν, ἢ τρίτον βιβλίον ἐξετάζει τὰ περὶ πολέμου καὶ τῆς συντηρήσεως τοῦ Κράτους, λέγων· «Ὁ μὲν Βασιλεὺς διαφυλάττει τὸν λαὸν, ὁ δὲ λαὸς αὐξάνει τὸν Βασιλέα. Κρείττων ὅμως ἡ διαφύλαξις τῆς αὐξήσεως· εἰ ὁ Βασιλεὺς οὐ καλῶς κυβερνᾷ, ἢ ἐμφρόνως τὸν ἐχθρὸν οὐκ

---

(1) Μεγάλη φιλία οὖσα λέοντος καὶ ταύρου ἐν ἅλσει, διαλύεται ὑπὸ κυνολύκου πάνυ πλεονέκτου καὶ συκοφάντου (Χιτοπ. βιβλ. ά).

Βούλομαι ὑποδειγματίσαι μοι τῷ τρόπῳ ὁ δόλιος καὶ πονηρὸς ἀνὴρ μεσολαβήσας εἰς ἔχθραν μεταβάλλει τὴν μεταξὺ τινῶν συστᾶσαν φιλίαν. (Στεφ. καὶ Ἰχνηλ. τμῆμα πρῶτον).

Premier Tantra appelé Mitra-Bedaja Tantra, ou l'art de mettre la division parmis les amis. p. 29.

(2) Στεφ. καὶ Ἰχνηλ. τμῆμα τρίτον, σελ. 43. (Dubois Second Tantra. p. 134—145.

ἀπομακρύνει, ὁ λαὸς ὄλλυται, καθὼς ἡ ναῦς ἡ οὖσα ἄνευ πηδαλιούχου ἐν μέσῳ τοῦ πελάγους» κ.τ.λ. (1).

Ἡ τετάρτη Τάντρα, ἢ τέταρτον βιβλίον, ἀποδεικνύει τὸν κίνδυνον, εἰς ὃν ἐκτίθεταί τις, συναστρεφόμενος τοὺς διεφθαρμένους, ἢ φιλίαν συνάπτων μετὰ τῶν πονηρῶν ἀνθρώπων, καὶ τί ποιητέον πρὸς ἐχθρὸν, φιλίαν καὶ εὔνοιαν ὑποκρινόμενον (2), καθὼς καὶ περὶ στερήσεως τοῦ κτηθέντος (3).

Ἡ δὲ πέμπτη Τάντρα, ἢ πέμπτον βιβλίον, διαλαμβάνον περὶ ἀπερισκέπτου ἔργου (4), διδάσκει δι' ἁρμοδίων Ἀπολόγων, ὅτι δὲν πρέπει ἵνα ἐπιχειρισθῇ ὁ Βασιλεὺς καὶ πᾶς ἄνθρωπος οὐδὲν, πρὶν ὡρίμως περὶ αὐτοῦ σκεφθῇ, καὶ καλῶς ἐξετάσῃ τὰς συνεπείας τῆς ἐπιχειρήσεως· διότι ὁ ἀμελῶν τοὺς κανόνας τούτους τρέχει πρὸς τὴν ἰδίαν ἀπώλειαν (5).

Χάριν οὖν τοῦ Δαψιλίμου ὁ Πίδπαϊς, ἢ τῶν Βασιλοπαίδων ὁ Βισνουσσαρμὰν τοὺς Ἀπολόγους τῶν πέντε τούτων συνέγραψε βιβλίων· (*ά. περὶ διαλύσεως φιλίας· β'. περὶ κτήσεως φιλίας· γ'. περὶ πολέμου· δ'. περὶ στερήσεως τοῦ κτηθέν-*

---

(1) Χιτοπ. βιβλ. τρίτον, σελ. 139. (Dubois Trois. Tantra p. 145—173).

(2) On ne doit jamais se lier avec les mechants, ni contracter amitié avec les gens corrompus. (Dubois Quatr. Tantra p. 183—198 (Στεφ. καὶ Ἰχνηλ. σελ. 55).

(3) Χιτοπ. Προίμιον, πῶς πολλάκις ἐπιτυχών τις τοῦ ἐφετοῦ, οὐ καλῶς δὲ τὸ ἐπικτηθὲν τηρεῖν δυνάμενος, ἀπολλύει τοῦτο. (Στεφ. καὶ Ἰχνηλ. σελ, 72).

(4) Χιτοπαδ. Αὐτόθι.

(5) On ne doit jamais rien faire sans mure reflection; et qu'avant de se hazarder dans une entreprise, il faut toujours examiner les consequences. (Dubois p. 205—217). Τίνι ὁμοιοῦται ὁ σπεύδων ἐπί τι ἔργον, μὴ βουλόμενος τοῦτο πρὸ τῆς ἐπιχειρήσεως καταμαθεῖν. (Στεφ. καὶ Ἰχνηλ. σελ. 76).

τος, καὶ ἑ. *περὶ ἀπερισκέπτου ἔργου*). Ὁ δὲ Σὴθ, κατὰ μίμησιν τῶν Ἀράβων μεταφραστῶν, τὴν ὕλην πᾶσαν τοῦ πονήματος εἰς δέκα καὶ ἓξ τμήματα, ἢ κεφάλαια κατεχώρησεν.

Ἐκτὸς ὅμως τῶν κομψῶν Ἀπολόγων, δι' ὧν ἀποδεικνύει τὴν πρότασιν, ἡ πραγματεία πᾶσα γέμει ἠθικῶν ἀξιωμάτων, πρακτικῶν παραγγελμάτων, συμβουλῶν, γνωμῶν, καὶ δοξασιῶν ἀναγκαιοτάτων καὶ σοφῶν πρὸς ὀρθὴν τοῦ βίου διεύθυνσιν, οὗ ἕνεκα, καὶ διευθυντήριον τοῦ βίου (Directorium vitæ) οἱ Λατῖνοι μεταφρασταὶ τὴν βίβλον ὠνόμασαν.

Παρατηρεῖται δὲ ἐν τοῖς Ἀπολόγοις τῆς Χιτοπαδάσσας, ὅ,τι καὶ εἰς τὰ πλειότερα τοιαῦτα τῶν Ἀσιανῶν πονήματα, ἤτοι συμπλοκή τις περίεργος, καὶ πολλάκις δυσκατάληπτος μεταξὺ τῶν Ἀπολόγων. Εἷς π. χ. μῦθος ἀρχίζει περί τινος, ὅστις πρὸ τοῦ τέλους ἐπιφέρει ἕτερον· οὗτος ἐπάγει τρίτον, τέταρτον, καὶ ἐφεξῆς οὕτως. Τὸ τοιοῦτον ἐπιφέρει πάντοτε σύγχυσιν τινὰ ἰδεῶν. Τούτου ἕνεκα, λέγει ὁ Ἱστοριογράφος τοῦ Ἀκβάρ· « Ὁ Βαέζας, μεταφράσας τὴν βίβλον Καλίλα καὶ Δίμνα ἐπαρουσίασεν αὐτὴν εἰς τὸν Αὐτοκράτορα. Ὁ δὲ εὑρὼν τὴν μὲν ὕλην σπουδαίαν, τὴν δὲ σύνθεσιν συγκεχυμένην, διέταξε καὶ νέα ἐγένετο παράφρασις, εἰς ἣν ἐκτὸς τῆς ἀρχικῆς τάξεως, διετηρήθη πλειότερα σαφήνεια (1). Πλὴν καὶ ἐν αὐτῇ τῇ περιπλοκῇ τῶν Ἀπολόγων, ὁ μυθοποιὸς δὲν λησμονεῖ τὸν πρὸς ὃν ὅρον, πρὸς ὃν ἐπὶ τέλους φθάνει. Τὸ εἶδος τοῦτο τῆς περιπλοκῆς φαίνεται ἐν χρήσει παρὰ τοῖς ἀρχαίοις, ὡς παρατηρεῖται εἰς ἕκαστον τῶν διαλόγων τοῦ

(1) Calila et Dimna Mémoire historique p. 48. (Par Silv. de Sacy).

Πλάτωνος, ὅστις θέσας ἅπαξ τὸ ζήτημα, φαίνεται λησμονῶν αὐτὸ, καὶ εἰς τὰς παρεμπιπτούσας προτάσεις στρέφει τὴν προσοχὴν αὐτοῦ· αὐτὰς ἀναλύει, ἑρμηνεύει τὰς ἐνστάσεις, ἐξηγεῖ τὰς ἀπορίας, καταστρέφει τὰς ἀντιῤῥήσεις, καὶ διασκεδάζων πᾶσαν τυχοῦσαν ἀμφιβολίαν, μετὰ μακρὰν λόγων περιοδείαν φθάνει ἐπὶ τέλους εἰς τὴν λύσιν τοῦ ἀρχικοῦ καὶ κυρίως ζητήματος.

Ταῦτα μὲν περὶ τῆς Χιτοπαδάσσας, ἢ Πάντσα-Τάντρας. Νῦν δὲ καὶ περὶ τῆς δευτέρας τῶν μύθων Συλλογῆς, ἤτοι *τῶν Νυκτερινῶν Μυθολογιῶν τοῦ Ψιττακοῦ*.

Ἡ παραίνεσις τῶν Ἀπολόγων τούτων διευθύνεται μᾶλλον πρὸς τὸ γυναικεῖον φῦλον. Ἐν αὐτοῖς δείκνυται ὁ κίνδυνος τῆς τιμίας γυναικὸς, συναστρεφομένης μετὰ διεφθαρμένων καὶ ἀνηθίκων γυναικαρίων· καὶ ἐξ ἄλλου μέρους ἡ ἐκ τῆς συνομιλίας τῶν ἐναρέτων καὶ τιμίων σωτηριώδης ὠφέλεια. Τὸ γυναικεῖον φῦλον, φύσει εὐαίσθητον, κλίνει εἰς τὸν καλλωπισμὸν, τὴν φιλοφροσύνην καὶ τὴν φιλότητα· ἀλλ' ἡ ἔμφρων καὶ ἐπιεικὴς παραίνεσις ἐνεργεῖ θαυμασίως ἐπὶ τῆς ἀγαθῆς καρδίας τῶν σεμνοπρεπῶν καὶ σωφρόνων γυναικῶν, αἵτινες τὴν πρωτίστην καὶ κυριωτάτην γυναικείαν καλλονὴν ἔχουσαι, ἤτοι τὴν *αἰδὼ*, κλείουσι τὰ ὦτα εἰς τὴν πονηρὰν τῶν δολίων ὁμιλίαν, καὶ ἐκτιμῶσαι ἀποχρώντως τὴν ἀξίαν τῆς ἀρετῆς, παραδέχονται τὴν συμβουλὴν τῶν ἐναρέτων, καὶ ἀποφεύγουσι τὸν κίνδυνον τῆς διαφθορᾶς καὶ τῆς ἀπωλείας. Ἐνάρετον δὲ βίον, καὶ ἀνεπίληπτον διαγωγὴν μέχρι τέλους φυλάττουσαι, ἀποκαθίστανται ἄξιαι τοῦ κοινοῦ σεβασμοῦ, καὶ παρὰ πάντων τιμώμεναι ἐπαινοῦνται. Τοιοῦτον φαίνεται τὸ

πνεῦμα, καὶ ὁ ἠθικὸς σκοπὸς τῶν νυκτερινῶν Μυθολογιῶν τοῦ Ψιττακοῦ, ὡς ἡ ἑξῆς περίληψις δῆλον ποιήσει.

«Ἐν τῇ πόλει Σανδρακαλᾷ ἦν ἔμπορος, Χαριδάτας καλούμενος, οὗ ὁ υἱὸς Μαδάνας, γυναῖκα νέαν καὶ εὐπρόσωπον νυμφευθεὶς, ὀνομαζομένην Πραββαβατὴν, ἔζη ἐντρυφῶν καὶ τοῦ πατρικοῦ ἐμπορίου ἀμελῶν, ὅπερ βαρέως ἐλύπει τοὺς γηραιοὺς αὐτοῦ γονεῖς. Βραχμὰν δέ τις, πατρικὸς ὢν φίλος, τὴν παρακοὴν τοῦ υἱοῦ, καὶ τὴν ἀθυμίαν τοῦ πατρὸς παρατηρήσας, προσήνεγκεν αὐτῷ δύο πτηνὰ, ἤτοι μίαν Κίσσαν, καὶ ἕνα Ψιττακὸν, καλούμενον Σοῦκαν.

«Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ὁ Ψιττακὸς φωνὴν ἀνθρωπείαν λαλήσας, εἶπε πρὸς τὸν Μαδάναν· «Οἱ γονεῖς σου, ὦ δέσποτα, δακρυρροοῦσιν ἕνεκα τῆς σῆς παρακοῆς· ἐκ τούτου ἔγκλημά σοι γίνεται, ὡς ποτὲ τῷ Δεβασσαρμᾶνι.» Ἐρωτήσαντος δὲ τοῦ Μαδάνα ποῖός ἐστιν οὗτος, ὁ Σοῦκας ἀπεκρίθη· «Ὁ Δεβασσαρμὰν ἦν ἀνὴρ μὲν λόγιος, ἀπειθὴς δέ πως πρὸς τοὺς γονεῖς· διὸ καὶ ἄνευ τῆς πατρικῆς ἀδείας ἀπεδήμησε. Κατὰ δὲ τὴν ὁδὸν ὀργισθεὶς ἀπετέφρωσε θῆλυν Λάρον τῇ ἑαυτοῦ Βραχμανικῇ δυνάμει (1). Φθάσας δ' εἰς τὴν πλησίον πόλιν, προσῆλθεν εἴς τινα οἰκίαν Βραχμᾶνος, τροφὴν αἰτῆσαι· ἀλλ' ἀποτυχὼν μεγάλως ὠργίσθη. Ἡ δὲ οἰκοδέσποινα «Ἄπελθε εἶπεν· ἡ γὰρ ὀργή σου οὐχ ἕξει χῶραν ἐν ἐμοὶ, ὡς ἐν τῇ θήλει Λάρῳ.» Ὁ οὖν Δεβασσαρμὰν, θαυμάσας ἤρετο, τίνι τρόπῳ γινώσκει ἄγνωστόν τι συμβεβηκὸς, ὅπερ οὐδεὶς

(1) Λάρος, ὁ παρ' ἡμῖν Γλάρος, ἐστὶ πτηνὸν θαλάσσιον, ἰχθυοφάγον, καὶ ὁμοιότητά τινα πρὸς τὰς περιστερὰς ἔχον.

εἶδεν, καὶ πρὸς οὐδένα ἐδιηγήθη; Ἡ δὲ, «Πορεύθητι, ἀπήντησεν, εἰς τὴν πόλιν Βαρανασὴν, ἔνθα διατρίβει κρεωπώλης ἀγαθὸς καὶ ἐνάρετος, παρ' οὗ μάθεις τὴν αἰτίαν τῆς ἐμῆς γνωστικῆς δυνάμεως.» Πεισθεὶς δ' ὁ Δεβασσαρμὰν ἦλθεν εἰς τὴν πόλιν ἐκείνην, καὶ ἐρωτήσας εὗρε τὸν κρεωπώλην. Οὗτος φιλοφρόνως δεξάμενος, ὡδήγησεν αὐτὸν εἰς τὴν ἰδίαν οἰκίαν, καὶ μετὰ σεβασμοῦ τοὺς γονεῖς αὐτοῦ προσκυνήσας, καὶ περιποιηθεὶς ἔδωκεν αὐτοῖς εὐλαβῶς τὴν ἀναγκαίαν τροφήν. Εἶτα δὲ προσέφερε καὶ τῷ ξένῳ εἰπών· «Γινώσκω, ὅτι ἡ Σατὴ ἀπέστειλέ σε πρὸς ἐμὲ,» ἔτι μᾶλλον ἠπόρησε, μὴ δυνάμενος κατανοῆσαι πόθεν προέρχεται ἡ γνωστικὴ πρὸς αὐτὸν δύναμις. Τότε ὁ κρεωπώλης εἶπεν εἰς αὐτόν· «Ὁ ποιῶν προθύμως καὶ »εὐσεβῶς πάντα τὰ παρὰ τῶν Ἱερῶν Γραφῶν διατεταγμένα, »καὶ εὐσπλαγχνίαν ἔχει πρὸς πᾶν ἔμψυχον, καὶ εὐπειθής »ἐστι πρὸς τοὺς ἑαυτοῦ γονεῖς, ὁ τοιοῦτος, λέγω, ἐστὶ θεο»φιλὴς, θεόφρων καὶ θεωρητικὸς, καὶ τὴν γνωστικὴν δύναμιν »ἀποκτᾷ. Λέγει γὰρ τὸ Ἱερὸν λόγιον· «Ὅστις οὐ σέβεται »τοὺς σεβασμίους, οὐδὲ τιμᾷ τοὺς τιμῆς ἀξίους, οὗτος καὶ »ζῶν κατηγορεῖται, καὶ μετὰ θάνατον εἰς τὸν οὐρανὸν οὐκ »ἀνέρχεται.»

Ὁ οὖν Δεβασσαρμὰν, ἀκούσας τῶν λόγων τοῦ κρεωπώλου, ἐπανέκαμψεν εἰς τὰ ἴδια, καὶ τοῖς γονεῦσιν εὐπειθὴς γενόμενος ἐτιμήθη παρὰ πάντων, καὶ ἐν οὐρανῷ μετὰ θάνατον ἐδοξάσθη. «Καὶ σὺ οὖν, ὦ Κύριε, ἔσω εὐπειθὴς πρὸς τοὺς γονεῖς, καὶ τῆς συμβουλῆς αὐτῶν ἄκουσον, καὶ τὸ ἐμπόριον μετερχόμενος ἀνακούφισον τὸν σὸν γηραιὸν πατέρα.» Τοιαῦτα εἰρηκότος τοῦ Σοῦκα, ὁ Μαδάνας ὑπήκοος τοῖς γονεῦσι γενόμε-

νος καὶ τὴν ἄδειαν καὶ εὐλογίαν αὐτῶν λαβὼν ἐπέβη ἐπὶ νηὸς, καὶ εἰς ἐμπορίαν ἀπέπλευσεν.

«Ἀποδημήσαντος οὖν τοῦ Μαδάνα, ἡ σύζυγος αὐτοῦ Πραβ-βαβατὴ ἦν κατ' ἀρχὰς ἀπαρηγόρητος· ἀλλὰ μετ' ὀλίγον, παρηγορηθεῖσα ὁπωσοῦν, καὶ διασκεδάσεώς τινος ἐπιθυμήσασα κατέφυγεν εἰς τὴν συναναστροφὴν γυναικῶν κούφων. Αὗται οὖν ἰδοῦσαι τὴν θλῖψιν τῆς Πραββαβατῆς, παρεκίνησαν αὐτὴν διὰ μυρίων κολακευτικῶν καὶ δολίων λόγων, ὅπως διασκεδάσῃ ἐν τῇ συνομιλίᾳ ἀξιεράστων ἀνδρῶν. «Πρὸς τί, ἔλεγον, »ἡ τοσαύτη σου σωφροσύνη; ἡ νεότης, ὦ φίλη, ὡς ἐφήμερον »ἄνθος παρέρχεται ἀνεπιστρεπτί· στερημένη δὲ διασκεδά-»σεως μαραίνεσαι, ζῇς ἀθλίως, καὶ πρὸ τῆς ὥρας γηράσκεις. »Ὁ δὲ σύζυγος ἐπιστρέφων, καὶ ὁρῶν σε γεγηρακυῖαν περι-»φρονήσει σε, καὶ πρὸς ἄλλην νεωτέραν τραπήσεται.» Τοιαῦτα καὶ ὅμοια τούτοις πολλὰ εἰποῦσαι, κατέπεισαν ἐπὶ τέλους τὴν Πραββαβατὴν ἵνα ζητήσῃ διασκέδασιν καὶ εὐθυμίαν μεταξὺ ἀλλοτρίων καὶ ἀξιεράστων ἀνδρῶν.

«Ἐν μιᾷ δὲ τῶν ἡμερῶν κοσμηθεῖσα ἑτοιμάσθη, πορευθῆναι θέλουσα εἰς τοιαύτην τινὰ συναναστροφήν. Ἡ δὲ Κίσσα, ἐννοήσασα τὸν σκοπὸν ἐξεφώνησε· «Μὴ πορευθῇς, μή· ἀνοί-»κειον γὰρ τὸ τοιοῦτον σεμνοπρεπέσι γυναιξί.» Καὶ ἡ μὲν δέσποινα ὀργισθεῖσα ἠβουλήθη ἀνελεῖν αὐτήν· ἡ δὲ Κίσσα εὐθέως πετασθεῖσα ἔφυγεν. Οὕτως ἡ Πραββαβατὴ ἐλευθερωθεῖσα ἤρξατο πορεύεσθαι.

«Ὁ οὖν Ψιττακὸς ἐκ τοῦ παραδείγματος τῆς Κίσσας δι-δαχθεὶς, καὶ τὴν Δέσποιναν ἰδὼν πορευομένην· «Αἰσία, ἆ

»Κυρία, εἶπεν, ἔστω ἡ σὴ πορεία. Ἀλλὰ ποῖ πορεύῃ;» Ἡ δὲ τὸν λόγον, ὡς καλὸν οἰωνὸν ἐκλαβοῦσα· «Πορεύομαι, ἀπεκρί-»θη, γευσομένη ἡδονῆς ἐν εὐαρέστῳ συναναστροφῇ.» —«Ἀγα-θῇ τύχῃ, εἶπεν ὁ Σοῦκας! ἐπίψογον μὲν τὸ τοιοῦτον τιμίαις γυναιξὶν, ἀλλ' ἔστω. Σκέφθητι δὲ ἐὰν ἔχῃς ἱκανὴν παῤῥησίαν νοὸς πρὸς ἀποφυγὴν συμβεβηκότος ἐναντίου, ἀπροσδοκήτως συμπεσόντος· διότι ὁ πονηρὸς, προτρέπων κατ' ἀρχὰς, κατα-γελᾷ ὕστερον τὸν εὐήθη, εἰς παγίδα τινὰ ἐμπεσόντα, ὡς ἠκο-κολούθησέ ποτε εἰς τὴν Μασοπαβασινὴν ἐν τῇ ἑλκύσει τῆς κόμης τοῦ συζύγου αὐτῆς.»

«Ἡ μὲν οὖν Πραββαβατὴ ἠρώτησε, χάριν περιεργείας· «Τίς αὕτη ἡ ἱστορία;» Ὁ δὲ Ψιττακὸς εἶπε· «Πορεύθητι ἤδη πλη-»ρῶσαι τὴν σὴν ἐπιθυμίαν. Ἐπανελθοῦσα δὲ ἀκούσεις· ἡ διήγη-»σις γὰρ ἔσεται ἐκτεταμένη.» —«Ἕως, ἀπήντησεν ἡ Πραββα-βατὴ, ἐγὼ βούλομαι ἀκοῦσαι.» —«Ἂν οὖν μὴ πορευθῇς λέξω.» Καὶ ἡ μὲν συγκατένευσεν· ὁ δὲ Σοῦκας ἤρξατο τῆς διηγή-σεως. Οὕτω παρῆλθεν ἡ ὥρα· ἡ δὲ Πραββαβατὴ, μείνασα ἐν τῇ οἰκίᾳ ἡσύχως ἐκοιμήθη.

«Τὴν ἑσπέραν τῆς ἐπιούσης ἡμέρας κοσμηθεῖσα, καὶ αὖθις ἠρώτησε τὸν Σοῦκαν· «Βούλει πορευθῶ;» —«Πορεύθητι, ἀπήν-»τησεν, εἰ γινώσκεις τί εἴποις, καὶ τί ποιήσοις ἐν δυσχερεῖ περι-»ριστάσει, ὡς συνέβη καὶ εἰς τὴν Ἰασσοδεβήν.» Ἐρωτήσασα δ' ὁποία αὕτη, καὶ ποῖον τὸ συμβεβηκός; «Ἀγανακτήσεις, εἶπεν ὁ Σοῦκας, ὦ Δέσποινα, κατ' ἐμοῦ ἐμποδίζοντος τὴν σὴν ἐπι-θυμίαν.» —«Οὐδόλως ἀπεκρίθη ἡ Πραββαβατή· ὁ γὰρ λόγος τῶν ἀγαθῶν, καὶ ἡ τῶν εὐμενῶν εὐμενὴς ὁμιλία, καὶ συμβουλὴ εὐάρεστός ἐστι.» Τότε ὁ Σοῦκας ἄρχεται τῆς διηγήσεως· καὶ

ἡ μὲν ὥρα οὕτω παρῆλθεν· ἡ δὲ Πραββαβατὴ ἡδέως ἀκροασθεῖσα ἐν οἴκῳ ἐκοιμήθη.

«Τὴν δὲ τρίτην ἡμέραν μετὰ τὴν δύσιν τοῦ ἡλίου, κοσμηθεῖσα ἡ Δέσποινα εἶπε πρὸς τὸν Ψιττακόν· «Πορευθῶ;» Ὁ δὲ, «Πορεύθητι, ἀπήντησεν, εἰ οἶδας ἀπαλλάξαι σεαυτὴν ἀπὸ τῆς δυσφημίας καθὼς ὁ Βασιλεύς». Πειθομένης δὲ τῆς Πραββαβατῆς· «Τίς οὗτος ὁ Βασιλεὺς, καὶ πῶς ἀπήλλαξεν ἑαυτὸν ἀπὸ τῆς δυσφημίας;» ὁ Σοῦκας, ἀποκριθεὶς πᾶσαν τὴν ἱστορίαν ἐδιηγήθη· καὶ ἡ μὲν ὥρα τῆς ἐπισκέψεως παρῆλθεν· ἡ δὲ οἶκοι ἡσύχως ἐκοιμήθη.»

Κατ' αὐτὸν τὸν τρόπον ὁ πρᾷος καὶ φρόνιμος Ψιττακὸς Σοῦκας, διαπαιδαγωγῶν τὴν Κυρίαν αὐτοῦ καθεκάστην ἑσπέραν ἐματαίωσε τὴν ἄτοπον ἐπιθυμίαν, καὶ σώφρονα αὐτὴν διετήρησε μέχρι τῆς ἐπιστροφῆς τοῦ συζύγου Μαδάνα.

Τὰ μυθικὰ διηγήματα τοῦ Ψιττακοῦ ἔχουσι τὴν ἀναλλοίωτον σφραγῖδα τῶν Ἀσιατικῶν, καὶ ἰδίως τῶν Ἰνδικῶν Ἀπολόγων, οὐδόλως διαφέροντα τῶν διηγημάτων τῆς Χιτοπαδάσσας, τῶν τοῦ Παραμάτρα τοῦ Δυβοΐου, τῶν ὅσων ἀπήντησεν ὁ ἀναγνώστης ἐν τῇ παρ' ἡμῖν ἐκδοθείσῃ Συλλογῇ τῶν Ἰνδικῶν μεταφράσεων τοῦ ἀοιδίμου Γαλανοῦ, καὶ οὐχ ἧττον τῶν περιεχομένων εἰς τὰς Γαλλικὰς μεταφράσεις τῶν *Χιλίων καὶ μιᾶς ἡμερῶν*, καὶ τῶν *Χιλίων καὶ μιᾶς νυκτῶν*, κ.τ.λ., ὧν ἡ ὁμοιότης δεικνύει τρανῶς τὴν Ἰνδικὴν ἀρχὴν τῶν μέχρι τοῦδε Ἀραβικῶν νομιζομένων μύθων.

Τὸ ἡμέτερον χειρόγραφον ἄρχεται μετὰ μικρὸν προοίμιον ἀπὸ τῆς πρώτης ἑσπέρας, καὶ ἐξακολουθεῖ μέχρι τῆς τριακοστῆς δευτέρας. Λείπει ἡ τριακοστὴ τρίτη, οὐκ οἶδ' ὅπως,

ἄρχεται δ' ἐκ νέου ἀπὸ τῆς τριακοστῆς τετάρτης, καὶ λήγει εἰς τὴν ἑξηκοστὴν νύκτα. Παρατηρεῖται δ' ἐν τῷ χειρογράφῳ· *Νὺξ ἑξηκοστὴ πρώτη*· λείπει ἄρα καὶ αὕτη, καὶ αἱ ἀκόλουθοι.

Πόσαι οὖν εἰσὶν ἅπασαι; Ἑβδομήκοντα κατά τινας, καὶ ἑβδομήκοντα δύο κατ' ἄλλους (1). Λείπουσιν ἑπομένως ἐκ τοῦ χειρογράφου, καὶ τῆς Συλλογῆς ἡμῶν δέκα καὶ τρεῖς Νυκτερινὰι Μυθολογίαι τοῦ Ψιττακοῦ.

Αἱ Μυθολογίαι αὗται μετεφράσθησαν, ὡς ἅπαντα σχεδὸν τὰ Ἰνδικὰ Μυθικὰ Διηγήματα εἰς τὴν Περσικὴν διάλεκτον, (καὶ πιθανῶς ἐξ αὐτῆς εἰς τὴν Ἀραβικὴν), καὶ Περσιστὶ καλοῦνται *Τουτὶ-Ναμὲχ*, ἤτοι *Ψιττακοῦ-Βίβλος*.

Τὰ διηγήματα ταῦτα, ὡς τὰ τοῦ Παραμάτρα, τῆς Χιτοπαδάσσας, τῆς Χαλιμᾶς, καὶ ἄλλα ὅμοια διηγοῦνται οἱ ἐξ ἐπαγγέλματος μυθολόγοι Ὀθωμανοὶ, ὀνομαζόμενοι παρ' αὐτοῖς Μεδδὰχ εἰς τὰ καφενεῖα καὶ τὰς συναστροφὰς τὰς νύκτας τοῦ Ῥαμαζανίου, πρὸς ἑσπερινὴν διασκέδασιν τῶν πιστῶν Μουσουλμάνων, μὴ δυναμένων, κατὰ τὴν ἐντολὴν τοῦ Ἀλκορανίου, ἵνα φάγωσιν, ἢ πίωσιν οὐδὲν ἀπὸ τῆς στιγμῆς τῆς ἀνατολῆς τοῦ ἡλίου, μέχρι τῆς δύσεως αὐτοῦ, καὶ τὴν νύκτα πᾶσαν ἄγρυπνοι διαμένοντες χρῶνται τροφῆς, καὶ διασκεδάσεως χρείαν τότε ἔχουσι.

Τῶν Νυκτερινῶν Μυθολογιῶν τοῦ Ψιττακοῦ ὑπάρχει χει-

---

(1) Suka Saptatih, i. 1. 70 (eigentlich 72) Erzählungen des Papagai's, wovon das persische Werk Tuti-Nameh Oder das Papagaien-Buch, eine uebersetzung ist. (Adelung' Bibl. Sanscr. p. 302. un).

ρόγραφον εἰς τὸ ἐν Πετρουπόλει Ἀσιατικὸν Μουσεῖον τῆς Αὐτοκρ. Ἀκαδ. τῶν ἐπιστημῶν· ἀλλὰ καὶ τοῦτο, κακῇ τύχῃ, ἐστὶν ἀτελές (1). Ὑπάρχει δὲ καὶ ἕτερον χειρόγραφον, περὶ οὗ ὁ σοφὸς Ἰνδολόγος Κύριος Λάσσενος γράφει πρὸς ἡμᾶς τὰ ἑξῆς·

«Τὸ μόνον εἰς ἐμὲ γνωστὸν χειρόγραφον εὑρίσκεται εἰς τὴν Βιβλιοθήκην τῆς ἐν Λονδίνῳ Ἀσιατικῆς Ἑταιρίας, μεταξὺ τῶν παρὰ τοῦ Οὐίλλιαμ Ἰῶνες εἰς αὐτὴν δωρηθέντων χειρογράφων. Τὴν Εἰσαγωγὴν, καὶ τὴν πρώτην διήγησιν ἐξέδωκα εἰς τὴν ἐμὴν Σανσκριτικὴν Ἀνθολογίαν (Anthologia Sanscrita) σελ. 38, καὶ ἐφεξῆς. Ταύτην μόνην ἀνέγνωσα. Εὐχῆς δ' ἐστὶν ἔργον ἄν τις συγκρίνῃ τὰ ἐν τῷ χειρογράφῳ τοῦ Λονδίνου διηγήματα, μετ' ἐκείνων, ἅπερ ὑμεῖς ἔχετε ὑπ' ὄψιν. Ἐπὶ τούτῳ ἤθελον προτρέψει ὅπως ἀποτανθῆτε πρὸς τὸν Κύριον Οὐίλσῶνα, ἵνα διέλθῃ ὁ ἴδιος τὸ χειρόγραφον, ἢ ἄλλον τινὰ λόγιον ἐπιφορτίσῃ, καὶ κοινοποιήσῃ ὑμῖν ἀκολούθως τὸ ἀποτέλεσμα (2). Καὶ ἡ μὲν Περσικὴ μετάφρασις καλεῖται, *Τουτὶ Ναμὲχ* (Ψιττακοῦ διηγήματα). Λεπτομερεστέρας δὲ περὶ

(1) Suka Saptatih befindet sich in einer Handschrift, die aber nicht vollständig ist, in dem As. Mus. der Acad. d. Wiss. in St. Petersb. (Adel. Bibl. Sansc. p. 302).

(2) Τοῦτο ἔπραξα πρό τινος καιροῦ. Ἀλλ' ἐπειδὴ ὁ σοφὸς Ἰνδολόγος Κύριος Οὐίλσων, ἢ τὴν ἐπιστελὴν μὴ λαβὼν, ἢ ἐκ τῶν πολλῶν αὐτοῦ ἀσχολιῶν καιρὸν μὴ ἔχων, μέχρι τοῦδε, δὲν ἀπήντησεν· ἡ δὲ ἐκτύπωσις τῆς παρούσης οὖσα ἤδη προχωρημένη, ἀνάγκη ἵνα ἐξακολουθήσῃ. Πέπεισμαι δὲ, ὅτι οἱ περὶ τὴν Ἰνδικὴν φιλολογίαν ἐνασχολούμενοι, καὶ μέσα πλειότερα τῶν ἡμετέρων ἔχοντες, παραβάλλωσιν ἴσως τὰς παρούσας Νυκτερινὰς Μυθολογίας, μετ' ἐκείνων τοῦ ἐν Λονδίνῳ χειρογράφου, τὸ δὲ ἐξαγόμενον γνωστοποιήσωσιν ἀκολούθως.

αὐτῆς πληροφορίας εὑρήσει ὁ ἀναγνώστης ἐν τῷ ἱστορικῷ δοκιμίῳ περὶ τῶν Ἀσιατικῶν μύθων, τῶν μυθικῶν διηγημάτων, καὶ τῶν Χιλίων καὶ μιᾶς Νυκτῶν, τοῦ Loiseleur-Deslongchampes (1). Ἀλλ' ἵνα σᾶς βάλω, λέγει ὁ Κύριος Λάσσενος, εἰς θέσιν ὅπως γνωρίσητε τὴν διάταξιν τοῦ βιβλίου, καὶ συγκρίνητε τὴν πρώτην διήγησιν μετ' ἐκείνης, ἣν δημοσιεύετε, διαβιβάζω ὑμῖν ἀπόσπαμα τοῦ πρώτου διηγήματος.»

«Εἰς τὴν πόλιν Κανδρακαλὰν, λέγει τὸ ἀπάνθισμα, ἐβασίλευεν ὁ Βικραμασένας, οὗ ὁ υἱὸς καὶ τῆς Βασιλίσσης Χαριδατάνας, καλούμενος Μαδάνας (2) ἐνυμφεύθη τὴν Πραββαβατὴν, θυγατέρα

---

(1) Ἰδὲ Φιλολογικὸν Πάνθεον. Mille et une nuits, Contes persans traduits en français par Galland, édition augmentée de plusieurs Contes, et accompagnée de notes, et d'un essai historique sur mille et une nuits par M. Loiseleur-Deslongchamps. Ἀλλ' ὑπάρχει καὶ ἕτερος τόμος τοῦ αὐτοῦ Φιλολογικοῦ Πανθέου, ὅστις φέρει τὸν ἑξῆς τίτλον· Mille et un jours, contes persans traduits en français par Pelit de la Croix, suivis de la Sultane, et des Vizirs, de Contes et fables indiens de Pidpai, de Gulistan, ou le jardin de Roses, de fables, et Contes indiens, persans, et turcs, et de nouvelles chinoises traduits des langues orientales. Nouvelle édition, accompagnée de notes, et notices historiques par A Loiseleur-Deslongchamps.

Σημειωτέον ἐνταῦθα, ὅτι καὶ κατὰ τοὺς Γάλλους ὑπάρχει διαφορὰ μεταξὺ τῆς λέξεως Fables, καὶ Contes, ὡς καὶ οἱ παρ' ἡμῖν μῦθοι, καὶ τὰ μυθικὰ διηγήματα, ἢ παραμύθια.

(2) «Ἔστι πόλις, λέγει τὸ ἡμέτερον κείμενον, Σανδρακαλὰ τοὔνομα, ἧς ἐβασίλευεν ὁ Βικραμασένας· ἦν δὲ ἐκεῖ καὶ ἔμπορος Χαριδάτας καλούμενος, οὗ ὁ υἱὸς, ᾧ ὄνομα Μαδάνας, γυναῖκα ἔγημε, ᾗ ὄνομα Πραββαβατή». Ὥστε ὁ Μαδάνας ἐνταῦθα μὲν ἐστὶν υἱὸς τοῦ ἐμπόρου Χαριδάτα· ἐν δὲ τῷ τοῦ Κυρίου Λασσένου υἱὸς τοῦ Βασιλέως Βικραμασένα καὶ τῆς Βασιλίσσης Χαριδατάνας.

ένὸς τῶν πρωτίσων, καλουμένου Σαμαδάττα (1). Αὕτη οὖν ἔλαβε παρὰ τοῦ Βραχμᾶνος Τριβικράμα δύο πτηνά, ἕνα Ψιττακὸν, καὶ μίαν Κίσσαν· ὁ μὲν Σοῦκας καλούμενος, ἡ δὲ Σαρικά, ἄτινα ἦσαν τέκνα τῆς Γανδάρβας (2), καὶ τὰ ὁποῖα ἀρὰν λαβόντα παρὰ τοῦ Ἴνδρα κατῴκουν ὡς πτηνὰ ἐπὶ τῆς γῆς, ἑωσοῦ προσφέρωσι χάριν εἴς τινα Βασιλέα. Αὐτὸς δὲ ὁ Τριβικράμας, ἔχων ἐπίσης ἀρὰν, δὲν ἠδύνατο ἵν' ἀπαλαχθῇ μέχρις οὗ δὲν προσφέρει καὶ αὐτὸς χάριν τινὰ εἴς τινα Βασιλόπαιδα (3). Τούτου ἕνεκα προσήνεγκε τῷ υἱῷ τοῦ Βασιλέως Μαδάνα τὰ δύο εἰρημένα πτηνά, ἅπερ ὤφειλον ἵνα ἰδεάσωσιν αὐτὸν περὶ πάντων. Ὁ Ψιττακὸς διηγεῖται ἐν πρώτοις ἱστορίαν τινὰ εἰς τὸν Μαδάναν περὶ ἑνὸς Βραχμανόπαιδος, ὅστις ἐπληροφορήθη ἐν τῇ ὁδοιπορίᾳ αὐτοῦ, καὶ μάλιστα παρ' ἑνὸς κυνηγοῦ, ὅτι τὰ τέκνα χρεωστοῦσιν εὐπείθειαν πρὸς τοὺς γονεῖς, καὶ σεβασμὸν πρὸς πάντα τὰ σεβασμοῦ ἄξια· οὕτως ἕκαστος, λέγει, εὐτυχῶς διαβιώσει (4).»

---

(1) Ἐν τῷ ἡμετ. χειρογρ. δὲν ἀναφέρεται τὸ ὄνομα τοῦ πατρὸς τῆς Πραβ-βαβατῆς· ἐν δὲ τῷ τοῦ Κυρίου Λασσένου καὶ ἀναφέρεται καὶ χαρακτηρίζεται ὁ ἀνὴρ ὡς ἀρχηγὸς σωματίου.

(2) Ἐν μὲν τῷ ἡμετ. χειρογρ. ὁ Ψιττακὸς καὶ ἡ Κίσσα ἦσαν ἁπλῶς πτηνά· ἐν δὲ τῷ τοῦ Κυρίου Λασσένου ἦσαν τέκνα τῆς Γανδάρβας, καὶ θεοὶ ὑποδεέστεροι, καταδικασθέντες δι' ἀρᾶς τοῦ Ἴνδρα εἰς τὴν μορφὴν τῶν εἰρημένων πτηνῶν· οὐδὲ τὸ ὄνομα τοῦ δωρήσαντος τὰ πτηνὰ Βραχμᾶνος ἀναφέρεται εἰς τὸ ἡμέτ. κείμενον.

(3) Οὐδεμία περὶ ποινῆς καὶ λυτρώσεως τῆς ἀρᾶς μνεία γίνεται ἐν τῷ ἡμετ. χειρογράφῳ τῶν τε πτηνῶν, καὶ τοῦ δωρήσαντος τὰ πτηνὰ Βραχμᾶνος.

(4) Ἐν τῷ τοῦ Κυρίου Λασσένου χειρογράφῳ λείπει ἅπασα ἡ διήγησις τοῦ Διβασσαρμᾶνος, ἥτις τοσοῦτον καλλωπίζει τὴν εἰσαγωγὴν τῶν Νυκτερινῶν Μυθολογιῶν, καὶ τὸν μεταξὺ αὐτοῦ, τῆς Σιτᾶς καὶ τοῦ κρεωπώλου διάλογον, ὃν εὑρίσκει ὁ ἀναγνώστης ἐν τῷ ἡμετ. κειμένῳ.

Ὁ Μαδάνας ἐξῆλθε τότε εἰς περιοδείαν (1). Ἡ δὲ σύζυγος αὐτοῦ ὑπὸ ὠκυπόδων Ἐριννύων ἀποπλανηθεῖσα, ἀπεφάσισεν ἵνα λάβῃ μυστικὴν συνέντευξιν μετ' ἀλλοτρίου ἀνδρὸς, καλουμένου Γουναχάνδραν (2). Ἡ μὲν Κίσσα ἐναντιωθεῖσα ἀπεπνίγη ὑπὸ τῆς Πραββαβατῆς (3)· ὁ δὲ Ψιττακὸς ἀπ' ἐναντίας ἐπῄνει τὴν ἀπόφασιν τῆς δεσποίνης αὐτοῦ, πλὴν ὑπεμίμνησκε τοὺς κινδύνους, οἵτινες τὴν ἐπαπείλουν, καὶ τὴν ὕβριν, ἥτις προσγίνεται εἰς τὰς εὐγενεῖς γυναῖκας, ἂν ἡ ἐπιχείρησις δὲν ἐπιτύχῃ. Ἐπὶ τούτοις ἐπεκαλέσθη τὸ ἱστορικὸν διήγημα τοῦ υἱοῦ ἐμπόρου τινὸς, ὅπερ κατὰ πρόσκλησιν τῆς ἰδίας Πραββαβατῆς ἐδιηγήθη, ὡς ἑξῆς·

«Εἰς τὴν πόλιν Κανδραβατὴν ἦν Βασιλεὺς Βήμας καλούμενος (4). Ἐνταῦθα κατῴκει καί τις προϊστάμενος σωματίου Μοχάνας ὀνομαζόμενος, οὗ ὁ υἱὸς τοὔνομα Σουδχάνας (5) ἐρωτεύθη τῆς Λαξμῆς, συζύγου τινὸς καλουμένου Χαριδάτα (6),

---

(1) Ὁ Μαδάνας μετὰ τὴν ἱστορίαν τοῦ Δεβασσαρμᾶνος εὐπειθὴς, λέγει, τοῖς γονεῦσι γενόμενος, ἐζήτησε, καὶ ἄδειαν λαβὼν παρὰ τῶν γονέων, ἐπέβη νηὸς, καὶ ἀπέπλευσεν εἰς ἐμπορίαν. Τὸ δὲ τοῦ Κυρίου Λασσένου κείμενον λέγει, ὅτι ὁ βασιλόπαις Μαδάνας ἐξῆλθεν εἰς περιοδείαν.

(2) Λείπει ἐκ τοῦ ἡμετέρου κειμένου τὸ ὄνομα τοῦ ἐραστοῦ.

(3) Ἡ Κίσσα, λέγει τὸ ἡμέτερον κείμενον, ἐξεφώνησε· «Μὴ πορευθῇς· μὴ· ἀνοίκειον γάρ.» Βουλομένης δὲ της Πραββαβατῆς κρατῆσαι, καὶ ἀνελεῖν, ἡ Κίσσα πετασθεῖσα ἔφυγεν. Ἡ δὲ Κίσσα ἐν τῷ τοῦ Κυρίου Λασσένου κειμένῳ λέγει, ὅτι ἀπεπνίγη. Τοιαύτη ἐν ἑκάστῃ σελίδι καὶ γραμμῇ ὑπάρχει διαφορὰ μεταξὺ τῶν δύο κειμένων.

(4) Ἐν τῷ ἡμετ. κειμ. δὲν ἀναφέρεται τὸ ὄνομα τοῦ Βασιλέως τῆς πόλεως

(5) Ἐν τῷ ἡμετ. κειμ. ὁ Μοχάνας ἐστὶν ὁ ἐραστής· ἐν δὲ τῷ τοῦ Κυρίου Λασσένου, Μοχάνας καλεῖται ὁ ἔμπορος (ὃν καὶ ἀρχηγὸν σωματίου χαρακτηρίζει)· ὁ δὲ υἱὸς αὐτοῦ, καὶ ἐραστὴς τῆς Λαξμῆς ὀνομάζεται Σουδχάνας.

(6) Ἐν τῷ ἡμετ. κειμένῳ δὲν ἀναφέρεται παντελῶς τὸ ὄνομα τοῦ συζύγου τῆς Λαξμῆς.

εἰς ἣν ἔπεμψε τὴν μαστρωπὸν Τουρνὰν (Πουρνὰν φερωνύμως, λέγει ὁ Γαλανός), ἥτις τὴν κατέπεισεν ἵνα ἔλθῃ εἰς τὴν οἰκίαν αὐτῆς, πρὸς ἐντάμωσιν τοῦ ἐραστοῦ. Ἐπειδὴ δὲ ὁ περιμενόμενος Σουδχάνας δὲν ἐνεφανίσθη, ἡ Λαξμὴ προσεκάλεσε διὰ τῆς μαστρωποῦ ἄλλον ὁποιονδήποτε ἄνδρα (1). Ἡ δὲ ἐξ ἀγνοίας ἔφερε τὸν σύζυγον τῆς Λαξμῆς. Ὅταν δὲ ὁ Ψιττακὸς παρετήρησε τὴν ταραχὴν τῆς Πραββαβατῆς, ἠρώτησεν αὐτήν, τί ποιητέον; Καὶ ἀποκριθείσης, ὅτι οὐκ οἶδεν, ὁ Ψιττακὸς ἠκολούθησεν εἰπών· «Ἡ Λαξμὴ, ἰδοῦσα αἴφνης τὸν σύζυγον, προσεποιήθη τὴν θυμωμένην, καὶ μετ' ἀγανακτήσεως εἶπεν· «Ἔπραξα τοῦτο, ἵνα δοκιμάσω τὴν σὴν πίστιν, καὶ ἂν ἔχῃς σχέσιν μετ' ἄλλων γυναικῶν, ὡς ἤδη πληροφοροῦμαι, κτλ.» Ὁ δὲ σύζυγος καταπραΰνας αὐτὴν ἀπήγαγεν εἰς τὴν οἰκίαν αὐτοῦ. Ἐν ᾧ δὲ ταῦτα ἐδιηγεῖτο ὁ Ψιττακὸς, παρῆλθεν ἡ ὥρα· ἡ δὲ Πραββαβατὴ ἐκοιμήθη ἐν οἴκῳ (2).»

Ταῦτα καὶ περὶ τῆς δευτέρας συλλογῆς, ἤτοι τῶν Νυκτερινῶν Μυθολογιῶν τοῦ Ψιττακοῦ, τὰς ὁποίας δὲν ἀπήντησα μέχρι τοῦδε ἐν οὐδεμιᾷ μυθικῇ συλλογῇ· ἐξ οὗ εἰκάσει τις,

---

(1) Οἰστρουμένη, λέγει τὸ ἡμέτερον κείμενον, τῷ ἔρωτι ἡ Λαξμὴ ἔφη· «Κόμισόν μοι ὄν νινα ἄλλον ἄνδρα εὔρῃς.» Ἡ δὲ ἐξ ἀγνοίας τὸν ἄνδρα τῆς Λαξμῆς, πρὸς τὴν ἰδίαν ἐκόμισε.

(2) Παρατηρεῖ ὁ ἀναγνώστης ἐκ τῆς μικρᾶς καὶ προχείρου ταύτης συγκρίσεως τὴν μεγίστην μεταξὺ τῶν δύο κειμένων διαφοράν· δὲν λέγω, ὡς πρὸς τὴν οὐσίαν, ἀλλ' ὡς πρὸς τὴν διάταξιν, τὴν ἔκθεσιν, τὰς περιστάσεις, τὰ ὀνόματα, κτλ., ἣν καὶ ὁ κριτικὸς τῆς Βόννης ἐκ προοιμίων ὑποπτεύθη.

Ἡ πρὸς ἡμᾶς ἐκτεταμένη ἀπάντησις τοῦ Κυρίου Λασσένου, γραφεῖσα τῇ 2 τοῦ παρελθόντος Ἰανουαρίου, ἐκτὸς τοῦ ἀποσπάσματος, γέμει φιλολογικῶν καὶ κριτικῶν παρατηρήσεων, περὶ ὧν εὐχαριστῶ τὸν σεβαστὸν τοῦτον φίλον, τὸν μετὰ τοσαύτης ἀγαθότητος καὶ ἀκριβείας ὑπὲρ ἡμῶν κοπιάσαντα.

ὅτι οὔτε τὸ χειρόγραφον ἐδημοσιεύθη, οὔτε ἡ μετάφρασις αὐτοῦ ἐν οὐδεμιᾷ Εὐρωπαϊκῇ διαλέκτῳ, ἐκτὸς δηλονότι τῆς εἰσαγωγῆς, καὶ τοῦ πρώτου διηγήματος, ἅτινα μεταγλωττίσας ἐδημοσίευσεν, ὡς ἐρρέθη, ὁ Κύριος Λάσσενος ἐν τῇ Σανσκριτικῇ αὐτοῦ Ἀνθολογίᾳ· ἐπομένως ἡ Ἑλληνικὴ αὕτη τοῦ ἀοιδίμου Γαλανοῦ μετάφρασις, παρουσιαζομένη ἤδη τὸ πρῶτον εἰς τὸν φιλολογικὸν κόσμον, συνιστᾶται εἰς τὴν ἐπιεικῆ κρίσιν τῶν σοφῶν Ἰνδολόγων.

Ἐπειδὴ δὲ, ὡς εἶπον προηγουμένως, λείπουσιν ἐκ τῆς ἡμετέρας μεταφράσεως αἱ δώδεκα τελευταῖαι νύκτες, ἠγνόουν ὅλως τὸ τέλος μετὰ τὴν τοῦ Μαδάνα ἐπιστροφὴν, περὶ οὗ ἀποφαίνεται πάλιν ὁ Κύριος Λάσσενος· «Ποῖον δὲ τὸ τέλος τῶν τοῦ Ψιττακοῦ μυθολογιῶν δὲν δύναμαι ἐπὶ τοῦ παρόντος ἵνα σᾶς πληροφορήσω· κατὰ τὴν Περσικὴν ὅμως ἐξήγησιν ὁ Μαδάνας ἐπανακάμψας, καὶ τὸν Ψιττακὸν περὶ τῆς διαγωγῆς τῆς συζύγου ἐρωτήσας, ἔμαθε, φαίνεται, ὁποία ὑπῆρξεν ἐν τῇ ἀπουσίᾳ αὐτοῦ ἡ τῆς Πραββαβατῆς πρόθεσις. Τοῦτο πληροφορηθεὶς ὁ Μαδάνας, καὶ ἀγανακτήσας ἐθανάτωσε τὴν σύζυγον αὐτοῦ.» Ἡ πρᾶξις αὕτη, ὅσον μᾶλλον ἀντίκειται εἰς τὴν γνωστὴν τῶν Ἰνδῶν φιλανθρωπίαν, καὶ τὸν πρὸς πᾶν ἔμψυχον αὐτῶν οἶκτον καὶ συμπάθειαν, τοσοῦτον συμφωνεῖ ὡς πρὸς τὴν φυσικὴν τῶν Ἀσιανῶν ζηλοτυπίαν, καὶ τὴν πρὸς τὴν ἐκδίκησιν ἀκάθεκτον αὐτῶν ῥοπὴν, ὡς πληροφορεῖται ἕκαστος διερχόμενος τὰς μυθικὰς Συλλογὰς τῶν Περσῶν καὶ Ἀράβων, τῶν Σινῶν καὶ αὐτῶν τῶν Ἰνδῶν.

ΓΕΩΡΓΙΟΣ Κ. ΤΥΠΑΛΔΟΣ.

ΧΙΤΟΠΑΔΑΣΣΑ
Ἢ
ΠΑΝΤΣΑ ΤΑΝΤΡΑ
ΗΤΟΙ
ΠΕΝΤΑΤΕΥΧΟΣ.

«ΚΑΙ ἔργῳ καὶ λόγῳ καὶ νοὶ καὶ σώματι προ-»σκυνῶ καὶ ὑμνῶ τὴν Σαρασβατὴν ἐς ἀεί, ἧ διαβατὸν «ἐγένετο τὸ πέλαγος τῆς μαθήσεως, τὸ δυσδιάβατον »καὶ αὐτοῖς τοῖς θεοῖς.

»Προσκύνησις τῷ Μανοῦ, τῷ Βριχασπατῇ, τῷ Σού-»κρᾳ, τῷ Παρασσάρᾳ, τῷ Βεάσα, τῷ σοφῷ Σανακέᾳ, »καὶ τοῖς λοιποῖς σοφοῖς, καὶ ἐπιστήμοσι.

»Προσκυνήσας δὲ καὶ τὸν ἀλεξίκακον Γανέσσαν, »τὸν υἱὸν τῆς θεᾶς Παρβατῆς, ἐρῶ περὶ πολιτικῶν, »οἰκονομικῶν, καὶ ἠθικῶν μεμιγμένων μυθολογίᾳ.

»Ὁ Βισνουσσαρμὰν πᾶν βιβλίον ἐν κόσμῳ διελθὼν, »πολιτικὰ, οἰκονομικὰ, ἢ ἠθικὰ διαλαμβάνον, συνέγρα-»ψε τοῦτο τὸ λίαν χάριεν καὶ ἀπαράμιλλον ποίημα, »ὅπερ εἰς πέντε βιβλία διαιρεῖται.

Ὡς δὲ ἐγένετο, οὕτως ἔχει·

Πόλις ἐστὶ κατὰ τὸ νότιον μέρος, Μαχιλαρουπὴ τοὔνομα, ἔνθα Βασιλεύς τις ἦν Ἀμαρασσακτὴς καλούμενος, ἐς ἄκρον ἐληλυθὼς πάσης παιδείας τε καὶ ἐπιστήμης, βρίθων πολιτικῇ, οἰκονομικῇ, καὶ ἠθικῇ φιλοσοφίᾳ, πανένδοξός τε καὶ πανέκλαμπρος τοῖς, οἷς εἶχεν, ὑποχειρίοις καὶ ὑποτελέσι Βασιλεῦσι. Τούτῳ γίνονται

υἱοὶ τρεῖς, ὧν τὰ ὀνόματα, Βαχουσσακτὴς, Οὐγρασσακτὴς, καὶ Ἀναντασσακτὴς, πάντῃ δύσνοες τυγχάνοντες. Ὁ τοίνυν Βασιλεὺς, σκοπῶν αὐτοὺς ἀφυῶς ἔχοντας πρὸς μάθησιν, τοὺς συμβούλους συγκαλέσας τοὺς ἑαυτοῦ, ἔλεξε τάδε·

«Γνωστόν ἐστιν ὑμῖν, ὡς οὗτοι οἱ ἐμοὶ υἱοὶ οὔτε εὐφυῶς ἔχουσι μαθήσεως, καὶ ἄμοιροί εἰσι διακρίσεως· ταῦτ' ἄρα ἡ Βασιλεία, καίπερ εὐδιοίκητος καὶ ἀτάραχος, ἥκιστα ἡδονήν μοι δίδωσιν.

Ὀρθῶς ἄρα λέγεται·

«Βέλτιον τὸ ἀποθανεῖν, ἢ τὸ μὴ γενν»ηθῆναι ὅλως »υἱὸν, τοῦ γενν»ηθῆναί τε καὶ εἶναι ἐν τοῖς ζῶσι μω»ρόν· ὁ γὰρ ἀποθανὼν, ἢ μὴ γενν»ηθεὶς ὅλως υἱὸς, »ὀλίγην προξενεῖ τὴν ἀνίαν· ὁ δὲ ζῶν μωρὸς υἱὸς, »ἐφ' ὅρου ζωῆς κατακαίει τὴν πατρικὴν καρδίαν.

«Τί ὄφελος ἐξ ἐκείνης τῆς βοὸς, ἢ οὔτε κυοφορεῖ, »οὔτε γαλακτοφορεῖ; τί ὄφελος ἐξ ἐκείνου τοῦ γεννη»θέντος υἱοῦ, ὃς οὔτε φρονήσεως, οὔτ' ἀρετῆς εὐ»μοιρεῖ;

»Κάλλιον ἔκτρωσις, κάλλιον συνουσίας ἀποχὴ, κάλλιον γέννησις θυγατρὸς, ἢ βρέφους θνητοῦ, κάλλιον »στείρα γυνὴ, κάλλιον δὲ καὶ σύλληψις, ἐὰν μένῃ »ἀεὶ ἐν γαστρὶ, ἢ ἄφρων υἱὸς, καίπερ πάγκαλος καὶ »πάμπλουτος.

«Ἀνθ' ὧν πάσῃ μηχανῇ καὶ παντὶ τρόπῳ ὡς οἷόν τε χρηστέον εἰς γρηγόρησιν τοῦ ὑπνοῦντος νοὸς τούτων τῶν υἱῶν μου.»

Τῶν μὲν οὖν Βουλευτῶν τινες ἔφασαν· «Ὦ Βασιλεῦ,

μέχρι δώδεκα ἐτῶν ἀκουστέα ἐστι καὶ διδακτέα τὰ τῆς γραμματικῆς· μετὰ δὲ τὴν ταύτης ὁπωσδηποτοῦν γνῶσιν, γνωστὰ τὰ τοῦ νόμου γίνεται· κἀντεῦθεν θῆξις καὶ ὀξύτης τοῦ νοὸς ἐπισυμβαίνει.» Εἷς δέ τις αὐτῶν, ᾧ ὄνομα Σουματὴς, εἶρηκεν· «Ἡ μὲν ζωὴ αὕτη ἐφήμεμερος, ὦ Ἄναξ, τὰ δὲ περὶ τὴν γραμματικὴν διὰ πολλοῦ τοῦ χρόνου εἰς γνῶσιν ἥκει· ὅθεν ὁδόν τινα ἐπίτομον ἐπινοητέον εἰς γρηγόρησιν τοῦ νοὸς τῶν παίδων. Οὕτωσί πως δὲ καὶ τῶν ποιητῶν τις ἀποφθέγγεται·

«Ἡ μὲν γραμματικὴ τέχνη μακρὰ, ἡ δὲ ζωὴ βρα»χεῖα, καὶ πολλὰ τὰ ἐμποδών· ὅ,τι τοίνυν εὔχρη»στον, τοῦτο ἐρανιστέον, ὡς τὸ γάλα ὑπὸ τοῦ χηνὸς »ἐκ μέσου τοῦ ὕδατος.

»Ἐνταῦθά ἐστιν, ἔφη, εἰς Βραχμὰν, οὗ τὸ ὄνομα Βισνουσσαρμὰν, κλέος ἔχων πολὺ ἐν πολλοῖς ἐπιστήμοσι. Τούτῳ τοὺς παῖδας ἐγχείρισον· ὁ δὲ, ἐν βραχεῖ νοήμονας αὐτοὺς ἀποτελέσει.» Τούτου τῶν λόγων ἀκούσας ὁ Βασιλεὺς, καλέσας ἐκεῖνον τὸν Βισνουσσαρμᾶνα, «Λάβε τοὺς παῖδας τούτους, ἔφη, θεσπέσιε, καὶ τοιούτους αὐτοὺς ποίησον κατὰ τὴν πολιτικὴν, οἰκονομικὴν, καὶ ἠθικὴν φιλοσοφίαν, οἷοι οὐδέποτ' ἄλλοι γεγόνασιν· ἐγὼ δέσοι ἑκατὸν δωρήσομαι κώμας.» Ὁ δὲ, «Εἰσακουσθήτω μου τὸ ῥῆμα τόδε, Βασιλεῦ. Ἐγὼ τὴν μάθησιν οὐ διαπιπράσκω ἑκατὸν κωμῶν, ἀλλ' οὐδέ γε φιλοχρήματός εἰμι· παιδείαν δὲ παιδεύσω τοὺς παῖδας εἰς ἐκπλήρωσιν τοῦ σοῦ αἰτήματος. Ἐὰν μέντοι γε τούτους μετὰ παρέλευσιν μηνῶν ἓξ εὐδήμονας τῶν πολιτικῶν, οἰκονομικῶν, καὶ ἠθικῶν μὴ ἀποδείξω, οὐδὲ

ποτε κληθήσομαι Βισνουσσαρμάν.» Ὁ μὲν δὴ Βασιλεὺς, παραδοὺς αὐτῷ τοὺς παῖδας μετὰ χαρᾶς καὶ τιμῆς, λίαν ἀμέριμνος ἐγένετο· ὁ δὲ, παραλαβὼν αὐτοὺς, οἴκαδε ᾤχετο. Ὧν χάριν πέντε συνέγραψε βιβλία· τὸ μὲν Περὶ διαλύσεως φιλίας, τὸ δὲ Περὶ κτήσεως φιλίας, τὸ δὲ Περὶ στρατηγήματος καὶ μάχης, τὸ δὲ Περὶ στερήσεως τοῦ κτηθέντος, τὸ δὲ πέμπτον Περὶ ἀπερισκέπτου ἔργου(1). Ταῦτα δὴ παιδευόμενοι, ὡς ἐν παιδιᾷ, οἱ παῖδες οὗτοι, τοιοῦτοι ἐν ἑξαμήνῳ διαστήματι ἐγένοντο, οἵους εἴρηκεν ὁ Βισνουσσαρμὰν, καὶ ἤθελεν ὁ Βασιλεύς. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου τὸ πολιτικὸν, οἰκονομικὸν, καὶ ἠθικὸν τοῦτο ποίημα, ὃ ἐπικέκληται Παντσατάντρα, τουτέστι, Πεντάτευχος, εἰς ἀνάγνωσιν καὶ γνῶσιν τῶν παίδων ἐθίζεται. Ἀλλὰ τί δεῖ μακρηγορεῖν; Ὅς τις τὸ πολιτικὸν, οἰκονομικὸν καὶ ἠθικὸν τουτὶ ποίημα συνεχῶς καὶ προσεχῶς ἀναγινώσκει, ἢ ἀκούει, οὗτος οὐδέποτ' ἂν νικηθείη οὐδ' ὑπ' αὐτοῦ τοῦ Ἰνδρα.

Τοῦ μὲν ὅλου ποιήματος ἡ ὑπόθεσις αὕτη ἐστὶν ἐν κεφαλαίῳ· τοῦ δὲ πρώτου βιβλίου ἡ ἑξῆς·

---

(1) Ἡ μετάφρασις τῶν δύω τελευταίων βιβλίων τῆς Χιτοπαδάσας, τὸ τέλος τοῦ *Περὶ διαλύσεως φιλίας* ἐν ἀρχῇ τεθέντος βιβλίου, καὶ ἡ ἀρχὴ τοῦ *Περὶ κτήσεως φιλίας*, λείπουσιν ἐν τῷ τοῦ ἀοιδίμου Δ. Γαλανοῦ χειρογράφῳ. Ὑπάρχει δὲ διττὴ καὶ διάφορος μετάφρασις τοῦ Περὶ διαλύσεως φιλίας Α. Βιβλίου, ἣν ἐκδίδομεν ἀμέσως μετὰ τὴν πρώτην. Τὴν ἔλλειψιν ταύτην ἀναπληροῖ ὡς οἱόν τε ἡ τοῦ Συμεῶνος Μαίγστρου τοῦ Σὴθ μετάφρασις τῆς Πεντατεύχου, ἐκδιδομένης ὡς συμπλήρωμα.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ,

Περὶ διαλύσεως φιλίας.

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

«Μεγάλη φιλία οὖσα Λέοντος καὶ Ταύρου ἐν ἄλσει, δια-»λύεται ὑπὸ Κυνολύκου, πάνυ πλεονέκτου, καὶ συκοφάντου.

ΒΑΣΙΛΕΩΣ ΠΑΙΔΕΣ.

Πῶς ἔχει τοῦτο;

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

«Πόλις ἐστὶ κατὰ τὴν μεσημβρίαν, καλουμένη Σανδραπού-ρα· ἧς Βασιλεὺς ἦν, Χεμαράτας τοὔνομα· ἔστι δ' αὕτη ἡ πόλις πάγκαλος, καὶ πασῶν τῶν ἐπὶ γῆς πόλεων κορωνὶς, ἐρίζουσα τῇ Ἀμαραβατῇ, τῇ οὐρανίᾳ πόλει τοῦ Ἰνδρα, κε-κοσμημένη τριόδοις τε καὶ τετραόδοις, οἴκοις ὑψηλοῖς, καὶ θεῶν ναοῖς λαμπροῖς, καὶ περιησφαλισμένη τάφρῳ τε βαθείᾳ, καὶ τείχεσι, καὶ πύργοις οὐρανομήκεσι, καὶ πύλαις σιδηραῖς, καὶ ὅπλοις ἀμυντηρίοις. Ἐν ταύτῃ τῇ πόλει ᾤκει μεγαλέμ-πορός τις, Βαρδδαμάνας ὀνόματι, ἔχων πολλὰ προτερήματα, καὶ ἀνάριθμα χρήματα, δικαίῳ τῷ τρόπῳ συνειλεγμένα. Καί ποτε ἐν τῷ μέσῳ τῆς νυκτὸς εἰς ἔννοιαν αὐτῷ ἦλθε ταῦ-τα τὰ σοφῶν ἀνδρῶν ἀποφθέγματα·

«Καὶ πολὺς ὢν ὁ συλλεχθεὶς πλοῦτος, ἀναλισκόμενος, »ἐξίτηλος γίνεται· κατ' ὀλίγον δὲ συλλεγόμενος, σωρὸς μέ-»γας γίνεται.

«Τὰ μὴ κτηθέντα χρήματα, κτητέα· τὰ δὲ κτηθέντα, »φυλακτέα· τὰ δὲ φυλαχθέντα, ἐπαυξητέα, καὶ ὅπου δεῖ, »διαδοτέα.

«Καί τοι δὲ τὰ χρήματα ἐν οἰκονομίᾳ διασώζονται, ἐν »πολλαῖς ὅμως ἀνάγκαις καὶ περιστάσεσιν αὐθωρὸν ἀνα»λίσκονται· μὴ ὄντα γὰρ εἰς χρῆσιν, χρείας οὔσης καὶ ἀνάγ»κης, ὅμοιά εἰσιν, ὥσπερ εἰ μὴ ἐκτήθησαν.

«Τὸ τέλος τῶν συνειλεγμένων χρημάτων, ἡ χρῆσις καὶ »διάδοσίς ἐστιν, ὥσπερ τῶν ἐν λίμναις συνηγμένων ὑδάτων »ἡ πόσις καὶ ἐξάντλησις.

«Πλούτου ἀγαθῇ τύχῃ προσπορισθέντος, ᾧ τινι ἔφεσις οὐκ »ἔστι τρυφῆς οὔτ' ἐν τῷ παρόντι, οὔτ' ἐν τῷ μέλλοντι βίῳ, »οὗτος πλουτοφύλαξ τυγχάνει ἀνόητος.

«Χρήμασι τὰ χρήματα εἰς χεῖρας ἔρχονται, ὡς ἐλέφασιν »οἱ ἐλέφαντες· οὐ γὰρ δυνατόν ἐστι τῷ ἀχρημάτῳ ἐμπορίᾳ »χρήσασθαι διὰ μόνης τῆς θελήσεως.

«Οὐδὲν οὐδαμῶς ἐστιν, ὃ διὰ χρημάτων οὐ τελεῖται· ὁ »τοίνυν φρόνιμος πλοῦτον μόνον πορίζοιτο ἂν πάσῃ μηχανῇ »καὶ φροντίδι.

«Ὅτῳ πλοῦτος, τούτῳ φίλος· ὅτῳ πλοῦτος, τούτῳ οἰκεῖοι· »ὅτῳ πλοῦτος, οὗτος ἀνήρ· ὅτῳ πλοῦτος, οὗτος ἐν κόσμῳ »σοφός.

«Οὔτ' ἐπιστήμη, οὔτε τέχνη, οὔτε σοφία, οὔτε μηχανή, »οὔτε μήν νίκη ἐστίν, ἃ ταῦτα πάντα κτητὰ οὐ γίνονται »τῷ πλοῦτον ἔχοντι παρὰ τῶν μὴ ἐχόντων.

«Ἐν τούτῳ τῷ Κόσμῳ ὁ μὲν ξένος, πλούσιος ὤν, οἰκεῖος »κρίνεται· ὁ δ' οἰκεῖος, πτωχὸς ὤν, καὶ ξένος, καὶ κακόφρων »ἅμα νομίζεται.

«Πάντα πάντως γε τὰ ἀποτελέσματα τὸ εἶναι ἔχουσιν »ἐκ τῶν διαδιδομένων χρημάτων, ὡς τὰ ποτάμια ὕδατα ἐκ »τῶν ὀρέων.

«Διὰ ταύτην τὴν αἰτίαν αἴτια ὀργανικὰ πάντων λέγονται »τὰ χρήματα, διότι δι' αὐτῶν ἅπαν βρῶμα ἐκτελεῖται, ἐξ »οὗ αἱ αἰσθήσεις εὐτονοῦσι, καὶ πᾶν ἔργον ἀποτελεῖται.

«Ἐκ τοῦ διαδιδρομένου πλούτου ὁ μὲν ἄτιμος τιμῆς ἀξιοῦ- »ται, ὁ δ' ἀνάξιος ἄξιος κρίνεται, καὶ ὁ μεμπτὸς ἐπαινετὸς »γίνεται· ἐκ δὲ τοῦ κατορωρυγμένου τίς ὄνησις;

«Διὰ χρήματα ὁ ἐνδεὴς ἄνθρωπος, καίπερ ζῶν, τῇ τῶν »νεκύων χώρᾳ ἐμφιλοχωρεῖ· καὶ τὸν γεννήσαντα δὲ κατα- »λιπὼν, πέντητα ὄντα, εἰς χώραν μακρὰν ἀποδημεῖ.

«Ὅτῳ πλοῦτος πάρεστιν, οὗτος ἀνὴρ, οὗτος εὐγενὴς, εὐ- »μαθὴς, πολυμαθὴς, καὶ φιλομαθὴς, οὗτος εὔγλωτος, καὶ εὔ- »μορφος· ἁπαξάπαντα τὰ προτερήματα τοῦ χρυσίου ἐξαρ- »τῶνται.

»Αὐτὸς δ' ὁ πλοῦτος (διανοεῖται ὁ Βαρδαμάνας) ἓξ τρό- »ποις τοῖς ἀνθρώποις ἐπιγίνεται· οἷον, ἐπαιτήσει, βασιλικῇ »ὑπουργίᾳ, γεωργίᾳ, τεχνουργίᾳ, τοκισμῷ, καὶ ἐμπορίᾳ. Τού- »των δ' ἁπάντων ὁ ἐμπορικὸς βίος ἐπικερδέστερός ἐστι καὶ »ἀψογώτερος. Ἀράροτως ἄρα καὶ πεποίηται·

«Ἡ μὲν ἐπαίτησις εὐτελὲς, ἡ δὲ βασιλικὴ ὑπουργία ἐπι- »κίνδυνον, ἡ δὲ γεωργία ἐπίπονον, ἡ δὲ τέχνη δύσκολον, διὰ »τὴν πρὸς τὸν διδάσκοντα ὑποταγὴν καὶ ὑπακοὴν, ὁ δὲ το- »κισμὸς μικροπρεπὲς, διὰ τὸ σφετερίζειν, ἃ ἕθετο ἐν ἀλλο- »τρίᾳ χειρί· τοῦγε μὴν ἐμπορικοῦ, οὐδένα ἄλλον βίον κρίνω »ἀνώτερον.

»Οἱ δὲ ἐμπορικοὶ ἢ καπηλικοὶ τρόποι κέρδους πολλοῦ, ἑπτά εἰσι· φέρ' εἰπεῖν, τὸ ἀνίσως ζυγοστατεῖν, τὸ ἐπὶ τῇ τιμῇ ψευ- δολογεῖν, ἡ παράθεσις παρακαταθήκης, ἡ ἕλευσις ἀγοραστοῦ γνωστοῦ, τὸ ἔργον τοῦ προξενητοῦ, ἡ μυρεψία, καὶ ἡ εἰς ἀλ- λοδαπὴν κομιδὴ πρασίμων. Ἀστείως δ' ἄρα καὶ πεποίηται·

«Τῶν καπήλων ἰδιόν ἐστι τὸ ἀπατᾶν ἀεὶ ζυγοῖς ἀνίσοις,

»καὶ μέτροις ἐλλειπέσι, καὶ λόγοις χρῆσθαι ψευδέσιν ἐπὶ τῇ »τιμῇ τοῦ πωλουμένου.

«Παρακαταθήκης εἰς οἶκον ἀχθείσης, ὁ Κάπηλος τοῦ οἰκείου »θεοῦ δέεται οὑτωσί· «Ἀποθανέτω ἐν τάχει ὁ παραθείς μοι »τὴν παρακαταθήκην, ὦ Θεέ· ἐγὼ δέ σοι εὐκταῖα δῶρα προ»σοίσομαι. »

«Βλέπων ὁ Κάπηλος ἐν ἀδημονίᾳ γνωστὸν ἀγοραστὴν, ἐρ»χόμενον, χαίρει ἐπὶ ληφθησομένοις χρήμασιν, ὡς ἐπὶ υἱῷ »γεννηθέντι.

«Πάντων τῶν εἰς πράσιν ἐπιτηδείων τὰ τοῦ Μυρεψοῦ ἐστιν »ἐπικερδέστατα· τὸ γὰρ ὠνηθὲν δι' ἑνὸς, πιπράσκεται δι' »ἑκατόν· τίς οὖν χρεία χρυσίου, ἢ ἄλλου πολυτίμου πράγ»ματος;

«Ὁ προξενητὴς λογίζεται ἐν ἑαυτῷ, ὡς δῶρον, περιφθὲν »παρὰ Θεοῦ, ὅ,τι κερδαίνει ἐξ ἀμφοτέρων τῶν μερῶν κατὰ »τὴν συμφωνίαν.

«Οἱ ἐμπορικοὶ διπλάσια καὶ τριπλάσια κερδαίνουσιν ἐξ »ἀποδημίας εἰς χώραν μακρὰν, καὶ ἐκ φιλοπονίας.»

»Ταῦτα διαλογισάμενος ὁ Βαρδδαμάνας, παραλαβὼν τὰ εἰς ἀπεμπολὴν ἐπιτήδεια ἐν Ματουρᾷ τῇ πόλει, ἀναβὰς ἐφ' ἁμάξης ἐν αἰσίᾳ ἡμέρᾳ καὶ ὥρᾳ, ἐξῆλθε τῆς πόλεως Σανδραπούρας, προπεμπόμενος ὑπὸ φίλων καὶ οἰκείων, ἐν ἤχοις κόγχων καὶ σαλπίγγων. Παραγενόμενος δὲ παρὰ τὴν ὄχθην ποταμοῦ τινος, ἀποπέμψας τοὺς προπέμποντας οἰκείους καὶ φίλους, ἦει εἰς τὸ πρόσω. Τούτου τὴν ἅμαξαν εἵλκον δύω βόες οἰκογενεῖς, ἀγαθοὶ τὴν φύσιν, λευκοὶ τὴν χροιὰν, καὶ χρυσοῖς περιτραχηλίοις κεκοσμημένοι, ὁ μὲν Νανδάκας, ὁ δὲ Σανζηβάκας, προσαγορευόμενοι. Κατά τι δὲ ἄλσος, κατάφυτον δένδροις παντοίοις, οἰκούμενον πολυειδέσιν ἀγρίοις ζώοις, καὶ ὕδασι περιῤῥεόμενον ποτίμοις, καταῤῥέουσιν ἐξ ὀρέων, εἰς τῶν βοῶν, ὁ Σανζηβάκας, ἐμπαγεὶς τὸν πόδα ἐν ἰλύϊ, καὶ διατα-

ραχθείς, τόν τε ζυγὸν τὸν τῆς ἁμάξης κατέαξε, καὶ αὐτὸς τραυματίας γενόμενος, ἔπεσεν. Ἰδὼν δ' αὐτὸν ὁ ἁμαξηλάτης πεσόντα, καταβὰς εὐθέως, καὶ προσελθὼν τῷ Βαρδδαμάνα δρομαῖος, πλησίον ὄντι, ἔφη αὐτῷ μετ' αἰδοῦς, συνάψας τὰς παλάμας· «Ὁ Σανζηβάκας, κύριε, καμὼν ἐκ τῆς ὁδοιπορίας, ἔπεσεν ἐν ἰλύϊ.» Ὁ δὲ, ἀκούσας, ἀνείκαστον λύπην ἔλαβεν· καὶ εὐσπλαγχνία κινούμενος, ἔμεινεν ἐκεῖ πέντε νυχθήμερα εἰς ἀνάληψιν τοῦ βοός. Τηνικαῦτα ἡ λοιπὴ συνοδία, ἰδόντες ὡς ὁ βοῦς οὐκ ἀναλαμβάνει, προσελθόντες τῷ Βαρδδαμάνα, εἶπον αὐτῷ· «Ἑνὸς βοὸς χάριν, μεγαλέμπορε, ἅπαντας εἰς κίνδυνον ἡμᾶς καθυποβάλλεις ἐν μέσῳ δρυμοῦ, σφόδρα ὑπόπτου· τοῦτο δὲ ἀνοίκειον πάνυ. Λέγεται γάρ·

«Ἕνεκα τοῦ μέρους οὐκ ἀπολλύει τὸ ὅλον ὁ φρόνιμος ἄνθρω-»πος· σοφόν δ' ἐστιν ἀπολέσαι τὸ μέρος εἰς διατήρησιν τοῦ ὅλου.»

»Ὁ μὲν δὴ Βαρδδαμάνας, φύλακας καταστησάμενος τοῦ βοὸς, εἶπεν αὐτοῖς· «Ἂν οὗτος ὁ Σανζηβάκας ζήσῃ, παραλαβόντες αὐτὸν, ἔλθετε· ἂν δὲ θάνῃ, τελέσαντες τὰ νενομισμένα, ἥκετε.» Οὕτω μὲν οὗτος ἐπιτάξας, ὑποζεύξας ἄλλον βοῦν, εἶχετο τῆς εἰς τὰ πρόσω ὁδοῦ, ὡς ἠφίετο αὐτός τε καὶ ἡ συνοδία. Τῇ δ' ἐπιούσῃ οἱ φύλακες ἐκεῖνοι, φοβούμενοι μένειν ἐν ἐρήμῳ λίαν κινδυνώδει, καταλιπόντες τὸν βοῦν, ἀφίκοντο ταχέως πρὸς τὸν Βαρδδαμάναν, ἀναγγείλαντες ψευδῆ, ὡς ὁ Σανζηβάκας τεθνήκοι, καὶ ὡς πάντα τὰ νενομισμένα τετελεσμένα εἶεν. Καὶ ὡς, ἀκούσας, περίλυπος ἐγένετο· παρεγένετο δὲ τελευταῖον εἰς τὴν Ματουρὰν, ἄνευ ἑτέρου του συμβάματος. Ὁ δὲ Σανζηβάκας, ὑαίσας, καθὰ ἐπεκέκλωστο αὐτῷ ὑπὸ τῆς μοίρας, ἦκεν ἠρέμα ἐπὶ τὴν ὄχθην τοῦ Ἰαμουνᾶ ποταμοῦ, ἔνθα παντοίαν χλοερὰν πόαν ἀφθόνως ἐνέμετο· μετ' ὀλίγον τε εὐτραφὴς καὶ εὐσθενὴς ἦν, ὡς ὁ βοῦς τοῦ Σίβα, καὶ καθ' ἡμέραν ὄχθους τοῖς κέρασιν ἀνώρυττεν, ὡς ὁ μεμηνὼς ἐλέφας τοῖς ὀδοῦσιν. Ὀρθῶς ἄρα λέγεται·

«Τὸ μὲν ἀφύλακτον διασώζεται, θεοφύλακτον ὄν· τὸ δ' »εὐφύλακτον διόλλυται, θεήλατον ὄν. Ὁ προστασίας καὶ ἐπι- »σκέψεως ἔρημος, ζῇ, καὶ ἐν ἐρήμῳ ὤν· ὁ δ' ὑπὸ προστασίαν »καὶ ἐπίσκεψιν θνήσκει, καὶ ἐν οἴκῳ ὤν·»

»Καί ποτε λέων, Πιγγαλάκας ὀνόματι, πορευόμενος παρὰ τὸ χεῖλος τοῦ Ἰαμουνᾶ ποταμοῦ, ἐφ' ᾧ πιεῖν ὕδωρ, ἅπασι τοῖς ἀγρίοις ζώοις ἀμφιπολούμενος, ἤκουσε τοῦ βροντώδους μυκήματος τοῦ Σανζηβάκα. Φοβηθεὶς μὲν οὖν τὴν ψυχήν, ὑπο- κριθεὶς δὲ τὴν μορφήν, ἔστη ὑπὸ δένδρον Βάταν, ἐν μέσῳ τεσ- σάρων κυκλικῶν στοίχων τῶν ζώων, ὡς Βασιλεύς. Ἀραρότως ἄρα λέγεται·

«Καί περ μονήρης καὶ ὑλόβιος ὁ λέων, καὶ βασιλικὰ πα- »ράσημα μὴ ἔχων, μηδὲ πολιτικά, ἢ ἠθικὰ γινώσκων, Βασι- »λεὺς ὅμως λέγεται, ἐπειδὴ ἀλκιμώτερος καὶ γενναιότερος »πάντων πέφυκε τῶν ζώων.

«Οὔτε χειροτονία, οὔτε χρίσις γίνεται τῷ λέοντι ὑπὸ τῶν »ζώων· μόνος δ' αὐτὸς χειροτονεῖται Βασιλεὺς, διὰ τὸ ἄλκι- »μον καὶ μεγαλόθυμον, ὃ ἔχει.»

»Δύω δὲ κυνόλυκοι, ὀνομαζόμενοι ὁ μὲν, Καρατάκας, ὁ δὲ, Δαμανάκας, υἱοὶ μὲν ὄντες τοῦ πρώην βουλευτοῦ τούτου τοῦ λέοντος, ἐκπεπτωκότες δὲ τῆς ἀξίας, ἐτύγχανον παρακολου- θοῦντες μακρόθεν· οἳ καὶ ἤρξαντο ἀλλήλοις συνδιαλέγεσθαι οὑτωσί·

ΔΑΜΑΝΑΚΑΣ.

Οὗτος ὁ Πιγγαλάκας, βέλτιστε Καρατάκα, ὁ Βασιλεὺς ἡμῶν, τέως μὲν ἐκινήθη προθύμως ἐπὶ σκοπῷ τοῦ πιεῖν ὕδωρ· νῦν δὲ διὰ τί ὧδε ἵσταται ἀθύμως;

ΚΑΡΑΤΑΚΑΣ.

Τί δεῖ, φίλτατε, τοιαύτης ματαίας πολυπραγμοσύνης; λέ- γεται γάρ·

«Ὅστις φιλεῖ ἀσχολίαν ἔχειν ἐν τοῖς μὴ προσήκουσιν, οὗτος »ἐξώλης γίνεται, ὡς ὁ πίθηκος, ὁ τὸν σφῆνα ἀνασπάσας.

ΔΑΜΑΝΑΚΑΣ.

Πῶς ἔχει τοῦτο;

ΚΑΡΑΤΑΚΑΣ.

Ἐν μέσῳ ἄλσους, πλησίον πόλεώς τινος, ναὸς Θεοῦ ἀνηγείρετο· Περὶ δὲ τὴν μεσημβρίαν ἑκάστοτε οἵ τε οἰκοδόμοι καὶ οἱ ὑπουργοὶ εἰς τὴν πόλιν ἐπορεύοντο, ἀριστήσοντες. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν κατὰ τὴν μεσημβρίαν πληθὺς πιθήκων, περιφερόμενοι τῇδε κἀκεῖσε, παραγίνονται εἰς ἐκεῖνον τὸν ναὸν, ἡμιτελῆ ὄντα· ἔνθα ἦν πρὸς τῇ ἄλλῃ ὕλῃ καὶ μία μεγάλη δοκὸς ἡμίπριστος, σφῆνα ἔχουσα ἐν τῷ σχίσματι. Οἱ μὲν οὖν πίθηκοι παιδιὰν παίζειν ἤρξαντο, οἱ μὲν ἐπὶ τῶν δένδρων, οἱ δὲ ἐπὶ τῶν παρερριμμένων ξύλων, οἱ δὲ ἐπὶ τῆς κορυφῆς τοῦ ναοῦ, καὶ ἄλλοι ἄλλῃ, ᾗ ἕκαστος ἐγλίχετο. Εἷς δὲ τούτων, οὗ ὁ θάνατος ἤγγικεν, ἐκάθισεν ἐπισπερχῶς ἐπὶ τῆς ἡμιπρίστου δοκοῦ, καὶ ἀνασπάσαι ταῖς χερσὶ τὸν σφῆνα ἐπεβάλετο· ἀνασπασθέντος δὲ τοῦ σφηνὸς, οἱ ὄρχεις τοῦ πιθήκου ἐπιέσθησαν, τυχόντες ἐν μέσῳ τοῦ σχίσματος. Τοῦτο δ' ἐστὶν ὃ εἶπον ἀνωτέρω·

«Ὅστις φιλεῖ ἀσχολίαν ἔχειν ἐν τοῖς μὴ προσήκουσιν, οὗ»τος ἐξώλης γίνεται, ὡς ὁ πίθηκος, ὁ τὸν σφῆνα ἀνασπάσας.

Πρὸς δὲ τούτοις τὸ ἐναπολειφθὲν τῆς περιουσίας ἡμῶν ἱκανόν ἐστιν εἰς ἡμετέραν διατροφήν.

ΔΑΜΑΝΑΚΑΣ.

Σὺ δοκεῖς μοι ὀλιγαρκὴς, καὶ διατροφῆς μόνης φροντιστής· ἀλλ' ἡ πρὸς τοὺς κρείττονας θεραπεία θεωρεῖται οὐκ εἰς μόνην διατροφήν, ἀλλὰ καὶ εἰς πολλῶν ἄλλων ἀγαθῶν συγκομιδήν. Ὀρθῶς ἄρα λέγεται·

«Ἡ τοῦ Βασιλέως προστασία ἀσπαστή ἐστι τοῖς ἀνθρώποις,
»τῶν μὲν εὐμενῶν εἰς ἀγαθοποίησιν, τῶν δὲ δυσμενῶν εἰς κα-
»κοποίησιν· τίς γὰρ τὴν γαστέρα μόνην οὐ πληροῖ;

«Ἐκεῖνος ἐν τῷ κόσμῳ τούτῳ ζῇ κυρίως, δι' οὗ ζῶντος
»ζῶσιν ἀναρίθμητοι· τί δαί; καὶ οἱ κόρακες διὰ τοῦ ῥάμ-
»φους οὐ πλήρη ποιοῦσι τὴν ἑαυτῶν γαστέρα;

«Τίς ὄνησις τῆς ζωῆς τοῦ τοιούτου ἀνθρώπου, ὃς οὐ χα-
»ρίζεται τοῖς υἱεῦσι, τοῖς [illegible]εῦσι, τοῖς συγγενέσι, τοῖς ἐν-
»δεέσιν, οὐδὲ μὴν τοῖς θεράπουσι; Καὶ ἡ κορώνη ζῇ μὲν ἐπὶ
»μήκιστον· σιτεῖται δὲ τὰ ἀπορριπτόμενα.

«Ὁ μὲν κύων ὀσταρίου γυμνοῦ κρέατος καὶ στέατος τυχών,
»ἥδεται μέν, οὐ καταπαύει δὲ τὴν ἣν ἔχει πεῖναν διὰ μόνου
»τούτου· ὁ δὲ λέων, ἀφεὶς μικρὸν ζῶον, ᾧ προσέτυχε, θη-
»ρεύει ἐλέφαντα. Πᾶς γὰρ μεγαλόφρων, εἰ καὶ ἐν δεινοῖς ἐστι,
»ζητεῖ ὅμως τὸ ἀνῆκον εἰς τὴν αὐτοῦ φυσικὴν ἢ προαιρετι-
»κὴν ἀρετήν.

«Καθὼς ὁ μικρὸς ποταμὸς, καὶ ἡ μικρὰ παλάμη τοῦ μυὸς
»εὐπλήρωτος γίνεται δι' ὀλίγου, οὕτω καὶ ὁ μικρόφρων καὶ
»μικροπρεπὴς τῷ ὀλίγῳ ἀρκεῖται.

«Τί τὸ διάφορον κτήνους καὶ ἀνθρώπου, ὃς δίκην κτήνους
»οὔτε κρίσιν ἔχει τοῦ καλοῦ καὶ τοῦ κακοῦ, οὔτε γνῶσιν
»θείων τε καὶ ἀνθρωπείων, καὶ ἀρκεῖται μόνῃ τῇ πλησμονῇ
»τῆς γαστρός;

«Ἆρα, ὁ δίκην βοσκήματος ὢν ἄνθρωπος, ἔστιν ἐμφερὴς
»βοΐ, ποηφάγῳ μὲν, καὶ ἕλκοντι τὴν ἄμαξαν, ἢ τὸ ἄρο-
»τρον, κρείττων. . . . . .
. . . . . (1).

«Τίς ὠφέλεια ἐκ τῆς διαφθειράσης τὴν μητρικὴν νεότητα
»γεννήσεως τοῦ τοιούτου ἀνθρώπου, ὃς μετέωρος οὐκ ἔστι
»πρὸ τῆς ἑαυτοῦ γενεᾶς, ὡς ἡ σημαία πρὸ τῆς στρατιᾶς;

(1) Τὸ τέλος τῆς φράσεως ταύτης λείπει ἐν τῷ χειρογράφῳ.

«Τίς βροτὸς οὐ γεννᾶται ἐν τῷ κυκλοφορικῷ τούτῳ βίῳ; »ἐκεῖνος μέν τοι γ' ἄριστος κρίνεται ἐν τοῖς γεννηθεῖσιν, ὃς »ἐκλαμπρότερός ἐστι τῆς ἑαυτοῦ γενεᾶς.

«Πάνυ ὀνήσιμος ὁ χόρτος πέφυκεν, ὁ φυόμενος παρὰ τῇ »ποταμίᾳ ὀχθῃ· ἀντίληψις γὰρ γίνεται τῆς χειρὸς τοῦ βυθι»ζομένου ἐν τοῖς ὕδασιν.

«Ὃς, καί περ δυνάμενος, τὴν ἑαυτοῦ ἀρετὴν οὐκ ἄγει εἰς »φῶς, καταφρονεῖται· καὶ τὸ πῦρ, τὸ ὂν ἐντὸς τοῦ ξύλου »ἀφανῶς, καταπατεῖται· καῖον δ' ἐμφανῶς, οὐδαμῶς.

ΚΑΡΑΤΑΚΑΣ.

Τί κέρδος ἡμῖν ἐκ ταύτης τῆς διατριβῆς, οὖσι τὸ νῦν εἶναι ἄνευ ἀξιώματος;

ΔΑΜΑΝΑΚΑΣ.

Δι' ὀλίγου γε χρόνου, βέλτιστε, ὁ ἄνευ ἀξιώματος ἀξιωματικὸς γίνεται· οὕτω γὰρ καὶ λέγεται·

«Ὁ ἄνευ ἀξιώματος ἀξιωματικὸς γίνεται, ἂν τὸν Βασιλέα »θεραπεύῃ· ὁ δ' ἐν ἀξιώματι ἄνευ ἀξιώματος ἀποκαθίστα»ται, ἂν ἀμελήσῃ τῆς θεραπείας.

«Εἰ καὶ ἀμαθὴς, καὶ ἀγενὴς, καὶ ἄτακτός ἐστιν ἄνθρωπος, »τοῦτον ὅμως ἀσπάζεται καὶ φιλεῖ ὁ Βασιλεὺς, ὃς ἐστι πλη»σίον· ὡς τὰ πολλὰ γὰρ οἱ Βασιλεῖς καὶ αἱ γυναῖκες ἐκεῖνον »περιπτύσσονται, ὡς αἱ κληματίδες, ὅς ἐστι πλησίον.

«Μεθόδους τῆς ἐξιλεώσεως τοῦ βασιλικοῦ θυμοῦ σκέπτον»ται οἱ φρόνιμοι ὑπηρέται, καὶ κατὰ μικρὸν προσίασιν αὐτῷ, »καί περ αὐτοὺς ὠθοῦντι.

«Ἐκτὸς τοῦ Βασιλέως ἄλλη προστασία οὐκ ἔστι δήπου γε »τοῖς πεπαιδευμένοις, τοῖς γεηπόνοις, τοῖς τεχνίταις, τοῖς »ἐμπόροις, καὶ τοῖς ἐμπείροις ὑπηρέταις.

«Οἵτινες μικρόθυμοι καὶ ῥάθυμοι ὄντες, τὸν Βασιλέα οὐ

»θεραπεύουσι, τούτοις σύνεστιν, ὡς κόλασις, ἡ ἔνδεια καὶ »ἀπορία μέχρι θανάτου.

«Οἵτινες, δύσνοες ὄντες, προτείνουσιν, ὡς οἱ Βασιλεῖς δυσ»θεράπευτοι τυγχάνουσι, τούτοις αὐτοῖς γνωρίζεται ἡ ῥαθυ»μία, ἡ ὀκνηρία, καὶ ἡ μωρία, ἣν ἔχουσι.

«Πασίδηλόν ἐστιν, ὡς τρόποις τε καὶ μηχαναῖς ὑπὸ τῶν »ἐμφρόνων καὶ φερεπόνων χειροήθεις γίνονται οἱ ὄφεις, αἱ »τίγρεις, οἱ ἐλέφαντες, καὶ οἱ λέοντες· πολλῷ μᾶλλον ὁ Βα»σιλεύς.

«Μεγάλου βαθμοῦ καὶ δόξης ἐπιτυγχάνει ὁ νοῦν ἔχων, τὸν »Βασιλέα προστάτην ἔχων. Τὸ εὔοσμον Σάνδανον οὐ φύεται »ἀλλαχοῦ, ἀλλ' ἢ ἐν Μαλαίᾳ τῷ ὄρει.

«Τοῦ Βασιλέως ἡσθέντος, ἀριστεῖα τοῖς ἀρίστοις δίδονται »οὐρανίσκοι λευκοί, ἵπποι χαρίεντες, καὶ μεγάθυμοι ἐλέ»φαντες.

«Καθὼς ὁ ἄνθρωπος δυσκόλως μὲν ἀναβαίνει εἰς τὴν ἀκρώ»ρειαν, εὐκόλως δὲ πίπτει εἰς τὴν ὑπώρειαν, οὕτω δυσχερῶς »μὲν ἀναβαίνει εἰς τὴν ἀρετήν, εὐχερῶς δὲ καταπίπτει εἰς »τὴν κακίαν.

ΚΑΡΑΤΑΚΑΣ.

Τί δ' ἐν νῷ ἔχεις ποιῆσαι;

ΔΑΜΑΝΑΚΑΣ.

Ὁ Πιγγαλάκας οὗτος, ὁ Βασιλεὺς ἡμῶν, περιδεὴς διάκειται ἅμα τοῖς περὶ αὐτὸν, μὴ εἰδὼς, τί ποιήσῃ!

ΚΑΡΑΤΑΚΑΣ.

Πόθεν τοῦτο ἔγνως;

ΔΑΜΑΝΑΚΑΣ.

Ἐστιν ἄρα δύσκολον γνῶναι; λέγεται γάρ·

«Τοῦ λελεγμένου ἡ ἔννοια καὶ τοῖς κτήνεσι καταλαμβάνε-
»ται· κελευόμενοί γε, ἢ κεντούμενοι οἱ ἵπποι, καὶ οἱ ἐλέφαν-
»τες, φέρουσι τὸν ἀναβάτην, ἢ θέλει· τὸ δὲ μὴ λελεγμένον
»μόνος ὁ νουνεχὴς ἄνθρωπος ἐννοεῖ· ἴδιον γὰρ νοὸς νοῆσαι,
»ὅ,τι ἄλλος ἔνευσεν.

«Ἐκ σχήματος, νεύματος, βαδίσματος, ἔργου λόγου, καὶ
»ὀφθαλμοῦ ἢ προσώπου ἀλλοιώσεως, τὸ ἐντὸς τῆς καρδίας
»τοῦ ἀνθρώπου γνωρίζεται.»

Τοῦτον οὖν ἔγω γε τήμερον τὸν ἐκ φόβου τεταραγμένον ἔξω φόβου ἀποκαταστήσας, καὶ καταπείσας τῇ δυνάμει τῆς ἰδίας ἀγχινοίας, τοῦ οἰκείου βουλευτικοῦ βαθμοῦ τεύξομαι.

ΚΑΡΑΤΑΚΑΣ.

Πῶς δ' αὐτὸν καταπείσειας ἄν, ἄπειρος ὅλως ὢν τῶν νε-
νομισμένων βασιλικῇ θεραπείᾳ;

ΔΑΜΑΝΑΚΑΣ.

Παῖς ὢν, καὶ παίζων ἐν ἀγκάλαις τοῦ πατρὸς, ἤκουον
τῶν πρὸς αὐτὸν ἐρχομένων σπουδαίων καὶ ἐλλογίμων ἀνδρῶν,
βιβλία ἀναγινωσκόντων πολιτικῆς, οἰκονομικῆς, καὶ ἠθικῆς
φιλοσοφίας. Τῶν δὲ ἀνηκόντων εἰς βασιλικὴν θεραπείαν, ὅ,τι
ἦν κύριον, τοῦτο ἐθέμην ἐν καρδίᾳ· ἄκουσον γοῦν ὀλίγα ἐκ
τῶν πολλῶν·

«Τρεῖς ἄνδρες δρέπονται τῶν τῆς γῆς χρυσῶν ἀνθέων, ὁ
»ἥρως, ὁ ἐλλόγιμος, καὶ ὁ ἔμπειρος τῆς πρὸς τοὺς κρείττονας
»θεραπείας.

«Τί δυσβάστακτον τοῖς εὐτόνοις; τί δύσκτητον τοῖς φερε-

»πόνοις; τίς ἀλλοδαπὴ τοῖς φιλολόγοις; τίς δυσμενὴς τοῖς »ἡδυλόγοις;

«Ὅστις οὐ φιλοκρινεῖ τὰ προτερήματα, τοῦτον ὁ φρόνιμος »οὐ θεραπεύει· οὐ γὰρ καρπὸς ἐκ τούτου γίνεται, ὡς ἐκ γῆς »κακῆς, καλῶς ἀροτριωθείσης.

«Ὃς κακὸς μέν ἐστι καὶ φειδωλὸς, φίλος δὲ τῆς καλῆς θε- »ραπείας, καὶ εὐχάριστος, οὗτος θεραπευτέος ἐστίν· ἐκ γὰρ »τούτου σίτησις γίνεται· μετὰ δὲ καιρὸν καὶ χάρις.

«Τὸν ἑαυτοῦ δεσπότην ὁ δοῦλος κακῶς λέγει, ὡς φειδωλὸν »ὄντα, φιλολοίδορον, καὶ φιλαίτιον· διὰ τί δ' ἄρα ἑαυτὸν οὐ »κακῶς λέγει, ὃς οὐ φιλοκρινεῖ, τίς διακονητέος, καὶ τίς μή;

«Ὥτινι Βασιλεῖ δουλεύοντες οἱ δοῦλοι, οὔτ' ἄνεσιν ἔχουσι, »καὶ λιμῷ πιέζονται, οὗτος φευκτέος ἐστίν, ...

. . . . . (1).

«Νομιστέοι, καὶ τιμητέοι εἰσὶν, ὡς ὁ Βασιλεὺς, οἱ ἑξῆς· »ὁ θυρωρὸς, ὁ ἱερουργὸς, ὁ ἀρχιβουλευτὴς, ὁ υἱὸς, ἡ γυνὴ, »καὶ ἡ μήτηρ τοῦ Βασιλέως.

«Ὅστις εἰδήμων ἐστὶ τῶν πρακτέων καὶ μὴ, καὶ ἐρωτώ- »μενος, ἢ καλούμενος, ἀποκρίνεται· «Ζῆθι,» καὶ πράττει τὰ »πρακτέα ἀδόλως, οὗτος ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

«Ὅστις τοῖς παρὰ τοῦ Βασιλέως δωρηθεῖσι χρήμασι χρῆ- »ται, ὡς δεῖ, καὶ ὅπου δεῖ, καὶ τὰ παρὰ τοῦ Βασιλέως δω- »ρηθέντα ἱμάτια ἢ κοσμήματα φορεῖ, οὗτος ἐραστὸς πέφυκε »τῷ Βασιλεῖ.

«Ὅστις οὐ συμφέρεται οὔτε ταῖς βασιλικαῖς γυναιξὶν, οὔτε »τοῖς περὶ τὸν βασιλικὸν γυναικῶνα, οὗτος ἐραστὸς πέφυκε »τῷ Βασιλεῖ.

«Ὅστις τοῦτο τὸ φρόνημα οὐκ ἔχει· «Ἐγὼ ἐραστός εἰμι τῷ »Βασιλεῖ,» οὐδ' ὑπερβαίνει τὸν ὅρον τῆς αἰδοῦς καὶ ἐν τοῖς »δεινοῖς τοῦ Βασιλέως, οὗτος ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

(1) Ἡ συνέχεια τοῦ διστίχου τούτου λείπει ἐν τῷ χειρογράφῳ.

«Ὅστις τοὺς μὲν ἐχθροὺς τοῦ Βασιλέως μισεῖ καὶ ἀποστρέ-»φεται, τοὺς δὲ φίλους αὐτοῦ φιλεῖ καὶ ἀσπάζεται, οὗτος »ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

«Ὅστις, πόῤῥω ὢν δειλίας καὶ ἀνέσεως, τὸν μὲν πόλεμον »νομίζει, ὡς ἄσυλον, τὴν δ' ἐν ἀλλοτρίᾳ γῇ διατριβὴν, ὡς »οἰκίαν πατρικὴν, οὗτος ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

«Ὅστις τὸν μὲν ἀπόστολον τοῦ Βασιλέως βλέπει, ὡς ἀπό-»στολον τοῦ ᾅδου, τὸν δ' οἶνον, ὡς ἰὸν, τὰς δὲ Βασιλίδας, »ὡς Εὐμενίδας, οὗτος ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

«Ὅστις ἐν μὲν πολέμῳ πρωτοστάτης καὶ πρόμαχος γίνε-»ται, ἄλλοτε δὲ κατόπιν ἀεὶ τοῦ Βασιλέως πορεύεται, καὶ »πρὸ τῆς θύρας ἵσταται, τοῦ Βασιλέως ὄντος ἐν τῇ γυναικω-»νίτιδι, οὗτος ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

«Ὅστις ἀναστροφὴν οὐκ ἔχει μετὰ τῶν βασιλικῶν κατα-»σκόπων, οὐδὲ κακολογίαν κατά τινος, ἢ λογομαχίαν μετά »τινος ποιεῖ, οὗτος ἐραστὸς πέφυκε τῷ Βασιλεῖ.

ΚΑΡΑΤΑΚΑΣ.

Ἀλλ' ἴσως αὐτὸς ἀτιμάσειεν ἄν σε, εἰσδύοντα, ἢ λέγοντα ἐν μὴ δέοντι καιρῷ καὶ τόπῳ.

ΔΑΜΑΝΑΚΑΣ.

Ἔοικεν. Ἔγωγε δ' οἶδα καὶ τὸν τόπον καὶ τὸν καιρόν· λέ-γεται γάρ·

«Καὶ ὁ Βριχασπατὴς, λόγον ἐξερευξάμενος ἐν μὴ δέοντι »καιρῷ, οὐ μόνον ἀτιμηθήσεται, ἀλλὰ δὴ καὶ μισηθήσεται.

«Ὁ νουνεχὴς οὐ προσέρχεται τῷ Βασιλεῖ παραχρῆμα, .

. . . . . .

. . . . . (1).

(1) Καὶ ἐν τῷ παρόντι διστίχῳ ἔχει χάσμα τὸ χειρόγραφον.

«Ὁ πολιτικὸς καὶ σπουδαῖος οὐκ εἰσδύει, καὶ μὴ κωλυό»μενος, ὅταν ὁ Βασιλεὺς ἑτέρῳ συλλαλῇ, φάρμακον πίνῃ, »ἀριστῇ, γυναικὶ συνῇ, ἢ κουρείᾳ χρῆται.

«Ἐν τοῖς Βασιλείοις προσήκει τοῖς ἀνθρώποις φόβον ἀεὶ »ἔχειν καὶ αἰδώ, ὡς ἐν τοῖς διδασκαλίοις τοῖς μαθηταῖς· οἱ »γὰρ ὑπέρφρονες εὐθέως ὀλλυνται, καθὼς οἱ ἐν τοῖς πτωχικοῖς »οἴκοις ἑσπερινοὶ λύχνοι ταχέως σβέννυνται.

«Μαθὼν ὁ φρόνιμος ἀκριβῶς, οἷαν ὁ Βασιλεὺς ἔχει διάθεσιν, »εἰσίτω εἰς τὰ Βασίλεια ἐν καιρῷ, σχήματι ταπεινῷ καὶ συ»στολῇ ἄκρᾳ.

«Εἴσδυσις ταχεῖα πρὸς τὸν Βασιλέα γίνεται οὐκ ἄλλως πως, »ἀλλ' ἢ διὰ τῶν εἰσαγγελέων, οἳ προσφιλέστατοι καὶ πιστό»τατοί εἰσι τῷ Βασιλεῖ.

ΚΑΡΑΤΑΚΑΣ.

Ἐλθὼν δ' ὡς αὐτὸν, τί πρῶτον ἐρεῖς; τοῦτο εἰπέ μοι.

ΔΑΜΑΝΑΚΑΣ.

Ἀποκρίνομαί σοι διὰ τῶν ἐξῆς λόγων σοφῶν ἀνδρῶν·

«Καθ' ὃν τρόπον οἷα ἂν ᾖ ἡ σπορὰ, καὶ ὁποῖα ἂν ᾖ »τὰ συμβεβηκότα, τοιοῦτος ἔσεται καὶ ὁ καρπὸς, κατὰ »τὸν αὐτὸν τρόπον οἷα ἂν ᾖ ἡ ἐρώτησις, τοιαύτη ἔσεται »καὶ ἡ ἀπόκρισις, καὶ ὁποία ἡ περίστασις, τοιάδε καὶ ἡ »πρᾶξις.

«Οἱ σοφοὶ καὶ περὶ τὰ πολιτικὰ δεινοὶ, ἀκριβῶς οἴδασι »τοὺς τρόπους, δι' ὧν ἡ ἐπίτευξις γίνεται τοῦ ποθουμένου, »καὶ δι' ὧν ἡ ἀπότευξις.

«Αὕτη ἐστὶν ἐπιστήμη, δι' ἧς ὁ ἄνθρωπος κτᾶται τὰ πρὸς »τὸ ζῆν, καὶ δι' ἧς ἐν συλλόγῳ λογάδων ἐπαινεῖται, καὶ

»θαυμάζεται· ἡ δὲ τοιαύτη ἐπιστήμη φροντίδος ἐστὶν ἐπαξία,
»καὶ ἐπαυξήσεως.

ΚΑΡΑΤΑΚΑΣ.

Δυσθεράπευτοί εἰσιν οἱ Βασιλεῖς· ἀστείως ἄρα πεποίηται·

«Οἱ Βασιλεῖς εἰσιν, ὡς οἱ ὄφεις· οἱ μὲν ὄφεις ἐντρυφῶσιν
»ἐν τοῖς ὑποχθονίοις, οἱ δὲ Βασιλεῖς ἐν τοῖς ἐπιχθονίοις· οἱ
»μὲν ὄφεις φέρουσι λεβηρίδα, οἱ δὲ Βασιλεῖς διπλοΐδα· καὶ
»ὡς οἱ ὄφεις διάστροφοι καὶ ὀξύχολοι τυγχάνουσι, καὶ θανα-
»τηφόρως δάκνουσιν, οὕτω καὶ οἱ Βασιλεῖς.

«Οὐ δεῖ πεποίθησιν καὶ πίστιν ἔχειν εἰς Βασιλεῖς, εἰς γυ-
»ναῖκας, εἰς ποταμοὺς, εἰς ὀνυχοφόρα θηρία, εἰς κερατοφόρα
»ζῶα, καὶ εἰς ξιφηφόρους ἀνθρώπους.

«Οἱ μικρόν τι προσέκρουσαν εἰς τὸ, ὃ ἐφετὸν ἦν τῷ Βασι-
»λεῖ, οὗτοι ὀλλυνται, (ἄθλιοι)! καθάπερ αἱ πυραλλίδες ἐν
»τῷ πυρί.

«Δυσπετὴς καὶ ἐπικίνδυνός ἐστιν ἡ παρὰ Βασιλέως δόξα,
»ἡ ὑπὸ πάντων τιμωμένη· ὀλίγῳ γάρ τινι σφάλματι ἁμαυ-
»ροῦται, καθὼς ἡ Βραχμανικὴ χάρις.

«Ἡ πρὸς τὸν Βασιλέα θεραπεία, δύσεργος οὖσα, καὶ δυσ-
»κάθεκτος, διαμένει ἐν στερεόφρονι ἀνδρὶ, καθὼς τὸ ὕδωρ ἐν
»στερεῷ δοχείῳ.

ΔΑΜΑΝΑΚΑΣ.

Ταῦτα μὲν οὕτως ἔχει· λέγεται δέ·

«Ὁ νουνεχὴς, συναινῶν τῷ δεσπότῃ καθ' ἡντιναοῦν γνώμην
»ἔχει, προσηνῆ καὶ εὐμενῆ αὐτὸν ταχέως ποιεῖ.

«Ἴδιόν ἐστι νοῦν ἔχοντος, τὸ ἀκολουθεῖν τῇ γνώμῃ τοῦ
»κυρίου αὐτοῦ· καὶ οἱ δαίμονες γὰρ τιθασσοὶ καὶ γαληνιαῖοι
»γίνονται ἀνθρώποις, τοῖς συγκατανεύουσι τῇ βουλήσει αὐτῶν.

«Ταῦτά ἐστι, τὰ ποιοῦντα εὐμενῆ καὶ προσηνῆ τὸν Βασι-

»λέα· τὸ ὑποκλινῆ εἶναι τὸν δοῦλον, ὅταν ὁ Βασιλεὺς ὀργί-»ζηται· τὸ εὖ λέγειν, ὅ,τι ἐκεῖνος φιλεῖ· τὸ κακῶς λέγειν, »ὅ,τι ἐκεῖνος μισεῖ, καὶ τὸ ὑμνολογεῖν, ὅ,τι ἐκεῖνος δωρεῖται, »καὶ χαρίζεται.

«Βλέπων ὁ ἄνθρωπος ἄλλον δραστικώτερον, λογιώτερον, ἢ »νουνεχέστερον, ὑποκλινὴς ἔστω, καὶ συντιθέσθω, καὶ ἔριν μὴ »ποιείτω ἐν ἔργοις, λόγοις, ἢ σκέψεσιν, εἰδὼς τὴν ἑαυτοῦ »ἀναξιότητα.

«Οὐ δεῖ ἁμιλλᾶσθαι πρὸς τὸν ἔχοντα πλείονα γνῶσιν, ἢ »δύναμιν· οὐκ ἀγλαΐζεται τὸ τῆς σελήνης σέλας ἐν τῷ ὄρει »Ἰμαῷ, τῷ καταλεύκῳ ἐκ πολλῆς χιόνος.

ΚΑΡΑΤΑΚΑΣ.

Ἐπειδή σοι οὕτως ἔδοξε, πορεύου· εὐθεῖά σοι ἔστω ἡ ὁδός· ποίησον, ὡς βούλει, Πρόσεχε μέν τοι, πάλιν λέγω σοι· λέγε-ται γάρ·

«Ἐν μέσῳ Βασιλέων καὶ γυναικῶν προσέχειν δεῖ, καὶ φρον-»τίζειν τοῦ σώματος, ᾧπερ χρῆται ὡς ὀργάνῳ ἡ ἡμετέρα »ψυχὴ, καὶ ἐντρυφᾷ.»

Ὁ μὲν δὴ Δαμανάκας, ἀσπασάμενος τὸν Καρατάκαν, ἐπο-ρεύετο πρὸς τὸν Πιγγαλάκαν. Ὁ δὲ, ἰδὼν αὐτὸν, ἐρχόμενον, ἔφη τῷ θυρωρῷ· «Ἀποσπασθήτω σου ἡ ῥάδδος ἀπὸ τῆς εἰ-σόδου, καὶ εἰσελθέτω ἀκωλύτως εἰς τὸν δεύτερον κύκλον ὁ Δαμανάκας οὗτος, ὁ υἱὸς τοῦ πρώην βουλευτοῦ ἡμῶν.» Εἰ-σελθὼν δ' ὁ Δαμανάκας, προσεκύνησε τὸν Πιγγαλάκαν. Ὁ δὲ, ἐπιθεὶς τὴν δεξιὰν χεῖρα ἐπ' αὐτὸν, ἔφη ἱλαρῶς καὶ εὐμενῶς· «Εὖ ἔχεις; Ἀλλὰ διὰ τί μετὰ πολὺν χρόνον ὤφθης;»

ΔΑΜΑΝΑΚΑΣ.

Οὐδεμία χρεία τῇ Βασιλείᾳ σου ἦν ἡμῶν· ἀλλὰ καὶ οὕτως, ἐν καιρῷ δέοντι δέον τὰ δέοντα λέγειν· οὐδὲν γάρ ἐστιν, ὃ οὐχ ἥκει εἰς χρείαν τοῦ Βασιλέως· οὕτω δὲ καὶ λέγεται·

«Καὶ τὸ κάρφος ἀναγκαῖον καὶ χρήσιμόν ἐστι τῷ Βασιλεῖ »εἰς ξέσιν ὀδοντίων, ἢ ὠτίων· πολλῷ μᾶλλον ὁ ἄνθρωπος, »ὁ χεῖρας ἔχων.

Ἐπειδὴ ἡμεῖς πατρόθεν δοῦλοί ἐσμεν τῇ Βασιλείᾳ σου, διὰ τοῦτο πάλιν ἐπακολουθοῦμέν σοι, καί περ ἐκπεπτωκότες τῆς ἀρχῆς, μὴ προσκολληθέντες ἄλλῳ τινι· τοῦτο δὲ δεῖ κρίνειν τὸν κριτικὸν δεσπότην· ὀρθῶς ἄρα λέγεται·

«Οἱ δοῦλοι καὶ οἱ κόσμοι ἁρμόδιοί εἰσι τοῖς οἰκείοις τόποις· »ἡ τῇ κεφαλῇ ἁρμόζουσα πολύτιμος λίθος, οὐ τίθεται ἐπὶ »τοῦ ποδός.

«Ὃς οὐ φιλοκρινεῖ τὰ προτερήματα, οὐδεὶς δοῦλος ἄξιος »ἔσεται παρὰ τούτῳ, εἰ καὶ πλοῦτον ἔχει πολὺν, καὶ κατά- »γεται ἐκ γένους μεγάλου.

«Εἰ καὶ ὁ ἀδάμας κυλίεται ὑπὸ τοὺς πόδας, ὁ δ' ὕαλος »φέρεται ἐπὶ τῆς κεφαλῆς, ἐν καιρῷ δ' ὅμως ἀπεμπολῆς ὁ »μὲν ὕαλος τιμᾶται, ὡς ὕαλος, ὁ δ' ἀδάμας, ὡς ἀδάμας.

«Ὁ Βασιλεὺς, ὃς ἀγαθοπάροχός ἐστι παντὶ τῷ Κόσμῳ, »οὐκ ἀγλαΐζεται ἄνευ ἀξίων δούλων, καθὼς οὐδ' ὁ φωτοπά- »ροχος ἥλιος ἄνευ λαμπρῶν ἀκτίνων.

«Διὰ τρία αἴτια ἐγκαταλιμπάνουσιν οἱ ἀγαθοὶ θεράποντες »τὸν Βασιλέα· διὰ τὴν πρὸς τοὺς κακοὺς φιλοφροσύνην, διὰ »τὴν πρὸς τοὺς ἀγαθοὺς καταφρόνησιν, καὶ διὰ τὴν ἀναξιό- »τητα τοῦ φέρειν τὸ βασιλικὸν φορτίον.

Ὅτε ἐξ ἀδιακρισίας ὁ Βασιλεὺς τοὺς ὄντας ἀξίους μεγά- λου βαθμοῦ ὑπηρέτας τίθεται ἐν ἐλαχίστῳ, τοῦτο οὐκ ἔστιν ἐκείνων ὄνειδος, ἀλλὰ τοῦ Βασιλέως αὐτοῦ· ὅθεν καὶ λέγεται·

«Ἂν ὁ ἀδάμας συνδεθῇ μολυβδέῳ, ἀλλὰ μὴ χρυσέῳ κο-»σμήματι, ὅ ἐστι κατάλληλον, ὁ μὲν ἀδάμας οὐκ ἀμαυροῦ-»ται, κατηγορεῖται δ' ὁ τεχνουργός.

»Ὁ Βασιλεὺς οὐκ ἐνδεὴς ἔσεται ἀξίων θεραπόντων, ὅταν »περισκέπτηται, τίς ἐστι συνετὸς, ἢ φιλοδέσποτος, καὶ τίς »ἀσύνετος, ἢ ἄσωτος.

«Οὐδὲ βραχύ τι διατρίψειεν ἂν ὁ σπουδαῖος, ἔνθα διαφορὰ »οὐ θεωρεῖται τοῦ δεξιοῦ καὶ τοῦ ἀριστεροῦ, τῆς ἀρετῆς δη-»λαδὴ καὶ τῆς κακίας.

«Ὅταν ὁ δεσπότης ἀδιαφορίαν δεικνύῃ πρὸς τοὺς δούλους, »τὸ πρόθυμον τῶν σπουδαίων καὶ φιλέργων δούλων ἀμβλύ-»νεται.

«Οἱ ἑτεροίως νομίζουσι τὸν μὲν ὕαλον, ὡς ἀδάμαντα, τὸν »δ' ἀδάμαντα, ὡς ὕαλον, τούτων ἐγγὺς οὐδεὶς δοῦλος ἔσεται »οὐδὲ μέχρι ὀνόματος.

«Ἔνθα διαφορὰ οὐδεμία θεωρεῖται τοῦ ἄνθρακος, τῆς πο-»λυτίμου λίθου, καὶ τοῦ ἐρυθροῦ ὑάλου, πῶς ἐκεῖ πράγματα »πολύτιμα τιμὴν ἔξουσιν;

«Οὔτε δεσπότης πέφυκεν ἄνευ δούλων, οὔτε δοῦλοι ἄνευ »δεσπότου· ἡ ὕπαρξις αὐτῶν αὕτη ἐστὶν, ἡ ἀλληλουχία.

«Καθὼς ὁ μὲν τροχὸς ἔχεται τοῦ ἄξονος, ὁ δ' ἄξων τοῦ »τροχοῦ, οὕτω καὶ ἡ ζωὴ τοῦ δεσπότου καὶ τοῦ δούλου συν-»ίσταται κατ' ἀλληλουχίαν.

«Ὅτε ἡ ἐπὶ τῆς κεφαλῆς τοῦ ἀνθρώπου κόμη, ἐπιμελείας »μὲν ἀξιουμένη, καὶ ἐλαίῳ χριομένη, χάριν ἔχει, καὶ διαμέ-»νει, ἀνεπιμέλητος δὲ γινομένη, ἄχαρις μένει, καὶ διαῤῥεῖ, »πόσῳ μᾶλλον ὁ θεράπων;

«Ὁ Βασιλεὺς ἡσθεὶς, τιμὴν μόνην δίδωσι τοῖς ἑαυτοῦ δού-»λοις· αὐτοὶ δὲ εἰς ἀνταμοιβὴν τῆς τιμῆς τὰς ψυχὰς ἑαυτῶν »θύουσι.

«Προσήκει τῷ Βασιλεῖ θεράποντας ἔχειν νοήμονας, εἰδή-

»μονας, σπουδαίους θερμουργοὺς, καὶ πατροπαράδοτον ἔχον-
»τας τὸ ἐπάγγελμα.

«Ὧτινι ὁ Βασιλεὺς ἐμπιστεύσας τὸ πρακτέον ἀδιστάκτῳ
»καρδίᾳ, ἀμέριμνος μένει, οὗτός ἐστιν ἀνήρ· οἱ δ' ἄλλοι,
»ὡς γυναῖκες.

«Ὅστις, εὐκατόρθωτον τὸ δυσκατόρθωτον ποιήσας, ὃ ἀρε-
»στὸν ἦν τῷ Βασιλεῖ, οὐδαμῶς καυχᾶται ἐξ αἰδοῦς, ἐκ
»τούτου ὁ Βασιλεὺς λέγεται, ὅτι ἔχει ὑπασπιστὰς καὶ ὑπερ-
»μάχους.

«Ὃς, μὴ καλούμενος, πάρεστι, καὶ πρὸ τῆς θύρας ἀεὶ
»ἵσταται, καὶ ἐρωτώμενος, λέγει ἀληθῆ καὶ μέτρια, οὗτός
»ἐστι δοῦλος ἄξιος τοῦ Βασιλέως.

«Ὅστις, καὶ δαρθεὶς, καὶ ὀνειδισθεὶς, καὶ πιεσθεὶς ὑπὸ
»τοῦ Βασιλέως, οὐδὲν διανοεῖται κακὸν, οὗτός ἐστι δοῦλος
»ἄξιος τοῦ Βασιλέως.

«Ὃς, τιμώμενος, οὐκ ἐπαίρεται, καὶ ἀτιμώμενος, οὐκ ὀρ-
»γίζεται, οὐδὲ παρορᾷ τὸ πρακτέον, οὗτός ἐστι δοῦλος ἄξιος
»τοῦ Βασιλέως.

«Ὃς, καὶ μὴ προσταττόμενος, ποιεῖ τρόπους, ὅπως ἐκ
»μέσου ποιηθήσεται τὸ πρόξενον λύμης καὶ ὀλέθρου, οὗτός
»ἐστι δοῦλος ἄξιος τοῦ Βασιλέως.

«Ὃς, ἀκούσας ἀγγελίας πολέμου, γενησομένου κατὰ τοῦ
»Βασιλέως, φαιδρὸς τὸ πρόσωπον φαίνεται, οὗτός ἐστι δοῦ-
»λος ἄξιος τοῦ Βασιλέως.

«Ὅστις οὐδέποτε θλίβεται οὔτε πείνῃ, οὔτ' ἀϋπνίᾳ, οὔτε
»ψύχει, ἢ καύματι, οὗτός ἐστι δοῦλος ἄξιος τοῦ Βα-
σιλέως.

Πρὸς δὲ τούτοις οἷός ἐστιν ὁ δεσπότης τοῖς ἰδιώμασι,
τοιοῦτος καὶ ὁ δοῦλος γίνεται· ὀρθῶς ἄρα λέγεται·

«Ὁ ἵππος, τὸ ὅπλον, ἡ ἐπιστήμη, ἡ κιθάρα, ἡ γλῶσσα,

»ὁ ἀνὴρ, καὶ ἡ γυνὴ, ταῦτα πάντα, οἷου ἂν τύχωσι τοῦ ἐπι»στάτου, τοιαῦτα γίνονται, ἤτοι ἀνάξια δηλονότι, ἢ ἄξια.

Μηδὲ μὴν καταφρονήσῃς μου, ὡς ὄντος κυνολύκου, ἐλαχίστου ἐν τοῖς ζώοις· ἀνοίκειον γὰρ κατὰ τὸ λεγόμενον·

«Οὐκ ἐκ γένους, ἀλλ' ἐκ τῆς ἰδίας ἑαυτοῦ ἀρετῆς ὁ ἄν»θρωπος λαμπρότητος ἐπιτυγχάνει. Τὸ μὲν σηρικὸν νῆμα »γεννᾶται ἐκ σκωλήκων· ὁ δὲ χρυσὸς ἐκ χοός· ἡ δ' ἄγρωστις »ἐκ βοείας τριχός· ὁ δὲ λωτὸς ἐξ ἰλύος· ἡ δὲ σελήνη ἐκ τῶν »ἁλμυρῶν ὑδάτων τῆς θαλάσσης· τὸ δὲ πῦρ ἐκ ξύλου· ὁ δ' »ἀδάμας ἐκ τῆς κεφαλῆς τοῦ ὄφεως.

«Ὁ μὲν μῦς, ὃς ἐν οἴκῳ γεννᾶται, ἀναιρεῖται, ὡς ὢν ἐπι»ζήμιος· ἡ δὲ γαλῆ θεραπεύεται, καὶ καλῶς τρέφεται, ὡς »ἐπωφελής.

Τί ὄφελος ἐξ ἀξίου, ὃς ἐστι κακοποιός; Τί ὄφελος ἐξ ἀγαθοῦ, ὃς ἐστιν ἀνάξιος; Οὐ τοίνυν ἄξιόν ἐστιν, ὦ Βασιλεῦ, καταφρονεῖν ἐμοῦ, ὅς εἰμι καὶ ἄξιος, καὶ ἀγαθός.

ΠΙΓΓΑΛΑΚΑΣ.

Μὴ φράζε τοιαῦτα· σὺ γὰρ υἱὸς εἶ τοῦ πρώην βουλευτοῦ ἡμῶν· ὅ,τι δὲ βούλει λέγειν, λέγε τοῦτο μετὰ θάρρους.

ΔΑΜΑΝΑΚΑΣ.

Βούλομαί τι εἰπεῖν, ὦ Βασιλεῦ.

ΠΙΓΓΑΛΑΚΑΣ.

Λέγε, ἃ βούλει, ὅ,τι ἐστιν ἐν τῇ καρδίᾳ σου, ὦ ἀγαθέ.

ΔΑΜΑΝΑΚΑΣ.

Λέγω τοῦτο τὸ ἀπόφθεγμα τοῦ σοφοῦ Βριχασπατοῦ·

«Οὐ λεκτέον παῤῥησίᾳ ἐν μέσῳ πολλῶν περὶ βασιλικῆς »ὑποθέσεως, κἂν μικρά τις ᾖ.

Ὅθεν ἀκουσάτω μου τῆς δεήσεως ὁ δεσποτικός σου ποῦς κατὰ μόνας, λέγεται γάρ·

«Ὁ ἐν ἓξ ὠσὶ μυστικὸς λόγος, γίνεται διάδηλος· ὁ δ' ἐν »τέσσαρσιν ὠσὶ, διαμένει ἀπόῤῥητος· φυλαττέσθω τοίνυν ὁ »Βασιλεὺς παντὶ τρόπῳ τὰ ἓξ ὦτα.

«Ὁ ἐν ἓξ ὠσὶ μυστικὸς λόγος, γίνεται πασίδηλος. Κυφοῦ »παρόντος, οὐ γίνεται πασίδηλος· ὁ μὲν κυφὸς γίνεται Βα»σιλεὺς, ὁ δὲ Βασιλεὺς, ἐπαίτης καὶ ἀλήτης.

ΠΙΓΓΑΛΑΚΑΣ.

Τί δηλοῖ τοῦτο ;

ΔΑΜΑΝΑΚΑΣ.

Πόλις ἐστὶ κατὰ τὸ ἀρκτῶον μέρος, καλουμένη Ἀηλαβατή· ἐν ᾗ Βασιλεύς τις ἦν, Μουκούνδας τοὔνομα. Ἀναστρέφων δέ ποτ' ἐκ κήπου θεωρίας, εἶδεν ἐν μέσῳ τῆς πόλεως κυφόν τινα βωμολόχον, περικυκλούμενον πλήθει ἀνθρώπων, καὶ ἐμπαιζόμενον· ὃν παραλαβὼν, εἶχε μεθ' ἑαυτοῦ, ὥστε γέλωτα ποιεῖν, καὶ οὐδέποτε ἀφίστατο ἀπ' αὐτοῦ. Ἰδὼν δ' αὐτὸν τὸν κυφὸν ὁ Ὕπαρχος παρακαθήμενον τῷ Βασιλεῖ, ὅτε λόγον μυστικὸν ἔμελλεν ἐξερεύξεσθαι, ἔφη· « Εἰρημένον ἐστὶν, ὦ Βασιλεῦ, τοῖς σοφοῖς τοῦτο· «Ὁ ἐν ἓξ ὠσὶ μυστικὸς λόγος, γίνεται πασίδηλος. » Ὁ δὲ Βασιλεὺς ἀπεκρίνατο· « Κυφοῦ παρόντος, οὐ γίνεται πασίδηλος. » Ἐν δὲ μιᾷ τῶν ἡμερῶν, γυμνοσοφιστής τις, εἰσδὺς εἰς τὸ Βασιλικὸν βῆμα, ἐκάθισε παρὰ τῷ Βασιλεῖ. Γνοὺς δ' αὐτὸν ὁ Βασιλεὺς πολύϊδριν ὄντα, παραλαβὼν κατ' ἰδίαν, ἐπυνθάνετο περὶ μαθήσεως. Ὁ δὲ ἐμύησε τὸν Βασιλέα τὴν εἴσδυσιν εἰς νεκρὸν σῶμα, καὶ ἐν ταὐτῷ ἄφαντος ἐγένετο. Μελετῶντος

δὲ τοῦ Βασιλέως τὴν ἐπῳδὴν τῆς νεκυομαντίας, ἔμαθεν αὐτὴν καὶ ὁ κυφός. Καί ποτε ὁ Βασιλεὺς ἐξελθὼν εἰς θήραν ἅμα τῷ κυφῷ, εἶδε κατά τινα μέγαν δρυμὸν Βραχμᾶναι κείμενον ἄπνουν ἐκ δίψης. Βουλόμενος δ' ἀποπειραθῆναι, εἰ ἀληθής ἐστιν ἡ ἐπῳδὴ τῆς νεκυομαντίας, ἠρώτησεν· «Ἔχεις, ὦ κυφὲ, διὰ μνήμης τὴν ἐπῳδὴν τῆς νεκυομαντίας;» Ὁ δὲ, κακὰ φρονῶν, ἀπεκρίνατο, προσποιούμενος· «Οὐδέν τι οἶδα, ὦ Βασιλεῦ.» Ἐγχειρίσας δ' ὁ Βασιλεὺς τῷ κυφῷ τὸν ἑαυτοῦ ἵππον, ἀναβιβάσας τὸν νοῦν αὐτοῦ εἰς θεωρίαν, καὶ μελετήσας μυστικῶς τὴν ἐπῳδὴν, ἀφεὶς τὸ ἑαυτοῦ σῶμα, εἰσέδυ τῷ πνεύματι εἰς τὸ νεκρὸν τοῦ Βραχμᾶνος. Ἐν ταὐτῷ δὲ καὶ ὁ κυφὸς, ἀναπολήσας τὴν ἐπῳδὴν, εἰσέδυ τῷ πνεύματι εἰς τὸ βασιλικὸν σῶμα, τὸ ἄπνουν κείμενον, καὶ ἀναβὰς τὸν ἵππον εὐθέως, εἶπε τῷ Βασιλεῖ· «Ἐγὼ μὲν βασιλείας ἤδη τεύξομαι· σὺ δὲ πορεύου, ὅπῃ γῆς βούλει.» Οὕτως εἰπὼν, ἤλαυνεν εὐθὺ τῆς πόλεως, καὶ ἐλθὼν εἰς τὰ βασίλεια, ἀνεδέξατο τὰς βασιλικὰς ἡνίας. Ὁ δὲ Βασιλεὺς, ὁ ὢν ἐν τῷ σώματι τοῦ Βραχμᾶνος, ἐνθυμούμενος τὸν λόγον τοῦ γέροντος Ὑπάρχου, κατηγόρει ἑαυτοῦ, ταῦτα διανοούμενος· «Φεῦ! τί πεποίηκα ὁ ἀνόητος; μῶν βαδίσω εἰς τὴν πόλιν, καὶ ἀφηγήσωμαι τῇ Βασιλίσσῃ καὶ τῷ γέροντι Ὑπάρχῳ τὰ ἐμοὶ συμβάντα; ἢ ἀνοίκειον τοῦτο; οὐ γὰρ πιστευθήσομαι· ἐροῦσι γάρ· «Τίς οὗτος; ἢ τίς ἡ μορφὴ αὕτη;» Τοιαῦτα ἐναντία ἀλλήλοις ἀνακυκλῶν, ἑτέραν ὁδὸν ἐτράπετο. Τοῦ δὲ κυφοῦ, ὃς ἔφερε τὸ σῶμα τοῦ Βασιλέως, λέγοντος λόγους ἀσυμφώνους, ἡ Βασίλισσα, καλέσασα μετά τινας ἡμέρας τὸν γέροντα Ὑπαρχον, ἔφη· «Ἐξ ἅπαντος, ὦ πάτερ, οὐκ ἔστιν οὗτος ὁ Βασιλεύς· ἀσύμφωνα γὰρ λέγει καὶ ἀνάρμοστα οἷς ἐρωτᾶται.» Ὁ δὲ συναινέσας, εἶπεν, ὡς τρόπον ποιήσεται, καθ' ὃν φανερὸς γενήσεται ὁ Βασιλεύς. Λαβὼν δ' ᾠδειαν παρὰ τοῦ ψευδοβασιλέως, τοῦ πρώην κυφοῦ, ἤρξατο

διαδόναι σιτία τοῖς ἐνδεέσι ξένοις· νίπτων δὲ τοὺς πόδας αὐτῶν, ἔλεγεν ἑκάστῳ τοῦτο τὸ ἡμίστιχον·

«Ὁ ἐν ἑξ ὡσὶ μυστικὸς λόγος γίνεται πασίδηλος. Κυφοῦ παρόντος, οὐ γίνεται πασίδηλος.»

Καὶ ἐζήτει παρ' ἑνὸς ἑκάστου θάτερον ἡμίστιχον. Διασπαρθείσης τοίνυν τοιαύτης φήμης, ἀκούσας ὁ Βασιλεὺς, ὁ φέρων τὸ σῶμα τοῦ Βραχμᾶνος, καὶ ἀκριβολογησάμενος πάντα, ἀναχωρήσας ἐκεῖθεν, ὅπου ἦν, ὥδευεν ἐπὶ τὴν οἰκείαν πόλιν ἐν ἀδημονίᾳ, τοιαῦτα διανοούμενος· «Ἀναμφιβόλως τοῦτο γέγονεν ὑπὸ τῆς ἐμῆς γυναικὸς εἰς ἀναγνώρισιν ἐμοῦ.» Καὶ μετ' ὀλίγας ἡμέρας παρεγένετο περὶ δείλην ὀψίαν εἰς τὴν πόλιν κατὰ τὸν οἶκον τῆς σιτοδοσίας· ὃς καὶ ἔφη τῷ Ὑπάρχῳ, παρόντι· «Δαιμόνιε, ἐγώ εἰμι Βραχμᾶν, ἥκων ἐκ μακρᾶς χώρας· ὧν δὲ πρόσπεινος, βέβαιός εἰμι, ὅτι τεύξομαι εὐθέως ἀρίστου, εἰ καὶ παρ' ὥραν ἐστίν.» Ὁ μὲν οὖν Ὕπαρχος, καί τοι ἠβούλετο οἴκαδε ἀπελθεῖν, ἰδὼν ὅμως Βραχμᾶνα, πεινῇ θλιβόμενον, νίψας τοὺς πόδας αὐτοῦ, ἐξεφώνησε τὸ ἡμίστιχον ἐκεῖνο, ὡς σύνηθες. Ὁ δὲ Βασιλεὺς, ὁ φέρων τὸ σῶμα τοῦ Βραχμᾶνος, ἀπεκρίνατο τὸ ἑξῆς, ὅ ἐστι θάτερον ἡμίστιχον. «Ὁ μὲν κυφὸς γίνεται Βασιλεὺς, ὁ δὲ Βασιλεὺς ἐπαίτης καὶ ἀλήτης.»

Ἐρωτήσας δ' ὁ Ὕπαρχος, καὶ μαθὼν πάντα τὰ κατ' αὐτὸν, παραλαβὼν, ἦγετο οἴκαδε ἄσμενος, καὶ τιμήσας αὐτὸν ὡς εἰκὸς, εἶπεν· «Ἰδὲ, δέσποτα, τὴν δύναμιν τοῦ ἐμοῦ νοός! Ἔγωγε πάλιν Βασιλέα σε ἀποκαταστήσω, τυχόντα τοῦ οἰκείου σώματος.» Τοιαῦτα εἰπὼν, ἐπορεύθη αὐτίκα ὡς τὴν Βασίλισσαν· ἣν εὑρὼν, τεθνεῶτα ψιττακὸν ἐν ἀγκάλαις ἔχουσαν, καὶ ἐπ' αὐτῷ κλαίουσαν, ἔφη· «Καλὸς οἰωνὸς οὗτος, ὦ δέσποινα· ὁ γὰρ ψιττακὸς οὑτοσὶ ὄργανον γενήσεται τῆς ἐντεύξεως τοῦ ποθουμένου. Κάλεσον τὸν ψευδοβασιλέα ἐκεῖνον, καὶ εἰπέ· «Ἔστι τις μάγος ἐν ταύτῃ τῇ πόλει, ὃς

ποιήσει μοι τὸν ψιττακὸν τουτονὶ ἕνα γοῦν λόγον ἐξερεύξασθαι;» Τοιαῦτα σοῦ εἰπούσης, ἐκεῖνος τῇ ἐπιστήμῃ τῆς νεκυομαντίας ἐπαιρόμενος, καὶ ἐπιδείξασθαι βουλόμενος, ἀφεὶς τὸ βασιλικὸν σῶμα, εἰσδύσεται εἰς τὸ τοῦ ψιττακοῦ. Ἐν ταὐτῷ δ' ὁ Βασιλεὺς, ὧν ὄπισθέν μου, εἰσδύσεται τὸ οἰκεῖον σῶμα, καὶ τῆς οἰκείας βασιλείας τεύξεται.» Οὕτω δὴ γεγονότος, ὁ Ὕπαρχος ἀνεῖλε τὸν ψιττακὸν, ὃν ἐψύχωσεν ὁ κυφός. Τοῦτο δ' ἐστὶν, ὃ εἶπον ἀνωτέρω·

«Ὁ ἐν ἓξ ὡσὶ μυστικὸς λόγος, γίνεται πασίδηλος. Κυφοῦ »παρόντος, οὐ γίνεται πασίδηλος. Ὁ μὲν κυφὸς γίνεται »Βασιλεὺς ὁ δὲ Βασιλεὺς ἐπαίτης καὶ ἀλήτης.

Τηνικαῦτα, γνόντα τὴν γνώμην τοῦ Λέοντος πάντα τὰ περιεστῶτα ζῶα, καὶ ἐπαινέσαντα ὅ,τι εἴρηκεν ὁ Δαμανάκας, μετέστησαν παραυτίκα εἰς ἕτερον τόπον μακράν. Ὁ μὲν δὴ Δαμανάκας ἔφη· «Πορευόμενος εἰς πόσιν ὕδατος, διὰ τί στραφεὶς, ἵστασαι ἐνταυθί;» Ὁ δὲ, προσποιούμενος ἀπεκρίνατο· «Οὐδέν ἐστιν αἴτιον.»—«Εἰ μέν ἐστιν ἀπόῤῥητον, ἔφη, ἀποσιωπάσθω· λέγεται δ' ὅμως·

«Οὐ δεῖ τὸ πᾶν τοῖς πᾶσιν ἀνακαλύπτειν· δεῖ μέντοι γε »φράζειν μικρόν τι τῇ συζύγῳ, τῷ φίλῳ, ἢ τῷ υἱῷ· ἀξιό»πιστοι γὰρ οὗτοι.»

Οὑτωσὶ εἰπόντος τοῦ Δαμανάκα, τοιαῦτα διελογίζετο ὁ Πιγγαλάκας· «Ἐπιδέξιος ἐν πᾶσιν οὗτός μοι δοκεῖ· ἐκφράσω οὖν πρὸς αὐτὸν τὴν ἐμαυτοῦ γνώμην· λέγεται γάρ·

«Ἐκφράσας ὁ ἄνθρωπος τὸ οἰκεῖον πάθος τῷ ἀδόλῳ φίλῳ, »τῷ φιλοδεσπότῳ δούλῳ, τῇ φιλάνδρῳ γυναικὶ, ἢ τῷ δυνα»μένῳ δεσπότῃ, ἄνεσιν εὑρίσκει.»

ΠΙΓΓΑΛΑΚΑΣ.

Ἀλλ' ὦ Δαμανάκα, ἀκούεις μεγάλης φωνῆς, πόῤῥωθεν ἐρχομένης;

ΔΑΜΑΝΑΚΑΣ.

Ἀκούω· τί οὖν φρονεῖ ὁ Κύριός μου;

ΠΙΓΓΑΔΑΚΑΣ.

Ἀναχωρῆσαι ἐκ τούτου τοῦ ἄλσους βούλομαι, ὦ λῶστε.

ΔΑΜΑΝΑΚΑΣ.

Διὰ τί;

ΠΙΓΓΑΔΑΚΑΣ.

Διότι ὑπερφυές τι ζῶον ἐνθάδε εἰσέδυ ἀθρόον, οὗ ἡ μεγάλη φωνὴ αὕτη ἐξακούεται· ἀπὸ δέ γε τῆς φωνῆς καὶ τὸ ζῶον δήπου συμπεραίνεται, οἷον πέφυκε, δηλονότι μεγαλοδύναμον, καὶ πάντολμον.

ΔΑΜΑΝΑΚΑΣ.

Ἵνα τί ἐκ μόνης φωνῆς δέδοικεν ὁ Κύριός μου; ἀνοίκειον γὰρ τουτὶ κατὰ τὸ λεγόμενον·

»Ἡ μὲν γέφυρα διαλύεται ἐκ τῆς ὁρμῆς τοῦ ὕδατος, ὁ δὲ »μυστικὸς λόγος ἐκ τῆς ἀνακαλύψεως, ἡ δὲ φιλία ἐκ τῆς »διαβολῆς, ὁ δὲ δειλὸς ἐκ τῆς φωνῆς.

Ἀνοίκειον ἄρα ἐστὶν ἐκ μόνης ἀκουσθείσης φωνῆς ἐγκαταλιπεῖν τουτὶ τὸ ἄλσος, τὸ κτῆμα τῶν προπατόρων σου, καὶ κατὰ διαδοχήν σοι ἥκον. Ἔντε τῷ αἰθέρι καὶ ἐν τῇ γῇ πολυειδεῖς ἦχοι γίνονται, καὶ ἀκούονται, οἷον ἐκ νεφέλης βροντώσης, κιθάρας πληττομένης, αὐλοῦ, ἢ κόγχου ἐμπνεομένου, τυμπάνου, ἢ κώδωνος κρουομένου, ἀμάξης, ἢ θύρας τετριγυίας, καὶ ἐξ ἄλλων τοιούτων. Οὔκουν δεῖ δεδιέναι, οὐδ' ἐντεῦθεν ἁπλῶς μετανοεῖν· λέγεται γάρ·

«Καθὼς ὁ ἄνθρωπος ἐν τῷ περιπατεῖν τῷ μὲν τοῖν »ποδοῖν ἵσταται, τῷ δὲ κινεῖται, οὕτω καὶ ὁ φρόνιμος οὐκ »ἐγκαταλείπει τὸν ὃν ἔχει τόπον, πρὶν ἢ σκέψασθαι τὸν »ἕτερον, εἰς ὃν μεταστῆναι βούλεται.

«Ἐχθροῦ ἐπελθόντος πάνυ δεινοῦ καὶ φοβεροῦ, οὗτινος »ἡ καρτερία οὐ ἐκλύεται, οὗτος οὐδέποτε ἡττᾶται.

«Κινδύνου ἐπιφανέντος ἐξ ἀπροόπτου, ἡ καρτερία τῶν »καρτερῶν οὐ καταβάλλεται. Τότε ὁ ὠκεανὸς ὑπερφυσοῦται, »ὅταν αἱ λίμναι ἄνικμοι γίνωνται, θερινῆς οὔσης τῆς ὥρας.

«Ὅστις ἐν μὲν εὐπραγίαις οὐ χαίρει, ἐν δὲ δυσπραγίαις »οὐ λυπεῖται, ἐν δὲ πολέμοις οὐ φοβεῖται, τοιοῦτον υἱὸν »σπανίως μήτηρ γεννᾷ· κολοφὼν γάρ ἐστι τοῦ Κόσμου.

«Οὐδὲν τὸ διάφορον μικροψύχου καὶ χόρτου· ὡς γὰρ »χόρτος κοῦφος, βλητρὸς, καὶ εὐτελής ἐστιν, οὕτω δὴ καὶ »ὁ μικρόψυχος.

«Τί ὄφελος ἐκ τοῦ ἀνδρικοῦ σχήματος ἐκείνου, ὃς δραστη»ρίου τυχὼν καὶ θερμουργοῦ, καρτερίαν οὐκ ἔχει, ἀλλ' ἐκ»λύεται; Οὗτος γὰρ πέφυκεν, ὡς τὸ ἐκ λακκίου λαμπρὸν »ψέλλιον, ὃ τῇ τοῦ πυρὸς θερμότητι διαλύεται.

«Ἀκούσας φωνῆς μεγάλης, ἐνόμισα, ὅτι θύλαξ ἐστὶ, πλή»ρης κρέατος καὶ στέατος· εἰσδὺς δ' ἔγνων, ὅτι ξύλον ἐστὶ »καὶ δέρμα.

ΠΙΓΓΑΔΑΚΑΣ.

Τί δηλοῖ τοῦτο;

ΔΑΜΑΝΑΚΑΣ.

Ἔστι πόλις κατὰ τὸν Βορέαν, ὀνόματι Κουσσαμβὴ, ἧς ὁ Βασιλεὺς, ᾧ ὄνομα ἦν Βιζαϊασένας, ἐν πολέμῳ κατὰ βαρβάρων κακῇ τύχῃ νικηθεὶς, διαφυγὼν, μόλις μόνος εἰς τὴν πόλιν ἐσώθη ἐφ' ἵππου. Τοῦ δὲ στρατοῦ τὸ μὲν κατεκόπη τὸ δὲ διεσπάρθη, τῆδε μὲν τὸ ἐλεφαντικὸν, ἐκεῖσε δὲ τὸ ἁρματικὸν, ἀλλαχόσε δὲ τὸ ἱππικὸν, καὶ ἑτέρωσε τὸ πεζικόν.

μετ' ὀλίγας δέ τινας ἡμέρας κυνόλυκός τις, περιπλανώμενος εἰς προνομήν, ἦλθεν ἐπ' ἐκείνην τὴν γῆν, ἔνθα συνεκροτήθη ὁ πόλεμος ἀμφοῖν τοῖν ςρατοῖν· ἤκου δ' ἐν ταὐτῷ ἤκουσε τυμπάνου μεγάλου, (ὃ ἔπεσεν ἐξ ἐλέφαντος ἐν πολέμῳ) κρουομένου κλάδῳ δένδρου, σαλευομένῳ ὑπ' ἀνέμου. Διαταραχθεὶς δὲ, καὶ διαπτοηθεὶς, ταῦτα διελογίζετο· «Ὢ τοῦ δεινοῦ! ἀπολωλὼς ἐγώ εἰμι νυνί! Πόθεν αὕτη ἡ φωνή; ἢ ποῖον ἆρά ἐστι ζῶον; Φύγω ἐντεῦθεν, ἐν ὅσῳ μὴ ὑποπέσω ὑπὸ τὴν ὅρασιν τοῦ τοιούτου ζώου; ἢ ἀνοίκειον ἀπολιπεῖν εὐθέως τὸ πατρικὸν τοῦτο ἄλσος; λέγεται γάρ·

«Ὅςτις ἐκ φόβου ἢ χαρᾶς ποιεῖ ταχέως, ὅ,τι ἐπέλθῃ, πρὶν »ἢ σκέψασθαι, οὗτος παλινῳδεῖ καὶ γνωσιμαχεῖ.»

Περισκοπῶν οὖν γνῶναι τὸ αἴτιον τοῦ ἤχου, ἰδὼν ἐκεῖνο τὸ μέγα τύμπανον, ἔλεγεν ἐν ἑαυτῷ· «Ἆρα οἴκοθεν ὁ ἦχος οὗτος γίνεται; ἢ ἐκ τοῦ πλήττοντος κλάδου τοῦ δένδρου;» Κατανοήσας δ' ὡς ἄψυχόν ἐστι, πλησιάσας, ἔκρουεν αὐτὸ ἀμφοτέραις ταῖς χερσὶ, παίζων, καὶ λέγων μετὰ χαρᾶς καὶ θαύματος· «Ὦ! μετὰ πολὺν χρόνον τοσοῦτον βρῶμα ἦλθεν εἰς χεῖράς μου! Πάντως γε πλῆρές ἐστι τοῦτο κρέατος καὶ στέατος!» Μόλις δὲ διαῤῥήξας τὸ σκληρὸν δέρμα, εἰσέδυ ἅσμενος· ἐν δὲ τῷ διαῤῥηγνύειν ἐξεῤῥίζωσε καὶ ἕνα τῶν ἑαυτοῦ ὀδόντων. Ἀλλ' ἰδὼν, ὅτι ξύλον καὶ δέρμα μόνον ἦν, ἐξεφώνησε τὸν στίχον τοῦτον, ὃν εἶπον ἀνωτέρω·

«Ἀκούσας φωνῆς μεγάλης, ἐνόμισα, ὅτι θύλαξ ἐστὶ, πλή»ρης κρέατος καὶ στέατος· εἰσδὺς δ' ἔγνων, ὅτι ξύλον ἐστὶ »καὶ δέρμα. Οὐκ ἄρα χρὴ δεδιέναι ἐκ ψιλῆς φωνῆς.

ΠΙΓΓΑΛΑΚΑΣ.

Ἅπαντες οἱ περὶ ἐμὲ, φοβηθέντες, φυγεῖν ἐφίενται, ὦ λῶστε· πῶς οὖν ἔγωγε καρτερήσω;

ΔΑΜΑΝΑΚΑΣ.

Τὸ σφάλμα οὐκ ἔστιν ἐκείνων· οἱ γὰρ δοῦλοι γίνονται κατὰ τὸν δεσπότην. Σταθερὸς δὴ γενόμενος, παράμενε, ἔστ' ἂν ἀναστρέψω, κατασκοπήσας τὴν φύσιν τῆς φωνῆς ταύτης τῆς μεγάλης. Μετὰ δὲ, ὅ,τι κριθῇ εὔλογον, ποιητέον.

ΠΙΓΓΑΛΑΚΑΣ.

Τί λέγεις; τολμᾷς εἰς τοιοῦτον κίνδυνον;

ΔΑΜΑΝΑΚΑΣ.

Τολμῶ, ὅταν προσάξῃ ὁ δεσποτικός σου ποῦς. Λέγεται γάρ· «Δεσπότου προστάττοντος, οὐδεὶς οὐδαμῶς φόβος ἐστὶ τῷ »πιστῷ δούλῳ, ἀποδημοῦντι διὰ ξηρᾶς ἢ ὑγρᾶς ἐπικιν»δύνου.

«Ὅστις τῶν θεραπόντων, κελευσθεὶς εἴς τι ἔργον, ἀμφι»γνοεῖ, καὶ ἀναβάλλεται, οὗτος οὐκ ἄξιός ἐστιν εἶναι παρὰ »τῷ Βασιλεῖ, τῷ θέλοντι δόξαν καὶ εὔκλειαν.»

ΠΙΓΓΑΛΑΚΑΣ.

Εἰ οὕτως ἔχει, ἄπιθι· εὐθεῖά σοι ἡ ὁδός.

Ἀναχωρήσαντος δὲ τοῦ Δαμανάκα, ὁ Πιγγαλάκας, ὑπονοήσας, τοιαῦτα διενοεῖτο· «Οὐ καλῶς πεποίηκα, πιστεύσας τῷ Δαμανάκα, καὶ ἀνακαλύψας πρὸς αὐτὸν τὴν ἐμαυτοῦ γνώμην· ἴσως γὰρ κακόφρων ἔσεται περὶ ἐμὲ, ἤτοι δωροδοκηθείς, ἢ ἐνθυμηθεὶς τὴν ἣν ἔπαθεν ἔκπτωσιν πρότερον ἐκ τῆς ἀρχῆς. Λέγεται γάρ·

«Οἱ ἔντιμοι ὑπηρέται, ὅταν ἀτιμηθῶσιν ὑπὸ τοῦ Βασι»λέως, ὀλέθρου αἴτιοι γίνονται αὐτῷ, εἰ καὶ φύσεώς εἰσιν ἀγαθῆς.

Ἔστε οὖν ἴδω, τί ποιῆσαι βούλεται ὁ Δαμανάκας, πορευθεὶς εἰς ἕτερον τόπον, περιφρουρήσω ἐμαυτὸν ἐκεῖ, μήπως αὐτὸς, παραλαβὼν ἐκεῖνο τὸ θηρίον, ἔλθῃ εἰς ἀναίρεσίν μου. Λέγεται γάρ·

«Οἱ ἀδύνατοι, μὴ πιστεύσαντες, οὐκ ἂν ἀναιρεθείησαν οὐδ' »ὑπὸ τῶν λίαν δυνατῶν· οἱ δὲ δυνατοὶ, πιστεύσαντες, ἀναι»ροῦνται καὶ ὑπὸ τῶν ἀδυνάτων.

«Οὐδὲ τῷ Βριχασπατῇ πιστεύσειεν ἂν ὁ φρόνιμος, ἂν »ἀγαπᾷ ὑπερτέραν δόξαν, μακροβιότητα, καὶ πᾶν ὅ,τι κατα»θύμιον.

«Καὶ ὁ Θεὸς ἀνελεῖν οὐ δύναται τὸν ἐχθρὸν ἄνευ πεποιθή»σεως· τὸ ἔμβρυον τῆς Διτῆς ἀνηρέθη ὑπὸ τοῦ Ἰνδρα, ἐπειδὴ »ἡ Διτὴ ἐπίστευσεν αὐτῷ.»

Οὕτω μὲν δὴ ὁ Πιγγαλάκας ἐγνωκὼς, ἐλθὼν εἰς ἕτερον τόπον, ἦν ἐκεῖ μόνος, προσέχων, καὶ ἐνατενίζων κατὰ τὴν ὁδόν. Ὁ δὲ Δαμανάκας, ὑπὸ τῆς φωνῆς ὁδηγούμενος, προσπελάσας τῷ Σανζηβάκᾳ, εἶδεν, ὅτι ταῦρός ἐστι· καὶ χαρεὶς τὴν ψυχὴν, ἔλεγεν ἐν ἑαυτῷ· «Ἀγαθὸν μέγιστον ἐπεγένετο! διὰ γὰρ τῆς τούτου φιλιώσεως καὶ ἐκπολεμώσεως ὁ Πιγγαλάκας ὑπὸ τὴν ἐμὴν ἔσεται βουλήν. Οὕτω δὲ καὶ λέγεται·

«Οὐ τοσοῦτον ἀποδέχεται ὁ Βασιλεὺς τὴν βουλὴν τῶν »βουλευτῶν, ὅταν ἐκεῖνοι ὦσιν ἀγαθῆς φύσεως, καὶ φιλόφρονες, »ὅσον, ὅταν αὐτὸς ᾖ ἐν δεινοῖς καὶ συμφοραῖς.

«Ὅταν ὁ Βασιλεὺς δυσπραγῇ, ὁμογνώμων ἀεὶ γίνεται τοῖς »βουλευταῖς· ταῦτ' ἄρα καὶ οἱ βουλευταὶ ἀγαπῶσι δυσπρα»γοῦντι Βασιλεῖ.

«Καθὼς ὁ ἄνθρωπος, ὅταν εὐσθενῇ, οὐ θέλει ἰατρὸν, οὕτω »καὶ ὁ Βασιλεὺς, ὅταν εὐπραγῇ, οὐκ ἀγαπᾷ τοὺς βουλευτάς.»

Τοιαῦτα ἐν διανοίᾳ ἀναπλάττων ὁ Δαμανάκας, ἐπανέκαμψε πρὸς τὸν Πιγγαλάκαν. Ὁ δὲ, ἰδὼν αὐτὸν, μόνον ἐρχόμενον,

ἔστη ἐν ᾧ ἦν πρότερον τόπῳ καὶ σχήματι, μηδεμίαν δειλίαν, ἢ ὑπόνοιαν ἐπιδεικνύς. Προσελθόντι δ' αὐτῷ, εἶπε·

ΠΙΓΓΑΛΑΚΑΣ.

Εἶδες ἄρα ἐκεῖνο τὸ ζῶον;

ΔΑΜΑΝΑΚΑΣ.

Εἶδον χάριτι τοῦ Κυρίου μου.

ΠΙΓΓΑΛΑΚΑΣ.

Ἀληθειαν λέγεις;

ΔΑΜΑΝΑΚΑΣ.

Τί οὖν; λέγεται ψεῦδος ἐνώπιον Βασιλέως; λέγεται γάρ·

«Ὁ νομοθέτης Μανοῦς ἀπεφθέγξατο, ὡς ὁ Βασιλεὺς εἰκών »ἐστι σύμμικτος πάντων τῶν θεῶν ὅθεν οὐχ ὡς ἁπλῶς ἄν»θρωπον, ἀλλ' ὡς Θεὸν αὐτὸν δεῖ νομίζειν.

«Ὅστις μικρόντι γε ψεῦδος λέγει ἐνώπιον Βασιλέων τε καὶ »θεῶν, οὗτος τὴν ταχίστην ὄλλυται, εἰ καὶ πάνυ μέγας τυγ»χάνει.

«Αὕτη ἐστὶν ἡ διαφορὰ Θεοῦ τε καὶ Βασιλέως· ὁ μὲν γὰρ »Βασιλεὺς ἀνταποδίδωσιν εὐθὺς ἤτοι καλὸν, ἢ κακόν· ὁ δὲ »Θεὸς μετὰ θάνατον.»

ΠΙΓΓΑΛΑΚΑΣ.

Εἶδες ἀναμφιβόλως· οἱ γὰρ μεγαλόφρονες οὐκ ὀργίζονται κατὰ τῶν μικρῶν καὶ ταπεινῶν· διὰ τοῦτο καὶ οὐκ ἀνῃρέθης ὑπ' ἐκείνου. Λέγεται γάρ·

«Καθὼς ὁ σφοδρὸς ἄνεμος οὐ τοὺς μικροὺς, ἁπαλοὺς, καὶ

»χθαμαλοὺς θάμνους προφρίζους ἀνασπᾷ, ἀλλὰ τὰ ὑψηλὰ καὶ »στερεὰ καὶ μεγάλα δένδρα, οὕτω καὶ ὁ μέγας κατὰ τῶν »μεγάλων μεγαλοργίαν δεικνύει.

«Ὁ μεγαλοσθενὴς καὶ μεγαλόσωμος ἐλέφας οὐκ ὀργίζεται »κατὰ τῶν βομβυλίων, περιϊπταμένων, καὶ λακτιζόντων αὐ»τὸν κατὰ τοὺς μήνιγγας, περιῤῥεομένους ἰδρῶτι εὐώδει· οἳ »γὰρ δυνατοὶ κατὰ τῶν ἰσοδυνάμων ὀργίζονται.»

ΔΑΜΑΝΑΚΑΣ.

Οὕτως ἔχει. Ἐκεῖνο μὲν τὸ ζῶον μέγα, ἡμεῖς δὲ μικροὶ καὶ οὐτιδανοί· ἀλλὰ καὶ οὕτως, ὑπόδουλον αὐτὸ καὶ ὑποπόδιον ποιήσω τοῦ κυρίου μου, εἰ προσταγὴ γένοιτο.

Ἀναζενάξας δ' ὁ Πιγγαλάκας, ἔφη· «Δύνασαι τοῦτο ποιῆσαι;»

ΔΑΜΑΝΑΚΑΣ.

Τί δυσκατόρθωτον τῷ νοΐ; λέγεται γάρ·

«Οὔθ' ὅπλοις, οὔτ' ἐλέφασιν, οὔθ' ἵπποῦσιν, οὔτε μὴν πεζοῖς »ἔργον ἐν πολέμῳ κατορθοῦται τοσοῦτον, ὅσον τῷ νοΐ.»

ΠΙΓΓΑΛΑΚΑΣ.

Εὐκατόρθωτόν σοι ἀδιστάκτως· πορεύθητι τοιγαροῦν, καὶ ποίησον τρόπον, καθ' ὃν δουλείαν μοι ποιήσει.

Ὑπακούσας δ' ὁ Δαμανάκας, προσελθὼν πάλιν τῷ Σανζηβάκᾳ, ἐξεφώνησεν ὑπεροπτικῶς· «Ἐλθὲ, ἐλθὲ, κακὲ ταῦρε· ὁ δεσπότης Πιγγαλάκας καλεῖσε· διὰ τί, μηδαμῶς φοβούμενος, μυκᾷς εἰς μάτην συχνάκις;»

ΣΑΝΖΙΒΑΚΑΣ.

Τίς οὗτος, ἑταῖρε, ὁ Πιγγαλάκας;

ΔΑΜΑΝΑΚΑΣ.

Πῶς οὐκ οἶδας τὸν δεσπότην Πιγγαλάκαν; ἀλλὰ μαθήσῃ, ὅταν πάθῃς. Οὐκ οἶδας, ὡς ἐκεῖνός ἐστιν, ὁ ἱστάμενος ὑπὸ τὸ δένδρον Βάταν, περιπολούμενος πᾶσι τοῖς ἀγρίοις ζώοις, ὁ μεγαλόφρων, ὁ δεσπότης, ὁ Πιγγαλάκας τοὔνομα, ὁ μέγας λέων;

Τοιούτων ἀκούσας ὁ Σανζιβάκας, τεθνεῶτα ἑαυτὸν ἐνόμισε καὶ μετὰ μεγάλου ἄχθους ἀπεκρίνατο· «Ἀγαθὸς τὸν τρόπον καὶ γλυκὺς τὸν λόγον φαίνῃ μοι, φίλε· ἀλλ' ἐὰν ἀναγκαίως ἀπαγάγῃς με ἐκεῖσε, πίστιν ἀσφαλείας μοι δὸς ἐκ μέρους τοῦ δεσπότου.»

ΔΑΜΑΝΑΚΑΣ.

Ὀρθῶς εἴρηκας· αὕτη γάρ ἐστιν ἡ θέμις. Λέγεται γάρ·

«Τῆς μὲν γῆς, τῆς θαλάσσης, καὶ τοῦ ὄρους ὅρος ἐστί, τῆς »δὲ γνώμης τοῦ Βασιλέως οὐδεὶς οὐδαμῶς ἐστιν ὅρος.»

Σὺ μὲν οὖν μένε ἐνταυθί, ἕως ἂν πίστιν ἀσφαλείας λάβω παρὰ τοῦ δεσπότου· ἐγὼ δ' ἐλθὼν μετέπειτα, ἀπάξω σε ἐκεῖσε.

Τοιαῦτα εἰπὼν τῷ Σανζιβάκα ὁ Δαμανάκας, ἐπανελθὼν πρὸς τὸν Πιγγαλάκαν, ἔφη· «Οὐκ ἔστι κοινὸν ἐκεῖνο τὸ ζῶον, κύριε· ἐρωτήσαντί μοι γὰρ εἶπεν· «Ἐγώ εἰμι ὁ ταῦρος, τὸ ὄχημα τοῦ θεοῦ Σίβα· ἡσθέντος δ' ἐκείνου τοῦ Θεοῦ, ἀπελύθην νέμεσθαι πόαν χλοερὰν περὶ τὴν ὄχθην τοῦ Ἰαμουνᾶ ποταμοῦ. Τί δὲ δεῖ πολυλογίας; τοῦτο τὸ ἄλσος ἐδόθη μοι παρὰ τοῦ Θεοῦ εἰς διατριβὴν καὶ τρυφήν.»

ΠΙΓΓΑΛΑΚΑΣ.

Ἤδη ἔγνωκα, ὡς ἄνευ θείας χάριτος καὶ βοηθείας οὐκ ἂν ἠδύνατο ζῶον ἥμερον καὶ ποηφάγον διατρίβειν ἐν ἄλσει, ἐρήμῳ ἀνθρώπων, καὶ βοᾶν εἰς τοσοῦτον. Σὺ δ' εἰπέ μοι, τί εἴρηκας περὶ ἐμοῦ;

ΔΑΜΑΝΑΚΑΣ.

Ὅτι τὸ ἄλσος τοῦτο κτῆμά ἐστι τοῦ λέοντος Πιγγαλάκα, ὃς ὄχημά ἐστι τῆς θεᾶς Παρβατῆς· ἐπειδὴ δὲ σὺ αὐτὸς, ἔφην, ξένος εἶ, ἐλθὼν, δίαγε μετ' ἐκείνου ἐν ἑνὶ τόπῳ ἀδελφικῶς καὶ φιλικῶς, συντρώγων, καὶ συμπίνων, καὶ συγχαίρων. Ὁ δὲ ἀπεδέξατο ταῦτα πάντα· ἀπήτησεν ὅμως πίστιν ἀσφαλείας παρὰ σοῦ. Οὕτως ἔχει, ὡς εἴρηκα. Νῦν δὲ σὺ οἶδας.

ΠΙΓΓΑΛΑΚΑΣ.

Εὖγε, ὦ ἀγαθέ! σὺ γὰρ εἴρηκας συνῳδὰ τῇ ἐμῇ καρδίᾳ. Δέδοται πίστις ἀσφαλείας ἐκείνῳ παρ' ἐμοῦ· ἀλλὰ καὶ σὺ αὐτὸς ἀπαίτησον πίστιν ἀσφαλείας παρ' ἐκείνου ὑπὲρ ἐμοῦ, καὶ κόμισον αὐτὸν ἐνθάδε, ὅσον τάχος. Λέγεται γάρ·

«Καθὼς ἡ οἰκία στερεοῦται ὑπὸ στύλων, οὕτω καὶ ἡ βα-»σιλεία ὑπὸ βουλευτῶν εὐσταθέων, εὐθέων, εὐνόων, καὶ εὐ-δοκίμων.

«Τῶν μὲν βουλευτῶν ἡ γνῶσις διαγινώσκεται ἐν πράγμα-»σι δυσκόλοις, τῶν δ' ἰατρῶν ἐν νόσοις δυσιάτοις· ἐν δ' εὐ-»κόλοις τίς οὐκ ἔστι σοφός;»

Ἀναχωρήσας δ' ὁ Δαμανάκας, τοιαῦτα καθ' ὁδὸν ἐν ἑαυτῷ ἔλεγεν· «Ὦ! εὐάρεστος ἐφάνην τῷ δεσπότῃ! καὶ ὑπήκοον αὐτὸν ἐποίησα τοῖς ἐμαυτοῦ λόγοις! οὐδεὶς ἄρα ὁλοιώτερος ἐμοῦ. Λέγεται γάρ·

«Ἥδιστον τὸ πῦρ ἐν χειμῶνι· ἥδιστον ἡ ἐντευξις φίλου· »ἥδιστον ἡ παρὰ Βασιλέως τιμή· ἥδιστον ἡ μετ' ἀγαθῶν »διατριβή.» Προσελθὼν δὲ τῷ Σανζηβάκα, εἶπε περιχαρῶς· «Ἐξιλεώθη, ὦ ἑταῖρε, ἐκεῖνος ὑπ' ἐμοῦ, καὶ πίστι, ἀσφαλείας ἐδόθη παρ' ἐκείνου· ἴθι οὖν μετὰ θάρρους. Ἐπειδὴ δ' ὅμως δι' ἐμοῦ τῆς ἐξιλεώσεως τοῦ Βασιλέως ἔτυχες, κατὰ τὴν ἐξῆς συνθήκην δεῖσε διάγειν. Συναίνει καθ' ὅ,τι ποιῶ, ὅταν ἀναλαβὼν τὸ ὑπατικὸν ἀξίωμα, διοικῶ πάντα τὰ τῆς βασιλείας· οὕτω γὰρ ἀμφότεροι τρυφήσομεν τῆς βασιλικῆς δόξης. Λέγεται γάρ·

»Δόξα τε καὶ πλοῦτος τοῖς ἀνθρώποις προσεπιγίνεται κατὰ »τὸν θηρευτικὸν νόμον· ἐν γὰρ θήραις ὁ μὲν τῶν θηρευτῶν κε»λεύει, «Ἄνελε·» ὁ δ' ἕτερος ἀναιρεῖ τὸ ζῶον.

«Ὅστις ἐξ οἰήσεως οὐ τιμᾷ, ὡς δεῖ, τοὺς παρὰ τῷ Βασιλεῖ, »οὗτος ἐκπίπτει τοῦ οὗ ἔχει βαθμοῦ, καθάπερ ὁ Δαντίλας.

ΣΑΝΖΗΒΑΚΑΣ.

Πῶς ἔχει τοῦτο;

ΔΑΜΑΝΑΚΑΣ.

Ἔστιν ἐν γῇ πόλις, ὀνόματι Βαρδδαμαναπούρα, ἔνθα Βασιλεύς τις ἦν, Βρισσασένας καλούμενος· οὗ ὁ Ὕπαρχος, Δαντίλας τοὔνομα, ὑπέρπλουτος ἦν, καὶ ὑπερένδοξος, καὶ λίαν εὐάρεστος τῷ τε Βασιλεῖ καὶ τῷ λαῷ. Ἐν βραχυλογίᾳ, τοιοῦτος συνετὸς, καὶ πολιτικὸς ἀνὴρ οὔτ' ἤκουσται, οὔθ' ἑώραται. Ὀρθῶς δὲ καὶ λέγεται·

«Ὦ ποιῶν τὰ συμφέροντα τῷ Βασιλεῖ, ἀπεχθής ἐστι τῷ »λαῷ· ὁ δὲ ποιῶν τὰ συμφέροντα τῷ λαῷ, ἀπελαύνεται ὑπὸ »τοῦ Βασιλέως. Ἀμφοτέρων οὖν ὄντων ἐναντίων ἀλλήλοις, ὁ »ποιῶν ἅμα τὰ ἀρεστὰ τῷ τε Βασιλεῖ καὶ τῷ λαῷ, δυσεύ»ρετός ἐστι.»

Γάμων δὲ τελουμένων τῇ θυγατρὶ αὐτοῦ, ἅπαντες οἱ ἐν πόλει λογάδες, καὶ οἱ ἐν ἀξιώμασι, κληθέντες, ἐν μεγαλοπρεπείᾳ εὐωχήθησαν, καὶ μεγαλοδωρίᾳ ἐτιμήθησαν. Μετὰ δὲ τοὺς γάμους ἐκλήθη καὶ ὁ Βασιλεὺς σὺν πᾶσι τοῖς οἰκείοις εἰς ἑστίασιν. Ὁ δὲ σαρῶν τὴν βασιλικὴν οἰκίαν, ᾧ ὄνομα Γοραμβδάκας, καθεσθεὶς ἀνωτέρω τοῦ βασιλικοῦ ἱερέως, ἐκτραχηλισθεὶς ὑπὸ τοῦ Ὑπάρχου, ἀπεβλήθη. Ἔκτοτε δὲ, ἀχθόμενος τῇ ἀτιμίᾳ, οὐχ ὕπνωττεν οὐδ' ἐν νυκτὶ, ταῦτα διανοούμενος· «Πῶς ἐγὼ τοῦτον τὸν μεγάλαυχον ἀποστήσαιμι ἂν τῆς τοῦ Βασιλέως εὐμενείας; ἢ οὐ δύναμαι αὐτὸν κακόν τι ποιῆσαι, καὶ εἰκῇ κατατήκω τὸ ἐμαυτοῦ σῶμα; Λέγεται γάρ·

«Ὅστις κακοποιῆσαι μὴ δυνάμενος τὸν ἐχθρὸν, ἀγανακτεῖ, »οὗτος λίαν ἀναίσχυντός ἐστιν· ὁ ἐρέβινθος, ἀναπηδῶν ἐν τῷ »φρύγεσθαι, δύναται τὸν κρίβανον διαῤῥῆξαι;»

Καί ποτε περὶ τὴν ἕω, σαρῶν πρὸς τῇ κλίνῃ τοῦ Βασιλέως, ὑπονυστάζοντος, ὑπεφώνησε, σχετλιάζων· «Ὢ τῆς κακίας τοῦ Δαντίλα, ὃς ἀγκαλίζεται τὴν Βασίλισσαν!» Ἀκούσας δ' ὁ Βασιλεὺς, ἀναστὰς εὐθέως, ἐπευθύνετο· «Ἀληθὲς, ὦ Γοραμβδάκα, τοῦτο λέγεις; ἐν ἀγκάλαις ἦν ἡ Βασίλισσα τοῦ Δαντίλα;» Ὁ δὲ ἀπεκρίνατο· «Ἐπειδὴ, Βασιλεῦ, ἠγρύπνησα ταύτῃ τῇ νυκτὶ ἐν παιδιᾷ κύβων, ὕπνος ἐπέπεσέ μοι βίαιος, σαροῦντι· ὅθεν τί εἴρηκα, οὐκ οἶδα.» Ταῦτα μὲν οὗτος, τοιαῦτα δὲ ὁ Βασιλεὺς διενοεῖτο, ἀπορῶν· «Ἀκώλυτος ἦν εἰς τὸν ἐμὸν οἶκον ἡ εἴσοδος τοῦτε Δαντίλα καὶ τοῦ Γοραμβδάκα ἐξ ἴσου· ἴσως οὖν αὐτὸς εἶδε τὴν Βασίλισσαν ἐν ἀγκάλαις ἐκείνου. Λέγεται γάρ·

«Ὅ,τι κρυπτόν ἐστιν ἐν τῇ καρδίᾳ, εἴτε καλὸν, εἴτε κα»κὸν, τοῦτο φανερὸν γίνεται ἐξ αὐτοῦ τοῦ στόματος τοῦ »ἀνθρώπου, ἐν ὕπνῳ λαλοῦντος, ἢ μεθύοντος.

«Ὅ,τι ὁ ἄνθρωπος θέλει, ἢ βλέπει, ἢ πράττει γρηγορῶν, »τοῦτο καὶ ἐν ὕπνῳ λέγει, ἢ πράττει, φανταζόμενος.

Πρὸς δὲ, τίς ἀμφιβολία τῇ ῥαδιουργίᾳ τῶν γυναικῶν; λέγεται γάρ·

«Τίς ἄρα ἀγαπητὸς ταῖς γυναιξί; τούτῳ μὲν γὰρ ἐν ταὐτῷ »προσλαλοῦσιν· ἐκεῖνον δὲ βλέπουσι, καὶ ἄλλον κατὰ νοῦν »ἔχουσιν.

»Οὔτε τὸ πῦρ κορέννυται ξύλων, οὔτε ὁ ὠκεανὸς ποτα»μῶν, οὔτε ὁ ᾅδης νεκρῶν, οὔτε αἱ γυναῖκες ἀνδρῶν.

»Τότε σωφροσύνη ταῖς γυναιξίν ἐστιν, ὅτ' οὐκ ἔστιν οὔτε »τόπος ἰδιαίτερος, οὔτε καιρὸς ἁρμόδιος, οὔτ' ἀνὴρ ἐπιζη»τούμενος.

»Ἡ μὲν γυνὴ ἐστιν, ὡς ἡ στάμνος τοῦ βουτύρου, ὁ δ' ἀνήρ, »ὡς ἡ φλὸξ τοῦ πυρός· καθὼς δὲ τὸ βούτυρον διαλύεται ἐκ »τῆς προσθίξεως τοῦ πυρὸς, οὕτω καὶ ἡ γυνὴ ἐκ τῆς τοῦ »ἀνδρός.

»Εἰ γένοιτο τὸ μὲν πῦρ ψυχρὸν, ἡ δὲ Σελήνη θερμή, ὁ δὲ φύσει κακὸς ἀγαθὸς, γένοιτ' ἂν καὶ ἡ γυνὴ σώφρων.

»Ὅς τις, ἄφρων ὤν, φρονεῖ· «Αὕτη ἡ γυνὴ ἐρᾷ ἐμοῦ», οὗ»τος ὑπεζούσιος ἐκείνης ἀεὶ γίνεται, καθὼς τὸ ἐπὶ παιδιᾷ ὄρνεον.»

Τοιαῦτα μὲν οὖν ὁ Βασιλεὺς πολυειδῶς καὶ πολυπαθῶς λογιζόμενος, πορρῶ τῆς πρὸς τὸν Δαντίλαν εὐνοίας, ἐγένετο· καὶ ἐκώλυσεν ἐξ ἐκείνης τῆς ἡμέρας τὴν εἰς τὰ βασίλεια αὐτοῦ εἴσοδον. Ὁ δὲ, σκοπήσας τὸν Βασιλέα εὐνοϊκῶς ἐξαπίνης μὴ ἔχοντα, ἔλεγεν ἐν ἑαυτῷ ὧδε· «Ὦ! ὀρθά ἐστι τὰ λεγόμενα·

»Τίς, πλουτήσας, οὐ φυσιοῦται; τίνος ἡδυπαθοῦς αἱ δυσπραγίαι ἔληξαν; τίνος τὸ καρτερικὸν ὑπὸ τῶν γυναικῶν »οὐκ ἐχαυνώθη; τίς προσφιλὴς τῷ Βασιλεῖ; τίς τοῦ πανδα»μάτορος χρόνου παρανάλωμα οὐκ ἐγένετο; τίς ἐπαίτης τι»μῆς ἔτυχεν; ἢ τίς ταῖς ἄρκυσι τοῦ κακοτρόπου ἐμπεσὼν, »ἀγαθοῦ ἐπέτυχεν;

«Οὐδεὶς ἐράσμιός ἐστι τοῖς δυσθύμοις Βασιλεῦσι· τὸ πῦρ »θιγόμενον, κατακαίει καὶ αὐτὸν τὸν θύτην, σπένδοντα.

«Τίς ἤκουσεν, ἢ εἶδεν ἐν μὲν τῷ κόρακι καθαρότητα, ἐν δὲ »τῷ κυβευτῇ ἀλήθειαν, ἐν δὲ τῷ ὄφει ἀνοχὴν, ἐν δὲ ταῖς »γυναιξὶ κόρον ἔρωτος, ἐν δὲ τῷ δειλῷ καρτερίαν, ἐν δὲ τῷ »οἰνοπότῃ κρίσιν, ἐν δὲ τῷ Βασιλεῖ φιλίαν;

«Πρὸς δὲ τούτοις οὐδέ γ' ἐν ὕπνῳ ἄχαρί τι ἐποίησα ἔργῳ ἢ λόγῳ, οὔτ' αὐτῷ τῷ Βασιλεῖ, οὔτ' ἄλλῳ τινι· διὰ τί ἆρα ἀπέστρεψεν ἐπ' ἐμοῦ τὸ πρόσωπον ἑαυτοῦ ὁ Βασιλεύς;» Καί ποτε ὁ Γοραμβάκας, ἰδὼν τὸν Δαντίλαν, ἐξωθούμενον ἀπὸ τῆς βασιλικῆς θύρας ὑπὸ τῶν θυρωρῶν, εἶπε χλευάζων· «Ὁ Δαντίλας, οὗτος, ὦ θυρωροί, λίαν προσφιλὴς ὢν τῷ Βασιλεῖ, οἷός τέ ἐστιν ὑμῖν ποιῆσαι ἤτοι κακὸν ἢ ἀγαθόν. Καθὼς ἄρα ἐγὼ, οὕτω καὶ ὑμεῖς αὐτοὶ ἐκτραχηλισθήσεσθε ὑπ' αὐτοῦ, κωλυομένου.» Ἀκούσας ὁ Δαντίλας, ταῦτα διελογίζετο· «Πάντως γε τὸ ἐμοὶ συμβὰν δεινὸν, τούτου ἔργον ἐστίν. Ὀρθῶς ἄρα λέγεται·

«Ὃς διακονεῖ τῷ Βασιλεῖ, οὗτος, καίπερ ὢν ἀγενὴς, ἀσύ»νετος, καὶ ἄτιμος, τιμητέος ἐστὶν ἀεί.

«Εἰ καὶ φαῦλος καὶ εὐτελής ἐστιν ὁ τοῦ Βασιλέως ὑπηρέ»της, οὐδέποθ' ὅμως ἀτιμίαν λαμβάνει παρ' ἀνθρώπων.»

Ταῦτα διαλογισάμενος, οἴκαδε ἦλθε· καὶ μεταπεμψάμενος τὸν Γοραμβάκαν ἐδωρήσατο αὐτῷ ζεῦγος στολῆς, εἰπών· «Σὺ, βέλτιστε, ἐξεβλήθης ὑπ' ἐμοῦ, δυσφορήσαντος, ὅτι ἀνωτέρω τοῦ πνευματικοῦ πατρὸς τοῦ Βασιλέως ἐκάθισας ἐν ἀνοικείᾳ ἕδρᾳ· ἐφ' ᾧ σύγγνωθί μοι.» Ὁ δὲ τὴν δυάδα τῆς στολῆς, ὡς βασιλείαν οὐρανοῦ, δεξάμενος, σφόδρα χαρεὶς, ἔφη· «Συγγνώμη σοι δέδοται παρ' ἐμοῦ, ὦ ἄριστε· ἀντὶ δὲ ταύτης τῆς χάριτος ἰδὲ τὴν δύναμιν τοῦ ἐμοῦ νοὸς, καὶ τὴν εὐμένειαν τοῦ Βασιλέως.» Οὕτως εἰπὼν ἀπῆλθε λίαν ἄσμενος. Ὀρθῶς ἄρα λέγεται·

«Ὢ τῆς ἰσοδυναμίας τοῦ ζυγοῦ καὶ τοῦ οὐτιδανοῦ! ὡς »γὰρ δι' ὀλίγου εἰς τὰ ἄνω, οὕτω καὶ δι' ὀλίγου εἰς τὰ κά»τω ῥέπει.»

Τῇ δ' ἐπιούσῃ ἡμέρα σαρῶν ὁ Γοραμβάκας, πρὸς τῇ κλίνῃ τοῦ Βασιλέως, ὑποκαθεύδοντος, ὑπεφώνησεν· «Ὢ τῆς ἀγνοίας τοῦ Βασιλέως, ὃς, πάσχων πάθος διαῤῥοίας, ἐσθίει Σιῤῥατήν.» Ἀκούσας δ' ὁ Βασιλεὺς, ἀνέστη, διαταραχθείς, καὶ, «Ὦ μιαρὲ, ἔφη· τί οὕτως ἀνοίκεια λαλεῖς; εἶδες ἐμέ ποτε τοιαῦτα πράττοντα, ἢ πάσχοντα;» Ὁ δὲ, «Βασιλεῦ, ἔφη, ἐκ τῆς ἐν νυκτὶ ἀγρυπνίας πρὸς παιδιὰν κύβων, ὕπνος κατέσχε με βίαιος· διὸ ὅ,τι εἴρηκα, οὐκ οἶδα· ἵλεως οὖν ἔστω μοι ὁ Κύριός μου, ὑπ' ἐξουσίαν ὄντι τοῦ ὕπνου.» Τηνικαῦτα ὁ Βασιλεὺς τοιαῦτα ἀνέπλαττεν ἐν διανοίᾳ· «Ἐμοὶ γε οὔτε τοιοῦτον πάθος ἐπεγένετο, οὔτε τοιαύτῃ ὀπώρᾳ ἐβρώθη. Καθὼς ἄρα ἐγὼ οὔτε τοιοῦτόν τι πέπονθα, οὔτε τοιοῦτόν τι βέβρωκα, οἷον οὗτος ὁ μωρὸς εἴρηκεν, οὕτω δήπου καὶ ὁ Δαντίλας τοιοῦτόν τι ἀπαίσιον οὐ πεποίηκε. Πάντῃ οὖν ἀπρεπῆ πέπρακταί μοι, ἀτιμάσαντι αὐτὸν τὸν ταλαίπωρον. Τοιούτοις γὰρ ἀνδράσι τοιουτότροπα ἔργα ἀνοίκεια· ἄλλως τε, ἀπόντος τούτου, τὰ τῆς βασιλικῆς καὶ πολιτικῆς διοικήσεως ἐκλελυμένα γεγένηνται.» Τοιαῦτ' ἄττα διανοηθείς, μεταπεμψάμενος τὸν Δαντίλαν ἐδωρήσατο αὐτῷ τὰ ἄπερ ἐφόρει ἄμφια καὶ κοσμήματα, καὶ τὸ ὑπατικὸν ἅμα ἀξίωμα. Τοῦτό δ' ἐστιν, ὃ εἶπον ἀνωτέρω·

«Ὅστις ἐξ οἰήσεως οὐ τιμᾷ, ὡς δεῖ, τοὺς παρὰ τῷ Βασι»λεῖ, οὗτος ἐκπίπτει τοῦ οὗ ἔχει βαθμοῦ, καθάπερ ὁ Δαντίλας.»

ΣΑΝΖΗΒΑΚΑΣ.

Ὀρθὰ ταῦτα λέγεις, ἑταῖρε· οὕτω δ' ἔγωγε πράξω. Ὁμολογήσαντος ταῦτα τοῦ Σανζηβάκα, παραλαβὼν αὐτὸν ὁ Δαμανάκας, προσελθὼν τῷ Πιγγαλάκᾳ, ἔφη· «Οὗτος αὐτὸς ὁ Σανζηβάκας, ὦ Βασιλεῦ, ὃν ἤνεγκα πρὸς σέ· νῦν δὲ σὺ οἶδας.» Ὁ μὲν δὴ Σανζηβάκας, προσκυνήσας εὐλαβῶς, ἵστη ἐνώπιον ταπεινῶς· ὁ δὲ Πιγγαλάκας, ἐπιθεὶς ἐπ' αὐτὸν τὴν δεξιὰν

χεῖρα, εἶπε φιλοφρόνως· «Μὴ φοβοῦ, φίλε· δίαγε δὲ, ὡς ἔφη, ἐν τούτῳ τῷ ἄλσει, ὃ ὑπὸ τὴν ἐμὴν ἐστι δεσποτείαν· καὶ ἐπειδὴ πάνυ ἐπικίνδυνόν ἐστιν ἐκ τῶν ὧν ἔχει πολλῶν ἀγρίων θηρίων, συνδιάτριβε, καὶ συναγελάζου ἀεὶ ἐμοί.» Ὁ δ' ἔφη· «Ἔσται οὕτως, ὡς ἐπιτάττει ὁ Βασιλεύς.» Παραλαβὼν δ' αὐτὸν ὁ Πιγγαλάκας, ἐπορεύθη παρὰ τὸ χεῖλος τοῦ Ἰαμουνᾶ ποταμοῦ ἐς πόσιν ὕδατος, κἀκεῖθεν εἰσέδυ πάλιν τὸ ἄλσος. Παραδοὺς δ' ἔπειτα τῷ Καρατάκᾳ καὶ τῷ Δαμανάκᾳ τὴν τῆς βασιλείας διοίκησιν, συνετρύφα τῷ Σανζηβάκᾳ ἐν ἡδείαις ὁμιλίαις. Οὕτω μὲν οὖν συνδιῆγον ἀμφότεροι καθ' ἑκάστην, ἀπριξ ἐχόμενοι τῆς πρὸς ἀλλήλους στοργῆς καὶ ἀγάπης. Ἐν δ' ὀλίγαις ἡμέραις οὕτως ἐξ ἀσυνέτου συνετὸς ἐγένετο ὁ Πιγγαλάκας τῇ μετὰ τοῦ Σανζηβάκα ὁμιλίᾳ, σφόδρα εἰδήμονος ὄντος πολλῶν ἐπιστημῶν, ὥστε, ἀπολιπὼν τὸ ἄγριον καὶ σαρκοφάγον ἦθος, εἰς ἥμερον ἐτράπη καὶ ποηφάγον. Ἀλλὰ τί δεῖ μακρηγορεῖν; αὐτοὶ μόνοι, ὅ,τε Σανζηβάκας, καὶ ὁ Πιγγαλάκας, ἰδίᾳ ἀλλήλοις συνεβουλεύοντο ἑκάστοτε· τὰ δὲ λοιπὰ ζῶα πορρωτάτω ἵσταντο· ὁ δὲ Καρατάκας καὶ ὁ Δαμανάκας εἴσδυσιν ὅλως οὐκ εἶχον. Τελευταῖον, τὰ ζῶα πάντα, βουλιμιῶντα ἐκ τῆς ἐγκρατείας τοῦ λέοντος, διεσπάρησαν, ὅποι ἕκαστον ἠβούλετο. Λέγεται γάρ·

«Ἀφέντες τὴν ὠφελῆ δεσπότην οἱ δοῦλοι, καθὼς οἱ »ὄρνεις τὸ ξηρὸν δένδρον, ἀλλαχόσε πορεύονται.

«Καὶ ἀγαθοφυεῖς ὄντες οἱ θεράποντες, καὶ τιμὴν λαμ»βάνοντες, καὶ πρὸς θεραπείαν πρόθυμοι τυγχάνοντες, ἐγκα»ταλιμπάνουσι τὸν Βασιλέα, μὴ τυγχάνοντες τῶν πρὸς τὸ »ζῆν.

«Ὅστις τῶν Βασιλέων ὑπερημερίαν οὐ ποιεῖ τῆς διανο»μῆς τῆς μισθοφορᾶς, τοῦτον οὐδέποτ' ἐγκαταλείπουσιν οἱ »θεράποντες, καί περ ὀνειδιζόμενοι.

Οὐχὶ δὲ μόνον οἱ θεράποντες ζῶσιν ἐξ ἄλλων, ἀλλὰ καὶ ἅπαντα τὰ ἐν κόσμῳ ἔμψυχα ζῶα, εἴτε λογικὰ, εἴτε ἄλογα,

ζῶσι τῇ πρὸς ἄλληλα πειθανάγκῃ. Ἀστείως δὲ καὶ πεποίηται·

«Οἱ μὲν ἰατροὶ ζῶσιν, ἀποβουκολοῦντες τοὺς ἐμπαθεῖς, »οἱ δὲ κάπηλοι τοὺς ἀγοραστὰς, οἱ δὲ σοφοὶ τοὺς μωροὺς, »οἱ δὲ κλέπται τοὺς αφροντίστους, οἱ δ' ἑπαῖται καὶ ἀγύρ»ται τοὺς περιουσίαν καὶ οἶκον ἔχοντας, αἱ δ' ἑταῖραι τοὺς »λάγνους, οἱ δὲ τεχνῖται πάντας.

«Ἀλλήλους πάντες κατασπῶσιν ἡμέρας τε καὶ νυκτὸς τοῖς »τῆς πειθανάγκης βρόχοις. Ὅλως τάτε χερσαῖα καὶ τὰ ἔνυ»δρα ζῶσι τῇ ἑαυτῶν δυνάμει.

«Ὁ περὶ τὸν Σίβαν ὄφις καταφαγεῖν ἐφίεται τὸν μῦν »τοῦ Γανέσσα, τὸν δὲ ὄφιν ὁ Ταὼς τοῦ Σκάνδα, τὸν δὲ »Γανέσσαν ὁ λέων τῆς Παρβατῆς. Ὅτε τοιοῦτος ὅλεθρος »ἀμοιβαδὸν ἐν τῷ οἴκῳ ἐπικρέμαται τοῦ Σίβα, οὗ τῇ δυ»νάμει τὸ πᾶν τοῦτο συνίσταται, πόσῳ μᾶλλον ἀλλαχοῦ;»

Ὁ μὲν δὴ Καρατάκας καὶ ὁ Δαμανάκας, τῆς τοῦ Πιγγαλάκα εὐμενείας πόρρω ὄντες, καὶ βουλιμιῶντες, συμβούλιον ποιοῦνται. Προλογίζει δὲ ὁ Δαμανάκας. «Ἡμεῖς μὲν, ὦ βέλτιστε Καρατάκα, οὐδεμίαν ἰσχὺν ἔχομεν· οὗτοσὶ δὲ ὁ Πιγγαλάκας, πειθόμενος τοῖς τοῦ Σανζηβάκα λόγοις, οὐ χρῆται τῇ οἰκείᾳ φύσει· οἱ δὲ περὶ αὐτὸν πάντες ὤχοντο τῆδε κἀκεῖσε· τί οὖν ποιητέον;

ΚΑΡΑΤΑΚΑΣ.

Εἰ καὶ ὁ Βασιλεὺς οὐκ ἀκούει τοῦ σοῦ λόγου, δεῖ μέν τοι παραινεθῆναι, ἵνα μὴ ἔγκλημά σοι προσαφθῇ. Λέγεται γάρ·

«Ὁ Βασιλεὺς, καί περ μὴ ἀκούων, νουθετητέος ἐστὶν ὑπὸ »τῶν βουλευτῶν, καθὼς ὁ Δριταράστρας ὑπὸ τοῦ Βιδούρα, »εἰς τὸ μὴ στίγμα αὐτῷ γενέσθαι, ὡς ἀποσιωπήσαντι.

«Καθὼς ὁ Ἐλεφανταγωγὸς ψέγεται, ὅταν ὁ ἐλέφας, ἐκ»μανεὶς, ἐκτραπῇ τῆς ὁδοῦ, οὕτω καὶ ὁ βουλευτὴς, ὅταν ὁ »Βασιλεὺς, ἐκφρονῶν, ἐκκλίνῃ τοῦ εὐθέος.»

Οὗτος ὁ ποηφάγος βοῦς ὑπὸ σοῦ τῷ λέοντι προσῳκείωθη· οἰκείᾳ ἄρα χειρὶ ἥψω τῶν ἀνθράκων.

ΔΑΜΑΝΑΚΑΣ.

Ἀληθῆ ταῦτα· ἐμόν ἐστι τὸ σφάλμα, ἀλλ᾽ οὐ τοῦ δεσπότου. Ὀρθῶς ἄρα λέγεται·

«Ὁ μὲν κυνόλυκος ἔπαθεν ἐκ τῆς τῶν κριῶν μάχης· ἐγὼ »δὲ ὑπὸ τοῦ Ἀσσαδδαββούτου· ἡ δὲ μαστρωπὸς ἐξ ἀλλο»τρίων ἔργων· τὰ τρία ταῦτα δεινὰ οἴκοθεν ἐγένετο.»

ΚΑΡΑΤΑΚΑΣ.

Τί ἐστι τοῦτο;

ΔΑΜΑΝΑΚΑΣ.

Ἦν ἔντινι χώρᾳ μοναστήριον, ἔνθα ἐμόναζεν εἷς μοναστής, Δεβασσαρμὰν ὀνομαζόμενος· ὃς ἐκ τῆς ἀπεμπολήσεως τῶν προσφερομένων ἐπλήρωσεν ἀργύρου μίαν πήραν, ἣν καὶ ἔφερεν ἀεὶ ὑπὸ μάλης νυκτός τε καὶ ἡμέρας, μὴ πιστεύων μηδενί. Ὀρθῶς ἄρα λέγεται·

«Πόνος ἐν κτήσει χρημάτων! πόνος ἐν φυλακῇ τῶν κτη»θέντων! ἄχθος ἐν τῇ συνάζει! ἄχθος ἐν τῇ ἀναλώσει! »ὦ πλούτου, θλίψει συμμίκτου!»

Κακότροπος δέ τις, ἅρπαξ τῶν ἀλλοτρίων, ᾧ ὄνομα Ἀσσαδδαββούτης, σκοπήσας τὴν πήραν ὑπὸ τὴν μασχάλην τοῦ ὁσίου, τοιαῦτα διελογίζετο· «Πῶς αὕτη ἡ πήρα συληθείη ἂν ὑπ᾽ ἐμοῦ; οὔτε γὰρ διόρυξις τοῦ τοίχου εὐχερής ἐστιν, ἐκτισμένου ἐκ στερεῶν λίθων, οὔτε ὅλως ἀνάβασις, ὑψηλοῦ ὄντος· λείπεται οὖν ἀποβουκολῆσαι αὐτὸν τὸν μοναστήν, ὡς δῆθεν μαθητὴς αὐτοῦ· οὕτω γὰρ θαρρήσαντος, ἐλεύσεταί ποτε ἡ πήρα εἰς χεῖράς μου. Λέγεται γάρ·

«Ὁ μὲν αὐτάρκης οὐκ ἔστι φιλοχρήματος, οὐδ᾽ ὁ ἐγκρατὴς

»φιλόκοσμος, οὐδ' ὁ ἁπλοϊκὸς ἡδύλογος, ἢ ὁ φιλαλήθης »ἀπατεών.»

Ταῦτα διαλογισάμενος, προσελθὼν τῷ Δεβασσαρμᾶνι ἐκείνῳ, καὶ προσευνήσας εὐλαβῶς, ἔφη· «Ὁ μὲν Κόσμος οὗτος, ὦ θεσπέσιε, μάταιός ἐστιν· ἡ δὲ νεότης, ὡς ἡ ὁρμὴ τοῦ ἐξ ὀρέων χειμάρρου· ἡ δὲ ζωὴ, ὡς ἡ ἐκ χόρτου φλόξ· αἱ δὲ ἡδοναὶ, ὡς ἡ σκιὰ τοῦ νέφους· τὰ δὲ τέκνα, ἡ γυνὴ, οἱ φίλοι, καὶ οἱ οἰκεῖοι, ὡς ὄνειρον. Τούτων τοίνυν τοιούτων ὄντων, τί ποιήσας ἔγωγε, διαπλεύσω ἀσφαλῶς τὸ πέλαγος τοῦτο, τὸν Κόσμον;» Ὁ δὲ, ἀκούσας, ἔφη εὐμενῶς· «Μακάριος εἶ, ὦ τέκνον, ὅτι ἐν νεανικῇ τῇ ἡλικίᾳ τοιαύτη σοι ἀπάθεια ἐγένετο. Λέγεται γάρ·

«Ὅστις σώφρων ἐστὶν ἐν νεανικῇ τῇ ἡλικίᾳ, οὗτός ἐστι »κυρίως σώφρων· τίνι γὰρ οὐ γίνεται σωφροσύνη, ὅταν αἱ »συστατικαὶ δυνάμεις τοῦ σώματος ἀτονήσωσι;

«Τοῖς μὲν ἀγαθοῖς γῆρας ἐπιγίνεται πρῶτον μὲν ἐν τῷ »νοῖ, εἶτα δ' ἐν τῷ σώματι· τοῖς δὲ κακοῖς γῆρας ἐπιγίνε»ται ἐν μόνῳ τῷ σώματι, οὐδέποτε δ' ἐν τῷ νοΐ.»

Περὶ δὲ τῆς ἡμῶν διαπλεύσεως τοῦ πελάγους τούτου, τοῦ Κόσμου, ἄκουσον τῶν ἐμῶν·

«Ὅστις, εἴτε ἐλάχιστος, εἴτε ἀπόβλητος, εἴτε ἁμαρτωλὸς, »μυσταγωγηθεὶς, μιμητὴς γίνεται τοῦ Σίβα, πλοκάμους »φέρων, καὶ σποδῷ ἀλιλιμμένος, οὗτος ἁγνὸς, καὶ κορυφαῖος »γίνεται, ὡς ὁ Βραχμάν.

«Ὅστις προσφέρει ἓν μόνον ἄνθος τῇ κορυφῇ τοῦ φαλλοῦ »τοῦ Σίβα, λέγων τὸν ἑξασύλλαβον μυστικὸν λόγον, ΟΜ! »ΝΑΜΑΧ ΣΙΒΑΓΕ! οὗτος οὐδέποτε μετεμψυχοῦται.»

Ἀκούσας δ' ὁ Ἀσσαδδαβδούτης, ἁψάμενος εὐλαβῶς τῶν ποδῶν τοῦ Δεβασσαρμάνος, ἔφη· «Χάρισαί μοι, πάτερ ἅγιε, τὸ μυσταγωγῆσαι, καὶ διδάξαι με τὴν θείαν γνῶσιν· μαθητής σου γὰρ ἐφίεμαι γενέσθαι, καὶ συμμονασαι.» Ὁ δὲ

«Ταῦτα πάντα ἔσονται, ὦ τέκνον, ἔφη· νύκτωρ δ' ὅμως οὐ δεῖ σε μένειν σὺν ἐμοὶ ἐν τῷ μοναστηρίῳ· ἡ γὰρ τῶν μοναστῶν ἀμιξία ἐντεταλμένη ἐστὶ, καὶ διὰ τοῦτο ἀναγκαία τυγχάνει ἐμοί τε καὶ σοί. Λέγεται γάρ·

«Ὁ μὲν Βασιλεὺς ἀπόλλυται ἐκ τῆς κακοβουλίας· ὁ δὲ »μοναστὴς ἐκ τῆς πρὸς ἄλλους ἐπιμιξίας· ὁ δὲ υἱὸς ἐκ τῆς »πολλῆς φιλοστοργίας· ὁ δὲ Βραχμὰν ἐκ τῆς ἀμαθείας· τὸ »δὲ γένος ἐκ τῆς κακῆς ὁμιλίας· ἡ δὲ φιλία ἐκ τῆς ἀλαζο»νίας· ὁ δὲ πλοῦτος ἐκ τῆς ἀσωτίας· ἡ δὲ στοργὴ ἐκ τῆς »ἀποδημίας· ἡ δ' αἰδὼς ἐκ τῆς οἰνοποσίας· ὁ δ' ἀγρὸς ἐκ »τῆς ἀμελείας· τὰ δὲ κτήματα ἐκ τῆς ἀμεριμνίας.»

Ἀναδεξάμενος οὖν τὸν μοναδικὸν βίον, κοιμῶ μόνος ὑπὸ καλύβην ἐκτὸς τῆς θύρας τοῦ μοναστηρίου.» — «Πείθομαι τῇ προσταγῇ σου, πάτερ ἅγιε, ἔφη ὁ Ἀσσαδδαββούτης· ἐμοὶ γὰρ μέλει τῶν οὐρανίων ἀγαθῶν.» Ὁ μὲν δὴ Δεβασσαρμὰν ἐμυσταγώγει τε καὶ ἐδίδασκε τὸν Ἀσσαδδαββούτην τὰ τῶν θείων γραφῶν· ὁ δὲ, ὑπακοὴν ἐδείκνυε, καὶ πᾶσαν θεραπείαν πρὸς τὸν διδάσκαλον, καὶ λίαν εὐάρεστος ἐγένετο. Ἀλλὰ καὶ οὕτως, οὐδέποτε ὁ Δεβασσαρμὰν τὴν πήραν ἐξῄρει ἐκ τῆς μασχάλης. Πολλοῦ δὲ χρόνου διελθόντος, ὁ Ἀσσαδδαββούτης οὕτω διενοεῖτο· «Μέχρι τοῦδε οὗτος οὐδ' ὁπωσοῦν ἐμοὶ πιστεύει· τί οὖν; ἀποκτείνω αὐτὸν μαχαίρᾳ; ἢ φαρμάκῳ; ἢ ἀγχόνῃ;» Ταῦτα ἐν νοῒ τιθεμένου, εἷς τῶν μαθητῶν τοῦ Δεβασσαρμᾶνος ἀπό τινος κώμης ἦκε, καλῶν αὐτὸν εἰς ἑορτάσιν. Παραλαβὼν μὲν οὖν ὁ Δεβασσαρμὰν τὸν Ἀσσαδδαββούτην, ἀπῄει. Ποταμοῦ δὲ ῥέοντος κατὰ τὴν ὁδὸν, ἐνειλήσας κρυφίως τὴν πήραν ἐν τῷ τριβωνίῳ εἰσέδυ, λουσόμενος. Μετὰ δὲ τὸ λούσασθαι, καὶ προσεύξασθαι, ἔλεξε πρὸς τὸν Ἀσσαδδαββούτην·

«Ἐγὼ μὲν πορεύομαι εἰς ἀποσκευὴν τῶν ἐνοχλούντων· σὺ δὲ φύλαττε προσεχῶς τὸ τριβώνιον, καὶ τὸν φαλλὸν τοῦ

Σίβα, ἕζτ' ἂν ἀναστρέψω.» Ἐνταῦθα καιροῦ τυχὼν ὁ Ἀσσαδδαββούτης, ἐξελὼν τὴν πήραν ἀπὸ τοῦ τριβωνίου, ὤχετο μετὰ σπουδῆς. Ἐν δὲ τούτῳ ὁ Δεβασσαρμὰν, πίστιν ἔχων πρὸς τὸν Ἀσσαδδαββούτην, ἐθεᾶτο ἡδέως μάχην δύω χρυσομάλλων Κριῶν, ὧν κυριττόντων ἀλλήλους αἷμα πολὺ κατεχεῖτο ἐξ ἀμφοτέρων τῶν μετώπων. Κυνόλυκος δέ τις, ἱστάμενος ἐν μέσῳ, ἔλειχε τὸ καταχεόμενον αἷμα· εὑρεθεὶς δὲ τελευταῖον μεταξὺ τῶν μετώπων τῶν κριῶν, κυριττόντων, πληγεὶς ἔπεσε, τεθνεώς. Ἀναστρέφων δ' ὁ Δεβασσαρμὰν ἐννοῶν ἦν τὸν θάνατον τοῦ κυνολύκου, καὶ ἅμα ἐνθυμούμενος τὴν πήραν. Ἐλθὼν δὲ, καὶ ἰδὼν μήτε τὸν Ἀσσαδδαββούτην ἐκεῖ, μήτε τὴν πήραν ἐν τῷ τριβωνίῳ, ἀνεβόησεν, ἐλεεινολογῶν· «Οἴ μοι! σεσύλημαι ὁ τάλας!» καὶ ἔπεσε χαμαὶ, λειποθυμήσας. Ἀναλαβὼν δὲ μετ' ὀλίγον ἑαυτὸν, καὶ ἀναστὰς, ἤρξατο φωνεῖν· «Ἆρα ἀπατήσας με, ὦ Ἀσσαδδαββούτη, ἐδραπέτευσας; δός μοι ἀπόκρισιν.» Οὕτωσὶ ἐλεεινολογῶν, ἀπῄει εἰς τὸ πρόσω σχολαίως, ἀνιχνεύων τὸν δραπέτην, καὶ λέγων· «Ὁ μὲν κυνόλυκος ἔπαθεν ἐκ τῆς τῶν κριῶν μάχης, ἐγὼ δὲ ὑπὸ τοῦ Ἀσσαδδαββούτου.» Κατὰ δὲ τὴν ὁδὸν ἰδὼν ἕνα ὑφάντην, πορευόμενον μετὰ τῆς ἑαυτοῦ γυναικὸς ἐκ τῆς ἰδίας κώμης εἰς ἑτέραν γειτνιάζουσαν, ἐφ' ᾧ πιεῖν οἶνον, εἶπεν· «Ὁ μὲν ἥλιος, ὦ ἀγαθὲ, περὶ δυσμάς ἐστιν· ἐγὼ δὲ ξένος, καὶ δέομαι καταλύσεως· ἀγνὼς γάρ εἰμι τῆς πρόσω κώμης, καὶ διὰ τοῦτο ξενίας εἰμὶ ἄξιος· γέγραπται γὰρ ἐν τῷ νόμῳ.

«Ξένος, κατὰ τὴν ἑσπέραν ἐλθὼν εἴς τινος οἰκίαν, οὐκ »ἀποβλητέος, ἀλλὰ ξενιστέος· ξενισθεὶς γὰρ, θείαν χάριν δί»δωσι τῷ ξενίσαντι.

«Ἐν τοῖς οἴκοις τῶν ἀγαθῶν οὐδέποτε ἐπιλείπει ταῦτα· »ψίαθος, γῆ, ὕδωρ, καὶ γλῶσσα γλυκεῖα.

«Ἐκ μὲν τῆς πρὸς τὸν ξένον δεξιώσεως ἥδεται ὁ Ἀγνής· »ἐκ δὲ τοῦ στρώματος ὁ Ἴνδρας· ἐκ δὲ τῆς τῶν ποδῶν νί-

»ψεως ὁ Βισνοῦς· ἐκ δὲ τοῦ βρώματος καὶ πόματος ὁ Βραχμᾶς.»

Ἀκούσας ὁ Ὑφάντης, εἶπε τῇ γυναικὶ αὐτοῦ· «Λαβοῦσα τὸν ξένον τοῦτον, ἄπιθι οἴκαδε· καὶ ξενίσασα αὐτὸν, ὡς δεῖ, ποδονίπτρῳ, δείπνῳ καὶ κλίνῃ, μένε ἐκεῖ· ἐγὼ δὲ πολὺν οἶνον οἴσομαί σοι.» Ταῦτα εἰπὼν ἀπῄει εἰς τὸ πρόσω. Ἡ δὲ γυνὴ αὐτοῦ, ἥτις ἦν μοιχαλὶς, παραλαβοῦσα τὸν Δεβασσαρμᾶνα οἴκαδε ἀπήρχετο, χαίρουσα, καὶ ἐν νῷ ἔχουσα τὸν ἐρώμενον Δεβαδάταν. Ὀρθῶς ἄρα λέγεται·

«Μεγάλη χαρὰ γίνεται τῇ μοιχαλίδι ἐν ἡμέρᾳ δυσχειμέρῳ,
»ἐν νυκτὶ ἀσελήνῳ, ἐν στενωποῖς, καὶ ἐν ἀποδημίᾳ τοῦ
»ἀνδρός.

«Κλίναι, στρώματα ἁπαλὰ, ἀνὴρ καλός τε καὶ ἀγαθὸς, καὶ
»πᾶσα ἄλλη τρυφὴ, τὸ οὐδὲν κρίνονται ἀκολάστῳ καὶ μοιχα-
»λίδι γυναικί.

«Πάντα ταῦτα στέργει ἡ ἀσελγὴς καὶ ἀκόλαστος γυνή·
»τὴν ἀτιμίαν τοῦ γένους, τὴν κατηγορίαν τῶν ἀνθρώπων, τὸν
»δεσμὸν, καὶ τὸν κίνδυνον τῆς ζωῆς.»

Ἐλθοῦσα δ' οἴκαδε, δοῦσα μίαν διερρηγμένην κλίνην τῷ Δεβασσαρμᾶνι, ἔφη· «Ἕως ἂν ἐπανακάμψω μετὰ τὸ ἰδεῖν τινα φίλην, ἀφιγμένην ἐξ ἀγροῦ, φροντίδα ἔχε τοῦ οἴκου.» Τοιαῦτα εἰποῦσα, καὶ ἑαυτὴν κοσμήσασα, ἀπῄει πρὸς τὸν ἐρώμενον Δεβαδάταν. Ἰδοῦσα δὲ καθ' ὁδὸν ἐρχόμενον τὸν ἑαυτῆς ἄνδρα, μεθύοντα, παραπίπτοντα, διακεχυμένην ἔχοντα τὴν κόμην καὶ κεράμιον οἴνου φέροντα, εὐθέως οἴκαδε ἐπανελθοῦσα, καὶ τὰ κοσμήματα ἐκβαλοῦσα, ἦν ὡς πρότερον. Ὁ δ' Ὑφάντης, σκοπήσας αὐτὴν φεύγουσαν, καὶ κοσμήματα φέρουσαν, ἀκούων δὲ καὶ παρ' ἄλλων πρότερον πολλὰ κατ' αὐτῆς ἀπαίσια, διαταραχθεὶς, ἔφη, ἐλθών· «Ποῖ ἐπορεύου, κακὴ καὶ ἀκόλαστε;» Ἡ δὲ, «Ἀναχωρήσασα ἀπὸ σοῦ, ἀπεκρίνατο, ἔμενον ἐν οἴκῳ· τί οὖν τοιαῦτα ἀνοίκεια λέγεις, μέθῃ ἐχόμενος; ὀρθῶς ἄρα λέγεται·

«Ὅσα σημεῖα δεικνύονται τῆς φρενίτιδος νόσου, τοσαῦτα »καὶ τῆς μέθης· ταραχὴ φρενῶν, παραφορὰ ποδῶν, καὶ ἀνοί»κεια ῥήματα.

«Οἷα γίνεται ἡ κατάσασις τοῦ ἡλίου, δύοντος, τοιαύτη καὶ »ἡ τοῦ ἀνθρώπου, μεθύοντος· τρόμος χειρῶν, ἐγκατάλειψις πε»ριβολαίου, ἐλλειψις δυνάμεως, καὶ ἐρυθρότης προσώπου.»

Βλέπων δ' αὐτὴν ὁ ὑφάντης, ἄλλο σχῆμα φέρουσαν, καὶ ἄλλους λόγους λέγουσαν, εἶπε· «Πάλαι μὲν ἤκουον πολλῶν, πολλὰ κατὰ σοῦ λεγόντων· ἤδη δὲ πέπεισμαι, καὶ βεβαίωμαι ἐξ αὐτῶν τῶν πραγμάτων· ταῦτ' ἄρα δικαίως παιδεύσω σε.» Καὶ λαβὼν ῥάβδον, ἔτυψεν αὐτὴν ἀνηλεῶς, κἀτα ἔδησεν ἐν στύλῳ. Καρηβαρῶν δὲ, εἰς ὕπνον κατηνέχθη. Ἐν τούτῳ τῷ μεταξὺ γνωστή τις, γυνὴ κουρέως, γνοῦσα, ὡς ὁ ὑφάντης κοιμᾶται, εἰσελθοῦσα, ἔφη· «Ὁ Δεβαδάτας, φίλη, ἐν τῷ δεῖνι τόπῳ προσμένει· πορεύθητι ἐς τάχος.» Ἡ δ' ἔφη· «Ἰδὲ, ὦ φίλη, τὴν ἐμὴν κατάστασιν· πῶς ἄρα πορευθῆναι δύναμαι; Ἴθι, εἰπὲ ἐκείνῳ τῷ ἐραστῇ, ὡς οὐκ ἔστιν οὔτε καιρὸς, οὔτε τρόπος τόγε νῦν ἔχον.» Ἡ δὲ, «Μὴ, μὴ λέγε, ὦ φίλη, τοιαῦτα ἀνοίκεια ταῖς ἐρωμέναις· λέγεται γάρ·

«Ὅστις οὔτε πόνον οὔτε τρόπον ἀφίησιν εἰς τὸ τυχεῖν τοῦ »ποθουμένου, καί περ δυσκόλου ὄντος, οὗτος ἀξιέπαινός ἐστιν.

«Ὀλβιαί εἰσιν, αἱ τρυφῶσι τῆς νεότητος σὺν ἡδονικοῖς ἐρα«σταῖς· τὰ γὰρ μετὰ τὸν βίον ἀμφιβαλλόμενά ἐστιν· ἡ δὲ »τῶν ἀνθρώπων κατηγορία ἐν Κόσμῳ καθάπτεται πολλάκις »καὶ τῶν ἀνεγκλήτων.»

«Ἀλλὰ πῶς, ἔφη, πορευθείην ἄν, ὅτε ἐγὼ μὲν ἐν ἀλύτοις εἰμὶ δεσμοῖς, οὑτοσὶ δὲ ὁ κάκιστος πλησίον ἐμοῦ ὑπνοῖ;» — «Οὗτος, ὦ φίλη, εἶπεν ἡ τοῦ κουρέως γυνὴ, καρηβαρῶν, μόλις ἐξεγερθήσεται ἀνατείλαντος τοῦ ἡλίου· σὲ δ' ἐγωγε λύσασα, μένω ἀντὶ σοῦ, δεδεμένη· μετὰ δὲ τὸ ὁμιλῆσαι τῷ Δεβαδάτᾳ, ἐπάνελθε ταχέως.» Τούτων οὕτω γενομένων, ἀφυπνώσας μετὰ

βραχὺ ὁ Ὑφάντης, εἶπεν· «Ἐὰν ἀπὸ τῆς σήμερον, κακίστη, μήτ' ἐκ τοῦ οἴκου ἐξέρχῃ, μήτ' ἄλλῳ συλλαλῇς ἀνδρί, λύω σε.» Ἡ δὲ γυνὴ τοῦ κουρέως, φοβουμένη μὴ γνωσθείη ἐκ τῆς φωνῆς, οὐδὲν ἀπεκρίνατο. Ὁ δὲ, πάλιν πολλάκις τοιαῦτα εἰπὼν, καὶ μηδεμίαν ἀπόκρισιν λαβὼν, θυμωθεὶς, ἔτεμε τὴν ῥίνα αὐτῆς ὀξεῖ μαχαιριδίῳ· κἄπειτα εἰς ὕπνον πάλιν κατηνέχθη. Ταῦτα δὲ πάντα τὰ γυναικεῖα ῥαδιουργήματα ἐθεᾶτο ὁ Δεβασσαρμὰν, γρηγορῶν ἔκτε τῆς ἀπολωλυίας πήρας, καὶ τῆς πιεζούσης πείνης. Ἡ δὲ γυνὴ τοῦ ὑφάντου, ὁμιλήσασα τῷ Δεβαδάτᾳ, οἴκαδε ἐλθοῦσα, ἔφη τῇ γυναικὶ τοῦ Κουρέως· «Εὖ ἔχεις, ὦ φίλη; ἀναχωρησάσης ἐμοῦ, ἐξηγέρθη οὗτος ὁ δύστροπος;» Ἡ δ' ἀπεκρίνατο· «Ἐκτὸς τῆς ῥινὸς, ἅπαντα τὰ μέλη τοῦ σώματος εὖ ἔχει· λύσον με τάχιστα ἐκ τῶν δεσμῶν, ἵνα φύγω, πρὶν οὗτος ἀφυπνώσῃ· εἰ δὲ μὴ, καὶ τὸ οὖς μου ἀποτεμεῖ.» Ἡ μὲν οὖν γυνὴ τοῦ ὑφάντου, ἐκείνην μὲν λύσασα, αὐτὴ δὲ δεθεῖσα, ὡς πρότερον, ἀναβοᾶν ἤρξατο, χαλεπαίνουσα, καὶ ὀνειδίζουσα· «Τίς, ὦ ἀφρονέστατε, βιάσασθαι δύναται ἐμὲ τὴν λίαν σώφρονα καὶ φίλανδρον, ἢ ὅλως ἀκρωτηριάσαι; Ἀκουσάτωσαν οἱ θεοὶ, οἱ ἔφοροι τοῦ κόσμου· διαμαρτύρομαι, ὡς νενόμισται·

«Ὁ ἥλιος, ἡ σελήνη, ὁ ἀὴρ, τὸ πῦρ, τὸ ὕδωρ, ἡ γῆ, ὁ »αἰθὴρ, ἡ ἡμέρα, ἡ νὺξ, ἡ ἕως, ἡ ἑσπέρα, ὁ νόμος, ἡ καρδία, »ἡ συνείδησις, γινώσκει τὰς πράξεις τοῦ ἀνθρώπου.»

Ὅθεν εἰ μὲν σωφροσύνη μοι ἐστὶν, οὗτοι οἱ θεοὶ ἀποκαταστησάτωσάν μου πάλιν τὴν ῥίνα, ὡς ἦν τέως· εἰ δέγ' ἐπιθυμία μοι ἐν καρδίᾳ ἐγένετο ἑτέρου ἀνδρὸς, ἀποτεφρωσάτωσάν με. Ἰδὲ, δύστροπε, ὅπως ἡ ἐμὴ ῥὶς ἀποκατέστη, οἵα ἦν πρότερον, ἐκ τῆς ἐμῆς σωφροσύνης!» Ὁ δὲ, λύχνον λαβὼν, καὶ ἰδὼν ἀκέραιον τὴν ῥίνα αὐτῆς, καὶ πολὺ αἷμα ἅμα κεχυμένον κατὰ γῆς, καταπλαγεὶς. ἔλ σεν αὐτὴν ἐκ τῶν δεσμῶν, καὶ πολλοῖς λόγοις μειλιχίοις ἐξιλέωσε. Ταῦτα δὲ πάντα

βλέπων ὁ Δεβασσαμὰν θαυμάζων, ἔλεγεν ἐν ἑαυτῷ τάδε·

«Ὅ,τι εἶδεν ὁ Σολκρας, ὅ,τι ἐπίσταται ὁ Βριχασπατὴς, »οὐδέν ἐστιν ὡς πρὸς τὴν μάθησιν τῶν γυναικῶν· πῶς ἄρα »δυνατὸν ἂν εἴη ταύτας φυλάττεσθαι;

«Φυσικά ἐστι ταῖς γυναιξὶ ταῦτα πάντα τὰ κακά· τὸ ψεῦ»δος, τὸ ῥιψοκίνδυνον, τὸ ἀπατηλὸν, τὸ εὔηθες, τὸ πλεονε»κτικὸν, τὸ ἀκάθαρτον, καὶ τὸ ἄσπλαγχνον·

«Οὔτε πολλὴν κλίσιν ἔχειν δεῖ πρὸς τὰς γυναῖκας, οὔτε »πολλὴν ἐξουσίαν αὐταῖς διδόναι· αἱ γὰρ γυναῖκες ἐμπαίζουσι »τοῖς πεπεισμένοις ἀνδράσι, καθὼς οἱ παῖδες τοῖς κολοιοῖς, »τοῖς τετιλμένοις τὰ πτερά.

«Αἱ γυναῖκες τῷ μὲν ἥδει τῆς γλώττης θέλγουσι· τῷ δ' »ὀξεῖ τῆς καρδίας νύττουσι καὶ φιλοῦνται ὑπὸ τῶν ἀνδρῶν, »δελεασθέντων τῇ βραχείᾳ ἡδονῇ, ὡς οἱ βομβύλιοι ὑπὸ τῶν »λωτῶν, δελεασθέντες τῷ μέλιτι.

«Ἐν μὲν τῇ γλώττῃ τῶν γυναικῶν ἐστὶ μέλι, ἐν δὲ τῇ »καρδίᾳ ψυχοφθόρον φάρμακον· διὰ τοῦτο τὸ μὲν χεῖλος αὐ»τῶν φιλεῖται ὑπὸ τῶν ἀνδρῶν, τὸ δὲ στῆθος θλίβεται.

«Τίς ἐτεκτήνατο τὸ γυναικεῖον τοῦτο δαίδαλμα, τὸ δυσ»κατάληπτον καὶ τοῖς σοφοῖς ἀνδράσι; φάρμακόν ἐστιν ἐν »εἴδει ἀμβροσίας· θελκτικὴ ἀγχόνη τῶν ἀῤῥένων· δίνη τῶν »δισταγμῶν· γῆ τῶν ἀπιστιῶν· πυξὶς τῶν μαγγανειῶν· οἴκη»μα τῆς ἰταμότητος· πόλισμα τῆς ῥιψοκινδυνότητος· δοχεῖον »δόλου καὶ σοφίσματος· θησαυρός ἐστι τῶν κακῶν ἁπάντων!

«Αἱ γυναῖκες καὶ γελῶσι, καὶ κλαίουσι διά τι τέλος συμ»φέρον· καταπείθουσι μὲν, οὐ καταπείθονται δέ· ταῦτ' ἄρα »παρὰ τῷ σπουδαίῳ ἀνδρὶ ἄξια ἀποτροπῆς ἐστι ταῦτα τὰ »γυναικάρια, καθάπερ τὰ παρεῤῥιμένα πήλινα ἀγγεῖα ἐν τῇ »γῇ τῶν νεκύων.

«Οἱ χαιτόεντες λέοντες, καὶ οἱ μεμηνότες ἐλέφαντες, οἵτε »νοῦν ἔχοντες, καὶ οἱ ἐν πολέμοις γενναίως ἀριστεύοντες,

»ἀγενεῖς καὶ εὐτελεῖς καθίστανται πλησίον ὄντες τῶν θηλέων·
«Ὑπὸ τίνος ἐποιήθησαν αὗται αἱ γυναῖκες, αἳ ἔνδοθεν μέν
»εἰσι φαρμακώδεις, ἔξωθεν δὲ θηρίρεις, ὡς αἱ Γοργόναι;»

Τοιαῦτα ὁ Δεβασσαρμὰν ἀναπολῶν διενυκτέρευσεν ἐν μεγάλῃ κακουχίᾳ. Ἡ δὲ γυνὴ τοῦ κουρέως, ἡ ῥινοτμήτος, εἰς τὸν οἰκεῖον ἐλθοῦσα οἶκον, τοιούτους εἶχε διαλογισμούς· «Τί δὲ νῦν ποιητέον; ἢ πῶς τὴν λώβην ταύτην ἀποκρυπτέον;» Τοιαῦτα διαλογιζομένης ἦλθεν ὁ ἀνὴρ αὐτῆς περὶ τὸν ὄρθρον (οὐ γὰρ ἦν οἴκοι ἐν ἐκείνῃ τῇ νυκτὶ διά τινα χρείαν) καὶ στὰς πρὸ τῆς θύρας, ἐξεφώνησε· «Δός μοι, ὦ γύναι, τὴν ξυροθήκην, ἵνα πορευθῶ πρὸς τοὺς δεομένους κουρείας.» Ἡ δὲ, ἔνδον στᾶσα, ἔδωκεν αὐτῷ ἕνα ξυρόν. Θυμωθεὶς δ' ὁ κουρεὺς, ὅτι ἕνα ξυρὸν ἔδωκεν, ἀλλ' οὐχ ὅλην τὴν ξυροθήκην, ἔῤῥιψε κατ' αὐτῆς τὸν ξυρόν. Ἐνταῦθα ἡ πανοῦργος ἐκείνη, ἐξελθοῦσα τῆς οἰκίας, ἤρξατο εὐθὺς βοᾶν, πετάσασα τὰς χεῖρας· «Παπαί! ἐῤῥινοτομήθην ἀδίκως ὑπὸ τοῦ κακίστου τούτου! σώσατέ με!» Ἐν τούτῳ οἱ δικαστικοὶ ὑπηρέται, ἐπιστάντες, δείραντες τὸν κουρέα ἀνηλεῶς, κάτα δήσαντες, ἀπῆγαγον αὐτὸν πρὸς τοὺς δικαστὰς ἅμα τῇ ῥινοτμήτῳ, εἰπόντες· «Αὕτη ἡ ἀγαθὴ γυνὴ ἐῤῥινοτομήθη ὑπὸ τούτου τοῦ κακίστου κουρέως· ὅ,τι δ' ὑμῖν δοκεῖ, ποιήσατε.» Οἱ μὲν οὖν δικασταὶ ἐπύθοντο· «Διὰ τί, ἄνθρωπε, ἠκρωτηρίασας ταύτην τὴν γυναῖκα; ἄλλῳ ἀνδρὶ συνῆλθεν; ἢ κλοπὴν ἐποίησεν; ἢ ἀναιτίως ἀνεῖλέ τινα;» Ὁ δὲ, ἀποκαμὼν ὑπὸ τῶν πληγῶν, οὐδαμῶς ἠδύνατο λαλῆσαι. Τότε οἱ δικασταὶ ἔφασαν· «Ἀληθὲς ἄρα, ὃ εἶπον οἱ δικαστικοὶ ὑπηρέται, ὡς οὗτος μὲν κακοῦργος, ἐκείνη δ' ἡ τάλαινα ἀνέγκλητος. Γέγραπται γὰρ ἐν τῷ νόμῳ·

«Ὁ μὲν ἔνοχος ἀδιάῤῥωτα λαλεῖ ἐκ συνειδήσεως καὶ ὑπο-
»ψίας· περιπατεῖ, προσκόπτων· ὑρῶ.α κατὰ τὸ μέτωπον
»ἔχει, πρόσωπον ἠλλοιωμένον βλέμμα τεταραγμένον καὶ σύν-
»νουν ἦθος.

«Ὁ δὲ ἀθῶος, χαρωπός ἐστι, θυμοειδὴς, καὶ θαῤῥαλέος· »βλέμμα τ' ἔχει ὀξὺ, καὶ λαλεῖ ἐν δικαστηρίῳ μετὰ παῤ»ῥησίας.»

Ἔνοχος ἄρα φαινόμενος, ἄξιός ἐστι θανάτου· καὶ ἀποσκολοπισθήτω.» Ἀγόμενον δ' αὐτὸν τὴν εἰς θάνατον, εἶδεν ὁ Δεβασσαρμὰν· ὃς, ἀγανακτήσας, ἐλθὼν πρὸς τοὺς δικαστὰς, εἶπε· «Πῶς οὗτος ὁ ταλαίπωρος θανατοῦται ἀδίκως; ἀκούσατε, ὃ λέγω ἀληθῶς·

«Ὁ μὲν κυνόλυκος ἔπαθεν ἐκ τῆς τῶν κριῶν μάχης· ἐγὼ »δὲ ὑπὸ τοῦ Ἀσσαδδαββούτου· ἡ δὲ μαστρωπὸς ἐξ ἀλλοτρίων »ἔργων· τὰ τρία ταῦτα δεινὰ οἰκοθεν ἐγένετο.»

Ἐρωτησάντων δὲ τῶν δικαστῶν, τί δηλοῖ τοῦτο, ὁ Δεβασσαρμὰν ἐξιστόρησεν ἐπὶ λεπτοῦ τὰ συμβάντα ἑνὶ ἑκάστῳ τούτων. Οἱ δὲ, ἀκούσαντες, καὶ θαυμάσαντες, τὸν μὲν κουρέα ἀπέλυσαν· περὶ δὲ τῆς γυναικὸς αὐτοῦ ἐβουλεύοντο πρὸς ἀλλήλους τὰ τοῦ νόμου ἐφεξῆς·

«Καὶ μεγάλου ὄντος τοῦ ἐγκλήματος, οὐκ ἄξιός ἐστι θα»νάτου, οὔτε Βραχμὰν, οὔτε παῖς, οὔτε γυνὴ, οὔτε ἀσκητὴς, »ἢ ἐρπαθής· ἀκρωτηριασμὸς δὲ μόνον τούτοις νόμιμός ἐστιν.»

Ἐπεὶ οὖν ἡ ῥὶς αὐτῆς ἀποτέτμηται ἐκ πράξεως οἰκείας, ἀποτμηθήτω καὶ τὸ οὖς αὐτῆς ἐκ νομικῆς ποινῆς.»

Τούτων οὕτω γενομένων, ἀφεὶς τὴν ἣν εἶχε λύπην ὁ Δεβασσαρμὰν διὰ τὸν ἀπολωλότα θησαυρὸν, ἀπῆλθεν εἰς τὴν ἰδίαν μονήν.

Τοῦτο δ' ἐστὶν, ὃ εἶπον ἀνωτέρω·

«Ὁ μὲν κυνόλυκος ἔπαθεν ἐκ τῆς τῶν κριῶν μάχης· ἐγὼ »δὲ ὑπὸ τοῦ Ἀσσαδδαββούτου· ἡ δὲ μαστρωπὸς ἐξ ἀλλο»τρίων ἔργων· τὰ τρία ταῦτα δεινὰ οἰκοθεν ἐγένετο.

ΚΑΡΑΤΑΚΑΣ.

Ἐν δὲ τοιαύτῃ περιστάσει τί ποιητέον ἡμῖν;

ΔΑΜΑΝΑΚΑΣ.

Ἐν τοιούτῳ καιρῷ ὀξὺς καὶ δραστήριος ἔσεται ὁ ἐμὸς νοῦς, δι' οὗ διαζεύξω τὸν Σανζηβάκαν ἀπὸ τοῦ δεσπότου ἡμῶν. Λέγεται γάρ·

«Αὕτη ἐστὶν ἀρίστη βουλή, ἣ γίνεται εἰς ἐκτέλεσιν μὲν »τοῦ ἐπὶ χεῖρας ἀγαθοῦ, κατάσχεσιν δὲ τοῦ μέλλοντος, καὶ »εἰς ἀναίρεσιν τοῦ ἐπικρεμαμένου δεινοῦ.»

Πρὸς δὲ, αὕτη ἡ ζωὴ τοῦ Πιγγαλάκα οὐ μόνον ἡμῖν αὐτοῖς, ἀλλὰ κἀκείνῳ αὐτῷ κακόν ἐστιν, ἐπειδὴ κακὸν ἦθος καὶ ἔθος ἔσχε· διὸ καὶ λέγεται·

«Ὅτε ὁ Βασιλεὺς κακὸν ἦθος καὶ ἔθος ἔχει ἐξ ἀγνοίας, δεῖ »τοῖς βουλευταῖς ἀποβαλεῖν αὐτὸ συνέσει καὶ παντὶ τρόπῳ.»

ΚΑΡΑΤΑΚΑΣ.

Πόσα ἐστὶ τὰ κακὰ ἤθη καὶ ἔθη τοῦ Βασιλέως; καὶ ἐν τίνι ἔνεστιν ὁ Πιγγαλάκας;

ΔΑΜΑΝΑΚΑΣ.

Ἑπτά· ἡ λαγνία, ἡ κυβεία, ἡ θήρα, ἡ οἰνοποσία, ἡ αἰσχρολογία, ἡ ὑπὲρ τὸ μέτρον τιμωρία, καὶ ἡ ἀσωτία· ἔστι δὲ καὶ ἕτερον, ὃ πάνυ ἐναντίον καὶ ἀνοίκειόν ἐστι τῷ Βασιλεῖ, ἡ ἀταξία δηλονότι τῶν βασιλικῶν πραγμάτων, ὅτε πόλεμον ποιεῖ ἀντ' εἰρήνης, ἢ εἰρήνην ἀντὶ πολέμου, καὶ ὅτε οὐ φροντίζει τῶν καθηκόντων, οὐδὲ τῶν φρονίμων βουλευτῶν ἀκούει, ἀλλὰ σύνεστι, καὶ συμβουλεύεται ἀναξίοις, μικροπρεπέσι, καὶ κακοφυέσιν, ὡς ὁ Βασιλεὺς ἡμῶν τῷ ποηφάγῳ Σανζηβάκα. Διαζευκτέος ἄρ' ἐστὶν ὁ Πιγγαλάκας τοῦ Σανζηβάκα· καθὼς γὰρ λύχνου μὴ ὄντος, σκότος ἐστὶν, οὕτω τοῦ Πιγγαλάκα

μὴ βασιλεύοντος, ὡς δεῖ, μηδὲ χρωμένου τῇ οἰκείᾳ φύσει, ὄλεθρός ἐστιν ἡμῖν.

ΚΑΡΑΤΑΚΑΣ.

Πῶς δὲ διάζευξιν ποιήσεις, ἀδύνατος ὤν;

ΔΑΜΑΝΑΚΑΣ.

Ἄκουσον·

«Τὸ ἀφεθὲν βέλος ὑπὸ τοῦ τοξότου, ἤτοι ἀναιρεῖ, ἐφ' ὃν »ἀφίεται, ἢ οὐκ ἀναιρεῖ· ὁ δὲ νοῦς, ὁ ὑπὸ τοῦ νουνεχοῦς »ἀφεθείς, ὅλην ἀπόλλυσι τὴν βασιλικὴν ἐπικράτειαν μετὰ »τοῦ Βασιλέως αὐτοῦ.

«Ὅ,τι δύναται γενέσθαι διὰ μηχανῆς, οὐκ ἂν γένοιτο τοῦτο »διὰ δυνάμεως. Ὁ θήλυς κόραξ μέλανα ὄφιν ἀνεῖλε χρυσῷ »νήματι.

ΚΑΡΑΤΑΚΑΣ.

Πῶς ἔχει τοῦτο;

ΔΑΜΑΝΑΚΑΣ.

Κόρακες δύω, ἄρρην, καὶ θήλυς, καλιὰν πήξαντες ἐπὶ δένδρου μεγάλου, συνῴκουν· ὧν τοὺς νεοττοὺς, ἀπτέρους ὄντας, μέλας ὄφις, ἐμφωλεύων κοιλώματι τοῦ δένδρου, ἀνέρπων, κατήσθιεν. Ὁ δὲ κόραξ μηδαμῶς λογιζόμενος τὸ κακὸν, οὐκ ἤθελεν ἀναχωρῆσαι εἰς ἕτερον δένδρον. Ὀρθῶς ἄρα λέγεται·

«Τρεῖς, καὶ ἐν δεινοῖς ὄντες, οὐκ ἐγκαταλείπουσι τὸν οἰ»κεῖον τόπον· οἱ κολοιοί, οἱ ἔλαφοι, καὶ οἱ ἀγενεῖς καὶ μι»κροπρεπεῖς· οἱ δὲ λέοντες, οἱ ἐλέφαντες, καὶ οἱ εὐγενεῖς »καὶ μεγαλοπρεπεῖς εὐθέως μετοικοῦσι.»

Καί ποτε ὁ θήλυς ἔφη τῷ ἄρρενι· «Πολλοὺς νεοττοὺς ἡμῶν κατέφαγεν ὁ κακὸς οὗτος ὄφις, φίλτατε· καλὸν ἄρ' ἐστὶν

ἡμῶν μετοικῆσαι εἰς ἕτερον δένδρον, ἵνα μὴ χεῖρόν τι γένηται. Λέγεται γάρ·

«Οὐκ ἔστιν ἄλλο τοσοῦτον φίλτατον, ὅσον ἡ εὐεξία· οὐδ' »ἄλλο τοσοῦτον ἔχθιστον, ὅσον ἡ κακεξία. Οὐκ ἔστιν ἄλλο »τοσοῦτον ποθητόν, ὅσον τὰ τέκνα· οὐδ' ἄλλο τοσοῦτον θλι»βερόν, ὅσον ἡ πεῖνα.

«Οὗ τινος ἡ ἄρουρα κεῖται παρὰ τῇ ποταμίᾳ ὄχθῃ, ἡ »οὗτινος ἡ γυνὴ μοιχαλίς ἐστιν, ἢ ἐν οἴκῳ ἐμφωλεύει ὄφις, »πῶς οὗτος ἡσυχίαν ἕξει ἐν τῷ νοΐ;»

Ὁ δ' ἄρρην ἀπεκρίνατο· «Διὰ πολλοῦ, ὦ φιλτάτη, οἰκοῦμεν ἐν τουτωὶ τῷ δένδρῳ, δι' ἣν αἰτίαν ἀδύνατον σχεδόν ἐστι μετοικῆσαι· τούτου δ' ὅμως τοῦ μεγάλου ἐχθροῦ ἀναίρεσιν ποιήσω μεθόδῳ τινί.» Καὶ ὁ θῆλυς ἔφη· «Πῶς δὲ σὺ δύναιο ἂν κακὸν τοῦτον ποιῆσαι, μέγαν ὄντα, καὶ φαρμακώδη;» — «Εἰ καὶ ἐγὼ ἀδύνατός εἰμι, ἔφη ὁ ἄρρην, ἔχω ὅμως φίλους ἐχέφρονας, καὶ μάλα πολιτικούς, ὧν τῇ συμβουλῇ τρόπον ποιήσομαι, ὥστ' ἀνελεῖν αὐτὸν τὸν κακότροπον.» Ταῦτα εἰπὼν, πετασθεὶς εἰς ἕτερον δένδρον, οὗ πρὸς τῇ ῥίζῃ ἐφώλευεν εἰς κυνόλυκος γνωστὸς, ἀνήγγειλε πρὸς αὐτὸν τὴν ἑαυτοῦ θλῖψιν, αἰτῶν ἀπαλλαγήν. Ὁ δ' ἔφη· «Μὴ λυποῦ· ὁ γὰρ θάνατος τοῦ κακοῦ ὄφεως παρὰ πόδας ἐστί. Λέγεται γάρ·

«Μηδέποτε κακὸν πρὸς τοὺς κακοὺς διανοοῦ· αὐτοί γὰρ »αὐτομάτως πεσοῦνται, καθὼς τὰ παρὰ τῇ ὄχθῃ τοῦ ποτα»μοῦ δένδρα.

«Οὐ τοσαύτη νίκη κατὰ τοῦ ἐχθροῦ ἐξ ὅπλων γίνεται, ὅση »ἐκ μηχανῆς. Ὁ πολυμήχανος, εἰ καὶ ἀδρανής ἐστι τὸ σῶμα, »οὐ κατατροποῦται οὐδ' ὑπὸ δυνατῶν καὶ γενναίων.

«Λάρος τις, πολλοὺς ἰχθύας καταφαγὼν μικρούς τε καὶ »μεγάλους, τελευταῖον ἐκ λαιμαργίας ὑπὸ καρκίνου ἀνῃρέθη.»

Ἐρωτήσαντος δὲ τοῦ κόρακος, πῶς ἔχει τοῦτο, ὁ κυνόλυκος ἀπεκρίνατο·

«Παρά τινι λίμνῃ, πολυειδεῖς ἰχθύας ἐχούσῃ, λάρος τις ᾤκει· ὃς, γήρατι καταρυχόμενος, οὐκ ἠδύνατο ἰχθῦας ἀνελεῖν. Πείνῃ δ' ἐσχατῃ ἐχόμενος, ἱστάμενος παρὰ τῇ λίμνῃ, δάκρυα ποταμηδὸν κατέχεε, καὶ τὴν γῆν κατέβρεχε. Καρκῖνος δέ τις, προσπελάσας αὐτῷ, ἤρετο· «Διὰ τί, ὦ θεῖε, βρώματος σήμερον οὐδαμῶς φροντίζεις, ἀλλ' ἱστασαι, οὕτως κλαίων, καὶ στένων;» Ὁ δὲ, «Ἐγὼ, ὦ τέκνον, ἔφη, γνώμην πεποίηκα λιμοκτονίας τῇ ἀποχῇ τῆς ἰχθυοφαγίας.»—«Τί δὲ τὸ αἴτιον, ἔφη ὁ Καρκῖνος, τῆς τοιαύτης ἀποχῆς;»—«Μέχρι τοῦ νῦν, ἔφη, ἔζησα ἐν ἀνέσει, κατεσθίων ὑμᾶς· μετὰ δ' οὐ πολὺ παντελὴς ὑμῖν ὄλεθρος ἐπιγενήσεται. Πῶς δ' ἂρ' ἔγωγε ζήσω, ἢ ποῖ πορευθῶ, γέρων ὢν, ὑμῶν ἀπολωλότων; ταύτῃ τοι καὶ ἀποχὴν ἔχω, καὶ ἀθύμως ἔχω.» Ὑπολαβὼν δ' ὁ Καρκῖνος, ἔφη· «Τίς δὲ ὁ ὄλεθρος ἡμῶν; τοῦτο εἰπέ.»—«Σήμερον, εἶπε, πλησίον ὢν πολλῶν ἁλιέων, ἀκήκοα αὐτῶν, λεγόντων, ὡς αὔριον ἢ μετὰ τὴν αὔριον ἀμφίβληστρον βαλεῖν μέλλουσιν εἰς τὴν λίμνην ταύτην. Ὑμῶν οὖν ἀπολεσθέντων κἀγὼ ἀπολεσθήσομαι· ταῦτ' ἄρα, ὡς προείρηκα, γνώμην πεποίηκα λιμοκτονίας τῇ ἀποχῇ τῆς ἰχθυοφαγίας·» Ἀκούσαντες δ' οἱ ἰχθύες τὰ παρὰ τοῦ κακόφρονος λάρου, ἐλθόντες ἀπαξάπαντες πρὸς αὐτὸν, ἱκετεύοντες, ἔλεγον· «Ἐπειδὴ κίνδυνος τῆς ζωῆς ἡμῶν ἀκούεται, πῶς ἂν αὐτὸν ἀποφύγοιμεν; Σὺ ἱκανὸς εἶ ἐξελκύσαι ἡμᾶς ἐκ τοῦ στόματος τοῦ θανάτου.» Ὁ δὲ, «Ἐγὼ μὲν, ἔφη, ἀδύνατός εἰμι, ὄρνις ὢν, ἐναντιωθῆναι ἀνθρώποις· ἔστι δ' ὅμως δύναμις ἐμοὶ μεταγαγεῖν ὑμᾶς εἰς ἑτέραν λίμνην βαθεῖαν.» Οἱ δὲ, πιστεύσαντες ἐκ μωρίας τοῖς λόγοις αὐτοῦ, ἐκλιπαροῦντες, ἐκραζον, ὁ μὲν «Πάτερ» ὁ δὲ «Ἀδελφὲ», ὁ δὲ, «Ἑταῖρε.» ὁ δὲ, «Καλοκἀγαθε,» ἐμὲ πρῶτον μετάγαγε· οὐκ ἤκουσας, ἔλεγον, τί λέγει τοῦτο;

«Οἱ καλοκἀγαθοι καὶ εὐεργετικοὶ οὐδὲ τῆς ζωῆς ἑαυτῶν »φροντίζουσιν ἕνεκα φίλου καὶ οἰκείου, νομίζοντες τοῦτο με»γάλην ἀρετήν.»

Ὑπομειδιάσας δ' ὁ λάρος, ἔλεγεν ἐν ἑαυτῷ· «Ἐπειδὴ οἱ ἰχθύες οὗτοι τῷ ἐμῷ πλάσματι ἐπείσθησαν, ἡδέως καὶ ἐς κόρον καταβρωθήσονταί μοι.» Ἀναλαμβάνων ἕνα καθ' ἕνα τῶν ἰχθύων τῷ ῥάμφει, ἀφίπτατο· κἄτα ῥίπτων ἐπί τινος πέτρας, κατήσθιεν. Οὕτω δὲ ποιῶν καθ' ἑκάστην, κατετρύφα ἥδιστα, καὶ ἐπιστρέφων, ἔφερεν ἀσπασμοὺς γλυκεῖς, καὶ ἀγαθὰς ἀγγελίας, ὡς τάχα εὖ ἔχοιεν. Κορεσθεὶς δὲ τῶν ἰχθύων, ἐπεθύμησε γεύσασθαι, ὡς ὄψου, καὶ καρκίνου. Ἀναλαβὼν δὴ τὸν καρκῖνον ἐκεῖνον, καὶ πολλὰς λίμνας διελθών, ἠρωτήθη ὑπ' αὐτοῦ· «Ποῦ, ὦ θεῖε, ἡ βαθεῖα ἐκείνη λίμνη;» Ὁ δὲ, γελάσας, ἔφη· «Βλέπεις, ὦ τέκνον, τὴν πέτραν ἐκείνην; ἐν ἐκείνῃ οἱ ἰχθύες ἀναπαύονται· ἐν ἐκείνῃ ἀναπαύου καὶ σύ.» Ἐνατενίσας δ' ὁ καρκῖνος, εἶδε μίαν μεγάλην πέτραν, σωροὺς ἔχουσαν ὀστέων ἰχθύων· καὶ ἰδών, τάδε ἔλεγεν ἐν ἑαυτῷ·

«Εἰσί τινες τῶν πολυτρόπων ἐν κόσμῳ, οἳ εἰς καταρτισμὸν »τοῦ ἑαυτῶν σκοποῦ, φίλοι μὲν ὄντες, ἐχθροὶ πλάττονται, »ἐχθροὶ δὲ ὄντες, φίλοι σχηματίζονται.

«Οὐ δεῖ φιλίαν ἔχειν πρὸς ἐχθρὸν, εἰ καὶ φιλίαν σύντονον »δεικνύει· τὸ ὕδωρ, καὶ θερμανθὲν, τὸ θερμὸν πῦρ σβεννύει.

«Κάλλιον συνδιατρίβειν ὄφεσι, καὶ συνοικεῖν ἐχθροῖς, ἀγα»θοῖς τὴν γνώμην, ἢ φίλοις κακοτρόποις, καὶ σοφοῖς κακο»βούλοις.»

Τί δὲ νῦν ποιητέον; ἢ τί μηχανητέον ἐν τοιαύτῃ περιστάσει; ἀφοβίας δεῖ καὶ εὐτολμίας. Λέγεται γάρ·

«Ἐν τοσούτῳ δεῖ φοβεῖσθαι τὸν κίνδυνον, ἐν ὅσῳ ἄπο τῆς »ὄψεώς ἐστιν· ὑπ' ὄψιν δ' ὄντα, γενναίως τοῦτον ἀπώσασθαι »χρή.»

Καὶ παραχρῆμα τοὺς πόδας περιπλέξας περὶ τὴν κεφαλὴν τοῦ λάρου, δακὼν, ἐδειροτόμησεν αὐτόν· καὶ λαβὼν τὴν κεφαλὴν, ἐπορεύθη εἰς τὴν λίμνην, ἐν ᾗ πρότερον ἦν. Οἱ δὲ ἰχθύες, ἰδόντες αὐτὸν, ἤροντο· «Πόθεν; ἢ πῶς ἦλθες, ἀδελφέ;» Ὁ δὲ, δείξας τὴν κεφαλὴν τοῦ λάρου, διηγήσατο πᾶν ὅ,τι

εἶδε, καὶ ἔπραξεν εἰς ἀγαλλίασιν πάντων. Τοῦτο δ' ἐστὶν, ὃ εἶπον ἀνωτέρω·

«Λάρος τις, πολλοὺς ἰχθύας καταφαγὼν, μικρούς τε καὶ »μεγάλους, τελευταῖον ἐκ λαιμαργίας ὑπὸ καρκίνου ἀνῃρέθη.»

«Σὺ δ' εἰπέ μοι, ὦ φίλε, εἶπεν ὁ κόραξ, πῶς ὁ κακὸς ἐκεῖνος ὄφις θανάτου τεύξεται;» Ὁ δὲ, «Πορεύθητι ἔφη, εἴς τινος πλουσίου οἶκον· καὶ τυχὼν ὅρμου χρυσοῦ, καθάπερ καὶ συμβαίνει πολλάκις ἐξ ἀμελείας τῶν κεκτημένων, ἅρπαζον αὐτὸν, καὶ ῥίψον εἰς τὴν φωλεὰν τοῦ ὄφεως. Τοῦτο δὲ ποιήσαντος, ὁ ὄφις τεθνήξεται.»

Ἀμφότεροι οὖν οἱ κόρακες, ὅ,τε ἄρρην καὶ ὁ θήλυς, ἧψαντο εὐθέως τῆς πτήσεως, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν, εἰς ἔρευναν τοῦ χρυσοῦ ὅρμου. Ἐλθὼν δ' ὁ θήλυς ἐπί τινα λίμνην, ἐν ᾗ ἐλούοντο αἱ τοῦ Βασιλέως γυναῖκες, εἶδεν ἐκεῖ που τὰ ἄμφια αὐτῶν, καὶ χρυσοῦν ὅρμον, ὃν ἁρπάσας εὐθὺνε τὴν εἰς τὸ δένδρον. Οἱ δ' ὑπηρέται ἰδόντες τὴν ἁρπαγὴν, ἐπέδραμον μετὰ φωνῶν καὶ ξύλων· ῥίψας δὲ ὁ θήλυς κόραξ τὸν χρυσοῦν ὅρμον εἰς τὴν φωλεὰν τοῦ ὄφεως, ἐκάθισεν ἐπὶ τοῦ δένδρου. Οἱ δὲ βασιλικοὶ ὑπηρέται, πλησιάσαντες τῷ δένδρῳ, εἶδον μέλανα ὄφιν, ἀνέρποντα· ὃν κτείναντες, καὶ τὸν χρυσοῦν ὅρμον λαβόντες, ἐπανέκαμψαν, χαίροντες. Τοῦτο δ' ἐστὶν, ὃ εἶπον ἀνωτέρω·

«Ὅ,τι δύναται γενέσθαι διὰ μηχανῆς, οὐκ ἂν γένοιτο τοῦτο »διὰ δυνάμεως· ὁ θήλυς κόραξ μέλανα ὄφιν ἀνεῖλε χρυσῷ »νήματι.»

Οὐδὲν ἄρα ἀκατέργαστόν ἐστι τοῖς ἐχέφροσι. Λέγεται γὰρ καὶ τοῦτο·

«Ὦ ἔνεστι φρόνησις, τούτῳ ἔνεστι καὶ δύναμις· τῷ γεμὴν »ἄφρονι πόθεν δύναμις; Ὁ ταῦρος καὶ ἄφρων λέων ἐν ἄλσει »ὑπὸ λαγωοῦ ἀνῃρέθη.»

ΚΑΡΑΤΑΚΑΣ.

Πῶς ἔχει τοῦτο;

ΔΑΜΑΝΑΚΑΣ.

Λέων γαῦρος, Μανδαματὴς τοὔνομα, ἔν τινι ἄλσει ᾤκει· ὃς καθ' ἡμέραν ἀναιρῶν οὐκ ἔπαυε πολλὰ τῶν ζώων, βλέπειν αὐτὰ μηδ' ὅλως φέρων· Πάντα δὲ τὰ ἐν ἄλσει ζῶα, συνελθόντα, προσελθόντα, ἐδέοντο τοῦ λέοντος ταπεινῶς, πόαν ἐν στόματι φέροντα, γονυπετοῦντα, καὶ τὸν αὐχένα κλίνοντα· «Ἄλις, ὦ Βασιλεῦ, τοσαύτης ματαίας ζωοκτονίας, μᾶλλον δὲ, μιαιφονίας παρανόμου, καὶ κολάσεως παραιτίου· γέγραπται γάρ·

«Διὰ μίαν παροῦσαν ζωὴν οἱ μωροὶ πολλὰ φαῦλα πράτ-»τουσι· τῶν δὲ φαύλων ἀμοιβή ἐστιν ἡ ὀδύνη ἐν μυρίαις μελ-»λούσαις ζωαῖς.

«Ἐξ ὅτου ἔργου γίνεται δυσφημία τε καὶ δυσπιστία, καὶ »εἰς ᾅδου κατάβασις, τοῦτο οὐδέποθ' ὁ φρόνιμος ποιήσειεν ἄν.

«Ἰδὲ, ὁποία ἐστὶν ἡ διαφορὰ τοῦ κρεωφάγου, καὶ τοῦ »ἀναιρουμένου ζώου· ὁ μὲν γὰρ κρεωφάγος οὐ διὰ ζωὴν τὸ »ζῶον ἀναιρεῖ, ἀλλὰ διὰ πρόσκαιρον τρυφήν· τὸ δ' ἀναιρού-»μενον ζῶον ζωῆς στερεῖται.

«Διὰ τὸ σῶμα τοῦτο, ὅπερ ἐστὶν ἀχάριστον, ἐφήμερον, καὶ »θυλάκιον ῥύπου παντοειδοῦς, παντοειδῆ κακὰ πράττουσιν, »ὅσοι εἰσὶν ἄφρονες.»

Ταῦτ' οὖν σκεψάμενος, οὐ δίκαιος εἶ φθορὰν ποιῆσαι τῷ ἡμετέρῳ γένει. Ἡμεῖς δὲ εἰς τροφὴν ἀρκοῦσάν σοι, καθ' ἑκάστην ἐξ ἑκάστου εἴδους ἕν τι ζῶον στέλλομεν, ἔνθα τυγχάνεις διατρίβων· κατὰ γὰρ τὸν τρόπον τοῦτον σοὶ αὐτῷ τε γίνεται ζωοτροφία, καὶ ἡμῖν αὐτοῖς ζωογονία. Αὕτη ἐστὶν ἡ βασιλικὴ ὁδὸς, ἣν δεῖ σοι ὁδεύειν. Λέγεται γάρ·

«Ὅστις οὐ κατὰ κόρον, ἀλλὰ μετρίως χρᾶται τοῖς οἷς ἔχει,

»ὡς ὁ νοσῶν τοῖς ἰατρικοῖς ποτοῖς, οὕτος εὐεκτεῖ, καὶ εὐρωστεῖ.

«Ὅστις τῶν Βασιλέων κατασφάττει ἐκ παρανοίας τὸ ὑπή-»κοον, ὡς αἰπόλιον, οὗτος ἅπαξ μὲν κορεσθήσεται, δὶς δ' οὐδ' »ὁπωσοῦν.

«Καθὼς ὁ φυτοκόμος κομεῖ τὰ φυτὰ ὕδατι καὶ πάσῃ ἄλλῃ »θεραπείᾳ εἰς καρπισμόν, οὕτω καὶ ὁ Βασιλεὺς τοὺς ἀνθρώ-»πους ὠφελείαις τε καὶ τιμαῖς καὶ καλῇ διοικήσει εἰς θησαυ-»ρισμόν.

«Καθάπερ ἡ μὲν βοῦς τρέφεται, καὶ ἐν καιρῷ ἀμέλγεται· »τὸ δὲ φυτὸν φροντίδος καὶ ἐπιμελείας τυγχάνει, κἄπειτα »ἀνθοφορεῖ, καὶ καρποφορεῖ, οὕτω καὶ ὁ ὑπὸ χεῖρα λαός.

«Καθ' ὃν τρόπον τὸ μικρὸν φυτὸν, ἐπιμελῶς φυλαττόμενον, »δίδωσι καρπὸν ἐν καιρῷ, κατὰ τὸν αὐτὸν καὶ ὁ λαὸς κα-»λῶς κυβερνώμενος.

«Παρὰ τοῦ λαοῦ ἔρχονται ταῦτα πάντα τῷ Βασιλεῖ· χρυ-»σίον, λίθοι πολύτιμοι, ἡδέα βρώματα καὶ πόματα, καὶ εἴτι »ἄλλο ἀγαθὸν ἔχει.

«Οὐδαμῶς ἀμφιβάλλεται, ὡς ἐκ μὲν τῆς τοῦ λαοῦ αὐξή-»σεως αὐξάνουσιν οἱ Βασιλεῖς, ἐκ δὲ τῆς τοῦ λαοῦ φθορᾶς »φθίνουσι.

«Καθὼς ἀνεπαισθήτως ἕλκει τὸ ἔλαιον διὰ τοῦ ἐλλυχνίου »ὁ ἁπτόμενος λύχνος, οὕτω καὶ ὁ Βασιλεὺς λαμβανέτω φόρον »παρὰ τοῦ λαοῦ δι' ἱλαρότητος καὶ μετριότητος.

«Ἡ ἐκφερομένη θερμὴ ἐκπνοὴ ἐκ τοῦ κατακαιομένου τῇ »θλίψει λαοῦ, οὐκ ἀναστρέφει, πρὶν ἢ κατακαύσῃ τὸν Βασι-»λέα, καὶ τοὺς περὶ αὐτόν.»

Τοιούτων ἀκούσας λόγων ὁ Μανδαματὴς, ἔφη· «Ἀληθῆ ἐστι τὰ εἰρημένα· ἀλλ' ἐὰν μὴ πέμπηται πρὸς ἐμὲ καθ' ἑκάστην ἕν τι ζῶον, ἔνθα μένω, πάντως πάντας ὑμᾶς καταφαγοῦμαι.» Τὰ μὲν δὴ ζῶα, ὁμολογήσαντα οὕτω ποιήσειν, διῆγον ἐν τῷ ἄλσει ἀφόβως καὶ ἀνέτως· ἑκάστοτε δὲ ἐξ ἑκάστου εἴδους ἔντι τῶν ζώων ἐπέμπετο ἐν ὥρᾳ μεσημβρίας εἰς βρῶμα τοῦ λέον-

τος. Ἐλθούσης δὲ τῆς κυρίας ἡμέρας τῆς ἀποστολῆς τοῦ λαγωοῦ, ἐστάλθη εἰς γνώμη τῶν λοιπῶν ζώων, ὃς τοιούτους ἀνεκύκλει διαλογισμούς· «Ἱκανός εἰμι ἔγωγε ἀνελεῖν τὸν σκληρὸν τοῦτον λέοντα. Λέγεται γάρ·

«Τί δύσκολον τοῖς ἐχέφροσι; τί δυσκατέργαστον τοῖς »καρτερόφροσι; τί δυσαπάτητον τοῖς ἠδυλόγοις; τί δυσπό»ριστον τοῖς φιλέργοις;»

Τοιάδε ἐν νοῖ ἀνακυκλῶν, μελετῶν τὸν θάνατον τοῦ λέοντος, ἑκουσίως βραδύνων, καὶ ἀδημονῶν, παρεγένετο δείλης ὑψίας· καὶ προσκυνήσας, ἔστη ἀπέναντι. Ὁ δὲ λέων, λίαν πεινῶν, εἶπεν, ἀγανακτῶν· «Διττόν ἐστι τὸ ἔγκλημα· τοῦτο μὲν, ὅτι ὀψιφανὴς, τοῦτο δὲ, ὅτι μικρόσωμος, καὶ διὰ τοῦτο οὐκ ἀρκετὸς πληρῶσαί μου τὴν κενὴν γαστέρα· ὅθεν σήμερον μὲν ἀναιρεθήσῃ σύ· αὔριον δὲ πρωῒ ἅπαντα τὰ ζῶα ἠδηδόν.» Καὶ ὁ λαγωὸς ἔφη· «Οὔτ' ἐμὸν, οὔτ' ἐκείνων ἐστὶ τὸ ἔγκλημα, ὦ Βασιλεῦ· τὴν δ' αἰτίαν ἄκουσον.»—«Ταχέως λέγε, ἔφη, πρὶν ἢ ἐλθεῖν εἰς τοὺς ἐμοὺς ὀδόντας.»—Σήμερον, ἔφη, ὦ Βασιλεῦ, πέντε λαγωοὶ ἐστάλημεν γνώμῃ τῶν λοιπῶν ζώων· ἐν δὲ τῷ μεταξὺ λέων τις ἐξ ἑνὸς χάσματος τῆς γῆς ἐξελθὼν, ἐπύθετο· «Ποῖ πορεύεσθε; στῆτε.» Ἐγὼ δὲ, «Πορευόμεθα, ἀπεκρινάμην, ἐκ γεγονυίας συνθήκης εἰς βρῶμα τοῦ δεσπότου λέοντος, ᾧ ὄνομα Μανδαματής.» Ὁ δὲ, «Μετ' ἐμοῦ, ἔφη, τοιαύτην συνθήκην χρεών ἐστι ποιῆσαι τὰ ζῶα πάντα· ἐγὼ γάρ εἰμι Βασιλεὺς τοῦ ἄλσους τούτου· ἐκεῖνος δὲ ἐπείσακτος καὶ πλάνος. Ἀλλ' ἐὰν ἐκεῖνος ᾖ Βασιλεὺς, οὗτοι μὲν οἱ τέσσαρες λαγωοὶ μενέτωσαν παρ' ἐμοί· σὺ δὲ πορευθεὶς, κάλεσον αὐτὸν ἐλθεῖν ἐνθάδε τὴν ταχίστην· ὁπότερος δ' ὑπερισχύσει ἐν μάχῃ, οὗτος βρῶμα τὰ ζῶα ταῦτα ποιήσεται.» Τοῦτο οὖν τὸ αἴτιον, ἔφη ὁ λαγωὸς, δι' ὃ βραδύνας, παρ' ὥραν ἦλθον· νῦν δὲ σὺ οἶδας.» Ἀκούσας ὁ Μανδαματὴς, εἶπεν· «Εἰ οὕτως ἔχει, δεῖξόν μοι εὐθὺς τὸν

φῶρα τοῦτον, ἵνα τὴν καθ' ὑμῶν ὀργὴν ῥίψας ἐπ' αὐτὸν καθησυχάσω. Λέγεται γάρ·

«Τρία ἐστὶ τὰ αἴτια πολέμου· γῆ, φίλος, καὶ χρυσός· »ὅτε δὲ οὐδὲν τῶν τριῶν ἐστιν, οὐ δεῖ πόλεμον συγκροτῆσαι.

«Ἔνθα οὔτε κέρδος πολὺ φαίνεται, οὔτε νίκη κατὰ τοῦ »ἐχθροῦ ἐλπίζεται, ὁ ἐχέφρων οὐδέποτε ποιήσειεν ἂν μάχην, »ἀρχόμενος.»

«Ὀρθὰ ταῦτα εἴρηκας, ἔφη ὁ λαγωὸς, ὦ κύριε· ἀλλ' ἐκεῖνός ἐστιν ἐν ὀχυρώματι· ὁ δ' ἐχθρὸς, ἐν ὀχυρώματι ὢν, δυσνίκητος ὑπάρχει. Λέγεται γάρ·

«Οὔτε μία μυριὰς ἐλεφάντων, οὔτε δέκα μυριάδες ἱππ»πέων, τοσοῦτον ἀσφαλὲς ἔρεισμά ἐστι τῷ Βασιλεῖ, ὅσον ἓν »ὀχύρωμα.

«Εἰς τοξότης, ἐπὶ τείχους ὤν, ἑκατὸν ἐχθροὺς ἀπερύκει· »διά τοι τοῦτο οἱ περὶ τὰ πολιτικὰ σοφοὶ ἐπαινοῦσι τὸ τεῖχος.

«Πάλαι ὁ Ἴνδρας, ὡς ὁ Βριχασπατὴς ἐκέλευσε, πρῶτος »τεῖχος ἐδείματο, ἐπιστασίᾳ τοῦ Βισβακάρμα, ἐναντίον τοῦ »γίγαντος Χερανεκασσιποῦ.

«Εὐξάμενος δ' εἶπεν ὁ Βριχασπατής· «Ὅστις τῶν Βασι»λέων ἔχει τεῖχος, εἴη νικητής.» Ἐξ ἐκείνου δὲ τοῦ χρόνου »πολλὰ τείχη καὶ ἐπὶ γῆς ἀνηγέρθησαν.

«Καθὼς ὁ μὲν ὄφις ἄνευ ὀδόντων, ὁ δ' ἐλέφας ἄνευ μα»νίας, εὐχείρωτός ἐστιν, οὕτω καὶ ὁ Βασιλεὺς ἄνευ τείχους, »καὶ ὀχυρώματος.»

«Ἐγὼ καταβάλλω αὐτὸν, ἔφη ὁ λέων, καὶ ἐν ὀχυρώματι ὄντα· δεῖξόν μοι μόνον. Λέγεται γάρ.

«Ὅστις οὐκ ἀναιρεῖ τὸν ἐχθρὸν, ἢ τὸ πάθος, ὅταν κατὰ »πρῶτον ἀναφανῇ, οὗτος, καὶ δυνατὸς ὢν, ἀναιρεῖται ὑπ' »ἐκείνου, ὅταν λάβῃ αὔξησιν.

«Ὅστις συζευγνύει τὴν σωματικὴν δύναμιν τῇ γενναιο-

ψυχία, οὗτος, εἷς ὤν, πολλοὺς τῶν ἐχθρῶν ἀναιρεῖ, ὡς ὁ Πα-»ρασσουράμας τοὺς Ξατρὰς πάντας.»

«Ταῦτα μὲν οὕτως ἔχει, ἔφη ὁ λαγωός· ἔμοι γε δοκεῖ ἐκεῖνος ἀλκιμώτατος· ὅθεν ἀνοίκειόν ἐστι πορευθῆναι πρὶν ἢ γνῶναι τὴν ἐκείνου ἀλκήν. Λέγεται γάρ·

«Ὃς ἐφορμᾷ μετὰ τόλμης ἐναντίον ἐχθροῦ, πρὶν τοῦ δια-»γνῶναι τὴν ἐκείνου δύναμιν καὶ τὴν ἑαυτοῦ, οὗτος ὄλλυ-»ται, καθάπερ ἡ πυραλλὶς ὑπὸ τοῦ πυρός.

«Ὃς, ἀδύνατος ὤν, ἐφορμᾷ εἰς ἀναίρεσιν ἐχθροῦ δυνατοῦ, »ἐπαιρόμενος, οὗτος ἀναστρέφει τεταπεινωμένος, ὡς ὁ ἐλέ-»φας, ὁ μὴ ἔχων ὀδόντας.»

«Δεῖξόν μοι, ἔφη, αὐτὸν, καὶ ἄλκιμον ὄντα, καὶ ἔρυμα ἔχοντα, μηδέ σοι τούτων μελέτω.» Ὁ δὲ λαγωὸς, «Ἐπειδή, ἔφη, οὕτω γνώμης ἔχεις, ἀκολούθει μοι·» καὶ ἐλθὼν ἐπί τι φρέαρ βαθὺ, «Ἐνταῦθά ἐστιν, εἶπεν, ἐκεῖνος, ὃς εἰσέδυ, φο-βηθεὶς, ἰδών σε μακρόθεν.» Κύψας δ' ὁ Μανδαματὴς, εἶδε τὴν ἑαυτοῦ σκιὰν ἐν τῷ ὕδατι· καὶ νομίσας ἐκ μανίας καὶ ἀνοίας, ὡς ἐκεῖνός ἐστι, περὶ οὗ εἴρηκεν ὁ λαγωὸς, ἐξεβρυ-χήσατο· ἠχὼ δ' ἅμα ἐξεβρόντησεν, ἧς καὶ ἀκούσας, ῥίψας ἑαυτὸν ἐπ' αὐτὸν τὸν νομιζόμενον λέοντα, ἐξαπόλωλεν ἐν τῷ ὕδατι. Ἐπανελθὼν δ' ὁ λαγωὸς, ἀνήγγειλε μετὰ χα-ρᾶς τοῖς ζώοις τὸν θάνατον τοῦ λέοντος, καὶ ἔζησε σὺν αὐ-τοῖς ἐν ἀνέσει. Τοῦτο δ' ἐστὶν, ὁ εἶπον ἀνωτέρω·

«Ὡι ἔνεστι φρόνησις, τούτῳ ἔνεστι καὶ δύναμις· τῷ γεμὴν »ἄφρονι πόθεν δύναμις; Ὁ γαῦρος καὶ ἄφρων λέων ἐν ἄλ-»σει ὑπὸ λαγωοῦ ἀνῃρέθη.

ΚΑΡΑΤΑΚΑΣ.

Τὸ τοῦ λαγωοῦ ἐκ τύχης ἐγένετο· ἀλλ' εἰ καὶ ὁ λαγωὸς ἐπέτυχε τοῦ σκοποῦ, οὐ μέντοι γε προσήκει ἀνθρώπῳ ἀδυ-νάτῳ ἀπατηλοῖς χρῆσθαι τρόποις κατὰ δυνατοῦ.

ΔΑΜΑΝΑΚΑΣ.

Καὶ τῷ δυνατῷ καὶ τῷ ἀδυνάτῳ πᾶν ἔργον κατορθοῦται διὰ τρόπου καὶ μόχθου παντοίου· διὸ καὶ λέγεται·

«Τῷ ποιοῦντι καὶ τρόπον καὶ μόχθον ἀεὶ ἐς τέλος ἄγε»ται τὸ ποθούμενον. Οἱ ῥάθυμοι προτείνουσι κυρίαν τὴν »τύχην· σὺ δ' ἄφες τὴν τύχην, καὶ ποίησον τρόπον καὶ »μόχθον, ὅση δύναμις. Τρόπου δὲ καὶ μόχθου γεγενημένου, »ἐὰν μὴ τύχῃς τοῦ σκοποῦ, ὁποῖον ἔγκλημα ἐνταῦθα;

Τῷ ποιοῦντι καὶ τρόπον καὶ μόχθον ἀεὶ καὶ οἱ θεοὶ βοηθοῦσιν· ὅθεν καὶ λέγεται·

«Βοήθειαν οἱ θεοὶ διδόασι τοῖς ἀνθρώποις, ἐπιβαλλομέ»νοις ἔργῳ τινὶ ἀδιστάκτως. Ὁ Βισνοῦς, ὁ τροχίσκος, καὶ ὁ »ἀετὸς, ἐβοήθησαν τῷ ὑφάντῃ ἐν πολέμῳ.»

ΚΑΡΑΤΑΚΑΣ.

Πῶς ἔχει τοῦτο;

ΔΑΜΑΝΑΚΑΣ.

Ἐν πόλει, ᾗ ὄνομα Πουνδραβαρδδάνα, ἐτύγχανον ὄντες δύω ἄκροι φίλοι, ὁ μὲν ὑφάντης, ὁ δὲ, τέκτων· οἳ ἐκ τῆς περὶ τὴν ἰδίαν τέχνην ἐπιτηδειότητος πολλὰ κερδαίνοντες, ἐν σπατάλῃ καὶ τρυφῇ διῆγον καθ' ἑκάστην μετὰ τὸ παύσασθαι τῆς ἐργασίας περὶ τὴν δείλην. Καί ποτε, ἑορτῆς οὔσης μεγάλης, λαμπροφοροῦντες, καὶ ἀνθοφοροῦντες, ἐξῆλθον εἰς διατριβὴν μετὰ τῶν λοιπῶν πολιτῶν. Περιερχόμενοι δὲ τὴν πόλιν, εἶδον τὴν θυγατέρα τοῦ Βασιλέως ἐπὶ θυρίδος, πάγκαλον οὖσαν, καὶ πάγκοσμον. Ταύτην τὴν ἀσύγκριτον τῷ κάλλει φανταζόμενος ὁ ὑφάντης, ἐβλήθη πᾶν τὸ σῶμα τοῖς πέντε βέλεσι τοῦ Ἔρωτος. Καρτερῶν μὲν, στένων δὲ, καὶ μόλις βαδίζων, οἴκαδε ἀνέστρεψε· καὶ κατακλιθεὶς κατὰ κλίνης ἀστρώτου, ἦν ὅλος ταραττόμενος, καὶ ὅλην τὴν κα-

λὴν ἐκείνην φανταζόμενος. Οὕτως δ' ἔχων, ἔλεγε τοὺς ἑξῆς στίχους·

«Οὐκ ὀρθῶς δοξαζουσιν οἱ σοφοὶ, ὡς ὅπου καλὴ μορφὴ, »ἐκεῖ καὶ καλὰ προτερήματα· αὕτη καὶ γὰρ ἡ καλὴ, ἐν »τῇ ἐμῇ καρδίᾳ οὖσα, ὅλον μου τὸ σῶμα ὑπὲρ τὸ μέτρον »θλίβει.

«Ὅτε τὰ ἀγαθὰ προτερήματα ἀγαθὰ διδόασι πᾶσιν ἀν»θρώποις, διὰ τί αὕτη ἡ ἀγαθὴ τὴν ὄψιν τοσοῦτόν με κατα»θλίβει;

«Πόσαι ψυχαί εἰσιν ἐν ἐμοί; μία μὲν γάρ ἐστιν, ἡ ἀδη»μονεῖ· ἑτέρα δὲ, ἡ ἐσυλήθη ὑπὸ τῆς ἐρωμένης· καὶ τρίτη, »ἣ πνέω.

«Εἰ διατεταγμένον ἐστὶν ὑπὸ τοῦ ποιητοῦ Βραχμᾶ θανεῖν »με, ἄλλο αἴτιον οὐκ ἦν θανάτου, ἀλλ' ἡ αὕτη ἡ ἐλαφῶπις, »ὀφθεῖσα;

«Αὕτη ἡ καλὴ ὁμοία ἐστὶ τῷ Θεῷ· ὡς γὰρ ὁ Θεὸς παν»ταχοῦ ἐστι παρὼν, καὶ ἐν στόματί ἐστι τῶν ἀνθρώπων ἐν »ὥρᾳ θανάτου, οὕτω καὶ αὕτη πανταχοῦ ὁρᾶται ὑπ' ἐμοῦ, »καὶ ἐν στόματί μου ἐστὶ, θνήσκοντος.

«Ὅστις συνοικεῖ τινι, τούτῳ οὗτος σωτηρίαν δίδωσι. Σὺ »δ' ὦ καλὴ, οἰκοῦσα ἐν τῇ ἐμῇ καρδίᾳ, θάνατον παρέχεις, »ὡς ἄσπλαγχνος.

«Οὐκ ὀρθὰ λέγουσιν οἱ σοφοὶ, ὡς τὰ ἐν Κόσμῳ, εἴτε ἀγα»θὰ, εἴτε δεινὰ, πρόσκαιρά ἐστιν· ἔγωγε γὰρ, ἐνθυμούμενος »αὐτὴν τὴν ἀγαθὴν, ἀεὶ ὀδυνῶμαι.»

Οὕτω μὲν οὗτος ὁ ὑφάντης ἐλεεινολογῶν, καὶ διαταραττόμενος τὸν νοῦν, διενυκτέρευσεν ἐν μεγάλῃ κακουχίᾳ. Τῇ δ' ἐφεξῆς ἡμέρᾳ κατὰ τὴν ὡρισμένην ὥραν ἐλθὼν ὁ τέκτων, εἶδεν αὐτὸν ἐπὶ κλίνης ἀστρώτου ἐκτάδην κείμενον, βαθὺ στένοντα, ὠχριῶντα, καὶ δακρυῤῥοοῦντα· καὶ, «Ὦ φίλε, ἔφη, ὁποία σου αὕτη ἡ κατάστασις;» Καὶ ὃς, ἐρωτώμενος, οὐδὲν

ἀπεκρίνατο, αἰσχυνόμενος. Ἀχθόμενος δ' ὁ τέκτων, εἶπε τὸν ἑξῆς στίχον·

«Οὐκ ἔστι φίλος ἐκεῖνος, ὃς φοβεῖται τὸν φίλον· οὐκ ἔστι »φίλος ἐκεῖνος, ὃς ὑποψίαν ἔχει κατὰ τοῦ φίλου· φίλος δ' »ἐστὶν ἐκεῖνος, ὃς πιστεύει τῷ φίλῳ, ὡς μητρί.» Θαρρήσας δ' ὁ ὑφάντης, ἀντεφώνησε τοῦτο·

«Ὅστις ἐξαγγέλλει τὴν ἑαυτοῦ θλῖψιν, εἴτε δοῦλος πρὸς »τὸν φιλόδουλον δεσπότην, εἴτε δεσπότης πρὸς τὸν φιλοδέ»σποτον δοῦλον, εἴτ' ἀνὴρ πρὸς τὴν φίλανδρον γυναῖκα, εἴτε »φίλος πρὸς τὸν φιλόφρονα φίλον, οὗτος ἀναψυχὴν εὑρίσκει.» Καὶ καθεξῆς ἀφηγήσατο, ὡς πάσχει ἔρωτι τῆς ὁραθείσης θυγατρὸς τοῦ Βασιλέως. Γνοὺς δ' ὁ τέκτων τὸ πάθος αὐτοῦ, «Ἔσο εὔθυμος καὶ εὐέλπις, ἔφη, φίλε· ἀνάστα, φάγε καὶ πίε· ἐγὼ δὲ τρόπον ποιήσομαι, δι' οὗ τεύξῃ τοῦ ποθουμένου.» Ὁ δὲ, εὐέλπις γενόμενος, ἀναστὰς εὐθέως, ἐποίησε πάντα τὰ ἀναγκαῖα, ὡς ἔθος. Τῇ δ' ἐπιούσῃ, ἐλθὼν ὁ Τέκτων, ἤνεγκεν ἕνα ξύλινον ἀετὸν, ὃν αὐτὸς μηχανικῶς ἐτεκτήνατο, καὶ, «Ὦ φίλε, ἔφη, ἀνάβαινε τοῦτον· καὶ ὅταν μὲν θέλῃς ἀνίπτασθαι εἰς τὸν αἰθέρα, βάλλε ταύτην τὴν κλεῖδα· ὅταν δὲ θέλῃς καταβαίνειν κατὰ γῆς, ἔκβαλλε αὐτήν. Λάβε δὲ καὶ ταῦτα, δύω μεμηχανημένας ὑπ' ἐμοῦ χεῖρας, πρὸς δὲ καὶ μίτραν, καὶ κόγχον, καὶ τροχίσκον, καὶ κορύνην, καὶ λωτόν· οὕτω γὰρ ὑποκρινόμενος τὸν Βισνοῦν, συνέσῃ τῇ βασιλικῇ κόρῃ κατὰ τὴν νύκτα, ὡς ἐφίῃ, ἀκωλύτως καὶ ἀδιστάκτως· αὕτη γὰρ ἐν τῷ παρθενῶνι μόνη οἰκεῖ, ὡς οἶμαι.» Ἐλθούσης δὲ τῆς νυκτὸς, λαμπρῶς κοσμήσας καὶ μυρίσας ἑαυτὸν ὁ ὑφάντης, καὶ περιθεὶς τὰ χαρακτηριστικὰ τοῦ Βισνοῦ, ἀνέβη τὸν ἀετόν· καὶ πετασθεὶς, ἀφίκετο εἰς τὸν παρθενῶνα, ἔνθα ἡ κόρη ἀνέκειτο ἐπὶ κλίνης, θεωροῦσα τὴν λάμπουσαν σελήνην, καὶ ὑπογαργαλιζομένη τῷ ἔρωτι. Ἅμα δὲ τῷ ἰδεῖν τὸν οὕτως ἐσχηματισμένον Βισνοῦν, ἀνέστη ἐκ τῆς κλίνης

μετὰ θάμβους· καὶ προσπεσοῦσα τοῖς ποσὶν αὐτοῦ, ἔφη· «Τί τὸ αἴτιον, ὦ Θεὲ, τῆς ἐνθάδε σου ἀφίξεως; Ἐγὼ κεχαρίτωμαι τῇ σῇ παρουσίᾳ· κέλευσον, ὅ,τι με δεῖ ποιῆσαι.» Καὶ ὃς βαθείᾳ καὶ ἡδείᾳ φωνῇ ἀπεκρίνατο· «Διὰ σὲ, ὦ ἀγαθὴ, ἡ ἐμὴ παρουσία ἐγένετο.» Ἡ δὲ, «Ἐγὼ μὲν ἄνθρωπος, ἔφη· σὺ δὲ Θεός.» — «Πρότερον μὲν, ἔφη, θεὰ οὖσα, παράκοιτίς μου ἐτύγχανες· εἶτα δ' ἐκπεσοῦσα εἰς μήτραν γυναικὸς, ἔκτινος ἀρᾶς, ἄνθρωπος γέγονας. Ἤδη δὲ τὸν ἐρωτικὸν γάμον γῆμαί σε θέλων, ἐλήλυθα σωματικῶς· ὅ,τι δ' ἀγαθὸν οὐδέ ποτέ σοι ἐν νοὶ ἐγένετο, τοῦτο ἔσεται ἤδη.»

Οὕτως οὖν φιλότητι ἐμίγησαν ἀμφότεροι· καὶ οὕτως ἐγίγνετο συχνάκις, νύκτωρ μὲν ἤκοντος τοῦ ὑφάντου, περὶ δὲ ὄρθρον βαθὺν ἀναχωροῦντος δῆθεν εἰς τὸν οὐρανόν. Καί ποτε οἱ τοῦ παρθενῶνος φύλακες, σημεῖα γνόντες διακορήσεως τῆς κόρης, δείσαντες, ἀνήγγειλαν τῷ Βασιλεῖ, λέγοντες· «Ἐκ σημείων φαίνεται, ὦ Βασιλεῦ, ὡς ἀνήρ τις συνεμίγη τῇ παρθένῳ, παρεισδύς· οὐκ οἴδαμεν δ' ὅμως μετὰ τοσαύτης φυλακῆς, πόθεν, ἢ πῶς, καὶ οὐδὲν ἔγκλημα ἡμῖν εἰς τοῦτο· νῦν δὲ σὺ οἶδας.» Ἀκούσας δ' ὁ Βασιλεὺς, διαταραχθεὶς, ἔλεγεν ἐν ἑαυτῷ τάδε·

«Γεννηθείσης θυγατρὸς, μεγάλη φροντὶς τοῖς γονεῦσι· μνη»στευομένης τε πάλιν, μέγας λογισμὸς, καὶ γημαμένης, »μείζων· πότερον; καλῶς ζήσει; ἢ κακῶς μετὰ τοῦ ἀνδρός; »ἡ προσηγορία αὕτη, *πατὴρ θυγατρὸς*, θλῖψις ἐστίν.

«Ὅταν μὲν θυγάτηρ γεννηθῇ, θυμήρης ἐστὶ τῇ μητρί· »ὅταν δ' αὐξάνῃ τῇ ἡλικίᾳ, λύπην προξενεῖ τοῖς οἰκείοις· »ὅταν δ' ἀνδρὶ συζευχθῇ, αἴσχη ποιεῖ. Τὰ ἐκ τῆς θυγατρὸς »δεινὰ, ἄφευκτά ἐστι.»

Προσελθὼν δ' ἔπειτα τῇ Βασιλίσσῃ· «Ἄκουσον, εἶπε, τί λέγουσιν οἱ φύλακες οὗτοι. Ὁ θάνατος ἐξεβακχεύθη κατ' ἐκείνου, ὡς δοκεῖ, ὃς ἔπραξε τοῦτο τὸ ἀνόσιον!» Ἐλθοῦσα δ' ἐν ταὐτῷ ἡ Βασίλισσα εἰς τὸν παρθενῶνα, εἶδε τὴν ἑαυτῆς

θυγατέρα, δηγμῶν ἴχνη ἔχουσαν ἐπὶ χείλους, καὶ ὀνύχων ἐπὶ στήθους· καὶ, «Ὦ κακίστη, ἔφη, διὰ τί καὶ τὸ γένος καὶ τὸ ἦθος ἐστιγμάτισας; τίς θεήλατος ταῦτ' ἐτόλμησε; λέγε τὴν ἀλήθειαν.» Ἡ δὲ, κλίνασα τὸ πρόσωπον ὑπ' αἰδοῦς, «Ὁ Βισνοῦς αὐτὸς, ἔφη, καθ' ἑκάστην νύκτα παραγίνεται.» Ἀκούσασα δ' ἡ Βασίλισσα, ἐχάρη ἐς ἄκρον, φαιδρυνθεῖσα· καὶ ὡς τὸν Βασιλέα ἐλθοῦσα, εὐαγγέλια ἀνήγγειλεν, ὡς ὁ Βισνοῦς πρὸς τὴν κόρην νύκτωρ παραγίνεται, καὶ συγγίνεται αὐτῇ ἐρωτικῶς. «Σήμερον οὖν κατὰ τὴν νύκτα, ἔφη, ἐγώ τε καὶ σὺ, στάντες παρὰ τῇ θυρίδι, παρατηρήσωμεν, ἵνα πληροφορηθῶμεν ὀφθαλμοφανῶς.» Περὶ δὲ τὴν νύκτα ἱστάμενος ὁ Βασιλεὺς ἅμα τῇ Βασιλίσσῃ παρὰ τῇ θυρίδι, ἦν ἀτενίζων εἰς τὸν οὐρανόν· καὶ ἰδοὺ βλέπει τὸν Βισνοῦν καθιπτάμενον ἐξ αἰθέρος ἐπ' ἀετοῦ σὺν ἅπασι τοῖς λοιποῖς παρασήμοις. Γανωθεὶς δὲ τὴν καρδίαν, εἶπε πρὸς τὴν Βασίλισσαν· «Οὐδείς ἐστιν εὐδαιμονέστερος ἐμοῦ τε καὶ σοῦ· ὅτε γὰρ αὐτὸς ὁ Θεὸς σύνεστι τῇ θυγατρὶ ἡμῶν, πᾶν ἀγαθὸν ἡμῖν γενήσεται. Νῦν ἔγωγε δυνάμει τοιούτου γαμβροῦ ἅπασαν τὴν γῆν καθυποτάξω.»

Ἐπὶ τούτοις πρέσβεις ἦλθον τοῦ μεγάλου Βασιλέως Βικραμασένα, διὰ τὸ διδόμενον ἐτήσιον τέλος. Ὁ δὲ Βασιλεὺς Σουπρατιβαρμὰν οὐκ ἀπέδωκεν αὐτοῖς τὴν προσήκουσαν ὑποδοχὴν καὶ τιμὴν, ὡς πρότερον, ὑψηλοφρονῶν, ὅτι ἔχει τὸν Βισνοῦν γαμβρόν. Θυμωθέντες δ' οἱ πρέσβεις, εἶπον· «Διὰ τί, ὦ Βασιλεῦ, οὐκ ἀπέστειλας τὸν δασμὸν ἐν καιρῷ τακτῷ; οὕτω δὲ ποιῶν, παροξύνεις τὸν Βικραμασέναν, τὸν μέγαν καὶ φοβερὸν ἐκεῖνον Βασιλέα, ὃς κατακαίει, ὡς τὸ πῦρ, καταβάλλει, ὡς ὁ ἄνεμος, φαρμακεύει, ὡς ὁ ὄφις, καὶ θανατοῖ, ὡς ὁ Ἰάμας.» Τοιαῦτα εἰπόντας, θανάτῳ ἐζημίωσεν ὁ Σουπρατιβαρμάν. Οἱ δὲ περισωθέντες, ἐπανελθόντες, διηγήσαντο ἐν ὑπερβολῇ πάντα τῷ Βικραμασένα· ὃς, δυσφορήσας σφόδρα, μέγαν στρατὸν ἤγειρε, γνώμης γενόμενος τοῦ ἀπολέσαι τὸν Σουπρατιβαρμᾶνα, κἂν εἰς τὸν βυθὸν τῆς θαλάσσης εἰσέλθῃ, κἂν

ὑπ' αὐτοῦ τοῦ Ἴνδρα προστατεύηται. Καὶ ἐλθὼν ἐν ἡμέραις ἐννέα εἰς τὴν χώραν αὐτοῦ, κατεδήου αὐτήν. Τῇ δ' ἑφεξῆς πολιορκηθείσης τῆς πόλεως Πουνδραβαρδδάνας, πάντες οἱ ἐν τέλει, οἵτε ἱερεῖς, καὶ λογάδες, προσελθόντες τῷ Σουπρατιβαρμᾶνι, εἶπον· «Πεπολιόρκηται ἡ πόλις, ὦ Βασιλεῦ, ὑπὸ δυνατοῦ ἐχθροῦ· πῶς οὖν μένεις ἄφροντις καὶ ἀπράγμων;» Ὁ δὲ, «Ἔχετ' ἀτρέμας, ἔφη· ἐγωγε γὰρ σκέπτομαι, ὅπως παντελὴς ὄλεθρος τῷ ἐχθρῷ ἐπιγενήσεται· αὔριον δὲ γνώσεσθε.» Καλέσας δ' ἔπειτα τὴν θυγατέρα ἑαυτοῦ Σουδαρσσανὰν, εἶπε προσηνῶς· «Ἐγὼ, τέκνον, τῇ βοηθείᾳ τοῦ σοῦ νυμφίου ἐπιστηριζόμενος, ἰσχυρῷ πολεμίῳ πολεμεῖν ἐπεχείρησα· ἐλθόντος οὖν ταύτῃ τῇ νυκτὶ τοῦ θεοῦ Βισνοῦ, εἰπὲ αὐτῷ, ὅπως τὸν ἐχθρὸν αὔριον ἀπολέσῃ.» Ἐλθόντι δὲ τῷ ὑφάντῃ νύκτωρ, ὡς ἔθος, ἀνήγγειλεν ἡ Σουδαρσσανὰ τὸ αἴτημα τοῦ πατρὸς αὐτῆς. Ὁ δ', ὡς ἤκουσε, γελάσας, ἔφη· «Τί δυσχερὲς, ὦ καλὴ, ἡ πρὸς ἀνθρώπους μάχη, ὅτε ὑπ' ἐμοῦ πάλαι τοσοῦτοι πολλοὶ καὶ τοιοῦτοι ἰσχυροὶ γίγαντες καὶ τιτᾶνες ἐν εὐχερείᾳ ἀνῃρέθησαν; Εἰπὲ τῷ Βασιλεῖ, ἵνα μένῃ ἀτάραχος· αὔριον γὰρ ὁ ἐχθρὸς αὐτοῦ θανάτῳ παραδοθήσεται διὰ τούτου τοῦ τροχίσκου.» Ἡ δὲ, πορευθεῖσα, ἀπήγγειλε πάντα ἐν μεγαλοφροσύνῃ τῷ Βασιλεῖ· ὃς, ὑπερχαρεὶς, ἐπέταξεν ἀνὰ τὴν πόλιν κηρυχθῆναι ὧδε· «Αὔριον πρωὶ ὅστις ὅ,τι εὕρῃ ἐν τῷ στρατοπέδῳ τοῦ Βικραμασένα, ἀναιρεθησομένου, ἐλέφαντα, ἵππον, χρυσίον, ἢ ἄλλο τοιοῦτο λάφυρον, οὗτος τοῦτο λήψεται, ὡς οἰκεῖον.» Ἀκούσαντες δ' οἱ ἐν τῇ πόλει, ἐχάρησαν χαρὰν μεγάλην ἐπί τε τῷ θάρρει τοῦ Βασιλέως, καὶ ἐπὶ τῷ ἐλπιζομένῳ κέρδει. Ὁ δ' ὑφάντης τοιούτους εἶχε διαλογισμούς· «Τί δὲ νῦν ἔγωγε ποιήσω; φύγω ἀλλαχόσε, ἀναβὰς τὸν ἀετόν; ἀλλ' οὐ μετ' ἐμοῦ ἔσεται αὕτη ἡ πολύτιμος γυνή· ὁ γὰρ Βικραμασένας, καταβαλὼν τὸν πενθερόν μου, ἐκ μέσου τοῦ γυναικῶνος ταύτην ἁφαρπάζει. Πόλεμον ποιήσω; ἀλλὰ θανάτου τε τεύξομαι, καὶ τοῦ ἑρετοῦ ἀποτεύξομαι. Ἐκά-

τερον ἄρα δεινόν. Τοῦτο μέν τοι γ' ἄριστον, τὸ καρτερῆσαι, καὶ πόλεμον ποιῆσαι. Λέγεται γάρ·

«Δεῖ τοῖς γενναίοις ἐγκαρτερεῖν πάσαις περιστάσεσι, καὶ »θλίψεσιν· οἱ γὰρ γενναίως καρτεροῦντες, καὶ τρόπον ποιοῦν»τες, εὐχερῶς τῶν δυσχερῶν ἀπαλλάττονται.»

«Πρὸς δὲ, ἴσως οἱ πολέμιοι, ἰδόντες με, φεύξονται, νομίσαντες, ὡς ὁ θεὸς Βισνοῦς ἐστι.» Τοιαύτην γνώμην ἐσχηκότος τοῦ ὑφάντου, ὁ Βισνοῦς ἐν οὐρανῷ εἶπε τῷ Γαρούδᾳ·

«Ἐν γῇ κατὰ τὴν πόλιν Πουνδραβαρδδάναν ὑφάντης τις, τὸ ἐμὸν σχῆμα ἀναλαβών, τρυφᾷ κόρης Βασιλικῆς. Ἐκστρατεύσαντος δὲ τοῦ Βασιλέως Βικραμασένα μετὰ μεγάλης δυνάμεως κατὰ τοῦ Βασιλέως Σουπρατιβαρμᾶνος, τοῦ πατρὸς τῆς κόρης, ὁ ὑφάντης, ὁ φαινόμενος, καὶ νομιζόμενος Βισνοῦς, βοηθεῖσαι βούλεται τῷ πενθερῷ ἑαυτοῦ. Ἀλλ' ἐν τῷ πολέμῳ ἢ τεθνήξεται, ἢ φεύξεται. Ἀκουσθὲν δ' ἐν κόσμῳ, ὡς ὁ θεὸς ἀνῃρέθη, ἢ ἐνικήθη ὑπὸ τοῦ Βασιλέως Βικραμασένα, οἱ μὲν ἀσεβεῖς καὶ ἄθεοι τοὺς ναούς μου κατεδαφίσουσιν· οἱ δ' εὐσεβεῖς καὶ πιστοὶ, ἄπιστοι καὶ δυσσεβεῖς ἔσονται· οὐδέ γε λατρείαν ὅλως πρός με, ἢ θυσίας ἐκτελέσουσιν. Ὅθεν ἐγὼ μὲν αὐτὸς εἰσδύσομαι τὸ σῶμα τοῦ ὑφάντου· σὺ δ' ἀετὲ, εἴσδυθι τὸν ξύλινον ἀετὸν, καὶ σὺ, τροχίσκε, τὸν τροχίσκον ἐκείνου, εἰς καταστροφὴν τοῦ Βασιλέως Βικραμασένα πανστρατιᾷ. Οὕτω γενέσθω, καὶ μὴ ἄλλως πως[1].»

---

(1) Ἐνταῦθα λήγει ἡ ἐξ ἄλλου πρωτοτύπου Ἰνδικοῦ μετάφρασις τοῦ Α'. βιβλίου τῆς Χιτοπαδάσσας, τὸ ὁποῖον ὁ ἀοίδιμος Δημήτριος Γαλανὸς εἶχε μὲν ἀντιγράψει καθαρὰ, ἀλλὰ δὲν ἐπρόφθασε νὰ σχολιάσῃ, ὡς εἶχε σκοπόν. Τὰ δὲ ἑξῆς τρία Κεφάλαια, ἅτινα εἶχε μεταφράσει ἐκ διαφόρου ἰνδικοῦ πρωτοτύπου τῆς Χιτοπαδάσσας, εὑρέθησαν εἰς πρωτόγραφά του δυσανάγνωστα χειρόγραφα. Ἀλλὰ δυστυχῶς τὸ Γ', Περὶ Πολέμου εἶναι ἀτελὲς, τὸ δὲ Δ'. καὶ Ε. δὲν εὑρέθησαν.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ διαλύσεως φιλίας.

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

Νῦν δ' ἀκούσατε περὶ διαλύσεως φιλίας·

Φιλία οὖσα μεγάλη μεταξὺ λέοντος καὶ ταύρου ἐν δάσει, διελύθη ὑπὸ κυνολύκου, λίαν πλεονέκτου καὶ συκοφάντου.

ΒΑΣΙΛΙΚΟΙ ΠΑΙΔΕΣ.

Πῶς ἔχει τοῦτο;

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

Πόλις ἐστὶ κατὰ τὴν μεσημβρίαν, Σουβαρναβατὴ τοὔνομα, ἔνθα ἦν ἔμπορος, Βαρδδαμάνας καλούμενος. Καί τοι δ' ἦν αὐτῷ πλοῦτος πολὺς, βλέπων ὅμως ἄλλους πλουσιωτέρους, ὑπεραυξῆσαι τὸν ἑαυτοῦ πλοῦτον γνώμην ἔθετο, ταῦτα ἐννοῶν τὰ ἀποφθέγματα·

«Πάντες σχεδὸν νομίζουσιν, ὡς εὐτελεῖς καὶ οὐτιδανοί »εἰσι, βλέποντες ἄλλους ἀνωτέρους καὶ κρείττονας. Τίνι δ' »οὐ γίνεται ἔπαρσις, ὅταν βλέπῃ ἄλλον κατώτερον, καὶ ἥτ»τονα ἑαυτοῦ;

«Καὶ ὁ βραχμανοκτόνος ἄξιος γίνεται τιμῆς, ᾧ πλοῦτός »ἐστι πολύς· ὁ δ' ἄπλουτος ἀτιμάζεται, εἰ καὶ λαμπρός ἐστι »κατὰ τὸ γένος, ὡς ἡ σελήνη.

(*) Ἐν τῷ χειρογράφῳ προηγεῖται τὸ Περὶ συνθέσεως φιλίας Κεφάλαιον. Τὸ δὲ Περὶ διαλύσεως φιλίας ἐστὶ τὸ δεύτερον.

«Ἡ Λαξμὴ οὐκ ἀγαπᾷ ἀγκαλίζεσθαι τὸν ἀεργὸν, τὸν ἀμε-»λῆ, τὸν τυχολάτρην, καὶ τὸν ἄτολμον, καθὼς οὐδ' ἡ νέα »γυνὴ τὸν γέροντα ἄνδρα.

«Ἐξ ταῦτα καθαιροῦσι τὴν μεγαλειότητα· ἡ ὀκνηρία, ἡ »φιλογυνία, ἡ ἀῤῥωστία, ἡ εἰς τὴν πατρίδα ἀγάπη, ἡ αὐτάρ-»κεια, καὶ ἡ δειλία.

«Ὅστις νομίζει ἑαυτὸν εὐδαίμονα (μακάριον) διὰ τοῦ οὗ »ἔχει ὀλίγου πλούτου, τούτου τὸν ὀλίγον πλοῦτον, ὡς οἶομαι, »ὁ Θεὸς οὐκ αὐξάνει, ἐπειδὴ ἐτέλεσε τὸ ὃ ἦν ἐφετὸν αὐτῷ.

«Εἴθε μὴ τέκοι γυνή τις τοιοῦτον υἱὸν, ὃς ἐστι ῥάθυμος, »ἄχαρις, ἀδρανὴς, καὶ χαροποιὸς τῶν ἐχθρῶν!

«Τὸν μὴ κτηθέντα πλοῦτον κτάσθω ὁ ἄνθρωπος· τὸν δὲ »κτηθέντα φυλαττέτω ἐκ ψυχῆς· τὸν δὲ φυλαχθέντα αὐξανέ-»τω· τὸν δ' αὐξηθέντα διαδιδότω τοῖς ἀξίοις.

«Καθὼς ἡ στάμνος πληροῦται διὰ συνεχείας ῥανίδων ὕδα-»τος, οὕτως ἡ μὲν μάθησις πλήρης καὶ τελεία γίνεται διὰ »τῆς συνεχοῦς γυμνάσεως, ἡ δ' ἀρετὴ διὰ τῆς συνεχοῦς πρά-»ξεως, ὁ δὲ πλοῦτος διὰ τῆς συνεχοῦς συνάξεως.»

Τοιαῦτα ἐννοήσας ὁ Βαρδδαμμάνας, ζεύξας ὑφ' ἅμαξαν πλήρη πραγμάτων πολυτίμων, δύο ταύρους, ὧν τῷ μὲν ὄνομα ἦν Σανζηβάκας, τῷ δὲ Ἀνανδάκας, ἥψατο τῆς εἰς Κασμίρην ὁδοῦ. Ὀρθῶς ἄρα λέγεται·

«Τί δυσβάστακτον τοῖς εὐτόνοις; τί δύσκτητον τοῖς φιλο-»πόνοις; τίς ἀλλοδαπὴ γῆ τοῖς φιλολόγοις; τίς ἐχθρὸς τοῖς »χρηστολόγοις;»

Διοδεύοντος δ' ὄρος δύσβατον, πεσὼν ὁ Σανζηβάκας, κα-τέαξεν ἕνα τῶν ποδῶν.

Τοῦτο τὸ συμβὰν ἰδὼν ὁ Βαρδδαμάνας, τοῦτο τὸ ἀπό-φθεγμα ἔλαβεν ἐν νῷ·

«Ἐπὶ συμβεβηκόσιν ἀτυχήμασιν οὐ δεῖ ἔχειν ἀπορίαν καὶ »ἀμηχανίαν, ἥ ἐστιν ἐναντία παντὶ πρακτέῳ· ὅθεν ἄφες τὴν

»ἀμηχανίαν, καὶ κατόρθωσον τὸ πρακτέον (καὶ τέλεσον τὸ »πρακτέον.»

Τοιαῦτα ἐννοήσας, δραμὼν εἰς κώμην πλησίον κειμένην, ἕτερον ταῦρον εὗρε· καὶ ὑποζεύξας αὐτὸν τῷ ζυγῷ τῆς ἁμάξης, εἰς τὸ πρόσω ἐπορεύετο, ἀπολιπὼν τὸν Σανζηβάκαν ἐκεῖ. Μετέπειτα ἀναστὰς ὁπωσδηποτοῦν ὁ Σανζηβάκας, ἔστη ἐπὶ τῶν τριῶν ποδῶν. Ὀρθῶς ἄρα λέγεται.

«Ἡ εἱμαρμένη φυλάττει τὴν ζωὴν τοῦ βυθισθέντος ἐν θα- »λάσσῃ, τοῦ πεσόντος ἐξ ὄρους, καὶ τοῦ δακέντος ὑπ' ὄφεως.

«Ἔξω τοῦ ὡρισμένου χρόνου οὐ θνήσκει ὁ ἄνθρωπος, καί »περ πολλοῖς βέλεσι πληγείς· ἐλθόντος δὲ τοῦ χρόνου, καὶ »τῷ ἄκρῳ τοῦ χόρτου Κούσσα νηγείς, οὐ ζῇ.

«Τὸ μὲν ἀφύλακτον διασώζεται, θεοφύλακτον ὄν· τὸ δ' «εὐφύλακτον διόλλυται, θεήλατον ὄν.

«Ὁ μὲν ἀμελούμενος ζῇ, καὶ ἐν ἐρήμῳ ὤν· ὁ δ' ἐπιμελείας »ἀξιούμενος θνήσκει, καὶ ἐν οἴκῳ ὤν.»

Μετὰ δέ τινας ἡμέρας, περιεχόμενος τὸ δάσος ἀπολύτως, καὶ νεμόμενος ἐλευθέρως ὅ,τι αὐτῷ ἤρεσκεν, εὐτραφὴς καὶ εὐσθενὴς ἐγένετο, καὶ ἐμυκᾶτο μεγάλως.

Ἦν δ' ἐν ἐκείνῳ τῷ δάσει εἷς λέων, Πιγκαλάκας τοὔνομα, ὃς ἐβασίλευε τῇ δυνάμει τῶν ἑαυτοῦ βραχιόνων. Λέγεται γάρ·

«Οὔτε χρίσμα, οὔτε χειροτονία γίνεται τῷ λέοντι ὑπὸ τῶν »λοιπῶν ζώων· ἐπὶ πάντων δὲ δεσποτείαν καὶ κυριότητα ἔχει, »ἕνεκα τῆς ἑαυτοῦ ἀνδρείας.»

Καί ποτε οὗτος ὁ λέων, δίψῃ πιεζόμενος, ἐπορεύετο εἰς τὸν ποταμὸν Ἰαμουνᾶν, ὥς τε πιεῖν ὕδωρ· ἀκούσας δὲ τοῦ βροντοειδοῦς μυκήματος τοῦ Σανζηβάκα, οὗ οὐδέπω πρότερον ἤκουσεν, ἔμφοβος ἐστράφη, ἄνευ τοῦ πιεῖν ὕδωρ, καὶ ἔστη ἐννεὸς, ἀπορῶν τί εἴη τοῦτο. Τοῦτον οὕτως ἔχοντα εἶδον δύο κυνόλυκοι, ὧν ὁ μὲν ἐκαλεῖτο Δαμανάκας, ὁ δὲ Καρατάκας, υἱοὶ τοῦ πρώην βουλευτοῦ. Ὁ δὲ Δαμανάκας ἔφη τῷ

Καρατάκα· «Διατί, φίλε οὗτος ὁ λέων διψῶν, ὕδωρ οὐκ ἔπιεν, ἀλλὰ στραφεὶς μένει ἐκστατικὸς (ἔστη τεθορυβημένος;» Ὁ δὲ κυνόλυκος ἀπεκρίνατο·

«Φίλε Καρατάκα, τίς χρεία σκέπτεσθαι περὶ τῶν πραγμάτων τούτου; ἡμεῖς γὰρ νῦν οὐκ ἐσμὲν θεράποντες· μάλιστα δὲ μεγάλη θλῖψις ἡμῖν ἐγένετο, ἀποβληθεῖσιν ὑπὸ τούτου. Σὺ δὲ ἀναλόγισαι πρὸς τούτοις οἵα ἐστὶν ἡ κατάστασις τῶν θεραπόντων·

«Ἰδὲ, τί ποιοῦσιν οἱ θεράποντες, οἱ θέλοντες πλοῦτον ἐκ θε»ραπείας! ἀποστεροῦνται (ἀπερπολοῦσιν) ὡς μωροὶ, καὶ τοῦ »ἑαυτῶν σώματος τὴν ἐλευθερίαν.

«Ὁ ἐγκρατὴς καὶ ἀσκητὴς δύναται τυχεῖν τοῦ ἄκρου »ἀγαθοῦ, τῆς ἀθανασίας, διὰ τοῦ ἡμίσεος ἐκείνου πόνου, ὃν »ὑποφέρουσιν οἱ θεράποντες ἐκ ψύχους, ἐκ καύματος, καὶ ἐξ »ἀέρος.

«Ἐν τοσούτῳ κέρδος τῆς ζωῆς ἐστιν, ἐν ὅσῳ ζῶσι μὴ ἐλ»πίζοντες εἰς ἄλλους οἱ ἄνθρωποι· εἰ γὰρ λέγονται, ὡς ζῶσιν, »οἱ ὄντες ὑπεξούσιοι ἄλλοις, τίνες λέγονται τεθνεῶτες[1]);

«Ὢ τῆς ῥιψοκινδυνότητος τῶν ἀνθρώπων! ἄλλοι μὲν γὰρ »ἔχοντες τρέφουσιν ὄφεις· ἄλλοι δὲ συγγίνονται ἀλλοτρίαις »γυναιξὶν, καὶ ἄλλοι θεράποντές εἰσι βασιλεῦσι.

«Ἐλθὲ, πορεύθητι, κάθησον, ἀνάστα, λέγε, σιώπα· ταῦτά »εἰσι παιδιαὶ καὶ διατριβαὶ τῶν πλουσίων πρὸς τοὺς ἑαυτῶν »ὑπηρέτας, οἳ κατεσχέθησαν τῇ χαρᾷ ἐλπίδος.

«Καθὼς αἱ πόρναι, οὕτω καὶ οἱ ἄφρονες θεράποντες κο»σμοῦσι καὶ διευθετοῦσι τὸ ἑαυτῶν σῶμα εἰς τέρψιν ἄλλων, »χάριν κέρδους.

«Οἱ θεράποντες διὰ πολλῆς τιμῆς ἄγουσι καὶ τὴν ὅρασιν

(1) Οἱ δουλείαν δηλαδὴ ποιοῦντες τεθνεῶτές εἰσι.

»τῶν ἑαυτῶν δεσποτῶν, ἡ φύσει ἐστὶν ὀξύῤῥοπος, καὶ διήκει »καὶ εἰς τὸν ἀκάθαρτον τόπον.

«Τίς ἄλλος μωρότερός ἐστι τοῦ θεράποντος, ὃς προσπίπτει »καὶ προσκυνεῖ δι' ἔπαρσιν καὶ ὕψωσιν, καὶ τῷ θανάτῳ πα- »ραδίδωσι τὴν ἑαυτοῦ ζωὴν διὰ ζωὴν, καὶ πάσχει δι' ἄνεσιν;

«Τὸ δουλικὸν ἔργον δυσκατέργαστόν ἐστι καὶ αὐτοῖς τοῖς »ἀπαθέσι καὶ θεωρητικοῖς· εἰ μὲν γὰρ ὁ δοῦλος σιωπᾷ, ἄλα- »λος κρίνεται· εἰ λαλεῖ (εἰ εὔγλωττός ἐστι), λάλος καὶ φλύα- »ρος· εἰ ἀνέχεται, δειλὸς λέγεται· εἰ δ' οὐκ ἀνέχεται, ἀγενὴς »καὶ ἀχρεῖος· εἰ μὲν πλησίον ἐστὶν, αὐθάδης νομίζεται· εἰ δὲ »πόῤῥω, ἀνόητος καὶ ἀδιάκριτος.»

«Οὐ δεῖ τοιαῦτα ἔχειν οὐδὲ κατὰ νοῦν, ἔφη ὁ Δαμανάκας· οἱ γὰρ δεσπόται, ὅταν θεραπεύωνται ἐπιμελῶς, ἡσθέντες, πληροῦσι τὰς ἐπιθυμίας τῶν θεραπόντων. Λέγεται γάρ·

«Πόθεν οἱ μὴ θεραπεύοντες τὸν βασιλέα ἔξουσι λευκὰ ῥι- »πίδια, λευκὰ σκιάδια, ἵππους, ἐλέφαντας καὶ πολλοὺς ἀκο- »λούθους;»

«Ἀλλὰ τί χρεία ἡμῖν, ἔφη ὁ Καρατάκας, τῶν μὴ προση- κόντων. Λέγεται γάρ·

«Ὅστις ἐφίεται ἐνασχολεῖσθαι τοῖς μὴ προσήκουσιν, οὗτος »ἀπόλλυται, καθὼς ὁ πίθηκος, ὁ τὸν σφῆνα ἀνασπάσας.»

Ἐρωτηθεὶς, δὲ πῶς ἔχει τοῦτο, ἀπεκρίνατο· Ἐν Μαγάδδᾳ τῇ χώρᾳ Καϊάσθας τις, Σουββαδάττας τὸ ὄνομα, ἤρξατο πύργον ἀνεγείρειν ἐν τῷ ἄλσει, πρὸς ἰδίαν διατριβὴν καὶ τρυφήν· ἔνθα, πρὸς τῇ ἄλλῃ ὕλῃ, ἔκειτο καὶ μία μεγάλη δοκὸς ἡμίπριστος, σφῆνα ἔχουσα ἐν μέσῳ τοῦ σχίσματος. Ἀγέλη δὲ πιθήκων ἐλθοῦσα, ἔπαιζον ἔνθεν κἀκεῖθεν. Εἷς δὲ τῶν πιθήκων, προτραπεὶς ὑπὸ τοῦ θανάτου, ἐκάθησεν ἐπὶ τῆς ἡμιπρίστου δοκοῦ, καὶ ἤρξατο ἑλκύειν τὸν σφῆνα· ἐξελκυσθέντος δὲ τοῦ σφηνὸς, οἱ ὄρχεις τοῦ πιθήκου κρεμάμενοι ἐν τῷ σχίσματι τῆς δοκοῦ, κατεθλάσθησαν.

Τοῦτο οὖν ἐστιν, εἶπεν ὁ Καρατάκας, ὃ εἶπον ἀνωτέρω·

«Ὅστις ἐφίεται ἐνασχολεῖσθαι τοῖς μὴ προσήκουσιν, οὗτος »ἀπόλλυται, καθὼς ὁ πίθηκος ὁ τὸν σφῆνα ἀνασπάσας.»

«Πρὸς δὲ τούτοις, εἶπεν ὁ Καρατάκας, τὸ ἀνακρίνειν τὰ τοῦ Βασιλέως κινήματα, ἴδιον καὶ ἔργον ἐστὶν οὐ τῶν ὑπηκόων, ἀλλὰ τοῦ ἀρχιβουλευτοῦ μόνου, ὅς ἐστιν ἐπιστάτης πάντων τῶν βασιλικῶν πραγμάτων· δεῖ γὰρ ἑκάστῳ ποιεῖν τὸ οἰκεῖον ἔργον, οὐχὶ δ' ἐκεῖνο ὅπερ ἐστὶν ἔργον ἑτέρου. Λέγεται γάρ·

«Ὅστις τῶν ὑπηρετῶν οὐκ ἐνασχολεῖται τῷ οἰκείῳ ἔργῳ, »ἀλλὰ τῷ τοῦ ἑτέρου, βουλόμενος ὀνῆσαι τὸν δεσπότην, »οὗτος ὀλλυται καθὼς ὁ ὀγκώμενος ὄνος. Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο; ἀπεκρίνατο·

Ἐν Βαραναοῇ τῇ πόλει πλούτης ἦν, ᾧ ὄνομα Καρπουραπάτας. Καί ποτε, κοιμωμένου βαθέως, κλέπτης εἰσέδυ τὸν οἶκον εἰς κλοπὴν ἱματίων· ἐν δὲ τῇ αὐλῇ τοῦ οἴκου ἦν ὄνος δεδεμένος καὶ κύων καθήμενος. Ὁ μὲν οὖν ὄνος ἔφη τῷ κυνί· «Νῦν καιρός ἐστι τοῦ σοῦ ἔργου· διατί δὲ οὐκ ἐξεγείρεις τὸν δεσπότην διὰ μεγάλης ὑλακῆς;» Πρὸς ὃν ἀπεκρίνατο ὁ κύων· «Τίς δέ σοι λόγος τοῦ ἐμοῦ ἔργου; οὐκ οἶδας ὡς ἐγὼ μὲν φυλακὴν ποιῶ νυκτός τε καὶ ἡμέρας· οὗτος δὲ, ἀμελήσας διὰ πολλοῦ, οὐ δίδωσί μοι τροφὴν ἀρκοῦσαν; οἱ γὰρ δεσπόται, ἔξω φόβου ὄντες καὶ κινδύνου, οὐδεμίαν φροντίδα καὶ τιμὴν ποιοῦσι τοῖς ὑπηρέταις.» — «Ἄκουσον, ὦ βάρβαρε, ἔφη ὁ ὄνος· τὸ γένος τῶν κυνῶν ἀκάθαρτόν ἐστι φύσει, καὶ σκέψαι, ὁποῖόν ἐστι τὸν ἔργον τῶν ὑπηρετῶν. Λέγεται γάρ·

«Ἆρα δοῦλός ἐστιν ἡ φίλος ἐκεῖνος, ὃς αἰτεῖ ἐν καιρῷ ἀνάγ- »κης τοῦ δεσπότου, ἢ τοῦ φίλου;

«Τί ὄφελος ὑπηρέτου, ἢ φίλου τοιούτου, ὃς οὐ χρήσιμος »γίνεται ἐν ἀνάγκῃ (ὅταν τὸ πρακτέον αὐτοῖς ἀμεληθῇ);

«Ἄκουσον δὲ καὶ σὺ, ἔφη ὁ κύων·

«Ἆρα δεσπότης ἐστὶν ἐκεῖνος, ὃς οὐ φροτίζει περὶ τῶν δούλων ἐν καιρῷ ἀνάγκης; ἆρα οὐ δεῖ διδόναι ἀεὶ ἐξ ἅπαντος τρόπου τροφὴν τῷ ὑπηρέτῃ καὶ τῇ γυναικί;» Ὁ δ' ὄνος ἔφη μετὰ θυμοῦ· «Σὺ κάκιστος εἶ, ἐπειδὴ παραβλέπεις τὸ ὃ ἔχεις χρέος πρὸς τὸν δεσπότην ἐν ταύτῃ τῇ ἀνάγκῃ. Οὐκ ἤκουσας τὶ λέγει τὸ ἐξῆς;

«Τὸν μὲν ἥλιον ἀγαπάτω ὁ ἄνθρωπος ὄπισθεν, τὸ »δὲ πῦρ ἔμπροσθεν· τὸν δὲ δεσπότην ἐξ ὅλης ψυχῆς καὶ »καρδίας· τὸν δ' οὐρανὸν ἐξ εἰλικρινείας καὶ ἀληθείας.»

Καὶ ἐγὼ τοίνυν τρόπον ποιήσω ὅπως ἐγερθήσηται ὁ Κύριος ἡμῶν.» Ταῦτα εἰπὼν, ἐφώνησε, μεγάλως ὀγκώμενος· ἐξεγερθεὶς δ' ὑπὸ τοῦ ὀγκηθμοῦ ὁ Πλούτης, ἐθυμώθη λίαν κατὰ τοῦ ὄνου, ὡς ἀφελόντος αὐτοῦ τὸν γλυκὺν ὕπνον· καὶ λαβὼν ῥόπαλον, πολλὰς αὐτῷ ἀνέτεινε πληγὰς, ἐξ ὧν καὶ ἀπέθανε.

«Τοῦτο δ' ἔστιν, εἶπεν ὁ Καρατάκας, ὃ εἶπον ἀνωτέρω·

«Ὅστις τῶν ὑπερετῶν οὐκ ἐνασχολεῖται τῷ οἰκείῳ ἔργῳ, »ἀλλὰ τῷ τοῦ ἑτέρου, βουλόμενος ὀνῆσαι τὸν δεσπότην, οὗ»τος ἀπόλλυται καθὼς ὁ ὀγκώμενος ὄνος.»

Σκέψαι, ἔφη, ὡς τὸ ἡμέτερον ἔργον ἐρευνᾷν ἐστιν καὶ θυρεύειν ζῶα· περὶ τοῦτο οὖν ἀσχολίαν σχῶμεν· ἀνεξετάζειν δὲ καὶ ἀνερευνᾷν περὶ τῶν κινημάτων τοῦ βασιλέως οὐκ ἔστιν ἀναγκαῖον. Πρὸς δὲ ὅσα ἐναπελείφθησαν ἡμῖν εἰς τροφὴν πολλά εἰσι καὶ ἀρκοῦντα.» — «Πῶς; ἀρκεῖ σοι μόνη ἡ τροφή; ἔφη μετὰ θυμοῦ ὁ Δαμανάκας· ἀνοίκειον ταῦτα λέγειν, λέγεται γάρ·

«Ὑπὸ φρονίμων βασιλικὴ προστασία ἐπιζητεῖται, τῶν »μὲν εὐμενῶν εἰς εὐποιΐαν, τῶν δὲ δυσμενῶν εἰς κακο»ποιΐαν· Τίς γὰρ μόνην τὴν γαστέρα οὐ πληροῖ;

«Ἐκείνου ἡ ζωὴ ἐπωφελής ἐστιν, οὗ ζῶντος, ζῶσι Βραχ»μᾶνες, φίλοι καὶ οἰκεῖοι· τίς γὰρ οὐ ζῇ δι' ἑαυτόν;

«Ἐκεῖνος ζήτω, οὗ ζῶντος ζῶσι πολλοί. Καὶ ὁ κόραξ »οὐ πληροῖ τὴν ἑαυτοῦ γαστέρα διὰ τοῦ ῥάμφους;

«Λίαν ἐπίψογόν ἐστι τὸ δουλικὸν ἔργον ἐν ἀνθρώποις, »οἳ ὅμοιοί εἰσι πάντες κατὰ τὸ αὐτεξούσιον. Ἆρα ἐν τοῖς »ζῶσιν ἀριθμεῖται ἐκεῖνος, ὃς οὐκ ἔστι πρῶτος ἐν τῷ δου»λικῷ καταλόγῳ; (ἐν τῷ καταλόγῳ τῶν δούλων).

«Οἱ σοφοὶ ἄνδρες λέγουσιν, ὡς ἐκεῖνος τῷ ὄντι ζῇ, ὃς »ζῇ ἐν ὀλίγῳ χρόνῳ ἐπιφανὴς καὶ ἔντιμος κατὰ τὴν γνώ»σιν, κατὰ τὴν ἀνδρείαν καὶ κατὰ τὴν εὔκλειαν. Καὶ »ὁ κολοιὸς διὰ πολλοῦ ζῇ, ζῇ ὅμως ἐσθίων τὰ ἀπορριπτό«μενα.

«Τίς διαφορά ἐστι τῶν ἀλόγων ζώων καὶ τοῦ ἰδιώτου καὶ »χυδαίου, ὃς οὐκ ἔχει κρίσιν τοῦ καλοῦ ἢ τοῦ κακοῦ, καὶ »ἄμοιρός ἐστι μαθήσεως καὶ ἐπιστήμης, καὶ ἀγαπᾷ πλη»ρῶσαι μόνην τὴν ἑαυτοῦ γαστέρα;»

Ὁ δὲ Καρατάκας ἔφη· «Τίς χρεία τοσαύτης λογοτριβῆς; ἡμεῖς γὰρ κατὰ τὸ παρὸν ἐσμὲν ἄνευ ἀξιώματος.»

«Δι' ὀλίγου χρόνου, ἔφη ὁ Δαμανάκας, ὁ ὢν ἄνευ ἀ»ξιώματος (ὁ μὴ ἔχων ἀξίωμα) ἀξιώματος τυγχάνει· λέ»γεται γάρ·

«Καθὼς ὁ μὲν ἀνορύττων φρέαρ, εἰς τὰ κάτω φέρεται, »ὁ δὲ ἀνεγείρων τεῖχος εἰς τὰ ἄνω, οὕτω καὶ ὁ ἄνθρωπος »ἐξ ἰδίων ἔργων, ἤτοι εἰς τὰ κάτω φέρεται, ἢ εἰς τὰ »ἄνω.»

Ὁ μὲν οὖν Καρατάκας ἤρετο· «Τί σημαίνεις ταῦτα προτείνων;» Ὁ δ' ἀπεκρίνατο· «Ἐκ τίνος φόβου οὗτος ὁ ἡμέτερος δεσπότης στραφείς, μένει ἥσυχος;»

«Πόθεν τοῦτο οἶδας;» ἤρετο ὁ Καρατάκας. Ὁ δὲ Δαμανάκας ἀπημείψατο· «Τί δ' ὃ οὐκ ἔστι γνωστὸν τῷ γνῶσιν »ἔχοντι; λέγεται γάρ·

«Καὶ τὸ ἄλογον ζῶον ἐννοεῖ (καταλαμβάνει) τὸ λεγό-

»μενον· κελευόμενοι γὰρ οἱ ἵπποι καὶ οἱ ἐλέφαντες, ἐλαύνου-
»σιν. Ὁ δὲ φρόνιμος ἄνθρωπος, καὶ τὸ μὴ λεγόμενον ἐννοεῖ
»(καταλαμβάνει)· ἴδιον γὰρ τοῦ νοὸς τὸ νοεῖν ἐκ νεύμα-
»τος ἄλλων.

«Τὰ τῆς ἐνδιαθέτου καρδίας (ἡ ἐνδιάθετος καρδία) δια-
»γινώσκεται ἐκ σχήματος, ἐκ νεύματος, ἐκ κινήματος, ἐξ ἔρ-
»γου, ἐκ λόγου, καὶ ἐκ μεταβολῆς ὄμματος ἢ προσώπου.»

«Ἐγὼ μὲν οὖν ἁρμοδίως τῷ καιρῷ καὶ τῷ φόβῳ, οὗ κυρι-
εύεται, λαλῶν αὐτῷ, οἰκεῖον ποιήσω τῇ δυνάμει τῆς ἐμαυ-
τοῦ ἀγχινοίας· λέγεται γάρ·

«Ὅστις λαλεῖ κατὰ τὴν ὑπόθεσιν τοῦ λόγου, κατὰ τὸν ἁρ-
»μόδιον καιρὸν, καὶ λέγει κατὰ τὴν γνώμην τοῦ ἀκούοντος,
»καὶ θυμοῦται κατὰ τὴν οἰκείαν δύναμιν, οὗτός ἐστι σοφὸς
»ἀνήρ.»

«Σὺ, ὦ φίλε, ἔφη ὁ Καρατάκας, οὐκ εἶ εἰδήμων βασιλι-
»κῆς θεραπείας· λέγεται γάρ·

«Ὅστις ἐμβαίνει τῷ βασιλικῷ οἴκῳ ἄκλητος, καὶ πολλὰ
»λέγει μὴ ἐρωτηθείς, καὶ ἑαυτὸν ἀγαπητὸν τῷ Βασιλεῖ νο-
»μίζει, οὗτος ἄφρων ἐστί.»

«Πῶς ἐγὼ, ὦ βέλτιστε, οὐκ εἰμὶ εἰδήμων; λέγεται γάρ·

«Τί ἐστιν ἐκ φύσεως ἐραστὸν, ἢ ἀνέραστον πᾶσιν ὁ-
»μοῦ; ᾧτινι ὅ,τι ἀρέσκει, τούτῳ τοῦτο ἀρεστόν ἐστι.

«Ἀκολουθῶν ὁ φρόνιμος τῇ οἱαδή τινι γνώμῃ ἔχει ὁ
»ἄνθρωπος, πειθήνιον αὐτὸν ποιήσει.»

«Ἐρωτήσαντος δὲ τοῦ Βασιλέως· «Τίς ἐνταῦθα;» ὁ
»θεράπων ἀποκρινέσθω· «Ἐγώ εἰμι, πρόσταξον,» καὶ τὸ
»προσταττόμενον πραττέτω ὀρθῶς καὶ πάσῃ δυνάμει.

«Ἡ παρακοὴ τῆς προσταγῆς τοῦ Βασιλέως. ἡ πρὸς τοὺς
βραχμᾶνας ἀτιμία, καὶ ἡ ἀποχὴ τοῦ ἀνδρὸς ἀπὸ τῆς εὐνῆς
τῆς γυναικὸς[1] θάνατός ἐστιν ἄνευ ὅπλου.

(1) Πρότερα γραφή· ἡ εὐνὴ τῆς γυναικὸς χωρὶς τοῦ ἀνδρός.

«Ἐκεῖνός ἐστιν ἐν τῷ οἴκῳ τοῦ Βασιλέως, ὅς ἐστιν ὀλιγαρκὴς »καὶ ἀκολουθεῖ ἀεὶ αὐτῷ, ὡς ἡ σκιὰ τῷ σώματι, καὶ οὐδαμῶς »διστάζει, οὐ δ' ἀναβάλλει τὸν καιρὸν προσταττόμενος.»

Ὁ δὲ Καρατάκας ἔφη· «Ἴσως ὁ Βασιλεὺς αἰτιμάσῃ σε, προσελθόντα παρὰ καιρόν.»—«Οὕτως ἔχει, ἔφη· ἀλλ' ἐγὼ οἶδα τὸν καιρόν.»—«Πορευθεὶς δὲ πρὸς ἐκεῖνον τί λέξεις;» ἤρετο ὁ Καρατάκας. Ὁ δὲ, «Ἄκουσον, ἀπεκρίνατο. Πρῶτον μὲν γνώσομαι, εἰ ἔχει εὔνοιαν πρὸς ἐμὲ ἢ οὐχί· εἶτα δὲ λέξω οὕτως, ὅπως ἐκεῖνος ἑσεταίμοι πειθήνιος»—«Οὐ δεῖ λέγειν, ἔφη ὁ Καρατάκας, ἔξω τοῦ πρέποντος καιροῦ, λέγεται γάρ·

«Καὶ ὁ Βριχασπατὴς, λέξας λόγον ἔξω τοῦ πρέπον»τος καιροῦ, ἀτιμίαν λαμβάνει.»

«Μὴ φοβοῦ, φίλε, ἔφη ὁ Δαμανάκας· ἐγὼ γὰρ οὐ λέξω λόγον ἔξω τοῦ πρέποντος καιροῦ· νῦν δὲ δός μοι ἄδειαν τοῦ πορεύεσθαι.»—«Ἀγαθὸν ἔστω, ἔφη ὁ Καρατάκας, καὶ γενέσθω ὅ,τι ἂν θέλῃς.»

Πορευομένου δὲ τοῦ Δαμανάκα, εἶδεν αὐτὸν μακρόθεν ὁ Πιγκαλάκας, καὶ ἐπέταξεν εἰσελθεῖν μετὰ τιμῆς. Εἰσελθὼν δὲ, προσπεσὼν προσεκύνησε ταπεινῶς. Πρὸς ὃν εἶπεν ὁ Πιγκαλάκας· «Μετὰ πολὺν χρόνον ἔφθης.» Ὁ δὲ ἔφη· «Εἰ καὶ τῇ ὑμετέρᾳ βασιλείᾳ οὐδεμία ἐστὶ χρεία ἐμοῦ τοῦ δούλου, ἀλλὰ καὶ οὕτω, δεῖ τῷ δούλῳ ἀφεύκτως προσελθεῖν ἐν προσήκοντι καιρῷ, διὰ τοῦτο ἐγὼ ἦλθον· νῦν γὰρ ἀνάγκη ἐστὶ καὶ χρεία, ὡς καὶ λέγεται·

«Εἰ χρεία ἐστὶ τῷ βασιλεῖ καὶ κάρφους, εἰς ξέσιν »ὀδόντων ἢ ὠτίων, πολλῷ μᾶλλον ἀνθρώπου, ὃς καὶ λα »λεῖ, καὶ χεῖρας ἔχει.

Οὐδέ γε δεῖ τῷ βασιλεῖ νομίζειν, ὅτι ἐγὼ, ὡς ὢν ἄφρων, ἐξεβλήθην καὶ ἠτιμάσθην πρὸ πολλοῦ· λέγεται γάρ·

«Εἰ εἰσὶν ἀρεταί τινες τῷ ἀνθρώπῳ, αὗται οἴκοθεν γνω-»ρίζονται. Παραδ. χάριν ἡ εὐωδία τοῦ μόσκου οἴκοθεν γνω-»ρίζεται, καὶ οὐ δεῖ ἐνόρκου ὁμολογίας ἄλλων.

«Εἰ καὶ ἡ μὲν πολίτιμος λίθος ἐπὶ ποδὸς τεθείη, ὁ δ' »ὕαλος ἐπὶ κορυφῆς, ἐν καιρῷ ὅμως ἀγορᾶς καὶ πράσεως, »ὁ μὲν ὕαλος κρίνεται ὕαλος, ἡ δὲ πολύτιμος λίθος, λί-»θος πολύτιμος.

«Οὐ δεῖ νομίζειν ὡς ἡ φρόνησις τοῦ ἔμφρονος ὤχετο, καί »περ ἐν κακοπαθείᾳ ὄντος. Παραδ. χάριν ὁ ἀναπτόμενος »δαυλὸς, κἂν στραφῇ εἰς τὰ κάτω, οὐδαμῶς ἡ φλὸξ εἰς »τὰ κάτω φέρεται, ἀλλ' εἰς τὰ ἄνω.

Δεῖ τῷ Βασιλεῖ, Βασιλεῦ, διαφορὰν θεωρεῖν τῶν δούλων· λέγεται γάρ·

»Ὅτε ὁ βασιλεὺς οὐδεμίαν διαφορὰν τῶν δούλων θεωρεῖ, »ἀλλ' ἐξ ἴσου βλέπει πάντας, τότε ἡ προθυμία τῶν δρα-»στηρίων καὶ μεγαλοπραγμόνων ἀμβλύνεται (μειοῦται).

«Τρεῖς τάξεις εἰσὶ τῶν ἀνθρώπων[1], ὦ Βασιλεῦ, οἱ ἄρι-»στοι, οἱ μέσοι, καὶ οἱ ἔσχατοι. Τούτους ἁρμόζειν δεῖ »τοῖς καταλλήλοις ἔργοις[2].

«Οἵτε δοῦλοι καὶ τὰ κοσμήματα τοῖς οἰκείοις τόποις »ἁρμόζονται· οὔτε ἡ τῇ κεφαλῇ ἁρμόζουσα λίθος τίθεται »ἐπὶ ποδὸς, οὔτε τὸ περιπέζιον ἐπὶ τῆς κεφαλῆς.

«Εἰ ἡ λίθος, ἡ οὖσα ἀξία συναρμοσθῆναι χρυσῷ κοσμή-»ματι, συναρμοσθείη μολύβδῳ, οὔτε αὐτὴ ἀγλαΐζεται, καὶ »ὁ συναρμόσας κατηγορεῖται καὶ ψέγεται.

«Εἰ ὁ μὲν ὕαλος τεθείη ἐπὶ τοῦ κοσμήματος τῆς κορυ-»φῆς, ἡ δὲ πολύτιμος λίθος ἐπὶ τοῦ κοσμήματος τοῦ ποδὸς, »οὐκ ἐστι ψόγος τοῦ λίθου, ἀλλὰ τοῦ τεχνίτου ἀγνωσία.

---

(1) Τριῶν εἰδῶν εἰσιν οἱ ἄνθρωποι (Προτέρα γραφή).

(2) Τοὺς μὲν ἀρίστους τῇ ἀρίστῃ τάξει δηλ. τοὺς δὲ μέσους τῇ μέσῃ, τοὺς δὲ ἐσχάτους τῇ ἐσχάτῃ.

«Ἀγαθοὺς καὶ ἀξίους δούλους ἔξει ὁ δεσπότης, ὅταν »κρίσιν ἔχῃ καὶ σκέψιν τοιαύτην· «Οὗτος μέν ἐστι νου- »νεχής, ἐκεῖνος δὲ φιλοδέσποτος· ὁ δὲ ἄλλος ἀμφότερα, »νουνεχὴς καὶ φιλοδέσποτος.

«Ὁ ἵππος, τὸ ὅπλον, ἡ ἐπιστήμη, ἡ κιθάρα, ἡ γλῶσσα, »ὁ ἀνὴρ καὶ ἡ γυνὴ, ταῦτα πάντα ἄξια ἢ ἀνάξια γίνονται »κατὰ τὸν ἐπιστάτην ὃν ἂν εὕρωσι.

«Τί ὄφελος ἐκ δούλου φιλοδεσπότου, ὅς ἐστιν ἀδρανής; »τί δ' ἐξ εὐδρανοῦς (δραστηρίου), ὅς ἐστι κακοποιός; ἐμοῦ δ' »αὐτοῦ, ὅς εἰμι καὶ φιλοδέσποτος καὶ εὐδρανὴς, οὐκ ἄξιος εἶ »καταφρονεῖν, ὦ Βασιλεῦ.

«Ἐκ τῆς τοῦ Βασιλέως καταφρονήσεως ἄφρων ὁ ὑπηρέτης »γίνεται· ἐκ δὲ τούτου τοῦ παραδείγματος οὐδεὶς εὔφρων »μένει πλησίον. Στερηθείσης δὲ τῆς βασιλείας εὐφρόνων ἀν- »δρῶν, διοίκησις ὀρθὴ οὐ γίνεται· τῆς δ' ὀρθῆς διοικήσεως »ἀφανισθείσης, ἅπας ὁ Κόσμος πάσχει.

«Ὁντινα ὁ Βασιλεὺς τιμᾷ, ἅπας ὁ Κόσμος τοῦτον ἀεὶ τι- »μᾷ· ὅστις δ' ὑπὸ τοῦ Βασιλέως ἀτιμάζεται, ὑπὸ πάντων »οὗτος ἀτιμάζεται.

«Καὶ ἀπὸ σόματος παιδὸς ἄξιος λόγος ἐξερχόμενος, ἀκουέ- »σθω ὑπὸ τῶν συνετῶν· ἀπόντος γὰρ τοῦ ἡλίου, ἆρα οὐκ »ἔστι φῶς τοῦ λύχνου;»

Ὁ δὲ Πιγκαλάκας ἔφη· «Ὦ βέλτιστε Δαμανάκα, τί ταῦτα λέγεις; σὺ εἶ υἱὸς τοῦ πρώην ἡμετέρου Ἀρχιβουλευτοῦ. Το- σοῦτον δὲ χρόνον οὐκ ἦλθες ἐκ λόγων διαβόλων· νῦν δὲ ἔκ- φραζε ὅ,τι ἀγαπᾷς (ἔχεις ἐν νῷ).»

«Βούλομαί τι ἐρωτῆσαι, εἶπεν ὁ Δαμανάκας. Διὰ τί, θέλων πιεῖν ὕδωρ, οὐκ ἔπιες, ἀλλὰ γραφεὶς, ὡς περιφοβηθείς, μένεις ἐνταῦθα;»

«Ὀρθῶς εἴρηκας, ἔφη ὁ Πιγκαλάκας· οὐδεὶς ὅμως δο- χεῖόν ἐστι πίστεως, ὥς τε εἰπεῖν τὸ μυστικὸν τοῦτο· ἀλλὰ

καὶ οὕτω λέγωσοι μυστικῶς, σὺ δ᾽ ἄκουσον· ἐν τούτῳ τῷ δάσει τό γε νῦν ἔχον, ζῶόν ἐστι νεοφανές· διὸ ἀποδράσω ἐντεῦθεν (ἐγκαταλείψω τοῦτο). Αὕτη ἐστὶν ἡ αἰτία δι᾽ ἣν ἐφοβήθην. Ἐγὼ μεγάλης φωνῆς ἤκουσα· ἐκ δὲ τῆς φωνῆς συμπεραίνεται, ὡς μεγάλης δυνάμεώς ἐστι ζῶον.»

«Αἰτία ἐστὶ μεγάλου φόβου, Κύριε, ἔφη ὁ Δαμανάκας· καὶ ἡμεῖς δ᾽ ἠκούσαμεν τῆς φωνῆς. Ὁποῖος δ᾽ ὅμως σύμβουλός ἐστιν ἐκεῖνος, ὃς συνεβούλευσέ σοι τὴν ἐγκατάλειψιν τῆς γῆς ταύτης; ἴδιον γὰρ τῶν βουλευτῶν ἐν δεινοῖς ἐπανόρθωσιν ἐφευρίσκειν. Λέγεται γάρ·

«Ἐν περιστάσει, ὡς ἐν βασάνῳ λίθῳ, διαγινώσκει ὁ ἄν»θρωπος τὴν φύσιν τοῦ φίλου, τῆς γυναικὸς, τῶν δούλων, »τῶν ὑπηρετῶν καὶ τοῦ ἑαυτοῦ νοὸς καὶ δυνάμεως.

«Μέγας φόβος ἔχει (θλίβει) με, ὦ φίλε,» ἔφη ὁ λέων. Ὁ δὲ Δαμανάκας ἔλεγεν ἐν ἑαυτῷ· «Εἰμὴ οὕτως εἶχε, πῶς ἂν σὺ συνελάλεις ἐμοὶ οὕτω συγκαταβατικῶς.» Εἶτα δ᾽ εἶπεν ἐφώνως· «Ἐν ὅσῳ ἐγὼ ζῶ, οὐ δεῖ φοβεῖσθαι· πλὴν καὶ ὁ Καρατάκας κληθήτω, καὶ ἐξευμενισθήτω· δυσεύρετοι γάρ εἰσι πολλοὶ οἱ εἰς ἀπαλλαγὴν τοῦ δεινοῦ ἱκανοί.» Ὁ δὲ λέων ἔφη· «Πορεύθητι καὶ κόμισον τὸν Καρατάκαν.» Ὁ δὲ οὕτω καὶ ἐποίησεν. Ἀμφότεροι δ᾽ ἐτιμήθησαν μεγάλως χάρισι πολλαῖς καὶ δωρεαῖς ὑπὸ τοῦ Βασιλέως, καὶ ἀνεχώρησαν, ὑποσχόμενοι τοῦ κινδύνου ἀπαλλαγήν.

Πορευομένων δ᾽ αὐτῶν, ὁ Καρατάκας εἶπε πρὸς τὸν Δαμανάκαν· «Πῶς ἡμεῖς ἐδεξάμεθα χάριτας, ὑποσχόμενοι ἀπαλλαγὴν τοῦ κινδύνου, ἄνευ τοῦ γινώσκειν εἰ δύναται τοῦτο γενέσθαι, ἢ οὐχί; οὐ γὰρ δεῖ τῷ μὴ ποιήσαντι ἀγαθόν τι, χάριτας λαμβάνειν παρά τινος, καὶ μάλιστα παρὰ τοῦ Βασιλέως, λέγεται γάρ·

«Εἰ καὶ παῖς, οὐ καταφρονητέος ἐστὶν ὁ Βασιλεὺς, ὡς ἂν »ἄνθρωπος· μέγας γὰρ Θεός ἐστιν ἐν σχήματι ἀνθρώπου.

«Ὁ Βασιλεὺς παντοδύναμός ἐστιν, οὗ ἐν μὲν τῇ χάριτι »ἑδρεύει ἡ Λαξμὴ, ἐν δὲ τῇ ἀνδρείᾳ ἡ Νίκη, ἐν δὲ τῷ »θυμῷ ὁ Θάνατος.»

Γελάσας ὁ Δαμανάκας, ἔφη· «Ἔστω σιωπή, φίλε· ἐγνώσθη ὑπ᾽ ἐμοῦ ἡ αἰτία τοῦ φόβου· ἔστι δὲ φωνὴ ταύρου· οἱ δὲ ταῦροι βρώσιμοί εἰσιν ἡμῖν, μάλιστα δὲ τῷ λέοντι.»

«Εἰ οὕτως ἔχει, ἔφη ὁ Καρατάκας, διὰ τί ὁ φόβος τοῦ Βασιλέως οὐκ ἀφηρέθη ὑπὸ σοῦ;»

«Εἰ ὁ φόβος τοῦ δεσπότου, ἔφη ὁ Δαμανάκας, ἀφηρεῖτο, πῶς ἂν ἐγίνετο ἡμῖν αὕτη ἡ μεγάλη χάρις; Οὐ δεῖ τὸν Βασιλέα γίνεσθαι ὑπὸ τῶν ὑπηρετῶν ἄνευ ἀνάγκης καὶ χρείας· καταστήσας γὰρ ὁ ὑπηρέτης τὸν Βασιλέα ἄνευ ἀνάγκης καὶ χρείας, ἔσεται ὡς ὁ Δαδδικάρνας.»

Ἐρωτήσαντος δὲ τοῦ Καρατάκα, πῶς ἔχει τοῦτο, ὁ Δαμανάκας ἀπεκρίνατο·

«Ἐν ὄρει Ἀρδουδεακάρα ἦν λέων, Μαχαδικράμας τοὔνομα, οὗ κοιμωμένου ἔντινι σπηλαίῳ, ἔκοψε τὸ ἄκρον τῆς λοφιᾶς αὐτοῦ μῦς. Ἰδὼν δ᾽ ὁ λέων τὴν λοφιὰν κεκομμένην, ἐθυμώθη, καὶ μὴ εὑρὼν τὸν μῦν, εἰσδύντα εἰς τὴν ἑαυτοῦ ὠπήν, ἔκρινεν, ὡς ὁ μικρὸς καὶ εὐτελὴς ἐχθρὸς, δι᾽ ἑτέρου μικροῦ καὶ εὐτελοῦς καταβάλλεται. Καὶ πορευθεὶς εἰς κώμην, ἐκολάκευσε κρεοδοσίᾳ αἴλουρον, Δαδδικάρναν τὸ ὄνομα, καὶ ἀγαγὼν, ἔθετο αὐτὸν πλησίον τῆς μυωξίας· οὗ ἐκ φόβου ὁ μῦς οὐκ ἐξήρχετο. Τελευταῖον δὲ πείνῃ θλιβόμενος, καὶ ἐξῆλθε, καὶ εὐθέως κατεβρώθη ὑπὸ τοῦ αἰλούρου. Ὁ δὲ λέων, χρείαν μὴ ἔχων τοῦ αἰλούρου, ἠμέλησε τῆς κρεωδοσίας».

«Τοῦτο δ᾽ ἔστιν, εἶπεν ὁ Δαμανάκας, ὃ εἶπον ἀνωτέρω·

«Οὐ δεῖ τὸν Βασιλέα γίνεσθαι ὑπὸ τῶν ὑπηρετῶν ἄνευ »ἀνάγκης καὶ χρείας· καταστήσας γὰρ ὁ ὑπερέτης τὸν »Βασιλέα ἄνευ ἀνάγκης καὶ χρείας, ἔσεται ὡς ὁ Δαδδι»κάρνας.»

Πλησιασάντων δὲ, ὁ μὲν Καρατάκας ἔστη ὑπὸ δένδρον »μετὰ δόξης· ὁ δὲ Δαμανάκας, ἐλθὼν, ἔφη·

«Ὦ Ταῦρε, ὁ Καρατάκας, ὁ ψηφισθεὶς ἀρχηγὸς ὑπὸ τοῦ Βασιλέως Πιγκαλάκα, εἰς φυλακὴν τοῦ δάσους, κελεύει σε ἐλθεῖν ταχέως πρὸς αὐτὸν, ἢ ἀναχωρῆσαι ἐκ τούτου τοῦ δάσους· εἰδὲ μὴ, μέγα σοι κακὸν ἔσεται.» Ὁ δὲ, μὴ εἰδὼς τὰ ἔθη τοῦ τόπου, φόβῳ συνεσχέθη, καὶ ἐλθὼν προσεκύνησε τὸν Καρατάκαν. Ὀρθῶς ἄρα λέγεται·

«Τὸ ἐπὶ τοῦ ἐλέφαντος μέγα τύμπανον, κρουόμενον, τοῦτο »κηρύττει διὰ τοῦ ἤχου, ὃν ἐκπέμπει· « Ἡ γνῶσις κρείττων »ἐστὶ τῆς δυνάμεως· ἄνευ γὰρ τῆς γνώσεως αὕτη ἐστὶν ἡ »κατάστασις τῶν ἐλεφάντων.»

Ὁ δὲ Σανζηβάκας ἔφη μετὰ φόβου·

«Πρόσταξον, ὦ Στρατηγὲ, τί με δεῖ ποιῆσαι;» Ὁ δὲ ἔφη· «Εἴ σοι ἔφεσις ἐνταῦθα μένειν, ἐλθὲ, καὶ προσκύνησον τὸν πόδα τοῦ Βασιλέως.»—«Εἰ δώσῃς μοι, ἔφη, λόγον ἀσφαλείας καὶ ἀφοβίας, ἔρχομαι.»—«Ἄλις τοῦ φόβου σου, ἔφη ὁ Καρατάκας· λέγεται γάρ·

«Ὁ ἄνεμος οὐκ ἐκριζοῖ ἁπαλοὺς καὶ χθαμαλοὺς θά»μνους, ἀλλὰ δένδρα ὑψηλὰ καὶ σκληρὰ διαῤῥηγνύει· ὁ γὰρ »μέγας κατὰ τῶν μεγάλων μεγαλουργίαν δεικνύει.»

Ἀφέντες δὲ ἔξω τὸν Σανζηβάκαν, ὁ Δαμανάκας καὶ ὁ Καρατάκας εἰσελθόντες προσεκύνησαν τὸν Πιγκαλάκαν, ὃς ἤρετο· «Ὤφθη ἐκεῖνο τὸ ζῶον;» — «Καὶ ὤφθη καὶ ἐταπεινώθη, ἀπεκρίνατο ὁ Δαμανάκας, καὶ μεγάλης δυνάμεώς ἐστιν, ὡς καὶ ἐνομίσθη ὑπὸ τοῦ Βασιλέως· ἀλλὰ καὶ οὕτως, ἰδεῖν τὸν βασιλικὸν πόδα ἀγαπᾷ.»

Ἀγαγόντες δ' ἔπειτα τὸν Σανζηβάκαν ὁ Δαμανάκας καὶ ὁ Καρατάκας, παρέστησαν πρὸ προσώπου τοῦ λέοντος. Φιλίαν δὲ ποιησάμενοι, συνδιῆγον ἐπὶ πολὺ ἐν μεγάλῃ ἀγάπῃ ὅ,τε λέων καὶ ταῦρος. Καί ποτε ἦλθεν ὁ ἀδελφὸς

τοῦ Πιγκαλάκα, Σταβδακάρνας τὸ ὄνομα, ὃν καὶ ἐδεξιώσατο ὁ Πιγκαλάκας, καὶ εἰς ξενίαν αὐτοῦ πορευθῆναι ἤθελον εἰς ἄγραν ἐλάφου. Ὁ δὲ Σανζηβάκας ἤρετο· «Ποῦ ἐστι τὸ κρέας τῶν ἀγρευθέντων ζώων σήμερον, Κύριε;» Ὁ δ' ἀπεκρίνατο γελῶν· «Ὁ Δαμανάκας καὶ ὁ Καρατάκας οἴδασιν· ἀλλ' οὐκ ἔστιν, οἶμαι, καθ' ἑκάστην γὰρ οὕτω ποιοῦσιν· ἄλλο μὲν αὐτοὶ βιβρώσκουσιν, ἄλλο δὲ ἄλλοις, διδόασιν, ὡς βούλονται.» — «Ἀνοίκειον τοῦτο ἔφη, ὁ Σανζηβάκας, λέγεται γάρ·

«Οὐ δεῖ τῷ Βουλευτῇ ποιεῖν πάντι ἔργον, ἄνευ ἀδείας »καὶ προσταγῆς, ἐκτὸς εἰ μὴ εἰς ἀποτροπὴν κινδύνου τοῦ » Βασιλέως.

«Ἐκεῖνός ἐστιν ἄριστος βουλευτὴς, ὅστις αὐξάνει τὸν »θησαυρὸν καὶ διὰ συνάξεως ὀβολῶν· τῷ γὰρ Βασιλεῖ πνοή »ἐστιν ὁ θησαυρὸς, οὐχὶ δὲ ἡ πνοή.

«Ὁ ἄπλουτος οὐ τυγχάνει θεραπείας οὐ μόνον παρ' ἄλ»λων οἰκείων, ἀλλὰ καὶ παρὰ τῆς ἑαυτοῦ γυναικὸς, πολλῷ »μᾶλλον παρ' ἀλλοτρίων.

«Φθορά ἐστι τοῦ θησαυροῦ ἡ πολλὴ δαπάνη, ἡ ἀφρον»τισία, ἡ σύναξις ἐξ ἀδικίας, καὶ ἡ θέσις τοῦ θησαυροῦ »ἐν μικρῷ τόπῳ.

«Φθίνει ὁ πλοῦτος ἐκείνου, εἰ καὶ πάμπλουτός ἐστιν, ὡς »ὁ Κουβέρας, ὃς οὔτε φροντίζει προσόδου, καὶ δαπανᾷ »κατὰ τὴν οἰκείαν θέλησιν.»

Ἀκούσας ὁ Σταβδακάρνας, ἔφη· «Ἀδελφέ, ὁ Δαμανάκας »καὶ ὁ Καρατάκας μηδέποτε ἐπιστασίας ἐχέτωσαν τοῦ »θησαυροῦ, ἀλλὰ τῆς διαλλαγῆς καὶ τοῦ πολέμου· ἐξ ὅσων »δὲ ἤκουσα ἐπὶ ταύτης τῆς ὑποθέσεως, λέγω σοι·

«Μὴ γενέσθωσαν ἐπιστάται θησαυροῦ, ὁ Βραχμὰν, ὁ »Ξατρὴς, καὶ ὁ Συγγενής· ὁ μὲν γὰρ Βραχμὰν καὶ διὰ

»τιμωρίας οὐκ ἀποδίδωσι τὸν πλοῦτον, ὃν ἔχει ἀνὰ χεῖρας· »ὁ δὲ Ξατρὴς, ἐπιστάτης ἀποδειχθεὶς θησαυροῦ, τὴν ῥομ- »φαίαν δείκνυσι καὶ προτείνει (ἐν τῷ ἀποδιδόναι)· ὁ δὲ »συγγενὴς ἅπαντα τὸν θησαυρὸν ἔχων βροχθίζει, προτεί- »νων ὡς συγγενής ἐστι.

«Ὁ πρὸ πολλοῦ ὑπηρέτης, ἀποδειχθεὶς τοῦ θησαυροῦ ἐπι- »στάτης, καὶ ἐν σφάλματι ἄφοβός ἐστι, καὶ καταφρονῶν »τοῦ δεσπότου, πᾶν ὅ,τι θέλει πράττει ἀκωλύτως.

«Ὁ δ' εὐεργέτης ἀναφανεὶς, οὐδαμῶς λογίζεται τὸ σφάλ- »μα τῆς ἐπιστασίας αὐτοῦ, καὶ προτείνων τὴν ἣν ἐποίησεν »εὐεργεσίαν, ἅπαντα συλαγωγεῖ.

«Ὁ Βουλευτὴς, ὁ συμπαίζων τῷ Βασιλεῖ κατ' ἰδίαν (ἐν »ἀφροδισίοις) Βασιλέα ἑαυτὸν νομίζει· καταφρόνησιν γὰρ »ποιεῖ αὐτοῦ ἐκ τῆς ἀεὶ συνεντεύξεως.

«Ὁ κακότροπος Βουλευτὴς πᾶν ἄτοπον ποιεῖ· παραδείγ- »ματά ἐστι τῷ Βασιλεῖ ὁ Σακουνῆς καὶ ὁ Σακατάρας[1].

«Ὁ ὢν ἀεὶ Βουλευτὴς καὶ πλούσιος, οὐ γίνεται εὐπειθὴς »καὶ ὑποχείριος· γνώμη γάρ ἐστι τῶν σοφῶν, ὡς ὁ πλοῦτος »μεταβάλλει τὴν γνώμην.

«Σφάλματα τοῦ Βουλευτοῦ εἰσι ταῦτα· τὸ οἰκειοποιεῖσθαι »ὅ,τι λαμβάνει, τὸ μὴ ἀποδιδόναι τὸ ὀφειλόμενον, τὸ ἀφρόν- »τιστον, τὸ ἄνετον καὶ τὸ τρυφηλόν.

«Δεῖ τῷ Βασιλεῖ ἐξετάζειν καὶ θεωρεῖν τίνι τρόπῳ ὁ »ἐπιστάτης λαμβάνει πράγματα, καὶ εἰ δίδωσι τὸ ἐπαγ- »γελθὲν, καὶ εἰ διαστρέφει τὰ ὀρθά.

«Κακοὶ ἐπιστάται πιεζόμενοι, ἐξεμοῦσιν ὅ,τι κατέφαγον »τοῦ Βασιλέως, καθὼς τὸ οἴδημα πιεζόμενον, ἐξάγει τὸ πίον.

«Πολλάκις πιεζέσθωσαν οἱ ἐπιστάται πάντων τῶν βα- »σιλικῶν πραγμάτων, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· πιεζό-

(1) Λείπουσιν ἐν τῷ χειρογράφῳ τὰ παραδείγματα.

»μενον γὰρ τὸ βεβρεγμένον ἱμάτιον, ἐξάγει τὸ πολὺ ὕδωρ, »ὃ ἔλαβεν.»

«Οὕτως οὖν, ἔφη, γνοὺς, ποιεῖν δεῖ κατὰ τὸν καιρόν.» Ὁ δὲ Πιγκαλάκας ἔφη· «Οὕτως ἔχει· οὗτοι δ' ὅμως οὐ πείθονται τῷ ἐμῷ λόγῳ.»—«Τοῦτο ἀνοίκειόν ἐστιν, ἔφη ὁ Σταβδακάρνας, λέγεται γάρ·

«Ὁ Βασιλεὺς οὐδὲ τῶν ἑαυτοῦ υἱῶν ἀνέχεται, οἳ παρα»βάται εἰσὶ τῆς προσταγῆς τοῦ Βασιλέως, πολλῷ δὲ μᾶλ»λον τοῦ φθείροντος τὸν θησαυρὸν, εἰ καὶ ἀγαπητὸς (θυ»μήρης) ἐστὶ τῷ Βασιλεῖ.

«Ἡ βασιλεία τοῦ ἔχοντος βουλευτὴν ἀκηδῆ ὄλλυται, »καθὼς ἡ φήμη τοῦ μωροῦ, ἡ φιλία τοῦ μὴ φιλοῦντος »ἐξ ἴσου, ὁ οἶκος ἐμπαθοῦς (τοῦ μὴ δαμάζοντος τὰς αἰ»σθήσεις), ὁ νόμος τοῦ φιλαργύρου, ὁ καρπὸς τῆς μαθή»σεως τοῦ φιληδόνου, καὶ ἡ ἄνεσις τοῦ φειδωλοῦ.

«Ὁ Βασιλεὺς φιλαττέτω τὸν λαὸν ἀπὸ τῆς οἰκείας πλεο»νεξίας, ἀπὸ τῶν κλεπτῶν, ἀπὸ τῶν ἐπιστατῶν, ἀπὸ »τῶν ἐχθρῶν, καὶ ἀπὸ τῶν βασιλικῶν φίλων.»

«Ἐξ ἅπαντος, ἀδελφὲ, προσήκει πρᾶξαι ὡς ἐγὼ λέγω· »οὗτος δὲ ὁ Σανζηβήκας, ὢν ποιφάγος, ἀποδειχθήτω ἐπι»στάτης τῶν βρωμάτων ἡμῶν.»

Βληθέντος δ' εἰς πρᾶξιν τοῦ λόγου τοῦ Σταβδακάρνα, διήνυον τὸν χρόνον ὁ Πιγκαλάκας καὶ ὁ Σανζηβάκας ἐν μεγάλῃ ἀγάπῃ, ἀποβληθέντων τῶν λοιπῶν. Βλέποντες δ' ἔλλειψιν τροφοδοσίας ὁ Δαμανάκας καὶ ὁ Καρατάκας, πρὸς ἀλλήλους ἔλεγον σκεπτόμενοι· «Ὦ Καρατάκα, ἔλεγεν ὁ Δαμανάκας, τί ἡμεῖς ἐπράξαμεν; ἡμέτερόν ἐστι τὸ σφάλμα· τοῦ δὲ σφάλματος ἐξ ἡμῶν αὐτῶν γενομένου, ἀνάρμοστόν ἐστι δεινολογεῖν. Ὀρθῶς ἄρα λέγεται·

«Ἐγὼ μὲν ἁψάμενος τῆς Σβαρναρεχῆς (χρυσογράφου εἰ»κόνος), ἡ δὲ μαστρωπὸς δήσασα ἑαυτήν· ὁ δ' ἀγαθὸς

»ἀνὴρ ἐφιέμενος λαβεῖν τὴν πολίτιμον λίθον, ἅπαντες ἡμεῖς »ἐπάθομεν ἐξ οἰκείων σφαλμάτων.»

Ἐρωτηθεὶς δὲ πῶς ἔχει τοῦτο, ὁ Δαμανάκας ἀπεκρίνατο.

«Ἐν πόλει, ᾗ ὄνομα Καρσαναπούρα, ἦν Βασιλεὺς, Βηραβσαράνας ὀνομαζόμενος· ἐκ δὲ προσταγῆς τοῦ κριτοῦ ἐκείνης τῆς πόλεως ἀπήγετο εἰς κατάδικος κουρεὺς ἐπὶ θάνατον. Ἐνταῦθα ἀγύρτης τις (μοναστής τις) Κανδαρπακετοῦς τὸ ὄνομα, ὢν μεθ' ἑτέρου ἀγαθοῦ ἀνδρὸς, κρατήσας τὸ ἄκρον τοῦ ἱματίου τοῦ καταδίκου κουρέως, ἔφη· «Οὐκ ἔστιν ἄξιος οὗτος θανάτου.» Οἱ δὲ τοῦ Κριτοῦ ὑπηρέται ἤροντο· «Διὰ τί;» Ὁ δ' ἀπεκρίνατο «Ἀκούσατε·

«Ἐγὼ μὲν ἁψάμενος τῆς χρυσογράφου εἰκόνος, ἡ δὲ μαστρω»πὸς δήσασα ἐκυτὴν, ὁ δ' ἀγαθὸς ἀνὴρ ἐφιέμενος λαβεῖν τὴν »πολύτιμον λίθον, ἅπαντες ἡμεῖς ἐπάθομεν ἐξ οἰκείων σφαλ»μάτων.»

Ἐρωτηθεὶς δὲ τί δηλοῖ τοῦτο, ὁ ἀγύρτης ἀπεκρίνατο· «Ἐγώ εἰμι, ἔφη, υἱὸς τοῦ Βασιλέως τῆς Σιγχάλας νήσου· ὄνομα δέ μοι Κανδαρπακετοῦς· ὢν δέ ποτε ἐν ἀγλαῷ κήπῳ, ἤκουσα παρ' ἑνὸς ἐμπόρου, ὡς ἐθεάσατο ἐν μέσῳ τῆς θαλάσσης μίαν νύμφην ὑπὸ τὸ δένδρον Καλπαβρίζαν, καθημένην ἐπὶ πολυτίμου κλίνης, λαμπρῶς κεκοσμημένην, καὶ κρούουσαν κιθάραν. Παραλαβὼν δ' ἐγὼ ἐκεῖνον τὸν ἔμπορον, ἐπιβὰς πλοίου, ἦλθον ὅπου ἦν ἐκείνη ἡ θεία νύμφη, καὶ εἶδον οὕτως, ὡς ἤκουσα. Ἐλκυσθεὶς δὲ τῷ κάλλει αὐτῆς, ἁφῆκα ἐμαυτὸν ἐπὶ τὴν καλπαβρίζαν, καὶ κρατήσας τοὺς κλάδους, ἐβυθίσθην σὺν αὐτῷ τῷ δένδρῳ εἰς τὴν θάλασσαν, καὶ ἐλθὼν εἰς μίαν χρυσόπολιν, εἶδον ἐκείνην ἐν χρυσῷ οἴκῳ, θεραπευομένην ὑπ' ἄλλων θείων νυμφῶν. Μακρόθεν δ' ἐκείνη ἰδοῦσά με, ἔπεμψε πρὸς ἐμὲ μίαν θεράπαιναν, ἣ καὶ εἰπέμοι, ἐρωτήσαντι, «Ὅτι ἐκείνη ἐστὶ θυγάτηρ θεοῦ Βιδεαδάρα, ᾗ ὄνομα Ρατναμανζαρὴ, καὶ ὅτι τοιαύτην γνώμην ἐποίησε πρότερον, ὡς ὅστις ἔλθῃ εἰς ταύτην τὴν

χρυσόπολιν, σὺν ἐκείνῳ νυμφευθήσεται, ἀδεία τοῦ ἑαυτῆς πατρός.» Οὕτως οὖν ἐγὼ ἔγημα αὐτὴν τὸν ἐρωτικὸν γάμον, καὶ συνηδόμην αὐτῇ ἐπὶ πολύ. Καί ποτε αὕτη εἶπέ μοι κατ' ἰδίαν· «Ὅ,τι βλέπεις ἐνταῦθα, ἐντρύφα τούτῳ· ταύτης ὅμως τῆς χρυσογράφου εἰκόνος τῆς θεᾶς Βιδεαδδαρᾶς μηδέποτε ἅπτου.» Ἐγὼ δὲ, περιεργείᾳ κινούμενος, ἠψάμην τῆς χρυσογράφου ἐκείνης εἰκόνος, καὶ εὐθέως ἐκλακτισθεὶς ὑπὸ τῶν ποδῶν αὐτῆς, ἔπεσον εἰς τὴν γῆν· καὶ ἐξ ἐκείνης τῆς λύπης περιπλανώμενος, ἦλθον εἰς ταύτην τὴν πόλιν χθὲς κατὰ τὴν ἑσπέραν, καὶ παρακληθεὶς ὑπ' ἐμοῦ εἷς βουκόλος, ἐδέξατό με ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ εἰπὼν τῇ ἑαυτοῦ γυναικὶ τοῦδοῦναί μοι κλίνην καὶ ὅ,τι ἄλλο θέλω, ἐξῆλθεν. Ἡ δὲ γυνὴ τοῦ βουκόλου, ἀσελγὴς οὖσα, συνελάλει μαστρωπῷ τινι γυναικὶ κουρέως· ἐπανελθὼν δὲ ὁ Βουκόλος, καὶ ἰδὼν, ἔτυψε τὴν ἑαυτοῦ γυναῖκα, ὡς συλλαλοῦσαν μαστρωπῷ, καὶ ἔδησεν ἐν στύλῳ· κἄτα, πεσὼν, ἐκοιμήθη. Κατὰ δὲ τὸ μεσονύκτιον, ἐλθοῦσα πάλιν ἡ μαστρωπὸς, ἔφη· «Ὁ ἐρώμενός σου, καιόμενος τῷ πυρὶ τοῦ Ἔρωτος, θανεῖν ἐφίεται. Λέγεται γάρ·

«Διασκεδασθέντος τοῦ σκότους τῆς νυκτὸς ὑπὸ τῆςσελήνης,
»ὁ Ἔρως, βλέπων σαφῶς, τοξεύει τὰς καρδίας τῶν νέων.»

«Ἐγὼ μὲν, ἔφη, δέω ἐμαυτὴν ἀντὶ σοῦ· σὺ δὲ, πορευθεῖσα, ὁμίλησον τῷ ἐρωμένῳ, καὶ ἐπάνελθε ταχέως.» Οὕτω γεγονότος, ὁ βουκόλος ἔξυπνος γενόμενος, ἔφη· «Πῶς νῦν οὐ πορεύῃ πρὸς τὸν ἐρώμενον;» Ἡ δὲ δεδεμένη μαστρωπός, φοβουμένη μὴ γνωσθείη ἐκ τῆς φωνῆς, οὐκ ἀπεκρίνατο. Δυσχεράνας δ' ὁ βουκόλος, ἔτεμε τὴν ῥίνα αὐτῆς, κἄπειτα ἐκοιμήθη. Ἐπανελθοῦσα δ' ἡ γυνὴ τοῦ βουκόλου, εἶπε πρὸς τὴν γυναῖκα τοῦ κουρέως· «Πῶς ἔχεις;» Ἡ δ' ἀπεκρίνατο· «Ἰδὲ τὸ πρόσωπόν μου· ἡ δὲ ῥίς μου ἐρεῖ τὴν ἐμὴν κατάστασιν.» Λύσασα δ' ἡ γυνὴ τοῦ Βουκόλου τὴν τοῦ κουρέως, καὶ δεθεῖσα αὐτὴ, ὡς πρότερον, ἔκραξε λέγουσα τοῦτο τὸ λεγόμενον·

«Ὁ Ἥλιος, ἡ Σελήνη, τὸ Πῦρ, ὁ Ἀήρ, ὁ Αἰθήρ, ἡ »Γῆ, τὸ Ὕδωρ, ἡ καρδία, ὁ Ἰάμας, ἡ ἡμέρα, ἡ νὺξ, ἡ »ἕως, ἡ ἑσπέρα, ὁ θεὸς τοῦ νόμου (ἡ Θέμις) γινώσκει τὰ »τῆς καρδίας τοῦ ἀνθρώπου· εἰ οὖν ἐγὼ, ἔφη, σώφρων εἰμὶ, »καὶ οὐδὲ ἐν διανοίᾳ ἔχω ἄλλον ἄνδρα, ἀποκαταστήτω τὸ »ἐμὸν πρόσωπον, ὡς ἦν πρότερον. Ἰδὲ, ὦ κάκιστε, πῶς ἐγὼ »ἀβλαβής εἰμι.»

Ἐξεγερθεὶς δ' ὁ βουκόλος, καὶ ἰδὼν αὐτὴν ἀβλαβῆ, ἐξέστη, καὶ λύσας αὐτὴν, προσέπεσε τοῖς ποσὶν αὐτῆς, συγγνώμην αἰτῶν, καὶ λέγων· «Μακάριος ἐγὼ, ὃς ἔχω τοιαύτην σεμνὴν γυναῖκα.» Ἡ δὲ ῥινότμητος γυνὴ τοῦ κουρέως, ἐλθοῦσα οἴκαδε, διελογίζετο τρόπον, ὅπως ἀποκόψῃ τὴν αἰσχύνην, καὶ ἀθῴα φανήσεται. Περὶ δὲ τὸν ὄρθρον ὁ κουρεὺς ᾔτησε παρὰ τῆς γυναικὸς τὴν ξυροθήκην· ἡ δ' ἔδωκεν αὐτῷ ἕνα ξυρόν. Θυμωθεὶς δ' ὁ κουρεὺς, ἔῤῥιψε τὸν ξυρόν· ἡ δ' ἀφορμὴν εὑροῦσα, ἤγαγε τοῦτον τὸν ἀθῶον εἰς τὸ κριτήριον, ὡς τεμόντα τὴν ῥίνα αὐτῆς. Οὗτος δ' ὁ ταλαίπωρος Σαδδοῦς, ἔφη ὁ ἀγύρτης, ἀποδημήσας ἐκ τῆς ἑαυτοῦ πατρίδος, πολλὰς πολυτίμους λίθους συνέλεξεν ἐν δώδεκα ἔτεσι, καὶ ἐλθὼν εἰς ταύτην τὴν πόλιν χθὲς, κατέλυσε κατὰ τὴν νύκτα ἐν οἴκῳ πόρνης. Ὄπισθεν δὲ τῆς θύρας ἦν ξύλινον ἄγαλμα δαίμονος Βετάλα, ὃ ἡ πορνοβοσκὸς ἐτεκτήνατο· ἐπὶ δὲ τῆς κορυφῆς τοῦ ἀγάλματος ἦν μία λίθος πολύτιμος, ἣν θέλων λαβεῖν ὁ Σαδδοῦς, ἐκ πλεονεξίας, ἐκρατήθη ὑπὸ τοῦ δαίμονος, καὶ σφόδρα πιεζόμενος ἐβόα. Ἀναστᾶσα δ' ἡ πορνοβοσκὸς, εἶπε·

«Δὸς τὰς ἃς ἔχεις πολυτμήτους λίθους, ἵνα λυτρωθῇς ἐκ τῶν χειρῶν τοῦ δαίμονος.» Ὁ δ' οὕτω καὶ ἐποίησε, καὶ ἐξελθὼν ἔτυχεν ἐμοῦ κατὰ τὴν ὁδόν.

«Τοῦτο οὖν ἐστιν, εἶπεν ὁ ἀγύρτης, ὃ εἶπον ἀνωτέρω·

«Ἐγὼ μὲν ἁψάμενος τῆς χρυσογράφου εἰκόνος, ἡ δὲ »μαστρωπὸς δήσασα ἑαυτὴν, ὁ δὲ Σαδδοῦς, ἐφιέμενος λαβεῖν

» τὴν πολύτιδον λίθον, ἅπαντες ἡμεῖς οἱ τρεῖς ἐπάθομεν ἐξ »ἰδίων σφαλμάτων.»

Τοιαῦτα εἰπὼν ὁ Δαμανάκας, καὶ μικρόν τι σκεψάμεμενος, ἔφη· «Καθὼς ἡ φιλία τούτων ὑπ' ἐμοῦ ἐγένετο, οὕτω καὶ ἡ διάλυσις τῆς φιλίας αὐτῶν ὑπ' ἐμοῦ γενήσεται. Λέγεται γάρ·

«Οἱ νοήμονες τὰ ψευδῆ ἀληθῆ δεικνύουσι, καθὼς οἱ »ζωγράφοι ἐν ἰσοπέδῳ τόπῳ ἄλλα μὲν μέρη τῆς γραφῆς »ὑπερανεστηκότα δεικνύουσιν, ἄλλα δὲ βαθέα.

«Οὗ τινος ὁ νοῦς οὐκ ἀμβλύνεται ἐν τοῖς ἐπιπεσοῦσι δεινοῖς, οὗτος ἀπαλλάττεται τῶν δεινῶν καθὼς ἡ τοῦ Βουκόλου γυνὴ καὶ οἱ δύο ἐρασταί.»

Ἐρωτήσαντος τοῦ Καρατάκα, πῶς ἔχει τοῦτο, ὁ Δαμανάκας ἀπεκρίνατο·

Ἐν Δβαραβατῇ τῇ πόλει ἦν Βουκόλος τις, οὗ ἡ γυνὴ, ἀκόλαστος οὖσα, δύο ἐραστὰς εἶχε, τὸν κριτὴν τῆς πόλεως, καὶ τὸν υἱὸν αὐτοῦ. Ὀρθῶς ἄρα λέγεται·

«Οὔτε τὸ πῦρ κορέννυται ξύλων, οὔτε ὁ ὠκεανὸς ποτα»μῶν, οὔτε ὁ ᾅδης νεκρῶν, οὔτε ἡ θήλεια ἀῤῥένων.

«Αἱ γυναῖκες καθόλου διεστραμμέναι εἰσὶ, καὶ οὐδαμῶς »γίνονται εὐθεῖαι, οὔτε δωρεᾷ, οὔτε τιμῇ, οὔτε εὐθύτητι, »οὔτε θεραπείᾳ οὔτε ὅπλῳ, οὔτε μαθήσει.

«Καί ποτε αὕτη, συμπαίζουσα τῷ υἱῷ τοῦ κριτοῦ, εἶδε καὶ τὸν κριτὴν αὐτὸν ἐρχόμενον· κρύψασα δὲ τὸν υἱὸν, συνέπαιξε τῷ πατρί. Ἐλθόντος δ' ἐξαίφνης τοῦ βουκόλου, ἔφη τῷ κριτῇ· «Λαβὼν τὴν ῥάβδον ταύτην, ἔξελθε μετὰ θυμοῦ.» Ἰδὼν δ' ὁ βουκόλος τὸν κριτὴν ἐξερχόμενον, εἶπε τῇ γυναικί· «Διὰ ποίαν αἰτίαν ἦλθεν ἐνθάδε ὁ κριτὴς ὠργισμένος;» Ἡ δ' ἀπεκρίνατο· «Οὐκ οἶδ' ὅπως ὠργίσθη κατὰ τοῦ υἱοῦ αὐτοῦ, ὅς, καταφυγὼν εἰς τὸν ἡμέτερον οἶκον, ἐκρύφθη ὑπ' ἐμοῦ.

Ὁ δὲ Κριτὴς, ἐρευνήσας καὶ μὴ εὑρὼν, ἀνεχώρησε μετὰ θυμοῦ. Κἄτα, ἐξαγαγοῦσα τὸν υἱὸν τοῦ Κριτοῦ, ἔδειξε τῷ ἀνδρὶ αὐτῆς.

«Τοῦτο δ' ἔστιν, εἶπεν, ὃ εἶπον ἀνωτέρω·

«Οὗ τινος ὁ νοῦς οὐκ ἀμβλύνεται ἐν ἐπιπεσοῦσι δεινοῖς, »οὗτος ἀπαλλάττεται τῶν δεινῶν, καθὼς ἡ τοῦ Βουκού»λου γυνὴ καὶ οἱ δύο ἐρασταί. »

«Οὕτως ἔχει, ἔφη ὁ Καρατάκας· πῶς δὲ δυνατόν ἐστι »διαλύσαι τὴν στερεὰν ἐκείνην φιλίαν; » — « Μεθόδῳ »τινι χρηστέον, » ἀπεκρίνατο ὁ Δαμανάκας· λέγεται γάρ·

«Ὅ,τι δύναται γενέσθαι διὰ μεθόδου, τοῦτο οὐ δύναται »γενέσθαι διὰ δυνάμεως. Ὁ θήλυς κόραξ διὰ χρυσοῦ στρε»πτοῦ ἀνεῖχε μέλανα ὄφιν.»

Ἐρωτήσαντος τοῦ Καρατάκα πῶς ἔχει τοῦτο, ὁ Δαμανάκας ἀπεκρίνατο·

« Ἐπί τινος δένδρου ζεῦγος κοράκων ᾤκει, ὧν τοὺς εοττοὺς ἐβρόχθιζεν εἰς μέλας ὄφις, ἐμφωλεύων τῇ ῥίζῃ ντοῦ δένδρου. Ἔγκυος δὲ γενόμενος ὁ θήλυς κόραξ, ἔφη τῷ ἄῤῥενι· « Ἐγκαταλειπτέον τουτὶ τὸ δένδρον· ἐκ γὰρ ἐκείνου τοῦ μέλανος ὄφεως οὐκ ἔσεται αὔξησις τοῦ γένους ἡμῶν, λέγεται γάρ·

« Ὡς περ θάνατός εἰσι ταῦτα· ἡ κακὴ γυνὴ, ὁ δόλιος φί»λος, ὁ δοῦλος, ὃς αὐθαδῶς ἀποκρίνεται, καὶ ἡ οἴκησις ἐν »οἴκῳ, ἔνθα φωλεύει ὄφις.

« Μὴ φοβοῦ, ἀγάπη μου, ἔφη ὁ ἄῤῥην· ἐγὼ μὲν πρότερον πολλάκις ἀνεσχόμην τοῦ μεγάλου τούτου κακουργήματος· νῦν δ' οὐκ ἀνέχομαι, καὶ διὰ τοῦτο σκοπὸν ἔχω ἀμύνασθαι αὐτόν.» — «Πῶς δὲ σὺ, ἔφη ὁ θήλυς, δύνασαι πολεμῆσαι τούτῳ τῷ δυνατῷ;» — «Μὴ φοβοῦ,» ἀπεκρίνατο ὁ ἄῤῥην· λέγεται γάρ·

«Ὧτινί ἐστι νοῦς, τούτῳ ἐστὶ δύναμις· τῷ δ' ἄνοϊ πό»θεν δύναμις; Ἰδὲ, ὁ ὑπέροφρυς λέων ἀνῃρέθη ὑπὸ λαγωοῦ.»

Ἐρωτηθεὶς δὲ πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν ὄρει Μανδάρα λέων ἦν, Δουρδάντας τὸ ὄνομα, ὃς φθορὰν ἐποίει πάντων τῶν ζώων. Συναχθέντα δὲ πάντα τὰ ζῶα, ἐπορεύθησαν πρὸς τὸν λέοντα, ἱκετεύοντα καὶ λέγοντα· «Διατί φθορὰ πάντων τῶν ζώων γίνεται; παῦσαι τοιούτου ἔργου φθοροποιοῦ· ἡμεῖς δὲ κοινῇ γνώμῃ καθ' ἑκάστην δίδομέν σοι ἕν τι ζῶον εἰς τροφήν σου.» Ὁ δὲ λέων ἔφη· «Ἔστω οὕτως.» Ἐξ ἐκείνου δὲ τοῦ χρόνου ἓν ζῶον ἐπέμπετο καθ' ἑκάστην τῷ λέοντι. Ἐν δὲ μιᾷ τῶν ἡμερῶν ἐπέμφθη εἷς γέρων λαγωὸς, ὃς τοιαῦτα διελογίζετο·

«Εἰς ἐλπίδα ζωῆς ἐξιλέωσις γίνεται πρὸς ἐκεῖνον, ὅς ἐστι πρόξενος τοῦ θανάτου. Εἰδ' οὐκ ἔστι τρόπος ἀποφυγῆς θανάτου, τίς χρεία ἐξιλεώσεως;» καὶ σχολαίως ἐπορεύετο. Ὁ δὲ λέων, πείνῃ θλιβόμενος, ἔφη μετὰ θυμοῦ· «Διατί ἐβράδυνας; — «οὐκ ἔστιν ἐμὸν σφάλμα, κύριε, ἀπεκρίνατο ὁ λαγωός· κατὰ γὰρ τὴν ὁδὸν λέων ἕτερος ἰδὼν, ἐκράτησέμε βίᾳ, λέγων ὡς ἐκεῖνός ἐστι τῆς γῆς ταύτης Βασιλεύς· ἐγὼ δ' ὀμόσας, ὡς ἐπαναστρέψω, ἦλθον μηνύσων σοι τοῦτο.» Θυμωθεὶς δ' ὁ λέων, ἔφη· «Δεῖξόν μοι ταχέως ποῦ ἐστιν ἐκεῖνος ὁ κακότροπος.» Παραλαβὼν δὲ τὸν λέοντα ὁ λαγωὸς, ἦλθεν εἰς φρέαρ βαθὺ, καὶ, «Ὦ κύριε, ἔφη, ἰδέ· ἐνταῦθά ἐστιν ἐκεῖνος.» Ὁ δὲ λέων κύψας, καὶ ἰδὼν τὴν ἑαυτοῦ σκιὰν ἐν τῷ ὕδατι, βρυχήσας ὑπεροπτικῶς, ἀφῆκεν ἑαυτὸν εἰς τὸ φρέαρ, νομίσας ὡς ἐκεῖνός ἐστιν ὁ ἀντικείμενος, καὶ ἀπώλετο. Τοῦτο δ' ἔστιν, εἶπεν ὁ ἄρρην κόραξ, ὃ εἶπον ἀνωτέρω·

«Ὦ τινί ἐστι νοῦς, τούτῳ ἐστὶ δύναμις· τῷ δ' ἄνοϊ πόθεν »δύναμις; Ἰδὲ, ὁ ὑπέροφρυς λέων ἀνῃρέθη ὑπὸ Λαγωοῦ.»

«Ἄκουσον, ἔφη ὁ θήλυς κόραξ· νῦν δ' εἰπὲ, τί ποιη-

τέον;» Ὁ δ' ἄρρην εἶπεν· «Ἐνταῦθά που πλησίον ἐστὶ λίμνη, ἐν ᾗ λούεται καθ' ἑκάστην ὁ υἱὸς τοῦ Βασιλέως, ὃς ἐν τῷ λούεσθαι ἐκβάλλων τίθησι τὰ κοσμήματα παρὰ τὴ ὄχθη τῆς λίμνης· σὺ δὲ τότε ἅρπαξον τὸν χρυσοῦν στρεπτὸν αὐτοῦ, καὶ ῥῖψον αὐτὸν εἰς τὸν χηραμὸν τοῦ ὄφεως.» Ὁ μὲν οὖν θήλυς κόραξ, λουομένου τοῦ βασιλόπαιδος, ἁρπάξας τὸν χρυσοῦν στρεπτὸν αὐτοῦ, ἔῤῥιψεν εἰς τὸν χηραμὸν τοῦ ὄφεως· οἱ δὲ βασιλικοὶ ὑπηρέται, ἀκολουθήσαντες, ἀνεῖλον τὸν ὄφιν, καὶ ἀνέλαβον τὸν χρυσοῦν στρεπτόν.

«Τοῦτο δ' ἔστιν, εἶπεν ὁ Δαμανάκας, ὃ εἶπον ἀνωτέρω·

«Ὅ,τι δύναται γενέσθαι διὰ μεθόδου, τοῦτ' οὐ δύναται »γενέσθαι διὰ δυνάμεως. Ὁ θήλυς Κόραξ διὰ χρυσοῦ στρε»πτοῦ ἀνεῖλε μέλανα ὄφιν.»

«Εἰ οὕτως ἔχει, ἔφη ὁ Καρατάκας, πορεύθητι· εὐθεῖά σοι ἔστω ἡ ὁδός.» Ὁ δὲ Δαμανάκας, προσελθὼν τῷ Πιγκαλάκα καὶ προσκυνήσας ἔλεξεν· «Ἐγὼ βλέπων ἀπαίσια, Βασιλεῦ, »ἦλθον λέξων λόγον σωτήριον· λέγεται γάρ·

«Συμφέροντα λεγέτο λόγον ὁ φιλόφρων, καί περ μὴ ἐρω»τώμενος, ἐν καιρῷ περιστάσεως, παρεκβάσεως, παρατροπῆς »τῆς εὐθείας ὁδοῦ, καὶ πραγμάτων ἀμελουμένων.»

Ὁ δὲ Πιγκαλάκας εἴρηκεν εὐμενῶς· «Τί βούλει λέγειν;» — «Οὗτος ὁ Σανζηβάκας, ἔφη, κακὰ κατὰ σοῦ μελετᾷ· ἔμπροσθεν γὰρ ἡμῶν μυκτηρίσας τὴν σὴν τριττὴν δύναμιν (πλοῦτον, ἀνδρείαν καὶ βουλήν), βασιλείας ἐπιθυμεῖ.» Ἀκούσας ὁ Πιγκαλάκας σιωπὴν ἔσχε μετὰ φόβου καὶ θαυμασμοῦ. Πάλιν δ' ἔφη ὁ Δαμανάκας· «Σὺ, ὦ Βασιλεῦ, ἀπέβαλες πάντας τοὺς βουλευτὰς, καὶ κατέστησας ἐπιστάτην πάντων τῶν πραγμάτων ἕνα μόνον, τοῦτον· τοῦτο δὲ μέγα σφάλμα. Λέγεται γάρ·

«Ἡ βασιλεία ἐπιστηρίζει ἐφ ἑαυτῆς τοὺς πόδας τοῦ τε »Βασιλέως καὶ τοῦ Ὑπάρχου, οἳ ἔχουσι τὸ αὐτὸ ὕψος καὶ

»κράτος· μὴ δυναμένη δὲ, ὡς θήλεια, φέρειν τὸ βάρος ἀμ-
»φοτέρων, ἀφίησι τὸν ἕτερον.

«Ὅτε ὁ Βασιλεὺς χειροτονεῖ ἕνα μόνον βουλευτὴν πληρε-
»ξούσιον, αὐτὸς ἐκ μωρίας ἐπαιρόμενος, οὐδεμίαν διαφο-
»ρὰν νομίζει ἑαυτοῦ τε καὶ τοῦ Βασιλέως· ἐκ δὲ τῆς ἀδια-
»φορίας, ἐπιθυμεῖ αὐτεξουσιότητος· ἐκ δὲ τῆς ἐπιθυμίας
»αὐτεξουσιότητος ἐπιβουλεύει τῇ ζωῇ τοῦ Βασιλέως.

«Καθὼς ἐπωφελής ἐστιν ἡ ἐκρίζωσις τοῦ σαλευομένου
»ὀδόντος, οὕτω καὶ ἡ τοῦ ἐπιβουλεύοντος βουλευτοῦ.

«Ὅστις Βασιλεὺς ποιεῖ τὴν ἑαυτοῦ δόξαν ὑπεξούσιον τῷ
»βουλευτῇ, οὗτος ὄλλυται, ἐπιπεσόντος δεινοῦ, καθὼς ὁ
»τυφλὸς ἄνευ ὁδηγοῦ.

«Γνώμη ἐστὶ τῶν σοφῶν, ὡς ὁ ὢν ἀεὶ βουλευτὴς καὶ
»πλούσιος, οὐ γίνεται εὐκαταγώνιστος· ὁ γὰρ πλοῦτος με-
»ταβάλλει τὴν γνώμην τοῦ ἀνθρώπου.»

«Εἰ καὶ οὕτως ἔχει, ἔφη ὁ Πιγκαλάκας, ἀλλ' ἐμοὶ με-
γάλη ἐστὶν ἀγάπη πρὸς τὸν Σανζηβάκαν· λέγεται γάρ·

«Εἰ καὶ πολλὰ σφάλματα ποιεῖ ὁ ἐράσμιος, πάλιν ἐρά-
«σμιός ἐστι· εἰ καὶ πολλὰ αἴσχη ἔχει τὸ σῶμα, τίνι οὐκ
ἔστιν ἀγαπητόν;

«Ὁ ἐραστὸς, εἰ καὶ ἀνέραστα πράττει, ἐραστός ἐστιν.»

«Τοῦτο μέγα κακόν ἐστιν, ἔφη ὁ Δαμανάκας· λέγε-
ται γάρ·

«Πολλοί εἰσιν οἱ λέγοντες ἡδέα μὲν, ἀνωφελῆ δέ· ὀλί-
»γοι δὲ οἵτε ἀκούοντες καὶ οἱ λέγοντες πικρὰ μὲν, ὠφέ-
»λιμα δέ.»

«Παράδοξον τοῦτο! ἔφη ὁ Πιγκαλάκας· πῶς γὰρ ἐκεῖ-
νος ἐπιβουλεύει ἐμοὶ, ᾧ ἐγὼ καὶ ἀφοβίαν ἔδωκα καὶ δό-
ξαν; — «Ἄκουσον, ὦ Βασιλεῦ, ἔφη ὁ Δαμανάκας, τοῦτο·

«Ὁ κακότροπος, εἰ καὶ τιμᾶται φεῖ, εἰς τὴν κακὴν αὐ-

»τοῦ φύσιν κλίνει. Παραδ. χάριν, ἡ οὐρὰ τοῦ κυνὸς, εἰ καὶ »ἰδρωθῇ καὶ μαλαχθῇ, λοξή ἐστιν.

«Ἡ ἀξίωσις καὶ τιμὴ τῶν κακῶν αἰτία οὐ γίνεται ἀγά- »πης. Π. Χ. τὰ φαρμακερὰ δένδρα οὐ γεννῶσι καρπὸν »ἡδὺν, κἂν νέκταρι ποτισθῶσι.»

«Εἰ οὖν ὁ κύριός μου, ἔφη, καί περ λαβὼν εἴδησιν, ὡς ἐν κινδύνῳ ἐστὶν ἐκ τῆς κακίας τοῦ Σανζηβάκα, οὐ ποιεῖ μεταμέλειαν οὐδὲ διόρθωσιν, τὸ γενησόμενον κακὸν (σφάλ- μα) οὐκ ἔστι τοῦ δούλου σου[1]· λέγεται γάρ·

«Ὁ Βασιλεὺς, ὁ ὢν ἐν τρυφῇ, καὶ πράττων ἐλευθέρως, »οὐδαμῶς λογίζεται τὸ ἀγαθὸν καὶ τὸ ὠφέλιμον· παρα- »τρέπεται δὲ τῆς εὐθείας ὡς μεμηνὼς ἐλέφας· ὅταν δὲ »πέσῃ εἰς πολλὰ δεινὰ, τότε τὸ σφάλμα ἀπορρίπτει εἰς »τὸν ὑπηρέτην, καὶ οὐκ ἐννοεῖ τὴν ἑαυτοῦ ἀπήνειαν καὶ »ἀταξίαν»

Ὁ δὲ Πιγκαλάκας πρῶτον μὲν ἔλεγεν ἐν ἑαυτῷ· «Μὴ »ποιείτω ἁπλῶς ὁ Βασιλεὺς παιδείαν πρός τινας ἐκ κατη- »γορίας ἄλλων· σκεψάμενος δ' αὐτὸς καὶ ἀνακρίνας, παι- »δευέτω, ἢ τιμάτω.

«Ἡ γενομένη πρός τινα παιδεία ἢ χάρις, ἄνευ ὀρθῆς »κρίσεως καὶ θεωρίας, ἢ ἄξιός ἐστιν ἢ ἀνάξιος, γίνεται εἰς »ὄλεθρον τοῦ βασιλέως, καθὼς ἡ τιθεμένη χεὶρ ἀκρίτως »ἐν στόματι ὄφεως εἰς ὄλεθρον γίνεται τοῦ σώματος.»

Εἶτα δ' ἐκφωνήσας, εἶπε· «Προσταχθήτω ὁ Σανζηβάκας »ἐνταῦθα παραστῆναι·» — «Μὴ οὕτω ποιήσῃς, ὦ Βασιλεῦ, ἔφη ὁ Δαμανάκας· οὕτω γὰρ ὁ μυστικὸς ἡμῶν λόγος ἐκρα- γήσεται καὶ διάδηλος ἔσεται· λέγεται γάρ·

«Καθὼς ὁ σπόρος, κἂν μικρόν τι διαῤῥαγῇ, οὐκ ἀνα-

(1) Οἱονεὶ ἔλεγεν. Ἐγὼ ἐδωκά σοι εἴδησιν· ἂν δέ τι κακὸν γένηται, ἐγὼ κὐκ ἐνέχομαι.

»φύει, οὕτω καὶ ὁ μυστικὸς λόγος, κἂν μικρόν τι ἐκραγῇ, »λυσιτελὴς οὐ γίνεται.»

«Τί δὲ δυνατός ἐστιν οὗτος ἡμῖν ποιῆσαι; εἰπὲ εἰ οἶδας,» ἤρετο ὁ Πιγκαλάκας. «Οὐκ ἔστιν, ἀπεκρίνατο ὁ Δαμανάκας, βεβαίωσις τῆς δυνάμεως ἐκείνου, ἐὰν μὴ γνωσθῇ οἵαν βοήθειαν καὶ ἐπικουρίαν ἔχει. Ἰδὲ, ὁ μέγας Ὠκεανὸς κατεπονήθη[1] ὑπὸ μόνου μικροῦ ὀρνέου Τιττίβα.»

Ἐρωτήσαντος δὲ τοῦ Πιγκαλάκα πῶς ἔχει τοῦτο, ὁ Δαμανάκας ἀπεκρίνατο· «Παρὰ τῇ ἀκτῇ τοῦ Ὠκεανοῦ ᾤκουν δύο Τιττίβαι, ἄῤῥην καὶ θήλυς· ἐπίτεξ δ' ὢν ὁ θήλυς, ἔφη τῷ ἀῤῥενι· «Τόπος ἰδιαίτερος εὑρεθήτω, κύριε, ἁρμόδιος τῷ τοκετῷ.» Ὁ δὲ ἄῤῥην εἶπεν· «Ἁρμόδιός ἐστιν οὗτος.» —«Οὗτος ὁ τόπος, ἔφη ὁ θήλυς, κατακλύζεται τοῖς κύμασι τοῦ Ὠκεανοῦ.» — «Τί δὲ νομίζεις; ἔφη ὁ ἄῤῥην, ἄναλκις ἐγώ εἰμι· ἔστι δυνατὸν τὰ ἐν τῷ οἴκῳ μου ἐναποτεθέντα ὠὰ ἀφαιρεθῆναι ὑπὸ τοῦ Ὠκεανοῦ;» Ὁ δὲ θήλυς γελῶν, ἔφη· «Μεγάλη διαφορά ἐστι μεταξὺ σοῦ καὶ τοῦ Ὠκεανοῦ· ὀρθῶς ἄρα λέγεται·

«Ὅστις οἶδε πόῤῥω ποιῆσαι τὴν μέλλουσαν καταστρο»φήν, καὶ γινώσκει τὰ δέοντα καὶ τὰ μὴ δέοντα, καὶ »ἔμφρων ἐστὶν, οὗτος οὐδαμῶς πάσχει.

«Τέτταρά εἰσι τὰ αἴτια τοῦ θανάτου· ἡ ἔναρξις ἀπρε»ποῦς πράγματος, ἡ ἔχθρα πρὸς τοὺς οἰκείους, ἡ ἄμιλλα »πρὸς κρείττονα, καὶ ἡ πίστις εἰς γυναῖκα.»

Μόλις δὲ πεισθεὶς τῷ λόγῳ τοῦ ἄῤῥενος ὁ θήλυς, ὠοτόκησεν ἐν ἐκείνῳ τῷ πρώτῳ τόπῳ· ὁ δ' Ὠκεανὸς, ἀκούσας τῆς λογοτριβῆς αὐτῶν, ἀφείλετο τὰ ὠὰ, εἰδέναι βουλόμενος τὴν δύναμιν τοῦ Τιττίβα. Θλιβόμενος δ' ὁ θήλυς, ἔφη τῷ ἄῤῥενι· «Κακὸν ἐπεγένετο, κύριε! Ὁ Ὠκεανὸς τὰ

(1) Ἐταράχθη, κατεβλήθη (διάφ. γραφαί).

ὠὰ ἀφείλετο.» — «Μὴ φοβοῦ,» ἔφη ὁ ἄρρην, καὶ συγκαλέσας σύνοδον πάντων τῶν ὀρνέων, ἐπορεύθη πρὸς τὸν ὀρθνιδομέδοντα Γαρούδαν, ὅς ἐστιν ὄχημα τοῦ θεοῦ Βισνοῦ, καὶ ἐξιστόρησε πρὸς αὐτὸν πάντα τὰ συμβάντα, ὅτι κακῶς ἔπαθεν ὑπὸ τοῦ Ὠκεανοῦ, ὃς ἀναιτίως τὰ ὠὰ ἀφείλετο ἀπὸ τῆς καλιᾶς. Ὁ δὲ θεὸς Βισνοῦς, ἀκούσας παρὰ τοῦ Γαρούδα, ἐπέταξε τῷ Ὠκεανῷ ἀποδοῦναι τὰ ὠά. Θεὶς δ' ἐπὶ κεφαλῆς τὴν διαταγὴν τοῦ Βισνοῦ ὁ Ὠκεανὸς, τὰ ὠὰ τῷ Τιττίβᾳ ἀπέδωκε. Τοῦτο δ' ἔστιν, εἶπεν ὁ Δαμανάκας, ὃ εἶπον ἀνωτέρω· «Ἰδὲ, ὁ μέγας Ὠκεανὸς κατεβλήθη ὑπὸ »μόνου μικροῦ ὀρνέου Τιττίβα.»

«Πῶς δ' ἂν εἴη γνωστὸν, εἶπεν ὁ Πιγκαλάκας, ὡς ὁ Σανζηβάκας κακὰ φρονεῖ κατ' ἐμοῦ;» Ὁ δὲ Δαμανάκας ἀπεκρίνατο· «Ὅταν ἐκεῖνος ἔλθῃ μεθ' ὑπερηφανίας καὶ ὑποψίας, προτείνων τὰ κέρατα, ὡς ἀμυντήρια, τότε ὁ δεσπότης μου γνώσεται.»

«Τοιαῦτα εἰπὼν τῷ Πιγκαλάκᾳ ὁ Δαμανάκας, προσῆλθε πρὸς τὸν Σανζηβάκαν ἐν σχολαίῳ βαδίσματι, καὶ ἐν συννοίᾳ, ὃν καὶ ἤρετο ὁ Σανζηβάκας· « Καλῶς ἔχεις;» Ὁ δ' ἀπεκρίνατο· «Πῶς ἂν ἔχοιεν καλῶς οἱ δοῦλοι; λέγεται γάρ·

«Οἵτινές εἰσι δοῦλοι Βασιλέως, τούτων ὁ μὲν πλοῦτος »ὑπ' ἐξουσίαν ἐστὶν ἐκείνου· ἡ δὲ καρδία ἀνήσυχος, ἡ δὲ »ζωὴ ἐν κινδύνῳ.

«Τίς, πλούτου τυχὼν, οὐκ ἐπαίρεται; τίνος φιληδόνου »τὰ πάθη καὶ αἱ ἀτυχίαι λήγουσι; τίνος ἡ καρδία οὐ θλί»βεται καὶ οὐ ταράττεται ὑπὸ γυναικῶν; τίς ἀγαπητὸς »Βασιλεῖ, εἰς τὰς ἀγκάλας τοῦ θανάτου οὐκ ἔρχεται; τίς »ἐπαίτης τιμῆς καὶ δόξης τυγχάνει; τίς εἰς τὰ δίκτυα τῶν »κακοτρόπων πίπτων, σωτηρίαν εὑρίσκει;»

«Τί δηλοῖ ταῦτα, φίλε;» ἤρετο ὁ Σανζηβάκας· ὁ δὲ ἀ-

πεκρίνατο· «Τί εἴπω ὁ δυστυχής; ἐγὼ ἐξεστηκώς εἰμι, καὶ ἀπορῶ τί ποιήσω, καθὼς ὁ βυθιζόμενος ἐν θαλάσσῃ, εὑρὼν ὄφιν, εἰς ἀντίληψιν, ἀπορεῖ τί ποιήσῃ; οὔτε ἀφεῖναι τοῦτον θέλει, οὔτε κρατῆσαι. Ἐγὼ εἰς βυθὸν δεινῶν ἐμπέπτωκα, καὶ οὐκ οἶδα τί ποιήσω! Ἐκ μὲν τοῦ ἑνὸς μέρους, ἡ πρὸς ἐμὲ πίστις τοῦ Βασιλέως ὄλλυται· ἐκ δὲ θατέρου ὁ ἐμὸς φίλος!»

Οὕτως εἰπὼν, καὶ ἀναστενάξας βαθέως ἐκάθησε.

«Φίλε, εἶπεν ὁ Σανζηβάκας, εἰπὲ εἰς πλάτος καὶ σαφῶς ὅ,τι ἐστιν ἐν τῇ σῇ καρδίᾳ.»

Ὁ δὲ Δαμανάκας εἴρηκε χθαμαλῇ τῇ φωνῇ· «Εἰ καὶ τὸν μυστικὸν λόγον τοῦ Βασιλέως οὐ δεῖ ἀναπτύσσειν, δεῖ ὅμως ἀναγκαίως ἐξειπεῖν πρὸς ὄφελός σου· ἐπειδὴ σὺ ἐκ τῆς ἧς εἶχες πρὸς ἐμὲ πίστεως ἦλθες πρὸς τὸν λέοντα, καὶ μάλιστα, ἐπειδὴ ἐλπίζω εἰς μέλλουσαν ζωήν. Ἄκουσον οὖν· οὗτος ὁ δεσπότης ἡμῶν κακὰ μελετᾷ κατὰ σοῦ· εἶπε γὰρ κατ' ἰδίαν, ὅτι ἀναιρήσεισε καὶ διανεμεῖ τὴν σάρκα σου τοῖς οἰκείοις εἰς βρῶσιν.» Ἀκούσας ὁ Σανζηβάκας σφόδρα ἐλυπήθη.

«Ἄλις τῆς λύπης, ἔφη ὁ Δαμανάκας· ποιητέον δὲ τὰ τῷ καιρῷ προσήκοντα.»

Συσκεψάμενος δ' ὁ Σανζηβάκας, ἐξεφώνησε· «Φεῦ! τί τοῦτο τὸ σύμπτωμα; Ὀρθῶς ἄρα λέγεται·

«Τί παράδοξον, εἰ ὁ Βασιλεὺς θεραπευόμενος ὡς δεῖ, οὐκ »ἔχει ἀρέσκειαν; τοῦτο δ' ἀσυγκρίτως παράδοξον, εἰ ἔχ»θραν ἔχει, ἀγαπώμενος.

«Ὅστις ἔκ τινος αἰτίας ὀργίζεται, οὗτος, ἀρθείσης τῆς »αἰτίας, πάντως πραΰνεται· οὗ τινος δ' ἡ καρδία ἄνευ αἰ»τίας ἐχθρωδῶς διάκειται, πῶς τοῦτόν τις ἐξευμενίσει;

«Τί δὲ κακὸν ἐγὼ πεποίηκα τῷ Βασιλεῖ; ἢ οἱ Βασιλεῖς κακὸν ποιοῦσιν ἄνευ αἰτίας;» — «Οὕτως ἔχει, ἔφη ὁ Δα-

μανάκας, ἄκουσον· «Εἰ μὲν ἀγαθόν τι ἐπράχθη ὑπὸ τῶν εὐφρόνων καὶ φιλοφρόνων, ἐχθρικὸν (κακὸν) τοῦτο νομίζει ὁ Βασιλεύς· εἰ δὲ κακόν τι ἐπράχθη ὑπὸ τῶν ἀφρόνων καὶ κακοφρόνων, φιλικὸν (ἀγαθὸν) τοῦτο ὑπολαμβάνει. Παράδοξά εἰσι τὰ ἔργα τῶν πολιμβούλων καὶ τὴν γνώμην ἀστάτων βασιλέων. Τὸ ἔργον τῆς πρὸς τὸν Βασιλέα θεραπείας δύσκολόν ἐστι καὶ δύσπρακτον καὶ αὐτοῖς τοῖς ἀπαθέσι.

«Τὸ πολλὰ πράττειν ἀγαθὰ πρὸς κακοὺς ἀνωφελές· τὸ »εὐγλωτίᾳ χρῆσθαι πρὸς ἀμαθεῖς, φροῦδον· τὸ πολλὰ λέγειν »πρὸς παρηκόους, μάταιον· τὸ νουθετεῖν τοὺς ἀναισθήτους, »ἄχρηστον.

«Παντὸς πράγματος δυσκόλου ἐν κόσμῳ μηχανὴ θερα»πείας ἐφευρέθη (ὑπὸ τοῦ Ποιητοῦ τοῦ Παντός)· ἡ μὲν ναῦς »ἐφευρέθη εἰς διάπλευσιν ἀχανοῦς πελάγους· ὁ δὲ λύχνος εἰς »διασκέδασιν τοῦ σκότους· ἡ δὲ ῥιπὶς ἐν νηνεμίᾳ· τὸ δ' »ἐλεφαντόκεντρον εἰς δάμασιν τῆς ἐπάρσεως τῶν μεμηνό»των ἐλεφάντων· εἰς μετάθεσιν ὅμως τῆς διαθέσεως τῶν »κακῶν ἀνθρώπων, καὶ αὐτὸς ὁ Ποιητὴς τοῦ Παντὸς ἀμή»χανός ἐστι, κατὰ τὴν ἐμὴν γνώμην.»

Πάλιν δ' ἀναστενάξας ὁ Σανζηβάκας, ἔφη· «Πῶς ἐγὼ δυνατός εἰμι συμπαλαῖσαι λέοντι; λέγεται γάρ·

«Οὐδέποτε μάχη γίνεται μεταξὺ κρείττονος καὶ ἥττονος, »ἀλλὰ μεταξὺ ἐκείνων, ἐν οἷς καὶ πλοῦτος καὶ δύναμίς ἐστιν »ἐξ ἴσου.»

Πάλιν δ' ἔλεγεν ἐν ἑαυτῷ· «Ὑπὸ τίνος οὗτος παρωργίσθη κατ' ἐμοῦ; δεῖ δὲ δεδίττεσθαι Βασιλέα παρωργισμένον. Λέγεται γάρ·

«Καθὼς οὐ δύναταί τις ἐπιδιορθῶσαι καὶ συνάψαι τὸ »διαῤῥαγὲν κρυστάλλινον ψέλλιον, οὕτως οὐδὲ κατευνάσαι

»καὶ εὐμενίσαι τὴν παροξυνθεῖσαν καρδίαν τοῦ Βασιλέως »ὑπό τινος κακοῦ βουλευτοῦ.

«Ὑπέρδεινός ἐστιν ὅ,τε σκηπτὸς καὶ ὁ ὀξὺς θυμὸς τοῦ »Βασιλέως· ἀλλ' ὁ μὲν σκηπτὸς εἴς τι μέρος καταπίπτει· »ὁ δ' ὀξὺς θυμὸς τοῦ Βασιλέως εἰς πάντα τὰ μέρη.

«Νῦν δὲ (ἔλεγεν ἐν ἑαυτῷ) βέλτιον ἐν μάχῃ θανεῖν, ἢ ὑποταγῆναι τῇ ἐπιταγῇ ἐκείνου.» Λέγεται γάρ·

«Θανὼν μὲν ἐν πολέμῳ ὁ ἥρως, τυγχάνει τοῦ οὐρανοῦ· »ἀνελὼν δὲ τὸν ἐχθρὸν, τρυφᾷ τῶν τῆς γῆς τρυφῶν. Ἀμφό- »τερα δὲ ταῦτα τὰ ἀγαθὰ τῶν ἡρώων, δυσεύρετά ἐστιν »ἄλλοις.

«Οἱ σοφοὶ λέγουσιν, ὡς τότε καιρός ἐστι μάχης, ὅτε »ἄνευ μὲν μάχης, θάνατός ἐστι βέβαιος, σὺν δὲ τῇ μάχῃ »ἐλπίς ἐστι σωτηρίας (ζωῆς).

«Ὅτε ὁ ἔμφρων οὐδεμίαν σωτηρίαν βλέπει ἑαυτοῦ, ἄνευ »πολέμου, τότε πολεμῶν θνήσκει μετὰ τοῦ ἐχθροῦ.

«Ὁποῖος φόβος θανάτου ἐν πολέμῳ, ὅτε ὁ μὲν νικήσας »τυγχάνει δόξης ἢ βασιλείας, ὁ δὲ θανὼν τρυφᾷ θείων »Νυμφῶν, τὸ δὲ σῶμα βραχυτελές ἐστιν;»

Τοιαῦτα ὁ Σανζηβάκας ἐν ἑαυτῷ εἰπὼν, εἶπεν ἐκφώνως· «Πῶς, ὦ φίλε, οὗτος γνωσθήσεται, ὅτι ἐπιθυμεῖ τοῦ ἐμοῦ θανάτου;» — «Ὅτε οὗτος, ἀπεκρίνατο ὁ Δαμανάκας, βλέ- πει πρός σε, ὀρθια ἔχων τὰ ὦτα, καὶ τὴν οὐρὰν ἠρμένην, καὶ τὸ στόμα κεχηνὸς, καὶ τοὺς ἐμπροσθίους πόδας ἀνεστη- κότας, τότε δεῖξον τὴν οἰκείαν ἀνδρείαν. Λέγεται γάρ·

«Ὑπὸ τίνος οὐ καταβάλλεται ὁ μὴ ὢν δραστήριος, εἰ »καὶ ἰσχυρός ἐστι; Π. Χ. ὑπὸ πάντων καταπατεῖται ἀφό- »βως ἡ σποδὸς, ἡ οὖσα ἄνευ πυρός.»

«Ἔστω δὲ τοῦτο, ἔφη, μυστικόν· εἰ δὲ μή, οὔτε σὺ, οὐτ' ἐγώ εἰμι ζῶν.» Τοιαῦτα εἰπὼν ὁ Δαμανάκας, ἦλθε πρὸς τὸν Καρακατάκαν, ὃς καὶ ἐπύθετο· «Τί τετέλεκας;» —

«Ἔχθραν μεταξὺ ἐκείνων,» ἀπεκρίνατο ὁ Δαμανάκας. — «Τίς ἐνταῦθα ἀμφιβολία;» ἔφη ὁ Καρατάκας. Λέγεται γάρ·

«Τίς φίλος τῶν κακῶν ἀνθρώπων; τίς αἰτιώμενος, οὐκ »ὀργίζεται; τίς κορέννυται πλούτου; τίς σοφὸς οὐκ ἔστι »σοφὸς ἐν κακουργίᾳ;

«Ὁ Βασιλεὺς κακὸς γίνεται ὑπὸ τῶν κακοεργῶν, ἵν' αὐ»τοὶ αὐξηθῶσι (ὠφεληθῶσι). Τί κακὸν οὐ ποιεῖ ἡ τῶν »κακῶν ἔντευξις, ἥ ἐστιν ὡς πῦρ;»

Πορευθεὶς δὲ πρὸς τὸν Πιγκαλάκαν ὁ Δαμανάκας· «Βασιλεῦ, ἔφη, ἔρχεται ἐκεῖνος ὁ κακότροπος· σὺ δὲ ἕτοιμος ἔσο.» Ἐλθὼν δ' ἔπειτα ὁ Σανζηβάκας, καὶ σκοπήσας τὸν Πιγκαλάκαν τεταραγμένον τὴν ὄψιν καὶ ἠλλοιωμένον, ταυρηδὸν καὶ αὐτὸς ἔβλεπε, καὶ τὰ κέρατα προὔβαλλε· συνεκροτήθη δ' ἐν ταὐτῷ καὶ μάχη, ἐν ᾗ ὁ Σανζηβάκας ὑπὸ τοῦ λέοντος ἀνῃρέθη (πέπτωκεν). Ἀνελὼν δὲ τὸν Σανζηβάκαν ὁ Πιγκαλάκας, ἐν ἀθυμίᾳ ἦν, καὶ ἔλεγεν· «Ὁποῖον σκληρὸν ἐγὼ πέπραχα! Ὀρθῶς λέγεται·

«Οὐ τοσοῦτον βλάβη καὶ ζημία ἐστὶ τῇ βασιλείᾳ χώρα »τις, ἡ ἀπώλετο, ὅσον ὁ βουλευτὴς, ὁ ἔχων φρόνησιν καὶ »ἀρετὰς πολλάς· ἡ μὲν γὰρ χώρα, ἡ ἀπώλετο, εὐανάκτη»τός ἐστιν, ὁ δὲ βουλευτὴς οὐδαμῶς.»

Ὁ δὲ Δαμανάκας ἔφη· «Οὐ δίκαιον τοῦτο, ὦ Βασιλεῦ, τὸ θλίψιν ἔχειν ἐπὶ τῷ θανάτῳ ἀντιπάλου. Λέγεται γάρ·

«Οἱ ἐπιβουλεύοντες τῷ Βασιλεῖ, καὶ ἀντιποιούμενοι τῆς »ἀρχῆς ἀναιρετέοι εἰσίν, εἴτε πατὴρ εἴη, εἴτε ἀδελφὸς, »εἴτε υἱὸς, εἴτε φίλος.

«Ὁ ὢν ἐν Κόσμῳ οὐκ ἂν γένοιτο ἥσυχος καὶ πραΰς· ὁ »λίαν ἀνεκτικὸς οὐκ ἔσται δυνατὸς γεύσασθαι οὐδὲ τῆς ἐν »παλάμῃ τῆς χειρὸς τροφῆς.

«Τῶν μὲν ἐγκρατῶν καὶ ἀσκητῶν ἀγλαΐσμά ἐστι καὶ κό-

»σμημα ἡ πρὸς ἐχθρὸν καὶ φίλον ἀνοχή· τῶν δὲ Βασιλέων, »ψόγος καὶ στίγμα.

«Ὅστις ἐξ ἐπιθυμίας βασιλείας καὶ ἐξ οἰήσεως, ἐφίεται »τῆς δόξης τοῦ δεσπότου αὐτοῦ, τούτῳ ἄφεσις καὶ κάθαρ»σίς ἐστιν ἡ στέρησις τῆς ζωῆς καὶ οὐκ ἄλλο τι.

«Ἀποσκορακιστέοι οὗτοι οἱ ἑπτά· ὁ εὔσπλαγχνος Βασι»λεὺς, ὁ παντοφάγος Βραχμὰν, ἡ ἀπειθὴς γυνὴ, ὁ κακο»φυὴς φίλος, ὁ ἐναντίος θεράπων, ὁ ῥάθυμος ἐργεπιστάτης, »καὶ ὁ ἀχάριστος.

«Πολυειδές ἐστι τὸ τοῦ Βασιλέως ἦθος, ὡς καὶ τὸ τῆς ἑταί»ρας· ἀληθῆ λέγει καὶ ψευδῆ, πικρά τε (σκληρὰ) καὶ ἡδέα, »ἀναιρεῖ καὶ ἐλεεῖ, φείδεται καὶ χαρίζεται, ἀεὶ πολλὰ δα»πανᾷ καὶ ἀεὶ πολλὰ συνάγει καὶ θησαυρίζει.»

Οὕτω παρηγορηθεὶς καὶ εὐμενισθεὶς ὑπὸ τοῦ Δαμανάκα ὁ Πιγκαλάκας, ἐκάθησεν ἐπὶ τοῦ θρόνου. Ὁ δὲ Δαμανάκας χαίρων ἐπευφήμησεν, εἰπών· «*Νικάτω ὁ Μέγας Βασιλεύς! Ἀγαθὸν ἔστω παντὶ τῷ Κόσμῳ!*» καὶ τοῦ ὑπατικοῦ ἀξιώματος ἠξιώθη.

ΒΑΣΙΛΕΩΣ ΠΑΙΔΕΣ.

Ἐχάρημεν, ἀκούσαντες περὶ διαλύσεως φιλίας.

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

Εἴη πλέον τούτου!

Τέλος τοῦ Α'. βιβλίου τῆς Χιτοπαδάσσας.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Περὶ κτήσεως φιλίας*.

(Ἐκ τῆς μεταφράσεως Σημεῶνος τοῦ Σὴθ.)

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

«Νῦν δ' ἀκούσατε, ὦ παῖδες περὶ κτήσεως φιλίας.

ΒΑΣΙΛΕΩΣ ΠΑΙΔΕΣ.

«Ἀνάγγειλον ἡμῖν ὑποδείγματα τινῶν ἀντιφιλούντων ἀλλήλους καὶ τῇ φιλίᾳ ἀεὶ συσχοιχούντων.

Ὁ δὲ φιλόσοφος (ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ) ἔφη·

«Τοῦ ὄντος φίλου πιστοῦ ἀντάλλαγμα τῶν ὄντων οὐδὲν, καὶ δεῖγμα τούτου σαφέστατον τὸ τοῦ κόρακος, μυὸς, ἐλάφου τε καὶ χελώνης.

Λέγεται γὰρ, ὡς ἔν τινι χώρᾳ τόπος ἦν πρὸς θήραν ἐπιτήδειος, εἰς ὃν συχνοὶ παρεγένοντο θηρευταί· ἦν δὲ ἐκεῖσε καὶ δένδρον μέγα, ὑψηρεφές τε, καὶ εὐσκιόφυλλον, καὶ τούτῳ ἐνεφώλευσε κόραξ, ὃς ἰδὼν ἐκ τοῦ δένδρου τὸν θηρευτὴν, τῷ μὲν δακτύλῳ δίκτυον, τῇ δὲ χειρὶ ῥάβδον κατέχοντα, ἐδειλίασε μὲν ἐμμεῖναι, μέντοι γε ἔκρινε καὶ θεάσασθαι τὸν θηρευτὴν, τί μέλλει διαπράξασθαι. Τοῦ δὲ θηρευτοῦ τὸ δίκτυον ἐξαπλώσαντος, περιστερά τις τῶν ἄλλων προκρίτους θεασαμένη τοὺς κόκκους, ἐμπέπτωκεν αὐτῷ μετὰ

(*) Τούτου ἡ ἀρχὴ λείπει ἐν τῷ χειρογράφῳ τοῦ Δ. Γαλανοῦ· ἀναπληροῦται δὲ ἐκ τῆς τοῦ Σημεῶνος τοῦ Σὴθ μεταφράσεως.

τῶν ὑπ' αὐτὴν λοιπῶν περιστερῶν. Ἥσθη οὖν ὁ θηρευτὴς τῇ θήρᾳ· αἱ δὲ περιστεραὶ ἤρξαντο συνταράττεσθαι, καὶ ἑκάστη τὴν ἰδίαν πραγματεύεσθαι σωτηρίαν. Ἡ δὲ τούτων ὁδηγὸς, «Μὴ θορυβεῖσθε, ὦ αὗται, ἔφη· ἀλλ' ὁμοῦ ἀλλήλαις συνασπισώμεθα, εἴποτε δυνηθείημεν ἆραι τὸ δίκτυον.» Ἦραν οὖν εἰς τὸν ἀέρα τὸ δίκτυον· ὅπερ ἰδὼν ὁ θηρευτὴς ἐθαύμασε μὲν, οὐκ ἀπέγνω δέ· ἠκολούθησε δὲ μᾶλλον αὐταῖς πετομέναις, προσδοκίᾳ τοῦ μὴ ἐπὶ πολὺ προήκειν αὐτάς.

Ὁ οὐν κόραξ τοιαῦτα ἰδὼν, δεῖν ἔγνω ἕψεσθαι ταύταις, καὶ ὄψεσθαι, ὅπη καταντήσωσιν. Ἡ δὲ προέχουσα τῶν περιστερῶν, ἐπόμενον τὸν θηρευτὴν ὁρῶσα, ἔφη πρὸς τὰς λοιπάς· «Ὁ θηρευτὴς οὗτος, ὡς ὁρᾶτε, ἕπεται ἡμῖν, καὶ εἰ κατὰ πεδίον τὴν πτῆσιν ποιησόμεθα, οὐκ ἀπόσχοιτο ἀκολουθῶν· εἰ δὲ ἐπ' ὀρέων καὶ δυσβάτων τόπων, τάχις' ἂν ἡμῶν ἀπογνῷ. Πρὸς δὲ τούτοις ὑπὸ ταύτην τὴν ὁδὸν ἔχω φίλον· καὶ εἴγ' εἰς τοῦτον ἀπέλθωμεν, αὐτὸς ἡμῶν τὰ δεσμὰ διαῤῥήξει, καὶ τούτων ἐλευθερώσει.» Ὁ γοῦν θηρευτὴς ἀπογνοὺς ὑπέστρεψεν· ἠκολούθει δὲ ἄρα ὁ κόραξ, ἅμα τὸν τρόπον τῆς αὐτῶν σωτηρίας μαθησόμενος, καὶ τὸν φίλον αὐταῖς θεασόμενος. Ὡς οὖν ἐπὶ τὴν τοῦ μυὸς γεγόνασι κατάδυσιν, κατῆλθον. Ὁ δὲ μῦς ἐξελθὼν, καὶ ἰδὼν τὴν περιστερὰν, ἥσθη λίαν, καί φησι· «Τίς σε τοιούτοις, ὦ φιλτάτη, ἐνέπλεξε δεινοῖς;» Ἡ δὲ, «Οὐκ οἶσθά, φησι, ὡς τὰ ἀγαθὰ καὶ τὰ φαῦλα τῇ πεπρωμένῃ ὑπόκειται; Ἡ Εἱμαρμένη τοῖς τοιούτοις περιέπλεξε, καὶ πρὸς τοὺς κόκκους ὠδήγησε, καὶ τῇ τοῦ δέοντος ἀβλεψίᾳ περιέπειρεν, ὥστε με τῷ δικτύῳ συμπεπλέχθαι. Οὐκ οὖν θαυμαστὸν τοιούτῳ περιπεσεῖν με συμπτώματι· μείζονες γὰρ ἢ ἔγωγε, μείζοσι περιέπεσον. Ἔσθ' ὅτε γὰρ ἥλιος τῇ σελήνῃ ἐπισκοτούμενος ἐκλείπει, καὶ ἡ σελήνη τῇ σκιᾷ τῆς γῆς συγκαλύπτεται, καὶ ὁ θαλάττιος ἰχθὺς ἐκ βάθους τοῦ ὕδατος ἁρπάζεται, καὶ τὰ πετεινὰ, ἢ ἐξ ἀέρος κατάγεται, ἢ εἰς

γῆν ὄντα συλλαμβάνεται, ὅτε ὁρισθῇ τὸ τοιοῦτον, καὶ δι' οὗ πολλάκις ὁ ἀσύνετος τυγχάνει τῶν κατὰ σκοπόν.»

Ταῦτα λεγούσης τῆς περιστερᾶς, ἤρξατο ὁ μῦς τοὺς δεσμοὺς κατεσθίειν, καὶ λύειν. Ἡ δὲ περιστερὰ, «Ἄρξαι πρῶτον, ὦ φίλος, ἔφη, τὰς ὑπ' ἐμὲ ἐλευθεροῦν, εἶτα ἐμέ.» Τοῦ δὲ μυὸς μὴ ἐν νῷ λαβόντος τοὺς αὐτῆς λόγους, ἀλλ' ἐπικειμένου καὶ λύοντος αὐτήν· «Μή με μέμφῃ, φησὶν, ὦ μῦ, ὑπὲρ ὧν σοι ἐπιτάσσω. Ἐπεὶ γὰρ ὑπ' ἐμὲ αὗται τυγχάνουσιν οὖσαι, ἐπωφείλεται ταύταις ἡ παρ' ἐμοῦ πρόνοια· εὐγνωμόνως γάρ μοι ὑπηρέτησαν, καὶ διὰ τῆς τούτων συμμαχίας τῶν τοῦ θηρευτοῦ παγίδων ἀνώτεραι γεγόναμεν. Δέδια δὲ πρὸς τούτοις, μήπως προτέραν με λύων ἀπείποις, καί τινα τούτων ἄλυτον ἐάσῃς· εἰ γὰρ ἔγωγε μόνη καταληφθῶ, ἀναγκασθήσῃ τοῦ δεσμοῦ ἀπολύειν με.» Ὁ δὲ μῦς εἶπεν· «Οὕτοί σου οἱ λόγοι ἐπὶ πλεῖόν σε φιλεῖν τοὺς οἰκείους καὶ τοὺς ὑπό σε διερεθίζουσιν.» Εἰπὼν δὲ ταῦτα ἔλυσε πάσας, καὶ λυθεῖσαι ἐπετάσθησαν.

Ἰδὼν οὖν ὁ κόραξ τὸ πραχθὲν, ἐπὶ τὴν τοῦ μυὸς μυωξίαν παρεγένετο, καὶ ἐφώνησε τοῦτον. Ὁ δὲ μῦς ἔφη· «Τίς εἶ φίλτατε;» Τοῦ δὲ «Ἐγὼ εἰμὶ, εἰπόντος, καὶ ἰδών σου τὴν πρὸς τοὺς φίλους διάθεσιν, ἔδοξέ μοι φιλιωθῆναί σοι, καὶ ἐπὶ τοῦτο προσῆλθόν σοι», ἔφη ὁ μῦς· «Τί κοινὸν ἐμοί τε καὶ σοι; τὸν γὰρ νουνεχῆ οὐ τὰ ἀδύνατα ἐπιζητεῖν χρή. Ὁ γὰρ ἀδυνάτοις ἐπιχειρῶν, τῷ καθ' ὕδατος ἄμαξαν ἕλκοντι ἔοικε, καὶ ἐπὶ ξηρᾶς πλοῖον· πῶς γάρ σοι ἔσομαι φίλος, βρῶσις ὑπάρχων σοι;

Λέγεται γὰρ ὡς κυνόλυκός τις προσελθὼν ἐλάφῳ ἔφη· «Ἰδών σου τὴν πρὸς τοὺς φίλους διάθεσιν καὶ τὴν εἰλικρίνειαν ἔδοξέ μοι συμφιλιωθῆναι καὶ συνοικειωθῆναί σοι.

(Ἐκ τῆς τοῦ Δ. Γαλανοῦ μεταφράσεως.)

«Ἔστω οὕτως,» εἶπεν ὁ ἔλαφος. Περὶ δὲ τὴν δύσιν τοῦ ἡλίου ἦλθε μετὰ τοῦ κυνολύκου εἰς τὸ οἰκεῖον κατάλυμα.

ἔνθα ἐπὶ κλάδων δένδρου Σαμπάκα ᾠκει εἷς κόραξ, παλαιὸς φίλος τοῦ ἐλάφου, Σουβουδδῆς τὸ ὄνομα, ὃς ἰδὼν αὐτοὺς ἔφη· «Τίς οὗτος ὁ δεύτερος, φίλε ἔλαφε;» — «Οὗτος, ἀπεκρίνατο ὁ ἔλαφος, κυνόλυκός ἐστιν, ὃς ἦλθεν ἐνθάδε, ἐφιέμενος τῆς ἡμετέρας φιλίας.» — «Ἀνοίκειόν ἐστιν, ἔφη ὁ κόραξ, πίστιν ἔχειν πρὸς τοῦτον, ὃς ἦλθεν ἐκ συγκυρίας· ὅθεν οὐ καλῶς ἐποίησας. Λέγεται γάρ·

«Οὐ δοτέα οἰκησίς τινι, οὔ οὔτε τὸ γένος, οὔτε τὸ ἦθος »γνωστόν ἐστι. Ὁ γέρων γὺψ, ᾧ ὄνομα Σαραδγάβας, ἀνη»ρέθη ἐκ κακίας τοῦ αἰλούρου.»

Ἐρωτήσαντος δὲ τοῦ ἐλάφου, πῶς ἔχει τοῦτο, ὁ κόραξ ἀπεκρίνατο·

«Παρὰ τῇ ὄχθῃ τοῦ Γάγγου, ἐν ὄρει Τριδδρακούτα, δένδρον ἐστὶ μέγα, Παρκατὴ τὸ ὄνομα, οὗ ἐν τῷ κοιλώματι ᾠκει εἷς γὺψ γέρων, ἄνευ ὀμμάτων καὶ ὀνύχων ἐκ κακῆς τύχης. Οἱ δ' ἐπ' ἐκείνου τοῦ δένδρου οἰκοῦντες ὄρνεις ἐδίδοσαν μέρος τι τῆς ἑαυτῶν τροφῆς εἰς ζωὴν αὐτοῦ τοῦ γυπὸς, εὐσπλαγχνίᾳ φερόμενοι. Καίποτε αἴλουρός τις, ᾧ ὄνομα Διργακάρνας (δολιχόωτος), ἦλθεν εἰς ἐκεῖνο τὸ δένδρον, εἰς βρῶσιν τῶν νεοσσῶν. Κραυγῆς δὲ καὶ ταραχῆς γενομένης ὑπὸ τῶν νεοσσῶν, ἰδόντων καὶ τρεσάντων, ἀκούσας ὁ γέρων γὺψ, ἔφη· «Τίς ἦλθεν;» Ἰδὼν δὲ ὁ αἴλουρος τὸν γῦπα, σὺν φόβῳ διελογίζετο· «Ὢ ἀπολωλὸς ἐγώ εἰμι, καὶ φυγεῖν οὐ δύναμαι· ἀλλὰ γενέσθω ὅ,τι μέλει γενέσθαι, ἐγὼ προσελεύσομαι αὐτῷ εἰς τὸ δοῦναι πίστιν.»

Τοιαῦτα ἐν νῷ λαβὼν, προσελθὼν ἔφη· «Προσκυνῶσε, σεβάσμιε.» — Ὁ δὲ γὺψ ἤρετο· «Τίς εἶ συ;» — «Ἐγώ εἰμι, ἔφη, αἴλουρος.» — «Πόρρω, ἔφη, ὑποχώρει.» Ὁ δὲ Αἴλουρος· «Ἄκουσον, ἔφη, εἰ ἀναιρετέος εἰμί. Ἆρα ἐκ γένους μόνου ἀναιρεῖταί τις, ἢ τιμᾶται; ἐξ ἔργων διαγνωσθεὶς, ἀναιρετέος ἐστὶν, ἢ τιμητέος.» — «Διὰ τί, ἔφη, ἦλθες ἐνθάδε;» — «Ἐγὼ, ἔφη, διαμένω παρὰ τῇ ὄχθῃ τοῦ Γάγγου, ἀεὶ

λουόμενος καὶ ἀπέχων κρεωφαγίας, σωφροσύνῃ χρώμενος καὶ νηστείᾳ σεληνιακῇ· πανταχόθεν δὲ πάντες οἱ ὄρνεις θαρροῦντες προσέρχονται, καὶ ἐπαίνους λέγουσι περὶ σοῦ, ὅτι κλίσιν ἔχεις εἰς τὴν πρᾶξιν τῶν τοῦ Νόμου, καὶ εἰς τὴν θείαν γνῶσιν. Ὅθεν ἐλήλυθα ἐνθάδε ἀκουσόμενος τῶν τοῦ Νόμου παρὰ σοῦ, ὃς εἶ μέγας τῇ τε ἡλικίᾳ καὶ τῇ μαθήσει. Ὑμεῖς δὲ τοιοῦτοι εἰδήμονες ὄντες τῶν τοῦ Νόμου, ἕτοιμοι ἐγένεσθε εἰς τὸ ἀνελεῖν με. Ὁ νόμος ὅμως οὕτω λέγει·

«Καὶ ἐχθρὸς ἂν ἔλθῃ εἴς τινος οἶκον, δεῖ αὐτῷ ξενείαν »ποιῆσαι. Τὸ δένδρον οὐ συστέλλει τὴν ἑαυτοῦ σκιὰν, τὴν »προσερχομένην ἐκείνῳ, ὃς κόπτει αὐτό. Εἰ δὲ καὶ πτωχι»κός ἐστιν ὁ οἶκος, ὁ ξένος ξενιστέος ἐστὶ δι' ἡδέων λόγων· λέγεται γάρ·

«Οὐδέποτε ἐκλείπουσιν ἐν τῷ οἴκῳ τῶν ἀγαθῶν ταῦτα· »ψίαθος, γῆ, ὕδωρ καὶ ἡδεῖς λόγοι.

«Εἴτε παῖς, εἴτε γέρων, εἴτε νέος ἔλθοι εἰς οἶκον, τιμὴ »δοτέα ἔστω αὐτῷ· ὁ γὰρ ξένος σεβασμιώτερός ἐστι παντὸς »ἄλλου.

«Καὶ πρὸς τ' ἀχρεῖα καὶ εὐτελῆ ἔμψυχα δεικνύουσιν ἔ»λεον οἱ ἀγαθοί· ἡ Σελήνη οὐ συστέλλει τὴν οἰκείαν λάμψιν, »τὴν ἐν τῷ οἴκῳ τοῦ ἀκαθάρτου καὶ ἐλαχίστου.

«Τὸ μὲν πῦρ σεβαστὸν τῷ πυρολάτρῃ βραχμᾶνι· ὁ δὲ »Βραχμὰν σεβαστὸς ταῖς λοιπαῖς φυλαῖς· ὁ δὲ ἀνὴρ σεβαστὸς »τῇ γυναικί· ὁ δὲ ξένος σεβαστός ἐστιν ἁπαξάπασι.

«Οὗ τινος ἐξ οἴκου ἀπέρχεται ὁ ξένος δύσελπις, τούτῳ »τὰς μὲν ἑαυτοῦ ἁμαρτίας διδοὺς, τὰς δ' ἀρετὰς ἐκείνου »λαμβάνων ἀναχωρεῖ.

«Καὶ ὁ ἐλάχιστος ἐλθὼν εἰς οἶκον μεγάλης φυλῆς, τι»μητέος ἐστὶν, ὡς εἰκός· ὁ γὰρ ξένος φέρει τὴν μορφὴν »πάντων τῶν θεῶν.»

Ὁ δὲ γὺψ εἶπεν· «Οἱ μὲν αἴλουροι φιλόσαρκοι· ἐνταῦθα δὲ νεοσσοὶ οἰκοῦσι. Διὰ τοῦτο ἐγὼ οὕτω λέγω.» — Ὁ δὲ ἀκούσας,

«Οἵτινες ἀπέχουσι πάσης ζωοκτονίας (παντὸς φόνου), καὶ »πάντα ὑποφέρουσι, καὶ πᾶσιν ἐπικουροῦσι, οὗτοι εἰς τὸν »οὐρανὸν πορεύονται.

«Ἓν ἐστιν ἀγαθὸν ἔργον, ὃ παρακολουθεῖ καὶ μετὰ θάνα»τον· πάντα δὲ τὰ λοιπὰ συμφθείρονται τῷ σώματι.

«Ἰδὲ τὴν διαφορὰν ἐκείνου, ὃς κρεωφαγεῖ, καὶ ἐκείνου, οὗ»τινος τὸ κρέας ἐσθίεται (ἔδεται). Τῷ μὲν γὰρ ἐσθίοντι (ἔδοντι) »πρόσκαιρός ἐστιν ἡ ἡδονή· τοῦ δὲ ἐσθιομένου (ἐδομένου) «ἡ ζωὴ ὄλλυται.

«Ὁποία θλίψις γίνεται ἐκείνῳ, ὃς μελλει ἀποθανεῖν; ἀνα»λόγισαι τοῦτο ἐν σεαυτῷ, καὶ διάσωσον ἄλλον ἀπὸ τοῦ »θανάτου.

«Καὶ ἐκ λαχάνων αὐτοφυῶν πληροῦται ἡ κοιλία. Τίς ἄρα »ποιήσαιτ' ἂν ἔγκλημα μέγα (ἔργον φονικὸν) χάριν τῆς γα»στρὸς, ἢ φλέγεται ἐκ πείνης;»

Οὕτω θαῤῥύνας τὸν γύπα ὁ αἴλουρος, ἔμεινεν ἐν τῷ κοιλώματι τοῦ δένδρου. Μετὰ δέ τινας ἡμέρας, ὑφαρπάζων τοὺς νεοσσοὺς ὁ αἴλουρος, καὶ φέρων εἰς τὸ κοίλωμα ἐβίβρωσκεν ἑκάστοτε. Οἱ δ' ὄρνεις, ὧν οἱ νεοσσοὶ κατεβρώθησαν, θλιβόμενοι καὶ θρηνοῦντες, ἤρξαντο ἐρευνᾶν ἔνθεν κἀκεῖθεν. Γνοὺς δ' ὁ αἴλουρος τοῦτο, ἐξελθὼν τοῦ κοιλώματος ἔφυγε. Ἐρευνῶντες δ' οἱ ὄρνεις, εὑρήκασιν ἐν τῷ κοιλώματι ὀστᾶ τῶν νεοσσῶν, καὶ ὑπονοήσαντες ὡς ὁ γύψ ἐστιν ὁ καταφαγὼν τοὺς νεοσσοὺς, ἐφορμήσαντες ἀθρόοι, ἀπέκτειναν τὸν γύπα. Τοῦτο οὖν ἐστιν, ἔφη, ὃ εἶπον ἀνωτέρω·

«Οὐ δοτέα οἰκησίς τινι, οὔ οὔτε τὸ γένος, οὔτε τὸ ἦθος »γνωστόν ἐστι.»

Ἀκούσας ὁ κυνόλυκος ἔφη μετὰ θυμοῦ· «Καὶ σὺ ἄγνωστος ἦν κατά τε τὸ γένος καὶ κατὰ τὸ ἦθος, ὅτε κατὰ πρῶτον ἑώρακας τὸν ἔλαφον· πῶς οὖν ἡ πρὸς σὲ τούτου ἀγάπη αὐξάνει; Ὀρθῶς ἄρα λέγεται·

«Παρὰ τοῖς μικρόφροσι θεωρεῖται οἰκεῖος καὶ ἀλλότριος· »παρὰ δὲ τοῖς μεγαλόφροσι πάντες οἱ ἐν γῇ ὡς οἰκεῖοι »θεωροῦνται.»

«Καθὼς, ἔφη, ὁ ἔλαφος φίλος ἐστὶν ἐμοὶ, οὕτω καὶ σύ.

Ἀλλὰ τί δεῖ, ἔφη ὁ ἔλαφος, λογομαχίας; ἐνταῦθα πάντες ἡνωμένοι ἐσμὲν, ἡδέα συλλαλοῦντες, καὶ ἡδέως τερπόμενοι· λέγεται γάρ·

«Οὐδεὶς οὐδενός ἐστι φίλος ἢ ἐχθρὸς ἐκ φύσεως· φίλοι ἢ »ἐχθροὶ γίνονται ἔκ τινος αἰτίας.»

«Ἔστω οὕτως,» εἶπεν ὁ κόραξ. Κατὰ δὲ τὴν ἕω ἀπῆλθον εἰς νομὴν, ὅπῃ ἕκαστος ἠβούλετο. Ἐν δὲ μιᾷ τῶν ἡμερῶν ἔφη κατ' ἰδίαν ὁ κυνόλυκος τῷ ἐλάφῳ· «Ἐν τούτῳ τῷ δάσει, φίλε, κατά τινα τόπον λῃϊόν ἐστιν εὐθαλὲς, ἔνθα ἐνεγκών σε δείξω.» Οὕτω δὴ γενηθὲν, καθ' ἑκάστην ἐρχόμενος ὁ ἔλαφος ἐνέμετο. Ἰδὼν δὲ τὴν φθορὰν τοῦ λῃΐου ὁ γεωργὸς, βρόχον ἔθετο, ἐν ᾧ ἐλήφθη ὁ ἔλαφος, πάλιν ἐλθὼν, ὃς τοιαῦτα ἀνεπόλει· «Ἐκτὸς φίλου, τίς ἄλλος λυτρῶσαί με δύναται τούτου τοῦ βρόχου;» Ἐν τούτῳ ἐπιστὰς ὁ κυνόλυκος, καὶ αἰσθόμενος τὸ γεγονὸς, ἔλεγεν ἐν ἑαυτῷ· «Αὐσιτελὴς ἐγένετο ἡ ἐμὴ ἐπιθυμία διὰ δόλου· διὰ πολλοῦ οὖν ἐγὼ ἐντρυφήσω τῇ λιπαρᾷ σαρκὶ τούτου.» Ἰδὼν δ' ὁ ἔλαφος τὸν κυνόλυκον, λίαν ἐχάρη, καὶ «Ὦ φίλε, ἔφη, διάκοψον τὸν δεσμὸν καὶ ἐλευθέρωσόν με· λέγεται γάρ·

«Τὸν μὲν φίλον διαγίνωσκε ἐν ἀτυχίαις· τὸν δ' ἥρωα ἐν »πολέμῳ· τὸν δὲ καθαρὸν (ἀληθῆ) ἐν δανείοις· τὴν δὲ γυ»ναῖκα ἐν φθίσει τοῦ πλούτου· τοὺς δ' οἰκείους ἐν λύπαις.

«Ἐκεῖνός ἐστι φίλος, ὃς παρίσταται καὶ βοηθεῖ ἐν εὐωχίᾳ, »ἐν δυστυχίᾳ, ἐν ἀφορίᾳ, ἐν πορθήσει τῆς χώρας, ἐν βασι»λικῷ οἴκῳ (ἐν δίκῃ), καὶ ἐν νεκρικῷ τόπῳ (ἐν κηδείᾳ.)»

Ὁ δὲ κυνόλυκος, ἰδὼν τὸν βρόχον, ταῦτα διελογίζετο· «Ὁ βρόχος οὗτος δυνατός ἐστι· καὶ, Ὦ φίλε, ἔφη, ὁ βρόχος πεποιημένος ἐστὶν ἐκ νεύρων· πῶς δ' ἔγωγε τῇ ἡμέρᾳ

τοῦ Ἡλίου[1] (τῇ Κυριακῇ), θίξω τούτου τοῖς ὀδοῦσι; αὔριον ὅ,τι ἐρεῖς, τοῦτο τελέσω.»

Ἰδὼν δὲ κατὰ τὴν ἑσπέραν ὁ κόραξ ἐκεῖνος, ὡς ὁ ἔλαφος οὐκ ἦλθεν εἰς τὸ κατάλυμα, ἠρεύνα ἔνθα κἀκεῖθεν, καὶ σκοπήσας αὐτὸν δεδεμένον βρόχῳ, ἔφη· «Τί τοῦτο, φίλε;» Ὁ δ' ἀπεκρίνατο· «Τοῦτό ἐστι καρπὸς τῆς παρακοῆς τοῦ φιλικοῦ σου λόγου, ὃν ἐγὼ ἀπεδοκίμασα. Ὀρθῶς ἄρα λέγεται·

«Ὅστις οὐκ ἀκούει λόγον φιλοφρόνων φίλων, οὗτος χαρᾶς »αἴτιος ἔσεται τοῖς ἐχθροῖς, καὶ ἐντὸς ὀλίγου εἰς ἀτυχίαν »περιπεσεῖται.»

«Ἀλλὰ ποῦ ἐστιν ἐκεῖνος ὁ κυνόλυκος;» ἤρετο ὁ κόραξ. — «Ἐνταῦθα ποῦ ἐστιν, ἐπιθυμῶν τῆς ἐμῆς σαρκὸς» ἀπεκρίνατο ὁ ἔλαφος. — «Ἐγὼ προεφήτευσα τοῦτο,» ἔφη· Ὀρθῶς ἄρα λέγεται.

«Ἀπόφευγε φίλον, ὃς κατὰ μὲν τὸ φανερὸν, (ἔμπροσθεν »μὲν) ἡδεῖς λόγους λέγει· κατὰ δὲ τὸ ἀφανὲς (ὄπισθεν δὲ) »κακὰ τεκταίνεται· ὅμοιος γάρ ἐστι στάμνῳ, ἣ ἐν μὲν τῇ »γαστρὶ ἔχει φάρμακον, ἐν δὲ τῷ χείλει γάλα.»

Ἀναστενάξας δὲ, ἔφη· «Ὦ δόλιε καὶ κακοῦργε, τί πεποίηκας; Ὦ θεὰ Γῆ, πῶς φέρεις τοιοῦτον δόλιον, ὃς κακοποιεῖ τὸν ἀγαθοποιοῦντα καὶ πιστεύσαντα, καὶ πιστεύοντα, καὶ ἀγαθοφυῆ ὄντα;

«Οὐ δεῖ ποιεῖν φιλίαν καὶ ἀγάπην μετὰ κακοποιοῦ. Ὁ »ἄνθραξ, παραδ. χάριν, ἡμμένος μὲν καίει, ἐσβεσμένος δὲ »τὴν χεῖρα μελαίνει.

«Ὁ ὢν μὲν φύσει κακὸς, λαλῶν δὲ ἡδέα, οὐκ ἔστιν »ἀξιόπιστος· ἐν μὲν γὰρ τῇ ἄκρᾳ τῆς γλώττης αὐτοῦ ἐστι μέλι, ἐν δὲ τῇ καρδίᾳ δηλητήριον φάρμακον.»

Περὶ δὲ τὴν ἕω, ἰδὼν ἐρχόμενον τὸν κύριον τῆς ἀρούρας,

(4) Τῇ ἡμέρᾳ τοῦ Ἡλίου καὶ οἱ κρεωφαγοῦντες ἀπέχουσι τῆς κρεωφαγίας· πολλοί δέ εἰσιν, οἱ καὶ ἅλατος οὐ γεύνονται καὶ νηστεύουσι.

ἐν χειρὶ ἔχοντα ῥόπαλον, ὁ κόραξ ἔφη· «Μένε, φίλε ἔλαφε, ὡς τεθνεὼς, τὴν πνοὴν ἐπέχων, καὶ ἔχων ἀκινήτους τοὺς πόδας. Ὅταν δ' ἐκεῖνος λύσῃ σε, τότ' ἐγὼ φωνήσω· σὺ δ' ἀκούσας, ἀνάστα καὶ φύγε ἐν τάχει.» Ἐλθὼν δ' ὁ γεωργὸς, καὶ ἰδὼν τὸν ἔλαφον οὕτως ἔχοντα, ἐνόμισεν ὡς τεθνεῶτα· λύσας δ' αὐτὸν ἐκ τῶν δεσμῶν, ἐφρόντιζε τῆς ἄρκυος. Ἐν δὲ τούτῳ ὁ μὲν κόραξ ἔκραξεν· ὁ δὲ ἔλαφος ἔφευγε τρέχων. Ῥίψας δὲ τὸ ῥόπαλον ὁ γεωργὸς, ἀπέκτεινε κατὰ τύχην τὸν κυνόλυκον, ἐκεῖ που ὄντα ὑπὸ θάμνου. Ὀρθῶς ἄρα ἔχει τὸ λεγόμενον·

«Τῶν μεγάλων ἀνοσιουργημάτων (κακιῶν) ἡ ἀγαθουργη-»μάτων (ἀρετῶν) ἀνταμοιβὴ γίνεται ἐν τούτῳ τῷ βίῳ μετὰ »τρία ἔτη, ἢ μετὰ τρεῖς μῆνας, ἢ μετὰ τρία δεκαπενθήμερα, »ἢ μετὰ τρεῖς ἡμέρας.»

«Τοῦτο δ' ἔστιν, εἶπεν ὁ μῦς, ὃ εἶπον ἀνωτέρω·

«Πῶς γάρ σοι ἔσομαι φίλος βρῶσις ὑπάρχωνσοι; κτλ.

Ἀμειβόμενος δ' ὁ Λαγουπατανάκας, ἔφη· «Κἂν βρωθῇ τὸ σῶμά σου ὑπ' ἐμοῦ, οὐκ ἔστιν ἱκανὸν εἰς πλήρωσιν τῆς ἐμῆς γαστρός· σοῦ δὲ ζῶντος, ἐγὼ ζήσω, ὡς καὶ ἡ ποικιλόδειρος περιστερά. Πρὸς δὲ, ἐγὼ ἀγαθός εἰμι τὸν τρόπον. Ὅθεν καὶ λέγεται·

«Καὶ ἐν τοῖς ἀλόγοις ζώοις, ἅ εἰσιν ἀγαθὰ, πίστις θεω-»ρεῖται· ἡ γὰρ φύσις τῶν ἀγαθῶν οὐ μετατρέπεται ἀπὸ τῆς »ἀγαθοφυΐας.

«Ἡ καρδία τοῦ ἀγαθοῦ, καὶ ὀργισθέντος, οὐ λαμβάνει με-»ταβολήν. Τὸ ὕδωρ τοῦ ὠκεανοῦ οὐ θερμαίνεται ἐξ ἀχύ-»ρων φλογός.»

«Ὑμεῖς οἱ κόρακες, ἔφη ὁ Χηρανεάκας, φύσει ἐχθροί ἐστε ἡμῶν τῶν μυῶν· ὅθεν οὐ δεῖ φιλίαν ποιῆσαι μετὰ σοῦ. Λέγεται γάρ·

«Οὐ δεῖ διαλλαγὴν ποιῆσαι πρὸς ἐχθρὸν, εἰ καὶ φιλίαν

»δεικνύει θερμήν. Τὸ ὕδωρ, καὶ θερμανθὲν, κατασβέννυσι τὸ »πῦρ, ἐξ οὗ ἐθερμάνθη.

«Ὅ,τι ἀδύνατον ἐστι γενέσθαι, τοῦτο οὐ δύναται γενέ»σθαι· καὶ ὅ,τι δυνατόν ἐστι γενέσθαι, τοῦτο δύναται γενέ»σθαι.

«Οὔτε ἡ ἅμαξα κινεῖται ἐφ' ὑγρᾶς· οὔτε τὸ πλοῖον »πλέει ἐπὶ ξηρᾶς.

«Ὅστις πιστεύει εἰς ἐχθροὺς, εἰ καὶ μέγα κέρδος εἴη, καὶ »εἰς γυναῖκας μὴ ἐχούσας φίλτρον, τούτου ἡ ζωὴ τελευταῖον »ἐν κινδύνῳ ἐστὶ θανάτου.»

Πρὸς ὃν ἀμειβόμενος, ἔφη ὁ λαγωός· «Ἀκήκοα ὅσα εἴρη»κας· ἀλλ' ἐγὼ ἀμετάθετον γνώμην ἔχω ποιῆσαι φιλίαν μετὰ σοῦ· εἰδὲ μὴ, λιμαγχονῶ πρὸ τῆς θύρας σου ἐμαυτόν· ἄλλον γὰρ ἐκτός σου οὐχ εὑρίσκω ἄξιον φιλίας.

«Ἡ τοῦ κακοῦ φιλία ὁμοία ἐστὶ στάμνῳ ἐκ πηλοῦ, ἣ εὐ»κόλως μὲν διαῤῥήγνυται, δυσκόλως δ' ἐπανορθοῦται· ἡ δὲ »τοῦ ἀγαθοῦ φιλία ὁμοία στάμνῳ ἐκ χρυσοῦ, ἣ δυσκόλως »μὲν διαῤῥήγνυται, εὐκόλως δὲ ἐπιδιορθοῦται.

«Ἡ καθαριότης, ἡ ἐλευθεριότης, ἡ ἀνδρεία, ἡ ἀδιαφορία »εἴς τε τὰ ἀγαθὰ καὶ εἰς τὰ κακὰ, ἡ φιλοφροσύνη, ἡ ἀγά»πη καὶ ἡ ἀλήθεια, ταῦτα πάντα ἴδιά εἰσι τοῦ ἀγαθοῦ.»

Ἐξελθὼν δὲ τῆς μυωξίας ὁ Χηρανεάκας ἔφη· «Ἤσθην τοῖς ἡδίστοις λόγοις σου, ὡς καὶ λέγεται·

«Οὐ τοσοῦτον εὐφραίνει τὸν θλιβόμενον καύματι τὸ λου»τρὸν διὰ ψυχροῦ ὕδατος, καὶ τὰ κοσμήματα ἐκ μαργά»ρων, καὶ τὸ χρίσμα ἐκ Σανδάνου, ὅσον εὐφραίνει καὶ ἕλκει »τὴν καρδίαν ὁ λόγος τοῦ ἀγαθοῦ, ὁ λεγόμενος μετ' ἀγά»πης καὶ ἀληθείας.

«Ἐξ ὧν δὲ εἴρηκας νομίζω, ὡς οὐδὲν τῶν ἐλαττωμάτων »ἔχεις, ἃ οὐχ ἁρμόζει τῷ φίλῳ, ὡς καὶ λέγεται·

«Σφάλματα τοῦ φίλου εἰσὶ ταῦτα· ἡ ἀνακάλυψις μυστι-

»κοῦ, ἡ αἴτησις, ἡ ἰταμότης, ἡ παλιμβουλία, ὁ θυμός, »τὸ ψεῦδος, καὶ ἡ κυβεία.

«Ἐκ μὲν τῶν λόγων γνωρίζεται ἡ παιδεία καὶ ἡ φιλα»λήθεια· ἐκ δὲ τῶν ἔργων τὸ ἀπλεόνεκτον καὶ τὸ σταθε»ρὸν τοῦ νοός.

«Ἄλλη ἐστὶν ἡ φιλία καὶ ἡ γλῶσσα (ὁ λόγος) τοῦ κα»θαροῦ τὴν καρδίαν, καὶ ἄλλη ἡ φιλία καὶ ἡ γλῶσσα τοῦ »δολίου.

«Τοῦ μὲν κακοτρόπου ἄλλο ἐστὶν ἐν καρδίᾳ, ἄλλο ἐν »γλώσσῃ, καὶ ἄλλο ἐν ἔργῳ· τοῦ δὲ ἀγαθοῦ τὸν τρόπον »(μεγαλόφρονος) ὅ,τι ἐστὶν ἐν καρδίᾳ, τοῦτό ἐστι καὶ ἐν »γλώσσῃ, καὶ ἐν ἔργῳ[1].

«Ἔστω οὕτως, ὡς ἀγαπᾷς» ἔφη. Φιλίας δὲ γενομένης, ὁ μὲν Χηρανεάκας ἑστιάσας (εὐωχήσας) τὸν κόρακα διαφόροις βρώμασιν, εἰσέδυ εἰς τὴν μυωξίαν· ὁ δὲ κόραξ ἀπῆλθεν εἰς τὸ ἴδιον κατάλυμα. Ἐκ δὲ τούτου τοῦ χρόνου ἐν ἀμοιβαίαις ἑστιάσεσι, φιλικοῖς ἀσπασμοῖς καὶ ἡδείαις ἐντεύξεσιν ὁ βίος αὐτῶν διηνύετο. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν εἶπε πρὸς τὸν μῦν ὁ κόραξ· «Φίλε, ὁ τόπος οὗτος δυσκόλως δίδωσι τροφὴν τοῖς κόραξιν· ὅθεν μελετῶ ἐγκαταλιπεῖν τοῦτον τὸν τόπον, καὶ πορευθῆναι εἰς ἕτερον.» — «Ἄκουσον, εἶπεν ὁ μῦς, τούτου τοῦ λόγου·

«Οὐκ ἀγλαΐζονται, ἐκπεσόντες τῶν ἰδίων τόπων, οἱ »ὀδόντες, αἱ τρίχες, οἱ ὄνυχες καὶ οἱ ἄνθρωποι. Τοῦτο ἐν»νοῶν ὁ φρόνιμος, μὴ ἐγκαταλιπέτω τὸν οἰκεῖον τόπον.»

«Φίλε, εἶπεν ὁ κόραξ, οὗτος λόγος ἐστὶν ἀγενῶν καὶ ἀνάνδρων.

«Ἐγκαταλιπόντες τὸν οἰκεῖον τόπον ἀναχωρεῦσιν οἱ λέον»τες, οἱ ἐλέφαντες, καὶ οἱ εὐγενεῖς καὶ ἀνδρεῖοι· οἱ δὲ κό-

(1) Ὡς δηλαδὴ φρονεῖ, οὕτω καὶ λέγει καὶ πράττει.

»ρακες καὶ ἔλαφοι, καὶ οἱ ἀγενεῖς, καὶ ἄνανδροι θνήσκουσι »κακῶς ἔνθα τυγχάνουσιν ὄντες.»

«Ποῖ δὲ μελετᾷς πορευθῆναι;» ἤρετο ὁ μῦς· λέγεται γάρ·

«Καθὼς ὁ ἄνθρωπος διὰ μὲν τοῦ ἑνὸς ποδὸς κινεῖται, διὰ »δὲ τοῦ ἑτέρου ἵσταται· οὕτω καὶ ὁ φρόνιμος οὐκ ἐγκατα»λείπει τὸν ἂν οἰκεῖ οἶκον, πρὶν τοῦ ἐρευνῆσαι καὶ εὑρεῖν »ἕτερον.»

«Ἔστιν, ἀπεκρίνατο ὁ κόραξ, λίμνη Καρπουραγαούρα τὸ ὄνομα, ἐν δρυμῶνι Δανδεικαραννέα, ἔνθα οἰκεῖ μία ἀγα»πητή μοι φίλη χελώνη, ᾗ ὄνομα Μανθάρα, λίαν ἔννομος.»

«Ἁπασίν ἐστιν ἡ μάθησις εὔκολος (ἅπαντές εἰσι σοφοὶ) »εἰς τὸ διδάσκειν καὶ νουθετεῖν ἄλλους· ὀλίγοι δέ τινές εἰσι »(σπάνιοί δ' εἰσιν) οἱ μεγαλόφρονες, οἳ καὶ λέγουσι, καὶ »πράττουσι τὰ τοῦ νόμου.»

«Ἐκείνη ἡ φίλη μοι χελώνη φιλοφρονήσεταί με (θρέψειμε) »πολυειδέσι βρώμασιν ἰχθύων.

«Τί δὲ, δεῖ μοι ἐνταῦθα μένειν;» ἔφη ὁ Χηρανεάκας; »λέγεται γάρ·

«Ἐγκαταλιπέτω ὁ ἄνθρωπος ἐκεῖνον τὸν τόπον, ἔνθα οὐκ »ἔστιν οὔτε τιμὴ, οὔτε πόρος τῶν πρὸς τὸ ζῆν (βίος), »οὔτε φίλοι, οὔτε κτῆσις μαθήσεως.

«Οὐ δεῖ οἰκεῖν ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα οὐκ εἰσὶν, »οὔτε πλούσιοι, οὔτε ἱερουργὸς, οὔτε Βασιλεὺς (Διοικητὴς), »οὔτε ποταμὸς, οὔτε ἰατρός.

«Οὐ δεῖ μένειν ἔνθα οὐκ ἔστιν οὔτε βίος, οὔτε ὄλβος, »οὔτε αἰδὼς, οὔτε φιλοφροσύνη, οὔτε φιλοδωρία.

«Οὐ δεῖ πορευθῆναι ἔνθα οὐκ ἔστιν οὔτε δανειστὴς, οὔτε »ἰατρὸς, οὔτε ἱερουργὸς, οὔτε εὔυδρος ποταμός.»

«Κόμισον οὖν κἀμὲ ἐκεῖσε.» Ὁ δὲ κόραξ σὺν τῷ φίλῳ

ἐκείνῳ μυῒ ἀφήκετο εἰς ἐκείνην τὴν λίμνην, διηγούμενοι καθ' ὁδὸν διηγήσεις ἀξιολόγους.

Ἡ δὲ χελώνη Μανθάρα, ἰδοῦσα ἀνέστη μακρόθεν, καὶ ἐδεξιώσατο τὸν Λαγουπατανάκαν, ὡς εἰκὸς, καὶ τὸν μῦν ὁμοῦ. Πρὸς ἣν εἶπεν ὁ κόραξ· «Τίμησον, φίλη Μανθάρα, μεγαλως τοῦτον· οὗτος γὰρ κορυφαῖός ἐστι τῶν ἀγαθοεργῶν, καὶ ἄβυσσος εὐσπλαγχνίας, ᾧ ὄνομα Χηρανεάκας, βασιλεὺς τῶν μυῶν. Τούτου τὰς ἀρετὰς ἴσως οὐδ' ὁ Σέσας δύναται ἐπαινέσαι δισχιλίαις γλώσσαις.» Τοιαῦτα εἰπὼν ἐξιστόρησε τὰ τῆς ποικιλοδείρου περιστερᾶς. Ἡ δὲ Μανθάρα, τιμήσασα ὡς ἔδει τὸν Χηρανεάκα, ἤρετο· «Καλῶς ἔχεις; ἀλλ' ἄξιος εἶ ἀφηγήσασθαι τὴν αἰτίαν, δι' ἣν διέτριβες ἐν ἐρήμῳ.» Ὁ δὲ Χηρανεάκας ἔφη· «Ἄκουσον·

«Ἔστι πόλις Σναπακαβατὴ τοὔνομα, ἔνθα πολλοὶ μοναστὰι οἰκοῦσι. Ὤκει δ' ἐκεῖ καὶ εἷς μοναστὴς, Σουδακαρνᾶς ὀνόματι, ὃς τὸ ἐναπολειφθὲν τοῦ βρώματος, τιθεὶς ἐν ἀγγείῳ ἐπὶ παττάλου ἐμπεπηγμένου τῷ τοίχῳ, ἐκοιμᾶτο. Ἐγὼ δὲ ἐρχόμενος καθ' ἑκάστην καὶ πηδῶν, ἐβίβρωσκον ἐκεῖνο τὸ βρῶμα. Ἐν τούτῳ ἕτερος μοναστὴς, Βηνακαρνᾶς τὸ ὄνομα, φίλος τοῦ Σουδακαρνᾶ, ἐλθὼν κατέλυσεν ἐν τῷ οἴκῳ αὐτοῦ. Συνδιαλεγομένων δὲ τούτων ἐν νυκτὶ, ἦλθον ἐγὼ πάλιν, ὡς σύνηθες, ἐπὶ τὸ κρεμώμενον ἀπὸ τοῦ παττάλου βρῶμα· ὁ δὲ Σουδακαρνᾶς, εἰς τὸ φοβῆσαί με, ἔκρουε τὴν γῆν δι' ἑνὸς ἐσχισμένου καλάμου. Πρὸς ὃν ἔφη ὁ Βηνακαρνᾶς· «Διὰ τί, φίλε, οὐ δίδως προσοχὴν εἰς τὰ ὑπ' ἐμοῦ λεγόμενα (τοῖς λεγομένοις); τοῦτο δ' οὐκ ἐστι σημεῖον ἀγάπης (οὐκ ὀρθῶς ποιεῖς)· λέγεται γάρ·

«Σημεῖα ἔχοντος ἀγάπην ταῦτα· πρόσωπον προσηνὲς, βλέ»μα ἱλαρὸν, προσοχὴ τοῖς λεγομένοις (τῇ διαλέξει) γλυκεῖα »γλῶσσα, καὶ θερμὴ ὑποδοχὴ καὶ δεξίωσις.»

«Ἐγὼ, ἔφη ὁ Σουδακαρνᾶς, ἔνθερμον ἀγάπην ἔχω πρός σε·

σείω δὲ τὸν κάλαμον καὶ θόρυβον ποιῶ διὰ φόβον τούτου τοῦ βλάπτοντός με μυὸς, ὃς ἀναπηδᾷ καὶ καταβιβρώσκει τὸ ἐν τῷ κρεμαμένῳ ἀγγείῳ βρῶμα.» Ἀναβλέψας δι' ὁ Βηνακαρνᾶς εἰς τὸν πάτταλον, ἔφη· «Πῶς οὗτος ὁ ἀδύνατος μῦς τοσοῦτον ἀναπηδᾷ; ἔστι τις ἄρα αἰτία ἐνταῦθα, κατὰ τὸ λεγόμενον·

«Ἔστι τις ἐνταῦθα αἰτία, δὲ ἦν ἡ νέα γυνὴ, ἁψαμένη τοῦ »γέροντος ἀνδρὸς, καὶ σφόδρα ἀγκαλισαμένη, καταφιλεῖ »αὐτόν.»

Ἐρωτήσαντος δὲ τοῦ Σουδακαρνᾶ· «Πῶς ἔχει τοῦτο,» ὁ Βηνακαρνᾶς ἀπεκρίνατο·

«Ἐν χώρᾳ Γαούρα, πόλις ἐστὶ, Καουσσαμβὴ τοὔνομα, ἔνθα ᾤκει εἷς ἔμπορος μεγάπλουτος, ᾧ ὄνομα Σανδαναδάσας. Οὗτος ἐν πρεσβυτικῇ ἡλικίᾳ, πλούτῳ ἐπαιρόμενος, ἔγημε ἐμπόρου θυγατέρα, Λιλαβατὴν τοὔνομα, ἣ οὖσα νέα καὶ ἀκμαία, οὐκ εὐφραίνετο ἐν γέροντι καὶ παρήλικι ἀνδρί· λέγεται γάρ·

«Καθὼς τῶν μὲν πασχόντων ψύχει ἡ καρδία οὐκ εὐφραί»νεται ἐν τῇ σελήνῃ· τῶν δὲ πασχόντων θερμότητι ἐν τῷ »ἡλίῳ, οὕτω καὶ ἡ καρδία τῶν νέων γυναικῶν οὐκ εὐφραίνε»γηραλέῳ ἀνδρί.

«Πόθεν ἀγάπη γυναικὸς πρὸς ἄνδρα, πολιὰς ἔχοντα τρί»χας; ἡ γὰρ γυνὴ ὡς φάρμακον πικρὸν νομίζει τὸν γέροντα, »καὶ πρὸς ἄλλον νέον ἔχει τὴν διάνοιαν.»

Ὁ δὲ γέρων ἀνὴρ ὑπερηγάπα αὐτήν· λέγεται γάρ·

«Τοῖς μὲν ἀνθρώποις ἀγάπη ἐστὶ μεγάλη καὶ πλούτου, »καὶ ζωῆς· ἡ δὲ νέα γυνὴ μᾶλλον ἀγαπατή ἐστι τῷ γέροντι »ἢ ἡ ζωή.

«Ὁ γέρων οὔτε τρυφὰς τρυφῆσαι δύναται, οὔτε ἐγκαταλι»πεῖν, καθὼς ὁ νωδὸς κύων λείχει μόνον τὰ ὀστέα.»

Ἡ δὲ Λιλαβατὴ ἐκ βίας τῆς νεότητος παραβλέψασα (κατα-

πατήσασα) καὶ φυλὴν, καὶ αἰδώ, ἠράσθη υἱοῦ τινος ἐμπόρου· ὀρθῶς ἄρα λέγεται·

«Αἴτιά εἰσι τῆς φθορᾶς τῆς γυναικὸς ταῦτα· ἡ αὐτεξου-»σιότης, ἡ οἴκησις ἐν τῷ πατρικῷ οἴκῳ, ἡ συνέλευσις ἐν ἑορ-»ταῖς καὶ θαλίαις, ἡ ἀποδημία τοῦ ἀνδρὸς, ἡ ὁμιλία μετὰ »γυναικῶν μοιχαλίδων, ἡ ἔλλειψις τοῦ πόρου τῶν πρὸς τὸ ζῆν, »ἡ γεροντικὴ ἡλικία τοῦ ἀνδρὸς, καὶ ἡ ἀστειολογία καὶ χα-»ριεντισμός.

«Ἐξ αἴσχη εἰσὶ τῆς γυναικός· ἡ οἰνοποσία (πόσις), ἡ μετὰ »κακῶν ὁμιλία, ἡ διάζευξις τοῦ ἀνδρὸς, ἡ περιφορὰ, καὶ »τὸ καθεύδειν ἢ οἰκεῖν ἐν ἀλλοτρίῳ οἴκῳ.

«Τότε σωφροσύνη ἐστὶ ταῖς γυναιξὶν, ὅτε οὔτε τόπος »ἐστὶν ἰδιαίτερος, οὔτε καιρὸς ἁρμόδιος, οὔτε ἀνὴρ λάγνος.

«Οὐδείς ἐστι ταῖς γυναιξὶν ἐραστὸς ἢ ἀνέραστος· ἀεὶ ἄλ-»λον καὶ ἄλλον ἐπιζητοῦσι, καθὼς ἡ βοῦς ἄλλην καὶ ἄλλην »χλόην (πόαν).

«Καὶ αἱ γυναῖκες τῶν θεῶν, ὡς ᾄδεται, ἀσταθεῖς εἰσι καὶ »ἀκόλαστοι· ὅθεν οἵτινες φιλάττουσι τὰς ἑαυτῶν γυναῖκας, »οὗτοι ἐν ἀνέσει διάγουσιν.

«Οὐκ ἔστιν αἰτία σωφροσύνης τῆς γυναικὸς οὔτε ἡ αἰδὼς, »οὔτε ἡ παιδεία (ἀνατροφὴ), οὔτε ἡ ἀγαθοφυία, οὔτε ὁ φό-»βος· ἀλλὰ μόνη ἡ ἔλλειψις λάγνου ἀνδρός.

«Ἡ μὲν θήλειά ἐστιν, ὡς στάμνος, ἔχουσα βούτυρον· ὁ δ' »ἄρρην, ὡς ἄνθραξ ἡμμένος· ὅθεν ὁ φρόνιμος οὐ τίθησιν ἐν »τῷ αὐτῷ τόπῳ τὸ πῦρ καὶ τὸ βούτυρον.

«Ὁ μὲν πατὴρ φυλάττει τὴν θήλειαν ἐν τῇ παιδικῇ ἡλι-»κίᾳ· ὁ δ' ἀνὴρ ἐν τῇ νεανικῇ· ὁ δ' υἱὸς ἐν τῃ γερροντικῇ· »ἡ γὰρ θήλεια οὐκ ἔστιν ἀξία αὐτεξουσιότητος.»

Καί ποτε αὕτη ἡ Λιλαβατὴ, καθημένη ἐπὶ κλίνης λαμπρᾶς μετὰ τοῦ ἐρωμένου νεανίσκου ἐκείνου, σκοπήσασα τὸν ἄνδρα αὐτῆς ἐλθόντα ἀνελπίστως, ἀνέστη εὐθέως, καὶ κρατήσασα

αὐτὸν ἐκ τῆς κόμης, καὶ σφόδρα ἀγκαλισαμένη, κατεφίλει· ἐν δὲ τούτῳ ὁ μοιχὸς ἀπέδρασε, (μὴ γνωσθείς.) Ὀρθῶς ἄρα λέγεται·

«Οἵαν μάθησιν οἶδεν ὁ Σούκρας καὶ ὁ Βριχασπατὴς, αὕτη »ἐν τῷ νοὶ τῆς γυναικός ἐστιν ἐκ φύσεως.»

Μαστρωπὸς δέ τις, ἰδοῦσα ἐκ τοῦ πλησίον τὰς σφοδρὰς περιπτύξεις καὶ τὰ γλυκέα φιλήματα, εἶπεν ἐν ἑαυτῇ τοῦτο, ὅπερ ἀνωτέρω ἐγὼ εἶπον·

«Ἔστι τις ἐνταῦθα αἰτία, κτλ.»

«Ἐπαναλαμβάνω οὖν καὶ λέγω, ἔφη ὁ Βηνακαρνᾶς, ὡς ἔστι τις ἐνταῦθα αἰτία, ἐξ ἧς τοσαύτη δύναμίς ἐστι τῷ μυὶ τούτῳ.» Μικρόν τι δὲ συσκεψάμενος, ἔφη· «Αἰτία τῆς δυνάμεως τούτου τοῦ μυός ἐστιν ὁ θησαυρὸς, ὃν ἔχει σενειλεγμένον· λέγεται γάρ·

«Ὁ πλοῦτον ἔχων, ἔχει καὶ δύναμιν. Καὶ τῷ Βασιλεῖ »βασιλεία μεγάλη καὶ δύναμις γίνεται ἐξ αἰτίας τοῦ πλούτου.»

Σκαπάνην δὲ λαβὼν ὁ Βηνακαρνᾶς, ἐλθὼν, ἀνέσκαψε τὴν μυωξίαν μου, καὶ πάντα μου τὸν θησαυρὸν ἀνέλαβεν, ὃν διὰ πολλοῦ χρόνου συνέλεξα. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου ἀδύνατος ἦν καὶ ἄτολμος, καὶ μόλις πόρου τῶν πρὸς τὸ ζῆν ἐτύγχανον.

Ἰδών με δ' ὁ Σουδακαρνᾶς δειλὸν ὄντα, καὶ νωθρὸν, καὶ ἀδύνατον πηδῆσαι, ὡς πρότερον, ἔφη·

«Ἰδὲ πῶς ὁ κακὸς μῦς οὗτος εἷς τῶν πολλῶν ἐγένετο· ὀρθῶς ἄρα λέγεται·

«Παράδοξον τοῦτο! ἐκεῖναι αἱ αἰσθήσεις ἀκεραιαί εἰσιν, »ἐκεῖνος ὁ νοῦς ἀβλαβὴς, ἐκεῖνος ὁ λόγος, ἐκεῖνο τὸ ὄνομα »(τοῦ πλουσίου δηλαδή). Ἄλλος ὅμως γίνεται ὁ ἄνθρωπος »ἐν ἀκαρεῖ, ὁ στερηθεὶς τῆς θερμότητος τοῦ πλούτου.»

Ἀκούσας ἐγὼ, τοιαῦτα διενοούμην· ἐνταῦθα μεῖναί μοι

οὐκ οἰκεῖον, οὐδ' ἄλλῳ τινι ἐξειπεῖν ὅ,τι ἐπεγένετό μοι. Λέγεται γάρ·

«Μὴ δημοσιευέτω ὁ φρόνιμος τὴν χρηματικὴν ζημίαν, τὴν »δυσθυμίαν, τὰς τοῦ οἴκου ἀνοσιουργίας, τὴν ἀπάτην, καὶ τὴν ἀτιμίαν, ἣν ἔλαβε.

«Ἔστωσαν κρύφια ἐκ ἅπαντος ταῦτα· ἡ ἡλικία, ὁ πλοῦ»τος, τὸ τοῦ οἴκου αἶσχος, ἡ ἐπωδὴ, ἡ ἰατρικὴ βοτάνη, ἡ »ἐγκράτεια, ἡ δόσις καὶ ἡ ἀτιμία.

«Ἀντιζόου οὔσης τῆς τύχης, καὶ ἀνωφελοῦς τῆς φιλοπο»νίας, ὁποία ἄλλη ἄνεσίς ἐστι τῷ φιλοτίμῳ πτωχῷ, ἀλλ' ἢ »ἡ ἔρημος;

«Ὁ φιλότιμος καί τοι θνήσκει, οὐ δεικνύει ὅμως μικροπρέ»πειαν· παραδ. χάριν τὸ πῦρ, καί τοι σβέννυται, οὐ δει»κνύει ὅμως ψυχρότητα[1].

«Διττή ἐστιν ἡ ζωὴ τοῦ φιλοτίμου, ὡς καὶ ἡ τοῦ ἄνθους· »ἤτοι ἐπὶ κορυφῆς τίθεται πάντων ἐν κόσμῳ, ἢ φθίνει ἐν »ἐρήμῳ.

«Εἰ δέγε καὶ ζώημι ἐνταῦθα ἐξ αἰτήσεως, τοῦτο ἀξιο»κατηγόρητον[2]. Λέγεται γάρ·

«Κάλλιόν ἐστι κατακαῆναι ἐν πυρὶ, ἢ αἰτεῖν παρ' ἀνθρώ»που, ὅς ἐστι φειδωλὸς καὶ καταφρονητικός.

«Ἐκ πτωχείας αἰσχύνην λαμβάνει ὁ ἄνθρωπος· ὁ δὲ αἰ»σχυνόμενος πίπτει ἐκ τῆς μαγαλοπρεπείας καὶ ἐκ τῆς ἧς »εἶχε τιμῆς καὶ ὑπολήψεως. Ὁ δ' ἄτιμος καὶ μικροπρεπὴς »καταφρονεῖται· ὁ δὲ καταφρονούμενος ἀπόγνωσιν λαμβάνει. »Ὁ δὲ λυπούμενος ἄνους γίνεται· ὁ δ' ἄνους ὄλλυται. Ὢ τῆς »πτωχείας, δοχείου πάντων τῶν κακῶν!

---

(1) Ἔμφυτος δηλ. ἐστὶ καθὼς τῷ πυρὶ ἡ θερμότης, οὕτω καὶ τῷ φιλοτίμῳ ἡ φιλοτιμία.

(2) Διανοεῖται ὁ μῦς.

«Κάλλιόν ἐστι τὸ σιωπᾶν ἢ τὸ λαλεῖν ψευδῆ· κάλλιον τὸ »εἶναι ἄνανδρον, ἢ τὸ ἔρχεσθαι πρὸς γυναῖκα ἄλλου· κάλ»λιον θανεῖν, ἢ ἐνασχολεῖσθαι διαβολαῖς· κάλλιον σιτεῖσθαι »ἐξ αἰτήσεως, ἢ παράσιτον εἶναι.

«Ἡ αἴτησις πολλὰς ἀρετὰς φθείρει· ἡ μὲν ὑπουργία φθεί»ρει τὸ φρόνημα· ἡ δὲ λάμψις τῆς σελήνης τὸ τῆς νυκτὸς »σκότος· τὸ δὲ γῆρας τὴν ἀγλαΐαν τοῦ σώματος· ἡ δὲ »διήγησις τῶν τοῦ Θεοῦ, τὸ ἁμάρτημα.»

«Πῶς δ' ἄρα ζήσω; (διελογιζόμην) ζήσω παρασιτίᾳ χρώ»μενος; Ὤ! δεινὸν καὶ δευτέρα θύρα τοῦ θανάτου! λέγε»ται γάρ·

«Τρεῖς θλίψεις εἰσὶ τοῖς ἀνθρώποις· ἡ ὀλίγη, ἐπιπόλαιος »καὶ ἀτελὴς μάθησις ἐν συνόδῳ· ἡ συνουσία ἀγορασθεῖσα, »καὶ ἡ παρασιτία.

«Ὁ ἐμπαθής, ὁ ἀπόδημος, ὁ παράσιτος, καὶ ὁ ἐν ἀλλο»τρίῳ οἴκῳ οἰκῶν, ἐν ὅσῳ ζῇ ὥς περ τεθνεώς ἐστι· θανὼν »δὲ ἐν ἀνέσει ἐστί.»

Καί τοι ταῦτα διελογισάμην, πάλιν ὅμως ἐκ πλεονεξίας πλοῦτον ἤθελον. Ὀρθῶς ἄρα λέγεται·

«Ἐκ πλεονεξίας φθείρεται ἡ ὀρθὴ κρίσις. Ἡ πλεονεξία »γεννᾷ τὴν δίψαν (ἀπληστίαν·) ὁ δ' ἄπληστος καὶ ἀκόρε»στος θλίψιν ἔχει κἂν τούτῳ τῷ βίῳ, κἂν τῷ μέλλοντι.»

Πάλιν οὖν ἐπορεύθην εἰς τὸν οἶκον τοῦ μοναστοῦ· ἀλλ' ἐκρούσθην τῷ καλάμῳ ὑπ' ἐκείνου τοῦ Σουδακαρνᾶ, καὶ διενοούμην, ὡς ὁ πλεονέκτης καὶ ἀκόρεστος ἐχθρὸς ἑαυτοῦ γίνεται, κατὰ τὸ λεγόμενον·

«Πᾶσα εὐτυχία ἐκείνῳ, οὐ ἡ καρδία αὐτάρκης ἐστί· πᾶ»σα ἡ γῆ νομίζεται ὡς ἐστρωμένη ἐστὶ δέρμασι τῷ ἔχοντι »ὑποδήματα.

«Οἵα ἄνεσίς ἐστι τοῖς κεκορεσμένοις τῆς αὐταρκίας, ὡς

»ἀμβροσίας, καὶ πραϋθύμοις (φιλησύχοις,) πόθεν τοιαύτη »τοῖς πλεονεξίαν ἔχουσι καὶ τῇδε κἀκεῖσε θέουσι;

«Ἐκεῖνος ἀνέγνω καὶ ἐξέμαθε πᾶσαν ἐπιστήμην, καὶ »πᾶν ἀγαθὸν κατόρθωσεν, ὅστις ἀπορρίψας τὸ πλεονεκτικὸν »ἦθος, δράττεται τῆς αὐταρκείας.

«Ἐκεῖνος εὐδαιμόνως ζῇ, ὅστις οὔτε εἰς θύραν πλουσίου »ἦλθεν, οὔτε λύπην ἐδοκίμασε διαζεύξεως, οὔτε λόγον ἀγενῆ »καὶ ταπεινὸν ἐξεφώνησε.

«Τῷ φερομένῳ ὑπὸ τῆς ἀπληστίας οὐ μακρὸν νομίζεται »χιλιοστάδιον διάστημα· τῷ δ' ἔχοντι αὐτάρκειαν καὶ τὸ »πρόχειρον νομίζεται ὡς πόρρω ἐστί.

«Πότερον ἀγαθόν ἐστι; ὕδωρ ἄνευ μόχθου, ἢ ἡδὺ βρῶμα »μετὰ κινδύνου; ἐγὼ σκεπτόμενος κρίνω ἐκεῖνο ἀγαθὸν, ἐν »ᾧ ἐστιν ἄνεσις[1].

«Ταῦτα σκεψάμενος ἀνεχώρησα εἰς ἔρημον, ἔνθα ἀγαθῇ τύχῃ φίλος μοι ἄκρος ἐγένετο οὗτος ὁ κόραξ. Νῦν δὲ ἡ σὴ ἀγαθὴ ἔντευξις, ὡς ἀπόλαυσις τῶν οὐρανίων ἀγαθῶν δοκεῖμοι. Λέγεται γάρ·

«Δύο καρποί εἰσι γλυκεῖς τοῦ πικροῦ δένδρου τούτου τοῦ »Κόσμου, ἡ πεῖρα τῆς μαθήσεως, καὶ ἡ τῶν ἀγαθῶν ὁμι»λια.»

Ἡ δὲ χελώνη Μανθάρα ἔφη·

«Ὁ πολὺς θησαυρισμὸς αἴτιός σοι ἐγένετο τούτου τοῦ δεινοῦ. Λέγεται γάρ·

«Τοῦ συνηλεγμένου θησαυροῦ τὸ τέλος ἐστὶν ἡ μετάδοσις »καὶ διάδοσις, καθὼς τῶν ἐν λίμνῃ συνηγμένων ὑδάτων, τὸ »τέλος, ἡ ἐξάντλησις καὶ πόσις.

«Ὅ,τι ὄργυμα ὑπὸ γῆν ἐποίησεν ὁ φειδωλὸς, εἰς τὸ κα-

(1) Δηλαδὴ κάλλιόν ἐστιν ὕδωρ ἄνευ πόνου καὶ κινδύνου, ἢ ἡδέα σιτεῖσθαι μετὰ πόνου καὶ κινδύνου.

»τορύξαι θησαυρὸν, τοῦτο ὥς περ ὁδός ἐστιν ἄγουσα εἰς »τὸν Τάρταρον.

«Ὅστις θησαυρισμὸν ποιεῖ χρημάτων, καὶ μὴ βουλόμενος »τρυφᾶν (καὶ ἐμποδὼν γίνεται τῆς τρυφῆς) αὐτῶν, οὗτος »ἄχθος φέρει, ὡς ἀχθοφόρος, εἰς ὄφελος ἄλλων.

«Εἰ πλούσιοι λέγονταί τινες διὰ πλοῦτον, οὗ οὔτε τρυ»φῶσιν, οὔτε μεταδιδόασιν, καὶ ἡμεῖς πλούσιοι ἂν εἴημεν διὰ »πλοῦτον ἄλλων, ὃς κατορωρυγμένος ἐστὶν ἐν γῇ.

«Ὁ ἔχων πλοῦτον καὶ μὴ τρυφῶν αὐτοῦ, ὅμοιός ἐστι τοῖς »λοιποῖς τοῖς μὴ ἔχουσιν· αὕτη δ' ἡ διαφορὰ, ὅτι αὐτὸς ὁ »ἔχων λυπεῖται, ὅτε ὁ πλοῦτος ἀπόλωλε.

«Ὁ πλοῦτος, οὗ οὔτε αὐτὸς ὁ ἔχων ἐτρύφησεν, οὔτε τοῖς »θεοῖς μετέδωκεν, οὔτε τοῖς βραχμᾶσιν ἢ τοῖς φίλοις, ἀπόλ»λυται ἐκ πυρὸς φλογὸς, ἢ ἐξ ἁρπαγῆς κλέπτου, ἢ τυράννου.

«Ἀποταμιεύειν ἀεὶ δεῖ· ἀλλ' οὐχ ὑπὲρ τὸ μέτρον. Ἰδὲ »ὁ κυνόλυκος, ἀγαπῶν ἀποταμιεῦσαι, ἐτεθνήκει.»

Ἐρωτησάντων δὲ τοῦ κόρακος καὶ τοῦ μυὸς, Πῶς ἔχει τοῦτο, ἡ χελώνη μανθάρα ἀπεκρίνατο·

«Θηρευτής τις, Βαϊράβας τοὔνομα, θηρεύων ἔν τινι δάσει, τοῦ ὄρους Βινδεᾶ, ἐτόξευσε δορκάδα, ἣν ἀναλαβὼν ἐπορεύετο. Τυχὼν δὲ κάπρου δεινομόρφου, θεὶς χαμαὶ τὴν δορκάδα, ἐτόξευσε καὶ αὐτόν. Ὁ δὲ κάπρος γρυλίσας μέγα, ἔπληξε τῷ ὀδόντι τὸν θηρευτὴν, προσπελάσας, κατὰ τὸ ὑπογάστριον, καὶ ἔπεσε τεθνεώς· ἔπεσε δ' ἐν ταὐτῷ καὶ ὁ θηρευτής. Ἐν τούτῳ κυνόλυκος, περιερχόμενος εἰς νομὴν, εἶδε πεπτωκότας τὸν θηρευτὴν, τὸν κάπρον καὶ τὴν δορκάδα, καὶ ἔφη ἐν ἑαυτῷ· «Μεγάλη εὐτυχία ἐγένετό μοι· ὀρθῶς ἄρα ἔχει τὸ λεγόμενον·

»Καθὼς ἀνέλπιστοι αἱ δυστυχίαι συμβαίνουσιν, οὕτω καὶ »αἱ εὐτυχίαι.

«Ἐγὼ νομίζω ὅτι οὗτοι οἱ τρεῖς διαρκοῦσί μοι εἰς τρεῖς μῆνας· νῦν δὲ κατὰ πρῶτον ἡ ἐκ νεύρων χορδὴ βρωτέα.»

Κόψαντος δὲ τοῦ κυνολύκου τοῖς ὀδοῦσι τὴν χορδὴν, τὸ κέρας τοῦ τόξου, ἐκταθὲν βίᾳ, ἐνεπάγη τῷ στήθει αὐτοῦ, ὃς καὶ ἔθανεν εὐθέως. Τοῦτο δ' ἔστιν ὃ εἶπον ἀνωτέρω· «Ἀποταμιεύειν ἀεὶ δεῖ, ἀλλ' οὐχὶ ὑπὲρ τὸ μέτρον, κτλ.»

«Ἄκουσον δὲ καὶ τοῦτο τὸ λεγόμενον, εἶπεν ἡ χελώνη· «Τοῦ πλουσίου πλοῦτός ἐστιν ἐκεῖνος, οὗ καὶ ἄλλοις μεταδίδωσι, καὶ αὐτὸς ἐντρυφᾷ· ἄλλοι γὰρ, ἀποθανόντος, ἐντρυφῶσι τῷ πλούτῳ αὐτοῦ.»

«Ἀλλὰ τί δεῖσοι φέρειν κατὰ νοῦν πολλὰ περὶ τοῦ παρεληλυθότος; Λέγεται γάρ·

«Οἱ σοφοὶ ἄνδρες οὐ ζητοῦσι τὸ μὴ δυνάμενον κτηθῆναι, »οὐδὲ λυποῦνται ἐπὶ τῷ παρεληλυθότι, καὶ ἐν ἀτυχίαις οὐ »παρανοοῦσι.»

»Δεῖ σοι, φίλε, ἀνακύψας, ἔχειν καὶ φιλοπονίαν. Λέγεται γάρ·

«Οὐκ εἰσὶ σοφοὶ ὅσοι μανθάνουσιν, ἀλλ' ὅσοι πράττουσιν »ἃ μανθάνουσιν· ἡ ἰατρικὴ βοτάνη οὐ δίδωσι ῥῶσιν τῷ »ἀῤῥώστῳ διὰ μόνης τῆς ἀναπολήσεως τοῦ ὀνόματος, ἀλλὰ »διὰ τῆς πράξεως καὶ χρήσεως.

«Ἡ γνῶσις καὶ μάθησις οὐδὲν ὄφελος ποιεῖ τῷ φοβου»μένῳ ἐκ φιλοπονίας. Ἆρα ὁ ἐν τῇ χειρὶ τοῦ τυφλοῦ λύ»χνος δείκνυσιν αὐτῷ τὰ προκείμενα;

«Μηδέ γε λύπην ἔχε ἐπὶ τῇ ἀλλαγῇ τοῦ τόπου. Ὅ,τι δὲ λέγεται, «ὅτι ὁ φρόνιμος οὐκ ἐγκαταλείπει τὸν οἰκεῖον τόπον,» τοῦτό ἐστι λόγος ἀγενῶν καὶ ἀνάνδρων. Λέγεται γάρ·

«Τίς οἰκεῖος τόπος τῷ ἥρωϊ καὶ μεγαλόφρονι; εἰς ἥν »τινα γὰρ χώραν πορεύεται, ταύτην οἰκείαν ποιεῖ τῇ δυνά»μει τῶν ἑαυτοῦ βραχιόνων. Παρ. χάριν ὁ λέων, ὁ ἔχων

»ὅπλα τοὺς ὀδόντας καὶ τοὺς ὄνυχας, εἰς ὅ,τι δάσος ἔλθῃ, »ἐν ἐκείνῳ καταπαύει τὴν δίψαν αὐτοῦ διὰ τοῦ αἵματος τῶν »ἐλεφάντων.

«Ἅπασαι αἱ εὐτυχίαι αὐτόματοι ἔρχονται πρὸς τὸν φί- »λεργον καὶ φιλόπονον, καθὼς οἱ βάτραχοι εἰς τὸν ὑδα- »τώδη λάκκον, καὶ οἱ ὄρνεις εἰς τὴν πλήρη λίμνην.

«Καθὼς ἐν εὐτυχίαις, οὕτω καὶ ἐν ἀτυχίαις τερπέσθω »(ὁ ἄνθρωπος)· αἱ γὰρ εὐτυχίαι καὶ ἀτυχίαι δίκην τροχοῦ »περιφέρονται.

«Ἡ Λαξμὴ (εὐτυχία) αὐτομάτως ἔρχεται εἰς οἴκησιν πρὸς »τὸν φιλόπονον, πρὸς τὸν ἐπιμελῆ, πρὸς τὸν γινώσκοντα »τὰ δέοντα, πρὸς τὸν ἀπέχοντα παντὸς κακοῦ, πρὸς τὸν »ἥρωα, πρὸς τὸν εὐχάριστον, καὶ πρὸς τὸν εἰλικρινῆ καὶ »ἄδολον φίλον.

«Ὁ μὲν μεγαλοπρεπὴς καὶ ἄνευ χρημάτων τιμὴν καὶ »δόξαν λαμβάνει· ὁ δὲ μικροπρεπὴς, σὺν παντὶ τῷ ἑαυ- »τοῦ πλούτῳ, ἀτιμίαν καὶ καταφρόνησιν λαμβάνει. Παραδ. »χάριν ὁ κύων, εἰ καὶ ἔχει χρυσοῦν κλοιὸν, οὐκ ἔχει τὸ »μέγα φρόνημα τοῦ λέοντος, ὃ ἐγένετο ἐκ φύσεως, καὶ δο- »χεῖόν ἐστι πολλῶν ἀρετῶν.

«Διὰ τί χαρὰν ἔχεις, διότι εὖ πλούσιος; στερηθεὶς γὰρ »τοῦ πλούτου, λύπην ἕξεις· ὁ γὰρ πλοῦτος ἀσταθής ἐστιν »ὡς ἡ ἐν χειρὶ παιδικὴ σφαῖρα.[1]

«Ὃς ἐποίησε τοὺς μὲν χῆνας λευκοὺς, τοὺς δὲ ψιττα- »κοὺς πρασίνους, τοὺς δὲ ταῶνας ποικιλόχροας, οὗτος δώ- »σει σοι τὰ πρὸς τὸ ζῆν.

«Πόθεν ὁ πλοῦτος ἀνέσεως πρόξενος; ἐν μὲν γὰρ τῇ »συνάξει γεννᾷ πόνον, ἐν δὲ τῇ ὑπερπληρώσει (αὐξήσει), »παράνοιαν, ἐν δὲ τῇ ἀπωλείᾳ θλῖψιν.

---

(1) Ποτε μὲν εἰς τὰ ἄνω φέρεται, ποτε δὲ εἰς τὰ κάτω.

«Κάλλιον τὸ μὴ ἐφίεσθαι πλούτου, ἢ τὸ ἐφείσθαι εἰς τὸ »διαδοῦναι αὐτὸν εἰς πρᾶξιν τῶν τοῦ νόμου. Παραδ. χάριν, »κάλλιόν ἐστι τὸ μὴ ἅψασθαι βορβόρου, ἢ τὸ νίψαι τὴν »χεῖρα μετὰ τὸ ἅψασθαι.

«Καθὼς τὸ κρέας καταβιβρώσκεται ἐν μὲν τῷ αἰθέρι »ὑπὸ τῶν ὀρνέων, ἐν δὲ τῇ γῇ ὑπὸ τῶν θηρίων, ἐν δὲ τῷ »ὕδατι ὑπὸ τῶν ἰχθύων, οὕτω πανταχοῦ ὁ πλούσιος.

«Τοῖς πλοῦτον ἔχουσιν ἀεὶ φόβος ἐστὶν ἐκ βασιλέως, ἐξ »ὕδατος, ἐκ πυρὸς, ἐκ κλέπτου, καὶ ἐκ τῶν συγγενῶν, »καθὼς τοῖς πενὴν ἔχουσι φόβος ἐστὶν ἐκ θανάτου.

«Ὅτε οὔτε κτῆσις γίνεται ὅσων ἔφεσίς ἐστιν, οὔτε ἡ ἔφε- »σις καὶ δίψα καταπαύεται, τί ἄλλο τούτου εἴη ἂν δεινό- »τερον ἐν τούτῳ τῷ πολυστόνῳ Κόσμῳ;

«Οὐ δεῖ φροντίδα ποιεῖν περὶ πλούτου, ὃς δυσκόλως εἰς »κτῆσιν ἔρχεται, καὶ κτηθεὶς, δυσκόλως φυλάττεται, καὶ »ἀπολωλὸς, ὥσπερ θάνατός ἐστι.

«Ὅταν ἡ ἀπληστία ἀποβληθῇ, τίς πτωχὸς, ἢ τίς πλού- »σιος; ὅταν δ' ἐκταθῇ, ὑπόδουλος ἐγένετο ὁ ἄνθρωπος.

«Ὅσον ἐπιθυμεῖ πλούτου ὁ ἄνθρωπος, τοσοῦτον ἡ ἐπι- »θυμία αὐξάνει. Ἐκεῖνος δ' ἐστὶ πλοῦτος ἀληθὴς, ἐξ οὗ ἡ »ἐπιθυμία ἀποβάλλεται (πόρρω γίνεται.[1])»

«Τί δεῖ πολλὰ λέγειν; δίαγε ἐνταῦθα σὺν ἐμοὶ ἐν λό- γοις φιλικοῖς, ὡς καὶ λέγεται·

«Ἴδιόν ἐστι τῶν μεγαλοφρόνων φιλία ἐφ' ὅρου ζωῆς, θυ- »μὸς βραχυτελὴς, καὶ δαψιλὴς ἐλευθεριότης (φιλοδωρία).»

«Μακαρία εἶ σὺ, ὦ Μανθάρα, εἶπεν ὁ Λαγουπατανάκας, καὶ ἐπωφελὲς ἔρεισμα πάντων. Λέγεται γάρ·

«Τοὺς πεπτωκότας ἐν δεινοῖς ἀγαθοὺς, οἱ ἀγαθοί εἰσι

(1) Τουτέστιν ἡ αὐτάρκεια.

»δυνατοὶ ἀνιστᾶναι, καθὼς οἱ ἐλέφαντες τοὺς ἐμπαγέντας »ἐν ἰλύϊ ἐλέφαντας.

«Τὸν φιλόκαλον ὁ φιλόκαλος ἀγαπᾷ, ἀλλ᾽ οὐχ ὁ μισό»καλος. Παραδ. χάριν ὁ βομβύλιος (ὡς φιλόκαλος) μα»κρόθεν φοιτᾷ εἰς τὸν λωτὸν, ἀλλ᾽ οὐχ ὁ βάτραχος (ὡς »μισόκαλος), καίτοι σύνοικός ἐστι.

«Μόνος πάντων τῶν ἐν γῇ ἐκεῖνός ἐστιν ἀξιέπαινος, »ἐκεῖνος ἐξαίρετος, ἐκεῖνος ἀγαθὸς καὶ μακάριος, ἐξ οὗ οὐκ »ἀπέρχονται δυσέλπιδες οἱ ἐρχόμενοι εἰς αἴτησιν, ἢ εἰς »καταφυγήν.»

Οὕτως οὗτοι οἱ τρεῖς φίλοι, ἐλευθέρως νεμόμενοι καὶ τερπόμενοι διῆγον. Ἰδόντες δέ ποτε ἔλαφον, ᾗ ὄνομα Σιτράγκα, θέουσαν ἐπὶ τὴν λίμνην, καὶ ὑπονοήσαντες ὡς καταδιώκεται ὑπότινος, φοβηθέντες, ἡ μὲν χελώνη εἰσέδυ εἰς τὸ ὕδωρ, ὁ δὲ μῦς εἰς τὴν ὀπὴν, ὁ δὲ κόραξ ἀνέπτη εἰς δένδρον. Πετασθεὶς δ᾽ ἔπειτα ὁ κόραξ, καὶ σκοπήσας πέριξ, οὐδὲν αἴτιον φόβου εἶδεν. Ἐπανελθόντος δὲ καὶ κράξαντος, ὡς ἀφοβία ἐστὶν, ἡ μὲν χελώνη ἐξῆλθεν ἐκ τοῦ ὕδατος, ὁ δὲ μῦς ἐκ τῆς ὀπῆς. Καὶ «Ὦ φίλη ἔλαφε, εἶπεν ἡ Μανθάρα, καλῶς ἔχεις; πίε ὕδωρ καὶ ἀναπαύθητι, καὶ δόξασον ταύτην τὴν ἔρημον διὰ τῆς οἰκίας παρουσίας.» — «Ἐγὼ, ἔφη ἡ ἔλαφος, φοβηθεῖσα θηρευτὰς, κατέφυγον εἰς ὑμᾶς. Λέγεται γάρ·

«Ὅστις ἀποβάλλει τὸν πρόσφυγα ἐκ φειδοῦς, ἢ ἐκ φόβου, »τούτῳ ἁμάρτημα γίνεται ὅμοιον βραχμανοκτονίᾳ, λέγου»σιν οἱ σοφοὶ ἄνδρες.»

Ἀγαπῶ δὲ τὴν ἡμετέραν φιλίαν.» — «Μένε ἐνταῦθα, ἔφη ἡ χελώνη, ὡς ἐν ἰδίῳ οἴκῳ.»

Ἀκούσασα δ᾽ ἡ ἔλαφος ἐχάρη, καὶ ὕδωρ πιοῦσα ἐκάθησεν ὑπὸ σκιὰν δένδρου.

«Νῦν δ᾽ εἰπὲ, εἶπεν ἡ χελώνη, ἐκ τίνος ἐφοβήθης; εἰς

ταύτην γὰρ τὴν ἔρημον οὐδέποτε θηρευταὶ ἔρχονται.» Ἡ δ' ἔλαφος διηγεῖται·

«Ἐν χώρᾳ Καλίγκᾳ βασιλεύς ἐστι Ῥουκμαγκάδας τοὔνομα, ὃς ἐκστρατεύων εἰς παγκόσμιον νίκην, ἐστρατοπέδευσε παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ Σανδραβάμα· αὔριον δ' ἐλεύσεται ἐπὶ τὴν Καρπούραν ταύτην λίμνην, ὡς ἀκούεται ἐκ στόματος τῶν θηρευτῶν. Ὑμεῖς τοίνυν σκεψάμενοι τὴν ἐνθάδε στρατηλασίαν, τὴν φόβου καὶ κινδύνου παραίτιον, ποιήσατε ὡς προσήκει.»

Ἀκούσασα ἡ χελώνη, ἔφη μετὰ φόβου· «Ἐγὼ εἰσδύσομαι εἰς τὸ ὕδωρ.» Ὁ δὲ κόραξ καὶ ἡ ἔλαφος ἔφασαν· «Καὶ ἡμεῖς ἕτερον τόπον καταφυγῆς εὑρήσομεν.» Ὁ δὲ Χηρανεάκας, σκεψάμενος ἔφη· «Τῇ μὲν Μανθάρᾳ ἀσφάλειά ἐστιν ἡ εἰς τὸ ὕδωρ εἴσδυσις· ὁποία δὲ ἀσφάλεια τῷ ὄντι ἐν γῇ; Εἰ ἡμεῖς τι παθωμεν, ἔφη, ὦ Μανθάρα, τοιαύτη σοι θλῖψις γενήσεται, οἵα ἐγένετο τῷ υἱῷ τοῦ ἐμπόρου, ὅτε εἶδε τὴν ἑαυτοῦ γυναῖκα πιεζομένην ἐν ἀγκάλαις τοῦ υἱοῦ τοῦ Βασιλέως.»

Ἐρωτηθεὶς δὲ πῶς ἔχει τὰ τοῦ ἐμπόρου, ἀπεκρίνατο·

«Ἐν Κανεακούβζᾳ τῇ χώρᾳ Βασιλεὺς ἦν, Βηρασένας τοὔνομα, οὗ ὁ υἱός, ᾧ ὄνομα Τουραγκαβάλας, ἐψηφίσθη κυβερνήτης τῆς πόλεως Βηραπούρας. Καί ποτε οὗτος ὁ νεανίας, ἐμπεριπατῶν τῇ πόλει, ἐθεάσατο νέαν πάγκαλον, γυναῖκα υἱοῦ ἐμπόρου, ἣ ὄνομα Λαβανεαβατὴ, καὶ ἐτρώθη τὴν καρδίαν τῷ ἔρωτι. Ὀρθῶς ἄρα λέγεται·

«Ἐν τοσούτῳ ὁ ἄνθρωπος ὀρθὴν ὁδὸν ὁδεύει, καὶ τῶν αἰ-»σθήσεων κρατεῖ, καὶ αἰσχύνην ἔχει καὶ εὐταξίαν, ἐνόσῳ »τὰ βλέμματα ὡραίων γυναικῶν οὐ βάλλουσιν, ὡς βέλη, »τὴν καρδίαν αὐτοῦ, ἀφιέμενα ὡς ἀπὸ τόξων τῶν ὀφρύων.»

«Στραφεὶς δ' οἴκαδε ἔπεμψε μίαν μαστρωπὸν, ἥ, ἐλθοῦσα εἰς τὸν οἶκον τῆς Λαβανεβατῆς, ἔφη· «Ἐρᾷ σου, ὦ ἀγαθὴ, ὁ βασιλικὸς παῖς.»

Ἡ δὲ, ἀκούσασα, ἔφη· «Ἐγώ εἰμι σώφρων, καὶ ἀλλοτρίου ἀνδρὸς οὐδὲ μὴν θίγω. Λέγεται γάρ·

«Ἐκείνη ἐστὶ γυνὴ, ἥ ἐστιν ἐπιδέξιος εἰς τὰ τοῦ οἴκου ἔργα· ἐκείνη ἐστὶ γυνὴ, ἥ ἐστι τεκνογόνος· ἐκείνη ἐστὶ γυ»νὴ, ἥ ἐστι φίλανδρος καὶ σώφρων.

«Οὐ λέγεται γυνὴ ἐκείνη, ἡ οὐκ ἔστιν εὐάρεστος τῷ ἑαυ»τῆς ἀνδρί· εὐάρεστος δ' οὖσα τῷ ἑαυτῆς ἀνδρὶ, εὐάρεστός »ἐστι καὶ πᾶσι τοῖς θεοῖς.

«Τῶν μὲν κοκκύγων εὐμορφία ἐστὶν ἡ φωνή· τῶν δὲ »γυναικῶν ἡ σωφροσύνη· τῶν δὲ δυσμόρφων ἡ μάθησις· »τῶν δ' ἐγκρατῶν ἡ εὐπρέπεια καὶ ἡ ἀνοχή.»

«Ὅ,τι δὲ προστάξῃ, ἔφη, ὁ ἐμὸς ἀνὴρ, τοῦτο ἐγὼ πράττω, εἰ καὶ ἀπρεπές ἐστιν (ἀπερίσκεπτον).» — «Ἀληθές ἐστι τοῦτο;» ἤρετο ἡ μαστρωπός. — «Ἀληθὲς,» ἀπεκρίνατο ἡ Λαβανεαβατή. Ἐλθοῦσα δ' ἡ μαστρωπὸς πρὸς τὸν Τουραγκαβάλαν, ἀνήγγειλε πάντα. Ὁ δὲ, ἀκούσας, «Πῶς ζήσω, ἔφη, τρωθεὶς τὴν καδρίαν βέλει τοῦ Ἔρωτος;» — «Κομισθεῖσα ἐκείνη, ἔφη ἡ μαστρωπὸς, παραδοθήσεταί σοι.» — «Ἔστι τοῦτο δυνατόν;» ἤρετο ὁ Τουραγκαβάλας. Ἡ δ' ἀπεκρίνατο· «Μεθόδῳ τινὶ χρηστέον. Λέγεται γάρ·

«Ὅ,τι δύναται γενέσθαι διὰ μεθόδου, οὐ δύναται τοῦτο »γενέσθαι διὰ δυνάμεως.

«Ὁ ἐλέφας ἀνῃρέθη ὑπὸ κυνολύκου, ἐμπαγεὶς τέλματι.»

Ἐρωτηθεῖσα δὲ, πῶς ἔχει τοῦτο; ἀπεκρίνατο·

«Ἐλέφας, Καρπουρατελάκας τοὔνομα, ἦν ἐν δάσει Βράχμα· ὃν ἰδόντες κυνόλυκοι, ἔφασαν· «Εἰ οὗτος μεθόδῳ τινὶ θάνοι, διαρκέσει ἡμῖν εἰς τροφὴν ἐν μησὶν τέτταρσιν.» Εἷς δ' ἐξ αὐτῶν γηραλέος ἔφη· «Ἐγὼ ἀναιρέσω αὐτὸν τῇ δυνάμει τοῦ ἐμοῦ νοός.» Προσελθὼν δ' ἔπειτα οὗτος ὁ ἀπατεὼν τῷ ἐλέφαντι, καὶ προσκυνήσας αὐτὸν ἔφη· «Βλέψον ἱλέῳ ὄμματι, κύριε.» — «Τίς σύ;» ἔφη ὁ ἐλέφας, καὶ πόθεν ἔρχῃ;» — «Ἐγώ εἰμι κυνόλυκος ἀπεκρίνατο· ἐπε-

στάλθην δὲ πρὸς σὲ παρὰ πάντων τῶν ἐν δάσει ζώων, συναχθέντων καὶ κρινάντων εὔλογον ἔχειν Βασιλέα· σὺ δ' ἐκρίθης ὁμοφώνως βασιλείας ἄξιος διὰ τὰς ἃς ἔχεις ἀρετάς. Λέγεται γάρ·

«Ὅστις γινώσκει τὰ ἤθη ἑκάστης φυλῆς, καὶ παντὸς »λαοῦ, καὶ θερμουργός ἐστι καὶ δίκαιος, καὶ ἔμπειρος »τῆς πολιτικῆς ἐπιστήμης, οὗτός ἐστιν ἄξιος βασιλεῦσαι »τῆς γῆς.

«Ἔχε πρῶτον Βασιλέα, εἶτα γυναῖκα καὶ πλοῦτον. Βασι»λέως γὰρ μὴ ὄντος ἐν τούτῳ τῷ Κόσμῳ, ποῦ γυνή; καὶ »ποῦ πλοῦτος;[1]

«Ἐρεισμά ἐστι πάντων ὁ Βασιλεὺς, ὡς τὸ νέφος· οὐδεὶς »γὰρ ζῇ οὔτε ἄνευ νέφους, οὔτε ἄνευ Βασιλέως.

«Ἐν τούτῳ τῷ Κόσμῳ τῷ ὑπεξουσίῳ, ὁ ἄνθρωπος ὡς »ἐπὶ τὸ πλεῖστον ἐμμένει τοῖς νομίμοις καὶ ἐθίμοις (ποιεῖ »τὰ νόμιμα καὶ ἔθιμα) διὰ φόβον παιδείας· ὁ γὰρ ἀγαθὸς »δυσεύρετος. Καὶ ἡ ἀγαθὴ γυνὴ διὰ φόβον παιδείας θερα»πεύει τὸν ἑαυτῆς ἄνδρα (ἀγαπᾷ, σύνεστι τῷ ἑαυτῆς ἀνδρὶ) »καίτοι ἀσθενής ἐστι καὶ ἀνάπηρος, καὶ ἐμπαθὴς καὶ »πτωχός.

«Ἐν ὅσῳ οὖν, ἔφη, αἴσιός ἐστιν ὥρα, τάχυνον, κύριε.»

«Τοιαῦτα εἰπὼν ὁ κυνόλυκος, ἀνεχώρησεν· ὁ δὲ ἐλέφας, βασιλείας ἐπιθυμίᾳ ἑλκόμενος, ἠκολούθησε τῷ κυνολύκῳ, καὶ βαθεῖ τέλματι ἀπροσδοκήτως ἐνεπάγη· καὶ, «Ὦ φίλε, εἶπεν, εἰς μέγα τέλμα ἔπεσον. Τί νῦν ποιητέον;» Ὁ δὲ γελῶν, ἔφη· «Κρατήσας τὸ ἄκρον τῆς ἐμῆς κέρκου διὰ τῆς προβοσκίδος, ἀνάστα.» — «Τοῦτό ἐστιν, εἶπεν ὁ ἐλέφας τὸ τέλος τῆς εἰς τὸν σὸν λόγον ἐμῆς πίστεως.» Οὕτως ἐμ-

(1) Οἱονεὶ ἔλεγεν· ἀναρχίας οὔσης, οὔτε γυνὴ φυλάττεται, οὔτε πλοῦτος.

παγεὶς τῷ τέλματι ὁ ἐλέφας, κατεβρώθη ὑπὸ τῶν κυνολύκων. Τοῦτο δέ ἐστιν, εἶπεν ἡ μαστρωπὸς, ὃ εἶπον ἀνωτέρω·

«Ὅ,τι δύναται γενέσθαι διὰ μεθόδου, τοῦτο οὐ δύναται »γενέσθαι διὰ δυνάμεως·»

«Διὰ δὲ τῆς συμβουλῆς τῆς μαστρωποῦ ὁ Τουραγκαβάλας θεράποντα ἐποίησε τὸν υἱὸν τοῦ ἐμπόρου, ᾧ καὶ ἐνεπίστευσε πᾶσαν ἐπιστασίαν τῶν τοῦ οἴκου ἀξιολόγων πραγμάτων. Καί ποτε λουσάμενος καὶ κοσμηθεὶς, ἔφη αὐτῷ· «Ἐγὼ γνώμην πεποίηκα λατρείαν ποιῆσαι τῇ θεᾷ Ταυρῇ ἐν ἑνὶ μηνί[1]. Ὅθεν ἀπὸ τῆς σήμερον φέρεμοι μίαν νέαν γυναῖκα ἐκ γένους καθ' ἑκάστην,ἵνα λατρεύηται ὑπ' ἐμοῦ. ὡς δεῖ.» Ὁ δὲ υἱὸς τοῦ ἐμπόρου, ἤνεγκε μίαν νέαν τοιαύτην, εἶτα παρετήρει κρυφίως τὸ τί μέλλει πράξαι ὁ Τουραγκαβάλας. Ὁ δὲ τιμήσας αὐτὴν ἱματίοις πολυτίμοις καὶ κοσμήμασι καὶ εὐώδεσι χρίσμασιν, ἀπέπεμψε, παραδοὺς καὶ φύλακα. Ἰδὼν δ' ὁ υἱὸς τοῦ ἐμπόρου, καὶ θαρρήσας, τὴν ἑξῆς ἡμέρας ἤνεγκε τὴν ἑαυτοῦ γυναῖκα, τὴν Ααβανεαβαπὴν, φιλοκερδείᾳ ἑλκόμενος. Γοὺς δ' αὐτὴν ὁ Τουραγκαβάλας, ἀγκαλισάμενος κατεφίλει, καὶ ἐπὶ τῆς κλίνης ἔθετο, καὶ συνεγένετο αὐτῇ. Σκοπήσας ταῦτα ὁ τοῦ ἐμπόρου υἱὸς, ἐκστατικὸς καὶ λίαν περίλυπος ἐγένετο. Τοῦτο δ' ἔστιν, εἶπεν ὁ Χηρανεάκας, ὃ εἶπον ἀνωτέρω, ὅτι θλῖψις σοι τοιαύτη γενήσεται, οἵα ἐγένετο τῷ υἱῷ τοῦ ἐμπόρου, ὅτε εἶδε τὴν ἑαυτοῦ γυναῖκα ἐν ἀγκάλαις τοῦ υἱοῦ τοῦ Βασιλέως,»

Ἀκούσασα ἡ χελώνη φόβον ἔσχε, καὶ ἐγκαταλιποῦσα τὴν λίμνην, ἥψατο τῆς ἐν γῇ ὁδοῦ· παρείποντο δ' αὐτῇ ὅ,τε κόραξ, ἡ ἔλαφος καὶ ὁ μῦς. Ὁδευούσης δὲ τῆς χελώνης, ἔτυχεν εἰς θηρευτὴς περιερχόμενος τὸ δάσος· ἣν ἀναλαβὼν καὶ δήσας ἐν τῷ πέρατι τοῦ τόξου, ἐπορεύετο οἴκαδε. Ἡκο-

(1) Κατὰ τὸν Μάρτιον γίνεται τοῦτο,

λούθουν δ' αὐτῷ σφόδρα λυπούμενοι, ὁ κόραξ, ἡ ἔλαφος καὶ ὁ μῦς, ὃς θρηνῶν, ἔλεγεν ἐν ἑαυτῷ· «Ἐν ὅσῳ ἔλθῳ εἰς τὸ τέλος ἑνὸς δεινοῦ, ὡς εἰς πέρας ὠκεανοῦ, ἕτερον ἐπέρχεταί μοι δεινόν· ἐπὶ συμβάματι παρασύμβαμα ἐπιγίνεται! Ἐκ τύχης ἀγαθῆς γίνεται φίλος εἰλικρινὴς καὶ ἄπλαστος, ὃς οὐδ' ἐν δεινοῖς ἐγκαταλείπει τὸ εἰλικρινὲς καὶ ἄπλαστον τῆς φιλίας, καὶ τούτου ἐν ἀκαρεῖ στερούμεθα!

«Οὐκ ἔστι τοιαύτη πίστις εἰς μητέρα, εἰς γυναῖκα, εἰς ἀδελφὸν, ἢ εἰς υἱὸν, οἵα εἰς ἄπλαστον φίλον.»

Τοιαῦτα διαλογιζόμενος πολλάκις, «Ὢ τῆς ἐμῆς δυστυχίας! (ἔλεγε).

«Πάντα τὰ πραχθέντα ἔργα, εἴτε καλὰ, εἴτε κακὰ, διδό»ασιν ἀγαθὰ ἢ κακὰ ἐν τῇ παλεγγενεσίᾳ· ἐγὼ δ' ὅμως ἀπο»λαμβάνω τὸν καρπὸν τῶν κακῶν μου ἔργων ἐν ταύτῃ τῇ »γενέσει, ὥσπερ ἐν παλιγγενεσίᾳ.

«Ἡ μὲν σύνθεσις τοῦ σώματος ἀκόλουθον ἔχει τὴν διά»λυσιν, ἡ δὲ εὐτυχία τὴν ἀτυχίαν, ἡ δὲ συνέλευσις τὴν »ἀπέλευσιν, πᾶν γεννητὸν φθαρτόν.

«Ὑπὸ τίνος ἐποιήθη τοῦτο τὸ δυσύλλαβον ὄνομα *φίλος*, »τὸ ὂν ἀπαλλακτικὸν λύπης καὶ κινδύνου, καὶ δοχεῖον ἀ»γάπης καὶ πίστεως;

«Δυσεύρετος φίλος ἐστὶν ἐκεῖνος, ὃς τέρψιν τοῖς ὀφθαλ»μοῖς δίδωσι, καὶ χαρὰν τῇ καρδίᾳ, καὶ συμπάσχει τῷ »φίλῳ πάσχοντι, καὶ συγχαίρει χαίροντι. Πολλοὶ δὲ φίλοι εἰσὶν ἐν εὐτυχίαις, καὶ ἐν ἐλπίδι τεύξεως κέρδους, καὶ πανταχοῦ εὑρίσκονται, ὧν ἡ δυστυχία ὥσπερ βάσανός ἐστι λίθος.»

Οὕτως ἐλεεινολογήσας ὁ Χηρανεάκας, εἶπε πρὸς τὴν ἔλαφον καὶ πρὸς τὸν κόρακα· «Ἐν ὅσῳ οὗτος ὁ θηρευτὴς ἐν τῷ δάσει ἐστὶν, τρόπος γενέσθω εἰς λύτρωσιν τῆς Μανθάρας.» — «Εἰπὲ ταχέως τὸ πρακτέον» ἔφησαν ὅτε κόραξ καὶ ἡ ἔλαφος. — «Ἡ μὲν ἔλαφος, ἔφη ὁ μῦς, πορευ-

θεῖσα κείσθω παρὰ τῇ προκειμένῃ λίμνῃ ἐκτεταμένη, καὶ φαινέσθω τεθνηκεῖα· ὁ δὲ κόραξ καθήσθω ἐπ' αὐτῆς τῆς ἐλάφου, καὶ ὑποκρινέσθω ὡς ἐξορύττει τὸν ὀφθαλμὸν αὐτῆς. Ὅταν δ' ἴδῃ τοῦτο ὁ θηρευτής, θεὶς τὴν χελώνην κατὰ γῆς δραμεῖται ἐπὶ τὴν ἔλαφον, ἐπιθυμία ἐλαφείου κρέατος· ἐγὼ δὲ τότε κόψω τὸν δεσμὸν τῆς χελώνης.» Οὕτω δὲ πραξάντων τοῦ κόρακος καὶ τῆς ἐλάφου, ὡς ἔφη ὁ μῦς, ὁ θηρευτής, ἐλθὼν, ἔπιεν ὕδωρ, καὶ καθήσας ὑπὸ δένδρον εἰς ἀνάπαυσιν, εἶδε τὴν ἔλαφον ἐκτάδην κειμένην, καὶ ἔδραμε κατ' αὐτῆς μετὰ μαχαίρας. Ἐν τούτῳ ὁ μὲν μῦς ἔκοψε τὸν δεσμόν· ἡ δὲ χελώνη εἰσέδυ εὐθέως εἰς τὸ ὕδωρ. Ἡ δ' ἔλαφος, ἰδοῦσα τὸν θηρευτὴν πλησιάσαντα, ἀνέστη καὶ ἔφυγε. Ἀναστρέψας δ' ὁ θηρευτὴς, καὶ μὴ ἰδὼν τὴν χελώνην, ταῦτα διενοεῖτο· «Οὐκ ἀνοίκειον τοῦτο ἐμοὶ τῷ ἀπερισκέπτως πράξαντι. Ὀρθῶς ἄρα λέγεται·

«Ὅστις ἀφεὶς τὸ βέβαιον, τὸ ἀβέβαιον διώκει, οὗτος »πρὸς τῷ ἀβεβαίῳ, καὶ τοῦ βεβαίου στερεῖται.»

«Ὁ μὲν οὖν θηρευτὴς, ἀπελπισθεὶς, ἀπῆλθεν οἴκαδε· ἡ δὲ χελώνη, ἡ ἔλαφος καὶ ὁ κόραξ καὶ ὁ μῦς, ἐπανελθόντες εἰς τὸν οἰκεῖον τόπον, διῆγον εὐφραινόμενοι.»

«Ποίησον φίλους δυνατοὺς καὶ ἀδυνάτους· ἰδὲ, ἡ χελώνη »δεθεῖσα, ἐλύθη ὑπὸ μυός.

ΒΑΣΙΛΙΚΟΙ ΠΑΙΔΕΣ.

«Εἰς ὄφελος (λυσιτελὲς) ἡμῖν ἐγένετο τὸ κατόρθωμα τούτων τῶν φίλων, οἳ ἐχάρησαν πάλιν ἑνωθέντες.

«Εἴθε εἴη εἰς ὄφελος (λυσιτελὲς) ἡμῖν, ἔφη ὁ Βισνουσσαρμὰν καὶ τοῦτο, καὶ ἄλλο πρὸς τούτῳ.

Τέλος τοῦ Β'. βιβλίου τῆς Χιτοπαδάσσας.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

Περὶ πολέμου.

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

Νῦν δ' ἀκούσατε, ὦ παῖδες, περὶ πολέμου·

«Ἰσορρόπου ὄντος τοῦ πολέμου ταώνων καὶ χηνῶν, οἱ »χῆνες, πιστεύσαντες τοῖς κολοιοῖς, ἠπατήθησαν καὶ ἀπώ»λοντο.»

ΒΑΣΙΛΕΩΣ ΠΑΙΔΕΣ.

«Πῶς ἔχει τοῦτο;»

ΒΙΣΝΟΥΣΣΑΡΜΑΝ.

«Ἐν Καρπούρᾳ τῇ χώρᾳ λίμνη ἐστὶ, ἡ ὄνομα Παδμακελή. Ἐν ἐκείνῃ τῇ λίμνῃ ἦν εἰς χὴν, Χηρανεγάρβας τὸ ὄνομα, ὃν οἱ φίλυδροι ὄρνεις, συνελθόντες, Βασιλέα ἐψήφισαν καὶ ἔχρισαν. Λέγεται γάρ·

«Εἰ Βασιλεὺς οὐκ ἔστι, καλῶς κυβερνῶν, ὁ λαὸς ὄλλυται »καθὼς ἡ ναῦς, ἡ οὖσα ἄνευ πηδαλιούχου ἐν μέσῳ τοῦ πε»λάγους.

«Ὁ μὲν Βασιλεὺς διαφυλάττει τὸν λαὸν, ὁ δὲ λαὸς αὐ»ξάνει τὸν Βασιλέα. Κρείττων ὅμως ἡ διαφύλαξις τῆς αὐ»ξήσεως· διαφυλάξεως γὰρ μὴ οὔσης, καὶ τὸ ἀγαθὸν γί»νεται κακὸν, καὶ τὰ καλῶς ἔχοντα κακῶς ἔχουσι·»

«Καί ποτε, καθημένου τοῦ Χηνὸς ἐπὶ στιβάδος λωτῶν ἀγλαῶν, ἐν χορῷ σωματοφυλάκων καὶ βουλευτῶν, ἀφίκετο

εἰς λάρος, Δηργαμούχας τὸ ὄνομα· καὶ προσκυνήσας ἐκάθησε. Πρὸς ὃν καὶ εἶπεν ὁ βασιλεύς· «Ἐξ ἀλλοδαπῆς γῆς ἐλθών, ὦ Δηργαμούχα, διήγησαι ἡμῖν τὰ ἐκεῖ.» Ὁ δὲ ἔφη· «Μεγάλη ἐστὶ διήγησις, διὰ τοῦτο καὶ ἦλθον ταχέως· ἀκούσατε οὖν·

« ἐν Ζαμβουδβίκα τῇ χώρᾳ ὄρος ἐστὶν, ᾧ ὄνομα Βινδεὰ, ἔνθα οἰκεῖ ταὼς, Σηταβάρνας καλούμενος, Βασιλεὺς τῶν ὀρνέων. Τούτου οἱ ὑπηρέται, νεμόμενοι ἐν δάσει, ἐντυχόντες μοι, ἠρώτησαν· «Τίς εἶ; καὶ πόθεν ἦλθες;» Ἐγὼ δ' ἀπεκρινάμην, ὡς ὑπηρέτης εἰμὶ τοῦ μεγάλου Βασιλέως τῆς χώρας Καρπούρας, Χηρανεγάρββα, τοῦ χηνὸς, ἐλθὼν εἰς θεωρίαν ἀλλοδαπῆς γῆς. Ἀκούσαντες οἱ ὄρνεις, πάλιν ἠρώτησαν· «Πότερος τῶν δύο τόπων καὶ βασιλέων κρείττων ἐστίν;»—«Ὦ! τί λέγετε; ἀπεκρινάμην· μέγα τὸ διάφορόν ἐστιν· ἡ μὲν γὰρ χώρα Καρπούρα, δεύτερός ἐστι Παράδεισος (οὐρανὸς)· ὁ δὲ χὴν, δεύτερος Ἴνδρας. Πῶς δὲ διατρίβετε ἐν τῷ ξηρῷ τόπῳ; ἔλθετε εἰς τὸν ἐμόν.» Οἱ δὲ ἀκούσαντες τοῦ λόγου μου, πάντες ἔγκοτοι ἐγένοντο. Ὀρθῶς ἄρα λέγεται·

«Καθὼς τὸ γάλα, τὸ διδόμενον τοῖς ὄφεσιν εἰς πόσιν, »οὐ καταπαύει, ἀλλ' αὐξάνει τὸ φάρμακον αὐτῶν, οὕτω καὶ »ἡ πρὸς τὸν μωρὸν συμβουλὴ οὐκ εἰς κατάπαυσιν τοῦ θυ»μοῦ, ἀλλ' εἰς αὔξησιν γίνεται.

«Ὁ μὲν ἔμφρων συμβουλευτέος ἐστὶν, ὁ δ' ἄφρων οὐδα»μῶς. Π. χ. οἱ ὄρνες ἀνέστιοι ἐγένοντοι, συμβουλεύσαντες »τοῖς πιθήκοις.»

Ἐρωτήσαντος δὲ τοῦ χηνὸς, πῶς ἔχει τοῦτος; ὁ Δηργαμούχας ἀπεκρίνατο·

«Ἐν τῇ ὄχθῃ τοῦ ποταμοῦ Σαρμαδᾶς δένδρον ἐστι μέγα, Σαλμαλή, ἐφ οὗ καλιὰς συμπήξαντες, ᾠκουν ὄρνεις. Καί ποτε ραγδαίας βροχῆς πιπτούσης, πίθηκοι ἐλθόντες,

ἵσταντο ὑπ' ἐκεῖνο τὸ δένδρον, ψύχει πιεζόμενοι καὶ τρέμοντες· οὓς ἰδόντες οἱ ὄρνεις ἔφασαν, οἰκτείροντες· «Ἡμεῖς μὲν καλιὰς συνεπήξαμεν, συλλέγοντες κάρφη τοῖς ῥάμφεσιν· ὑμεῖς δὲ χεῖρας καὶ πόδας ἔχοντες, διατὶ οὕτω θλίβεσθε;» Ἀκούσαντες οἱ πίθηκοι λίαν ὠργίσθησαν· εἷς δ' αὐτῶν ἀπεκρίνατο· « Βαλανόστομοι, κακότροποι, μωροὶ καὶ δοκησίσοφοι· ἡμεῖς ἀδύνατοι μέν ἐσμεν οἶκον ἀνεγεῖραι, δυνατοὶ δὲ καταστρέψαι.» Παυσάσης δὲ τῆς βροχῆς, ἀνέβησαν τὸ δένδρον οἱ πίθηκοι ἅπαντες, καὶ καθεῖλον τάς τε καλιὰς καὶ τὰ ὠὰ ὁμοῦ.» Τοῦτο δ' ἔστιν, εἶπεν, ὃ εἶπον ἀνωτέρω·

«Ὁ μὲν ἔμφρων σεβουλευτέος ἐστιν, ὁ δ' ἄφρων οὐδα»μῶς. Π. χ. οἱ ὄρνεις ἀνέστιοι ἐγένοντο συμβουλεύσαντες »τοῖς πιθήκοις.»

«Τί δ' ἐποίησαν ἔπειτα ἐκεῖνοι οἱ ὄρνεις;» ἤρετο ὁ χήν. Ὁ δὲ λάρος ἀπεκρίνατο·

«Ἠρώτησάν με μετὰ θυμοῦ· «Ὑπὸ τίνος ἐψηφίσθη Βασιλεὺς ἐκεῖνος ὁ χήν;» Οὓς κἀγὼ ἠρώτησα, ἔφη, μετὰ θυμοῦ· «Ὑπὸ τίνος Βασιλεὺς ἐχειροτονήθη ὁ Ταὼς οὗτος;» Οἱ δὲ ἀκούσαντες, πληγὰς ἐπιθεῖναί μοι ἐβούλοντο· ἀλλὰ κἀγὼ ἐμνήσθην θούριδος ἀλκῆς. Λέγεται γάρ·

«Ἀεὶ μὲν κόσμος ἐστὶ τῷ ἀνδρὶ ἡ ἀνοχή· ἐν δ' ἀτι»μίᾳ, κόσμος ἐστὶ καὶ ἔπαινος ἡ ἀνδρεία. Ἀεὶ μὲν κόσμος »ἐστὶ τῇ γυναικὶ ἡ αἰσχύνη· ἐν δὲ συνουσίᾳ κόσμος ἐστι »καὶ ἔπαινος ἡ ἀναισχυντία.»

Γελάσας δ' ὁ Χὴν, ἔφη·

«Ὅστις σκεψάμενος τὴν ἑαυτοῦ καὶ τὴν τῶν ἐχθρῶν δύνα»μιν, οὐ γινώσκει (κρίνει) διαφορὰν, οὗτος καταβάλλεται (ἀτιμάζεται) ὑπὸ τῶν ἐχθρῶν.

«Διὰ πολλοῦ μὲν ὁ ἄνους ὄνος, ἐνδεδυμένος λεοντῆ, ἐνέ»μετο ἐλευθέρως καὶ ἐτρύφα· τελευταῖον δ' ἀνῃρέθη ἕνεκα »τοῦ ὀγκηθμοῦ.»

Ἐρωτηθεὶς δ' ὑπὸ τοῦ λάρου ὁ χὴν, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν Χαστιναπούρᾳ τῇ πόλει πλύτης ἦν, Βιλάρας τοὔνομα, οὗ ὁ ὄνος ἐκ τοῦ βαρέος οὗ ἔφερε φορτίου ἀδρανὴς ἦν καὶ ἡμιθανής πως. Εὑρὼν δέποτε ὁ πλύτης λεοντῆν, ἐνέδυσε τὸν ὄνον, καὶ ἀπέλυσεν αὐτὸν εἰς τὰ λήϊα· ὃν βλέποντες οἱ γεωργοὶ καὶ νομίζοντες, ὡς λέων ἐστὶν, ἔφευγον ταχέως. Ὁ δ' ὄνος ἐκ τῆς εἰς τὰ λήϊα νομῆς εὐτραφὴς ἐγένετο. γεωργὸς δέ τις, ἔχων πρόβλημα φαιὰν σινδόνην ἐκ μαλλοῦ, ἐντείνας τὸ τόξον, ἵστατο κατ' εὐθεῖαν, ἀνελεῖν βουλόμενος τὸν νομιζόμενον λέοντα. Σκοπήσας δ' ὁ ὄνος μακρόθεν, καὶ νομίσας ὡς θήλεια ὄνος ἐστὶν, ἤρξατο ὀγκᾶσθαι. Ὁ δὲ γεωργὸς, γνοὺς ὡς ὄνος ἐστὶ, δραμὼν ἀπέκτεινεν αὐτόν. Τοῦτο δ' ἔστιν, εἶπεν, ὃ εἶπον ἀνωτέρω·

«Διὰ πολλοῦ μὲν ὁ ἄνους ὄνος, ἐνδεδυμένος λεοντῆν, «ἐνέμετο ἐλευθέρως καὶ ἐτρύφα· τελευταῖον δ' ἀνῃρέθη ὑπὸ »τοῦ ὀγκηθμοῦ.»

«Εἶτα δὲ, ἔφη ὁ λάρος, νύξαντές με οἱ ὄρνεις τοῖς ῥάμφεσιν, ἔφασαν· «Σὺ, κάκιστε, διατρίβων ἐν τῇ ἡμετέρᾳ γῇ, καταφρονεῖς τοῦ ἡμετέρου Βασιλέως; Σκέψαι, μωρὲ, ὡς ὁ χὴν ἐκεῖνος ὁ σὸς Βασιλεὺς, λίαν χαῦνός ἐστι καὶ ἀδρανὴς, καὶ τὸ βασιλικὸν ἀξίωμα ἀνοίκειον αὐτῷ ἐστιν· οὐ γὰρ δύναται διοικῆσαι, ὡς δεῖ, γῆν καὶ βασιλείαν. Σὺ δ' ἐπαινεῖς τὴν γῆν ἐκείνην, ὡς ὁ βάτραχος τὸ φρέαρ, ἐν ᾧ διάγει. Ὀρθῶς ἄρα λέγεται·

«Ἀγαπάσθω δένδρον καρποφόρον καὶ δασύσκιον· εἰ γὰρ »ἐκ τύχης καρπὸς οὐκ ἔστιν, ἡ σκιὰ ὅμως αὐτοῦ ὑπὸ »τίνος ἂν κωλυθείη;

«Οὐ θεραπευτέος ὁ εὐτυχὴς καὶ μικροπρεπὴς, ἀλλ' ὁ με»γαλοπρεπὴς καὶ ἀξιοπρεπής. Εἰ καὶ γάλα εἴη ἐν τῇ χειρὶ »τοῦ οἰνοπώλου, λέγεται ὅμως, ὡς οἶνός ἐστι.

«Οὐ δεῖ οὔτε συνδιάγειν, οὔτε συνοδεύειν φαύλῳ ἀνθρώ-»πῳ. Ἡ μὲν γὰρ τοῦ φαύλου ἔντευξις θάνατός ἐστιν· ἡ δὲ »τοῦ σπουδαίου ἄκος.

«Ἐκ μόνου τοῦ ὀνόματος ὑπερσθενοῦς Βασιλέως τέλος γί-»νεται τοῦ ἐφετοῦ· π· χ. ἐκ τοῦ ὀνόματος τῆς Σελήνης οἱ »λαγωοὶ ἀνέσεως ἔτυχον.»

Ἐμοῦ δ' ἐρωτήσαντος πῶς ἔχει τοῦτο; Οἱ ὄρνεις ἀπεκρίναντο·

«Ἐλεφάντων ἀγέλη, δίψῃ θλιβομένη ἐξ αἰτίας ἀνομβρίας, ἔφασαν τῷ ἀγελάρχῃ ἐλέφαντι· «Κύριε, οὐκ ἔστι θεραπεία τις εἰς ζωὴν ἡμῶν; ἡμεῖς λίαν πάσχομεν ἐκ λειψυδρίας· οὐ γὰρ μόνον ἡμῖν οὐκ ἔστι τόπος ὑδατώδης, ἐν ᾧ ἐμβαπτισθησόμεθα, ἀλλ' οὐδέ γε τοῖς μικροῖς ζώοις. Τί ποιήσωμεν; ποῦ πορευθῶμεν;»

Ὁ δ' ἐλεφαντομέδων, περιελθὼν, εἶδε μίαν λίμνην καθαρὰν, ἧς οἱ περὶ τὸ χεῖλος οἰκοῦντες λαγωοὶ πολλοὶ κατεπατήθησαν τοῖς ποσὶ τῶν ἐλεφάντων. Ὁ δὲ Βασιλεὺς τῶν λαγωῶν, Σιλαμούχας, ἔφη· «Σκέψις γενέσθω· ἡ γὰρ τῶν ἐλεφάντων ἀγέλη, δίψῃ θλιβομένη, καθ' ἑκάστην ἐλεύσεται, καὶ οὕτως ὄλεθρον ποιήσει τῷ γένει ἡμῶν.» Λαγωὸς δέ τις γέρων ἔλεξε· «Μὴ φοβεῖσθε· ἀπαλλαγὴ γενήσεται ὑπ' ἐμοῦ τούτου τοῦ δεινοῦ.» Πορευόμενος δὲ τοιαῦτα διελογίζετο· «Πῶς δ' ἐγὼ προσέλθω τῇ τῶν ἐλεφάντων ἀγέλῃ; Λέγεται γάρ·

«Ὁ μὲν ἐλέφας ἀναιρεῖ διὰ τῆς προσψαύσεως, ὁ δὲ δράκων διὰ τῆς πνοῆς, ὁ δὲ Βασιλεὺς διὰ τοῦ μειδιάματος, »ὁ δὲ κακὸς διὰ τῆς τιμῆς.»

Στὰς δ' ἐπ' ὄχθου, ἔκραξε λέγων· «Ἄκουσον ἐλεφαντάρχα.» Ὁ δ' ἤρετο· «Τίς εἶ; πόθεν ἦλθες;» — «Ἐγώ εἰμι, ἔφη, Πρέσβυς, ἀποσταλθεὶς παρὰ τῆς θεσπεσίας Σελήνης· ὥρα δὲ

μὴ δυσχεράνῃς εἰ λέγω τὴν ἀλήθειαν, ἢ πικρά ἐστι. Λέγεται γάρ·

«Καὶ ὅπλων αἰρομένων, ὁ πρέσβυς λέγει τὰ ὄντα· οὐ γὰρ »ἂν εἴη ἄξιος θανάτου, λέγων τὴν ἀλήθειαν.»

«Ἐγὼ τοίνυν, ἔφη, λέγω ἐκ στόματος τῆς Σελήνης ταῦτα· «Οὗτοι οἱ λαγωοί, ὧν ἔφορος ἐγώ εἰμι, καὶ διὰ τοῦτο ὀνομάζομαι Σαπάγκα (λαγώστικτος), οἱ φύλακες ταύτης τῆς Σανδραπούρας λίμνης, ἣ φέρει ἀριδήλως τὸ ἐμὸν ὄνομα, κατεπατήθησαν ὑπὸ σοῦ· τοῦτο δ' οὐκ ἔστιν ὀρθόν.» Ὁ δ' ἀγελάρχης ἐλέφας, φοβηθεὶς, ἔφη· «Ἐξ' ἀγνοίας τοῦτο πέπρακται ὑπ' ἐμοῦ· εἰς δὲ τὸ ἑξῆς οὐ πορευθήσομαι.»—«Ἐλθὲ οὖν πρῶτον, εἶπεν ὁ λαγωὸς Βιζαΐας, πρὸς τὴν θείαν Σελήνην, ἥ ἐστιν ἐν τῇ λίμνῃ, καὶ τρέμει ἐκ θυμοῦ, εἶτα δ' εἴσελθε, προσκυνήσας καὶ εὐμενίσας αὐτήν.» Ἀχθεὶς δ' ὁ ἀγελάρχης ἐλέφας ὑπὸ τοῦ λαγωοῦ κατὰ τὴν νύκτα, προσεκύνησε τὴν ἐν τῇ λίμνῃ ἀντιλάμπουσαν Σελήνην, ἣ ἐφένετο σαλευομένη καὶ ταραττομένη ἐκ τοῦ σαλευομένου καὶ ταραττομένου ὕδατος. Ὁ δὲ λαγωὸς ἔφη· «Ἴλεως ἔσο, θεὰ, τούτῳ, ἐξ ἀγνοίας πράξαντι ὃ ἔπραξε.» Τοῦτο δ' ἔστιν, εἶπον οἱ ὄρνεις, ὃ εἴπομεν ἀνωτέρω·

«Ἐκ μόνου τοῦ ὀνόματος ὑπερσθενοῦς Βασιλέως τέλος »γίνεται τοῦ ἐφετοῦ. Η. χ. οἱ λαγωοὶ ἐκ μόνου τοῦ ὀνό»ματος τῆς Σελήνης ἀνέσεως ἔτυχον.

«Ἐγὼ δ' ἔφην, εἶπεν ὁ λάρος· «Ἐκεῖνος ὁ Βασιλεὺς ἡμῶν μέγας ἐστὶ καὶ ὑπερσθενὴς, καὶ ἄξιος βασιλεῦσαι τῶν τριῶν Κόσμων.» Οἱ δὲ, ἅραντές με, ἀπήγαγον πρὸς τὸν Σιτραβάρναν, τὸν ἑαυτῶν Βασιλέα, καὶ «Ὦ Βασιλεῦ, ἔφασαν, οὗτος ὁ κακὸς λάρος, καίτοι διατρίβει ἐν τῇ ἡμετέρᾳ γῇ, καταφρονεῖ τῆς Βασιλείας σου.» Ὁ δ' ἤρετο· «Τίς οὗτος; πόθεν ἦλθεν;»—«Οὗτός ἐστιν, ἀπεκρίναντο, ὑπηρέτης τοῦ Χηρανεγάρβα χηνός, ἐλήλυθε δὲ ἐκ χώρας Καρπούρας.» Ὁ δὲ

Ὕπαρχος γὰρ ἠρώτησέ με· «Τίς ἐστιν ἀρχιβουλευτὴς ἐκείνου;» — «Χηναλώπηξ, ἀπεκρινάμην, ὦ ὄνομα Σαταγνής.» Ἐν τούτῳ ψιττακός τις ἔφη· «Βασιλεῦ, ἡ χώρα Καρπούρα καὶ ἄλλαι τοιαῦται μικραί εἰσι, καὶ κεῖνται ἐν τῇ μεγάλῃ νήσῳ Ζαμβοῦ (ἔνθα σὺ βασιλεύεις)· ὅθεν δύναμις τῆς σῆς δεσποτείας κἀκεῖ διήκει.» Ἐγὼ δ' ἔφην· «Εἰ δεσποτεία (πανταχοῦ) γίνεται διὰ ψιλοῦ λόγου, καὶ ἡ δύναμις τοῦ ἐμοῦ δεσπότου Χηρανεγάρβα ἐστὶν ἐν τῇ μεγάλῃ νήσῳ Ζαμβοῦ.» —«Πῶς δὲ τούτου βεβαίωσις γίνεται,» ἠρώτησε πάλιν ὁ ψιττακός;» —«Διὰ πολέμου» ἀπεκρινάμην ἐγώ. Γελάσας δ' ὁ Βασιλεὺς ταὼς, εἶπε πρὸς ἐμέ· «Πορευθεὶς, εἰπὲ τῷ σεαυτῷ Βασιλεῖ, ἵνα παρασκευασθῇ εἰς πόλεμον.» —«Καὶ πρέσβυς δ' ἀποσταλθήτω» ἔφην ἐγώ. Ὁ δὲ Βασιλεὺς ταὼς εἶπεν· «Ἀποσταλθήσεται. Τίς δ' ἄξιος εἰς πρεσβείαν; Λέγεται γάρ·

«Ὁ πρέσβυς ἔστω φιλοδέσποτος, πολλὰς ἔχων ἀρετὰς, »καθαρὸς, ἐπιδέξιος, τολμηρὸς, χρηστοήθης, ἀνεκτικὸς, καὶ »γνώστης τῶν ἀποκρύφων (καιρίων).»

Πορεύθητι σὺ, ὦ ψιττακὲ, μετὰ τούτου τοῦ λάρου, καὶ ἀνάγγειλον τὸ ἡμέτερον βούλημα.» — Ὁ δὲ «Ἔστω ὡς προστάττει ὁ Βασιλεύς· οὗτος ὅμως ὁ λάρος κάκιστός ἐστι, σὺν δὲ κακίστῳ οὐ πορεύομαι. Λέγεται γάρ·

«Ἀποστρέφου τὴν τῶν κακῶν ὁμιλίαν, καὶ ἀσπάζου τὴν »τῶν ἀγαθῶν. Ποίει ἀγαθὰ ἡμέρας τε καὶ νυκτὸς, καὶ ἐν»θυμοῦ τὴν ματαιότητα τοῦ Κόσμου.

«Οὐδέποτε δεῖ συνεῖναι, ἢ συμπορεύεσθαι κακῷ ἀνθρώ»πῳ. Π. χ. ὁ μὲν χὴν ἀνῃρέθη, συνὼν κόρακι, ὁ δὲ πέρ»διξ συμπορευόμενος.»

Ἐρωτήσαντος δὲ τοῦ ταὼ, πῶς ἔχει τοῦτο, ὁ ψιττακὸς ἀπεκρίνατο·

«Οὐ μακρὰν τῆς πόλεως Οὐζαΐνης μέγα δένδρον ἐστὶ

Πιπάλα, ἔνθα συνῴκουν χὴν καὶ κόραξ. Καίποτε ἐν θέρει ὁ-
δίτης κεκμηκὼς ἐκοιμᾶτο ὑπὸ τὴν σκιὰν τοῦ δένδρου ἐκεί-
νου, θεὶς χαμαὶ τὸ τόξον καὶ τὰ βέλη. Ἀπελθούσης δὲ τῆς
σκιᾶς, ἰδὼν ὁ χὴν, ὡς ὁ ἥλιος θερμαίνει καὶ τὸ πρόσωπον
τοῦ κοιμωμένου ὁδίτου, ἠνέωξε τὰς πτέρυγας καὶ ἐπεσκί-
αζεν αὐτῷ, οἰκτείρας. Ὁ δὲ φύσει ὢν κακὸς κόραξ, ἀφώ-
δευσεν εἰς τὸ στόμα αὐτοῦ, ὃ εἶχεν ἠνεωγμένον, ἐν βαθεῖ
ὕπνῳ ὤν, κἄπειτα ἀπέπτη. Ἐξεγερθεὶς δὲ τοῦ ὕπνου ὁ ὁδί-
της, καὶ ἀναβλέψας, ἐτόξευσε τὸν ἐπισκιάζοντα ἀθῶον χῆ-
να, νομίσας ὡς αὐτός ἐστιν ὁ ἀφοδεύσας.

Τὸ δὲ τοῦ πέρδικος οὕτως ἔχει, Βασιλεῦ·

Οἱ ὄρνεις πάντες ἐπορεύοντό ποτε εἰς πανθοινίαν τοῦ
ὀρνιθομέδοντος Γαρούδα, κατὰ τὴν ἀκτὴν τοῦ Ὠκεανοῦ· ἐ-
πορεύετο δὲ καὶ εἷς πέρδιξ μετὰ κόρακος. Κατὰ δὲ τὴν
ὁδὸν βουκόλος ἐπὶ κεφαλῆς ἔφερεν ὀξύγαλα ἐν ἀγγείῳ. Καθ-
ιπτάμενος δ' ὁ κόραξ, ἐβρόχθιζε τοῦ ὀξυγάλακτος. Θέν-
τος δὲ κατὰ γῆς τοῦ βουκόλου τὸ ἀγγεῖον τοῦ ὀξυγάλακ-
τος καὶ ἀναβλέψαντος, ὁ μὲν κόραξ ἀπέπτη μακρὰν, ὡς
ὀξυπέτης· ὁ δὲ ἀθῶος πέρδιξ ἀνῃρέθη, ὡς βραδυπέτης.» Τοῦ-
το δ' ἔστιν, εἶπεν, ὃ εἶπον ἀνωτέρω·

«Οὐδέποτε δεῖ συνεῖναι ἢ συμπορεύεσθαι κακῷ ἀνθρώπῳ,
Π. Χ. ὁ μὲν Χὴν ἀνῃρέθη, συνὼν κόρακι, ὁ δὲ πέρδιξ
»συμπορευόμενος.»

Ἐγὼ δ' ἔφην· «Ἀδελφὲ ψιττακὲ, τί ταῦτα λέγεις κατ'
ἐμοῦ; Καθὼς σεβάσμιός ἐστι παρ' ἐμοὶ ὁ Βασιλεὺς, οὕτω
καὶ σύ.» Ὁ δὲ ἔφη· «Ἔστω οὕτω. Λέγεται δ' ὅμως·

«Οἱ λόγοι τοῦ δυστρόπου, εἰ καὶ ἡδεῖς εἰσι καὶ θυμήρεις,
»φόβον ὅμως προξενοῦσι, καθὼς τὰ ἄνθη, τὰ παρ' ὥραν γι-
»νόμενα[1].

(1) Φρονοῦσιν, ὡς εἰ ἄνθος ἢ καρπός τις γένοιτο παρ' ὥραν, κακός ἐστιν οἰωνός.

«Ἡ κακία σου ἐφάνη ἐκ τοῦ σοῦ λόγου· ὁ γὰρ λόγος σου αἴτιος ἐγένετο μάχης δύο Βασιλέων. Ὀρθῶς ἄρα λέγεται·

«Καὶ φανεροῦ ὄντος τοῦ κακοῦ, ὁ ἀνόητος ἥδεται καὶ «ἀγάλλεται, καθὼς ὁ ἀμαξοποιὸς, ὃς ἔθετο ἐπὶ κορυφῆς καὶ »τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὸν μοιχόν.»

Ἐμοῦ δ' ἐρωτήσαντος «Πῶς ἔχει τοῦτο;» ὁ ψιττακὸς ἀπεκρίνατο·

«Ἐν Σρηναγάρᾳ τῇ πόλει ἦν πλύτης, ᾧ ὄνομα Μανδαματὴς (δύσνους). Οὗτος ἤκουε μὲν ὡς ἡ γυνὴ αὐτοῦ μοιχαλίς ἐστιν, οὐκ ἐπίστευε δὲ, ὡς μὴ ἰδὼν αὐτὴν ὀφθαλμοφανῶς μετὰ τοῦ μοιχοῦ.

Καί ποτε πρὸς πίστωσιν, εἰπὼν τῇ γυναικὶ αὐτοῦ, ὡς πορεύεται εἰς κώμην τινὰ, ἀνεχώρησεν. Ἀναστρέψας δ' ἔπειτα, εἰσέδυ κρυφίως τὸν οἶκον, καὶ ἔμενεν ὑπὸ τὴν κλίνην ἡσύχως. Θαρρήσασα δ' ἡ μοιχαλὶς ἐκάλεσε τὸν μοιχὸν κατὰ τὴν ἑσπέραν, ὃς ἐλθὼν ἀνεκλίθη ἐπὶ τῆς κλίνης. Ἐλθοῦσα δὲ καὶ ἡ μοιχαλὶς ἐπὶ τὴν κλίνην, ἔθιξε τοῦ ὑπὸ τὴν κλίνην ἀνδρὸς διὰ τοῦ ποδὸς, καὶ εἰκάσασα ὡς αὐτός ἐστι, περίλυπος ἐγένετο. Καὶ ἐρωτήσαντος τοῦ μοιχοῦ, «Πῶς οὐ συμπαίζεις, ἀλλὰ σύννους εἶ;» ἀπεκρίνατο· «Ὁ ἐμὸς ἀνὴρ, ὃς ἐστιν ἡ πνοή μου καὶ ἡ ψυχή μου, σήμερον εἰς ἑτέραν κώμην ἀνεχώρησε· καίτοι δὲ ἡ κώμη αὕτη πλήρης ἐστιν ἀνθρώπων, ὥς περ ἔρημός μοι ὅμως φαίνεται. Πῶς δ' ἄρα ἐν ξένῃ γῇ οὗτος ζήσεται; ἢ πῶς κοιμηθήσεται; Ταῦτα διανοουμένη, διαρρήγνυμαι τὴν καρδίαν.» — «Πόθεν σοι τοσαύτη ἀγάπη πρὸς τὸν ἀμαξοπηγὸν, ὃς φίλερις ὢν, μοιχαλίδα καὶ ἀκόλαστον ἀποκαλεῖ σε;» ἤρετο ὁ μοιχός. Ἡ δ' ἀπεκρίνατο· «Τί λέγεις, βάρβαρε; ἄκουσον·

«Ἐκείνη ἐστὶν ἀγαθὴ γυνὴ, ἣ χαρωπός ἐστι, καί τοι ὑπὸ τοῦ ἀνδρὸς ὀνειδίζεται, καὶ θυμοειδεῖ βλέμματι βλέπεται.

«Ἀγαθὰ πολλὰ γίνεται ἐν τούτῳ τῷ Κόσμῳ τῇ γυναικὶ «ἐκείνῃ, ὑφ' ἧς ἀγαπᾶται ὁ ἀνὴρ, εἴτε ἀστικός ἐστιν, εἴτε »χωρικὸς, εἴτε κακὸς, εἴτ' ἀγαθός.

«Ὁ ἀνὴρ μέγα καλλώπισμά ἐστι τῇ γυναικὶ, εἰ καὶ ἀ»καλλώπιστός ἐστι· διαζευχθεῖσα δὲ τοῦ ἀνδρὸς, εἰ καὶ »καλλωπίζεται, ἀκαλλώπιστός ἐστι.»

Ἀκούσας ὁ ἀμαξοποιὸς, ἔλεγεν ἐν ἑαυτῷ· «Μακάριος ἐγὼ, ὃς ἔχω τοιαύτην γυναῖκα φιλόφρονα καὶ χρηστολόγον,» καὶ θεὶς τὴν κλίνην ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ, καὶ ἀναστὰς ἐχόρευε διὰ πολλοῦ ἀγαλλόμενος.

«Τοῦτο δ' ἐστιν, εἶπεν ὁ ψιττακὸς, ὃ εἶπον ἀνωτέρω·

«Καὶ φανεροῦ ὄντος τοῦ κακοῦ, ὁ ἀνόητος ἥδεται καὶ »ἀγάλλεται, καθὼς ὁ ἀμαξοποιὸς, ὃς ἔθετο ἐπὶ κορυφῆς καὶ »τὴν ἑαυτοῦ γυναῖκα καὶ τὸν μοιχόν.»

«Εἶτα δ' ἐγὼ, ἔφη ὁ λάρος, ἀσπασάμενος τὸν Βασιλέα, ἀνεχώρησα· ὁ δὲ ψιττακὸς ἔρχεται κατόπιν μου. Ταῦτα οὖν γνόντες, ποιήσατε τὸ προσῆκον.»

Μειδιάσας δ' ὁ χηναλώπηξ, ἔφη εἰρωνικῶς· «Οὗτος ὁ λάρος, τῷ ὄντι ὑπόθεσιν βασιλικὴν ἐτέλεσεν, ὅση δύναμις· φύσις δ' αὕτη ἐστι τῶν ἀνοήτων, ὡς καὶ λέγεται·

«Βελτίων ἐστιν ἡ χρηματικὴ ζημία, ἢ ἡ μάχη. Τοῦ »μὲν ἔμφρονος σημεῖον τοῦτό ἐστιν, τοῦ δ' ἄφρονος σημεῖον »ἡ μάχη, ἄνευ αἰτίας.»

«Ἅλις τῆς χλεύης, ἔφη ὁ Βασιλεύς· τελεσθήτω δὲ τὸ συμφέρον.» — «Κατ' ἰδίαν ἐρῶ, ὦ Βασιλεῦ, ἔφη ὁ χηναλώπηξ. Λέγεται γάρ·

«Οἱ φρόνιμοι καταλαμβάνουσι τὰ ἐν τῇ καρδίᾳ τοῦ ἀν»θρώπου διὰ τῆς ἠχοῦς τῶν προφερομένων χθαμαλῇ τῇ »φωνῇ λόγων, καὶ διὰ τῆς μεταλλαγῆς (μεταβολῆς) τοῦ »ὄμματος καὶ τοῦ προσώπου.»

Ὁ μὲν οὖν Βασιλεὺς καὶ ὁ ὕπαρχος ἔμειναν ἔνθα ἦσαν·

οἱ δὲ λοιποὶ ἀνεχώρησαν ἕκαστος εἰς τὰ ἴδια. Τηνικαῦτα, ἔφη ὁ χηναλώπηξ· «Ἐγὼ συμπεραίνω, ὦ Βασιλεῦ, ὡς ὁ λάρος οὕτως ἔπραξεν ἐκ παρακινήσεώς τινος τῶν ἡμετέρων βουλευτῶν. Λέγεται γάρ·

«Ὁ μὲν ἄῤῥωστος εἰς ὠφέλειάν ἐστι τῶν ἰατρῶν, ὁ δὲ »κακῶς ἔχων Βασιλεὺς εἰς ὠφέλειαν τῶν βουλευτῶν, ὁ δ' »ἀπαίδευτος εἰς ὠφέλειαν τοῦ εὐπαιδεύτου, ὁ δὲ διαφερό-«μενος εἰς ὠφέλειάν ἐστι τοῦ Βασιλέως[1]. »

«Μετέπειτα, ἔφη ὁ Βασιλεὺς, σκέψις καὶ θεωρία ἔστω περὶ τούτου· νῦν δὲ φράζε ὅ,τι δεῖ πρᾶξαι-» — «Κατάσκοπος περιφθήτω, ἔφη ὁ χηναλώπηξ· ἐκ γὰρ τούτου γνωσόμεθα τί μελετᾷ πράξαι ὁ ἐχθρὸς, καὶ πόση ἐστὶν ἡ δύναμις αὐτοῦ. Λέγεται γάρ·

«Ὁ κατάσκοπος ὀφθαλμός ἐστι τοῦ Βασιλέως, ὃς βλέ»πει τὰ ὀρθῶς γινόμενα, ἢ μὴ, ἔντε τῇ οἰκείᾳ καὶ ἐν τῇ »ἀλλοτρίᾳ γῇ. Ὁ δὲ Βασιλεὺς, ὁ μὴ ἔχων τοιοῦτον ὀφθαλ»μὸν, τυφλός ἐστι.»

«Οὗτος αὐτὸς δ' ὁ κατάσκοπος λαβέτω καὶ ἕτερον βοηθόν· καὶ αὐτὸς μὲν μενέτω ἐν τῇ χώρᾳ τοῦ ἐχθροῦ, ἀποστελλέτω δὲ τὸν ἕτερον κρυφίως μετ' εἰδήσεως τῶν ὧν ἀκούει καὶ βλέπει.» Ἐν τούτῳ εἰσδὺς ὁ θυρωρὸς, προσεκύνησε καὶ εἶπε· «Ψιττακός τις ἐλήλυθεν, ὦ Βασιλεῦ, ἀπὸ τῆς χώρας Ζαμβοῦς.» Ὁ δὲ Βασιλεὺς ἔνευσε πρὸς τὸν χηναλώπεκα, ὃς καὶ εἶπε τῷ θυρωρῷ· «Ἀπάγαγε τοῦτον εἰς οἶκον εὐτρεπῆ, κἄπειτ' ἄγαγε ἔμπροσθεν τοῦ Βασιλέως.» Ὁ δ' οὕτω καὶ ἐποίησε. «Πόλεμος ἄρα ἐξερράγη,» ἔφη ὁ Βασιλεύς. Ὁ δὲ, «Εἰ καὶ οὕτω φαίνεται, ἔφη, πόλεμος ὅμως οὐ συμφέρει. Λέγεται γάρ·

«Οὐδέποτε ὁ φρόνιμος τρόπον ποιεῖται νικῆσαι τοὺς ἐχ»θροὺς διὰ πολέμου· ὁ γὰρ πόλεμος δύο μαχομένων ἀμ»φίβολός ἐστι.

(1) Διαφερόμενος ὁ λαὸς καὶ δικαζόμενος, χρηματικὴν τιμὴν τῷ Βασιλεῖ ἀποτίνει.

«Ὁ φρόνιμος τρόπον ποιεῖται πειθήνιον ποιῆσαι τὸν ἐχ-»θρὸν διὰ κολακείας, διὰ δόσεως καὶ διὰ διχονοίας, οὐδέ-ποτε δὲ διὰ πολέμου.

«Ἕκαστος ἥρως ἐστὶν, ὃς οὐκ ἐπειράθη πολέμου. Τίς »οὐκ ὑπέρφρων, ὃς οὐκ ἐπειράθη τῆς δυνάμεως τοῦ ἐχθροῦ;

«Ὁ μέγας λίθος οὐ τοσοῦτον εὐκόλως ἀνίσταται διὰ »πολλῶν χειρῶν, ὅσον δι' ἑνὸς μοχλοῦ· ἐκ γὰρ μικρᾶς με-»θόδου μεγάλη λυσιτέλεια γίνεται. Μέγα ἄρα κέρδος ἡ »βουλὴ καὶ ἡ σκέψις.

«Ὅταν δ' ὁ Βασιλεὺς ἴδῃ ὡς ὁ πόλεμος ἄφευκτός ἐστι, »τότε ἀνδριζέσθω καὶ ἐνεργείτω ὅση δύναμις (Τότε ἀργὸς »μὴ ἔστω).

«Πόρρω μὲν ὄντος τοῦ δεινοῦ, ἰδιόν ἐστι μεγαλόφρονος »καὶ ἔπαινος, τὸ φοβεῖσθαι· ἐγγὺς δ' ὄντος, τὸ ἀνδρίζεσθαι »καὶ ἐγκαρτερεῖν· ἐν γὰρ δεινοῖς ὁ μεγαλήτωρ ἀνδρίαν »ἔχει καὶ καρτερίαν.

«Τὸ ὑπέρθερμον (τῆς διαθέσεως) πρῶτον ἐμπόδιον πάν-»τως ἐστὶ πάσης τελεσφορίας· τὸ ὕδωρ, καίπερ ὑπέρψυχρον »ὄν, οὐ διαῤῥηγνύει τὴν ἐπιφάνειαν τῆς γῆς;

«Μάλιστα δὲ ὁ Σιτραβάρνας μεγαλοδύναμός ἐστι Βασι-»λεύς· ὀρθῶς ἄρα λέγεται·

«Οὐκ ἔστιν ἴδιον φρονήσεως τὸ πολεμεῖν δυνατῷ. Τὸ »πολεμεῖν ἐλέφαντι θάνατον προξενεῖ τῷ ἀνθρώπῳ.

«Ἀνόητός ἐστιν, ὃς ἔρχεται κατ' ἐχθροῦ ἐν μὴ δέοντι καὶ-»ρῷ· ἡ γὰρ πρὸς δυνατὸν μάχη θανατός ἐστιν, ὡς ἡ πτέ-»ρωσις τοῦ μύρμηκος.

«Ἐν καιρῷ ὁ φρόνιμος συστελλέτω τὰ μέλη, ὡς ἡ χελώνη, »καὶ φερέτω τὰς πληγάς· καὶ ἐν καιρῷ ἀνιστάτω ὡς ἰτα-»μὸς ὄφις.

(*Τὰ λοιπὰ λείπουσιν ἐν τῷ χειρογράφῳ τοῦ ἀοιδίμου Δ Γαλανοῦ*).

ΣΤΕΦΑΝΙΤΗΣ

ΚΑΙ

ΙΧΝΗΛΑΤΗΣ,

ΗΤΟΙ

Βιβλίον φυσιολογικὸν (ἠθικοπολιτικὸν), μετακομισθὲν ἐκ τῆς Ἰνδίας, καὶ δοθὲν τῷ Βασιλεῖ Χοσρόῃ ἐν Περσίδι, παρά τινος Περζωὲ, σοφοῦ καὶ ἰατροῦ τὴν τέχνην, καὶ μετενεχθὲν εἰς τὴν Ἀράβων γλῶσσαν.

Ὑπὸ δὲ

Συμεὼν Μαγίστρου καὶ φιλοσόφου τοῦ Σὴθ, εἰς τὴν Ἑλλήνων διάλεκτον μεταβληθὲν, καλούμενον ἀραβιστὶ μὲν Κυλίλε καὶ Δίμνε, ἑλληνιστὶ δὲ

ΣΤΕΦΑΝΙΤΗΣ καὶ ΙΧΝΗΛΑΤΗΣ.

Ἐκδοθὲν νῦν τὸ δεύτερον ὡς συμπλήρωμα

Τῆς ἐκ τοῦ Ἰνδικοῦ ὑπὸ *Δημητρίου Γαλανοῦ* ἀτελοῦς μεταφράσεως τοῦ πρωτοτύπου συγγράμματος τοῦ Βισνοῦ-Σαρμᾶνος, ἐπιγραφομένου *Χιτοπαδάσσα, ἢ Πάντσα Τάντρα,*

ἤτοι Πεντάτευχος.

ΕΝ ΑΘΗΝΑΙΣ.

Ἐκ τῆς Τυπογραφίας Γ. Χαρτοφύλακος.

1851.

ΣΤΕΦΑΝΙΤΗΣ

ΚΑΙ

ΙΧΝΗΛΑΤΗΣ.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

Ἐν ᾧ ὑπάρχει μυθικὴ διήγησις τῶν κατὰ τὸν Στεφανίτην καὶ Ἰχνηλάτην.

Ὁ τῶν Ἰνδῶν Βασιλεὺς Ἀβεσσαλὼμ ἤρετό τινα τῶν περὶ αὐτὸν φιλοσόφων λέγων· «Βούλομαί σε ὑποδειγματίσαι μοι, τῷ τρόπῳ ὁ δολιὸς καὶ πονηρὸς ἀνὴρ, μεσολαβήσας, εἰς ἔχθραν μεταβάλλει τὴν μεταξὺ τινῶν συστᾶσαν φιλίαν.»

Ὁ δὲ φιλόσοφος ὑπολαβὼν οὕτως ἔφη· «Λέγεται, ὡς ἔμπορός τις πολύολβος ὤν, καὶ βίου ἐπιετανοῦ (κατὰ τὴν ποίησιν) εὐπορῶν, καὶ παῖδας ἔχων νωχελεῖς, καὶ μὴ βουλομένους δι' ὄκνον ἄσκησίν τινα τέχνης μεταχειρίσασθαι, παραινετικοῖς τοιοῖσδε πρὸς αὐτοὺς ἐχρῆτο ῥήμασιν· «Ὦ τέκνα, λέγων, ὁ ἐν τῷ βίῳ τούτῳ ἀναστρεφόμενος, τριῶν δεῖται πραγμάτων· αὐτάρκους περιουσίας, δόξης τῆς παρὰ ἀνθρώπων, καὶ ἐπιτυχίας τῶν ἀποταμιευομένων ἐκεῖσε τοῖς δικαίοις ἀγαθῶν. Ταῦτα δὲ τὰ τρία οὐκ ἄλλως ἐπιγίνεταί τινι, εἰ μή γε διὰ τῶν τεσσάρων τούτων· τουτέστι τοῦ κτᾶσθαι τὸν πλοῦτον ἐκ πόρου δικαίου καὶ εὐλόγου, καὶ τὰ ἀποκτηθέντα καλῶς οἰκονομεῖν καὶ διεξάγειν· εἶτα καὶ τὸ μεταδιδόναι τῶν ἀποκτηθέντων τοῖς δεομένοις· ὅπερ ἐν τῷ παρόντι βίῳ λυσιτελεῖ,

καὶ ἐν τῷ μέλλοντι· ἔτι καὶ τοῦ ἐκκλίνειν τὰ ἐπισυμβαίνοντα πτώματα, ὅσον τὸ κατὰ δύναμιν. Εἴτις οὖν ἕν τι τῶν τεσσάρων τούτων παραδράμῃ, οὐδὲν ἀνύσει. Εἰ γὰρ μὴ πλούτου εὐπορήσει, οὐκ ἂν καλῶς περὶ τὸν βίον συναναστραφῇ, οὔτέ τινας εὐεργετῆσαι δυνηθείη. Εἰ δὲ πλοῦτος μέν ἐστιν αὐτῷ, οὐ μὴν δὲ καλῶς τοῦτον οἰκονομεῖ, τάχιστ' ἂν τοῖς πένησι γενήσεται συναρίθμιος. Εἰ γὰρ καὶ δαπάνας ἐλαχίστας ποιεῖται, κατὰ μικρὸν δὲ, μὴ ἐπιγινομένης τινὸς προσθήκης, ὁ σύμπας αὐτῷ πλοῦτος ἀναλωθήσεται, καθάπερ τὸ στίμμι, ὅπερ κατὰ μικρὸν, ὡς χοῦς μεταδιδόμενον, δαπανᾶται. Εἰ δὲ ὁ πλοῦτος ἀποκτηθῇ μὲν, καὶ τῆς εἰσφορᾶς ἐπιμέλεια γένηται, οὐ μὴν ἐκ τούτου μεταδοθῇ τι καὶ τοῖς χρῄζουσι, πένης πάλιν ὁ τοῦτον ἔχων λογισθήσεται· καὶ αἴτιος αὐτῷ ὁ πλοῦτος παντελοῦς ἀπωλείας γενήσεται, καὶ διαῤῥαγήσεται τὰ τῆς εὐπορίας, καθάπερ οἱ σωλῆνες διαῤῥήγνυνται, ὅτε ἐν αὐτοῖς, ὕδωρ προστιθέμενον ὕδατι, πόρον ἀποῤῥοίας οὐχ εὑρίσκει. »

Τούτων ἀκούσαντες οἱ παῖδες τῶν παραινέσεων, ἐπείσθησαν τῇ τοῦ πατρὸς συμβουλῇ. Καὶ ὁ πρῶτος αὐτῶν πρὸς ἐμποπορίαν ἐστάλη, ἔχων μεθ' ἑαυτοῦ ἅμαξαν, ὑπὸ δύο ταύρων ἑλκομένην. Συνέβη δὲ κατὰ τὴν ὁδὸν βαλτώδει τινὶ τόπῳ θάτερον τῶν βοῶν συμποδισθῆναι. Ἐφ' ᾧ ὁρμηθεὶς ἅμα τοῖς ὑπ' αὐτοῦ, ἀνήγαγον αὐτὸν ἐκ τοῦ πηλοῦ. Καὶ δὶ ἣν ὑπέστη βίαν, ἑλκόμενός τε καὶ ἀνθέλκων, ἀτονήσας κατελήφθη, περαιτέρω προχωρεῖν μὴ δυνάμενος. Παντελεῖ δὲ ἀπορίᾳ ὁ ταῦρος συσχεθείς, ῥῆμα βαδίσας πεδίον εὖρε χλοηφόρον καὶ ὑδατώδες, ἐν ᾧ καὶ ἔμενε διαιτώμενος. Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ πάνυ λιπανθεὶς καὶ παχυνθεὶς, ἤρξατο τοῖς κέρασι τὴν γῆν κατορύσσειν. καὶ μέγα μυκᾶσθαι.

Διῆγε δὲ πλησίον αὐτοῦ λέων τις τῶν θηρίων βασιλεύς. Παρῴκουν δὲ τούτῳ θηρίων καὶ ζώων γένη διάφορα, λεόντες τε καὶ ἄρκτοι, λύκοι τε καὶ λαγωοὶ, πάρδοιτε καὶ ἀλώπεκες,

θῶες τε καὶ λυκοπάνθηρες, καὶ ἕτερα ζώων ἀλόγων εἴδη. Ὁ δὲ λέων στιγματίας ἦν, καὶ ἠπορημένος, καὶ ἐλλιπὴς τὴν φρόνησιν. Ἀκούσας οὖν τῶν τοῦ ταύρου μυκηθμῶν, καὶ ἀνήκοος τοιούτου ἦχου ὢν, ἐδειλίασε σφόδρα, καὶ οὐκ ἠθέλησε τὴν δειλίαν αὐτοῦ τοῖς ὑπ᾽ αὐτὸν φανερῶσαι, ἀλλ᾽ ἔστη ἐφ᾽ ἑνὸς τόπου ἀμετακίνητος.

Παρῆσαν δὲ ἐκεῖσε σὺν τοῖς ὑπ᾽ αὐτὸν θῶες δύο, ὁ μὲν Στεφανίτης, ὁ δὲ Ἰχνηλάτης καλούμενος, ἀμφότεροι ποικίλοι τὴν φρόνησιν. Πλὴν ὁ Ἰχνηλάτης πονηρὸς ἦν τὴν ψυχὴν, καὶ πλέον ἐφιέμενος τῆς τῶν πραγμάτων καταλήψεως. Ὃς δὴ καὶ εἶπε τῷ Στεφανίτῃ· «Τί δῆτα, ὦ ἑταῖρε, ὁρῶμεν τὸν λέοντα ἀμετακίνητον, ὥσπερ πεπηγότα, καὶ κατὰ τὸ εἰωθὸς μὴ καταδυναζεύοντα;» Ὁ δὲ Στεφανίτης ὑπολαβὼν ἔφη· «Τίσοι κοινὸν καὶ ταῖς τοιαύταις ἀνοήτοις ἐρωτήτεσιν; οὐδὲ γὰρ ἡμῖν πρόσεστί τι ἀνιαρόν· ἀλλὰ τῇ πύλῃ τοῦ ἡμετέρου Βασιλέως προσκαρτεροῦντες, τὴν ἐφήμερον ἑκάστοτε τροφὴν ποριζόμεθα· ἀλλ᾽ οὐδὲ οἷοι ἐσμὲν περὶ Βασιλέων διαλέγεσθαι, καὶ τὰ τούτων ἀδύνατα περισκοπεῖν. Παῦσε οὖν τῶν τοιούτων καὶ ἴσθι, ὡς ὁ χρώμενος ἀνοικείοις αὐτῷ ἔργοις τε καὶ λόγοις, πείσεται κἀκεῖνος κατὰ πάντα τὸ τοῦ πιθήκου. Λέγεται γὰρ, ὡς πιθηκός τις, ἰδὼν τέκτονα ξύλα σχίζοντα πάλοις δυοῖν, τὸν ἕνα ἀφαιροῦντα, καὶ ὠθοῦντα τὸν ἕτερον, καὶ ταῦτα παρομοιάσαντα ἐφίππῳ ἀνδρὶ, διά τινα χρείαν μετὰ ταῦτα ἀποδημήσαντα, ἐπιβὰς τοῦ ξύλου ὁ Πίθηκος ἐπεχείρησε ποιεῖν τὰ ὅμοια. Τῶν δὲ παιδογόνων αὐτοῦ μορίων τοῖς τοῦ ξύλου ῥήγμασι συμπιεσθέντων, ἐλειποθύμησε· τοῦ δὲ τέκτονος καταλαβόντος αὐτὸν, ἐτιμωρήθη τὰ μέγιστα. Οὕτω καὶ σὺ πάθοις ἂν, εἰ τοῖς τοιούτοις χρᾷ. Ὁ δὲ Ἰχνηλάτης, «Ἔγνων, φησὶν, ἅπερ μοι προύτεινας· ἀλλ᾽ ἴσθι ὅτι καὶ δόξης ἐφίεσθαι δεῖ, εὐφραινούσης μὲν τοὺς φίλους, ἀνιούσης δὲ τοὺς ἐχθρούς. Χθαμαλῶν γὰρ καὶ χαμαιρεπῶν ἀνδρῶν τὸ ἀρκεῖσθαι τοῖς τυχοῦ-

χοῦσι, καὶ στέργεσθαι τούτοις, ἐπεὶ καὶ ὁ κύων πολλάκις, ὑστοῦν εὑρίσκων ξηρότατον, ἐφήδεται τούτῳ· ὁ δέ γε ὑψίνους ἀνὴρ οὐ μέχρι τῶν οὐδαμινῶν ἵσταται καὶ τῶν εὐτελῶν, ἀλλὰ τὰ ἄνω ἐπιζητεῖ, καὶ τὰ ἄξια τούτων διώκει, καθάπερ ὁ λέων ὁ τοῦ λαγωοῦ κατατρέχων· ἐπεὶ δ' ἂν ἴδῃ τὴν κάμηλον, ἀφεὶς ἐκεῖνον, κατατρέχει αὐτῆς. Ἢ οὐκ οἶσθα, τὸν κύνα τῷ οὐραίῳ σαίνοντα, ἄχρις ὅτου τῆς τροφῆς ἀπολαῦσει τοῦ ἕρτου· τὸν δὲ μέγαν ἐλέφαντα, προσφερομένης τῆς τροφῆς ἀπαναινόμενον, καὶ μόλις τῷ κολακεύεσθαι ταύτην ἐσθίοντα; Καὶ γὰρ ὁ μεγαλόθυμος ἀνὴρ, καὶ μεγαλεπήβολος, καὶ εὐμετάδοτος, κἂν μὴ ἐπὶ μακρῷ χρόνῳ τὸν βίον καταλλάξῃ, ἀλλὰ μακροβιώτατος γνωρίζεται. Ὁ δὲ βίῳ στενοτάτῳ καὶ ταλαιπώρῳ σιζῶν, καὶ μήτε ἑαυτὸν, μήτε ἑτέρους ὠφελῶν, βραχύβιος οὗτός ἐστι, καὶ μινυνθάδιος, εἰ καὶ εἰς βαθὺ καταντήσει γῆρας.»

Ὁ δὲ Στεφανίτης ἔφη· «Ἔγνων ἃ λέγεις· ἀλλὰ λόγισαι, ὡς ἕκαστος ἴδιον μέτρον ἔχει. Καὶ ὅτε ἔστι τις παρὰ τοῖς ὁμοτίμοις ἔντιμος, δεῖ τοῦτον ἀρκεῖσθαι ἰδίῳ βαθμῷ. Τοιοῦτοί ἐσμεν καὶ ἡμεῖς. Οὐκοῦν ἀσπαστέον τὸ μέτρον τὸ καθ' ἡμᾶς.» Καὶ Ἰχνηλάτης «Κοιναὶ πᾶσαι αἱ τοῦ βίου ἀξίαι, καὶ ὁ μεγαλόνους ἀνὴρ ἀεὶ ποιεῖται τὴν ἄνοδον· ὁ δὲ χαμαιρεπὴς ἀεὶ κάτεισι. Δυσχερὲς γὰρ τὸ κάτωθεν ἄνω ἀποπηδᾶν· εὐχερὲς δὲ τὸ ἀπὸ τῶν ἄνω κατιέναι ἐπὶ τὰ χθαμαλώτερα. Ὥσπερ ὁ λίθος δυσχερῶς μὲν ἄνω φέρεται, ῥαδίως δὲ πρὸς τὰ κάτω χωρεῖ. Δεῖ οὖν ἡμᾶς τὰ ἄνω ἐπιζητεῖν, ὡς οἷόν τε, καὶ μὴ στέργεσθαι τῷ οἰκείῳ μέτρῳ, ἐξὸν μεταβαίνειν εἰς ἕτερα. Καὶ βούλομαι τὴν τοῦ λέοντος περίστασιν πρόφασιν λαβεῖν τῆς πρὸς αὐτὸν ὁμιλίας καὶ οἰκειώσεως· ὁρῶ γὰρ αὐτὸν ἀσυλλόγιστον, καὶ πάντῃ ἠπορημένον ἅμα τοῖς ὑπ' αὐτὸν στρατιώταις, καὶ ἴσως τύχω παρ' αὐτοῦ ἀξίας τινός.»

Ἀποκριθεὶς δὲ ὁ Στεφανίτης, «Καὶ πόθεν σοι δῆλον, ἔφη,

ὅτι ὁ λέων ἠπόρηται; Καὶ ὁ Ἰχνηλάτης· «Οἶδα, φησί, τ[illegible]του λογισμόν· ὁ γὰρ ἐχέφρων ἀνὴρ διαγνῶναι δύναται τὰ τοῦ πλησίου διανοήματα, στοχαζόμενος τούτου ἔκ τε τῆς διαθέσεως καὶ σχήματος.» Καὶ ὁ Στεφανίτης· «Καὶ πῶς ἐλπίζεις χάριν εὑρεῖν παρὰ τῷ λέοντι, οὐδέποτε Βασιλεῦσιν ὑπηρετήσας, μηδὲ ἐπιστήμην ἔχων αὐτὸς τῆς ὁμιλίας αὐτῶν καὶ τῆς παιδείας ἀξίαν;» Καὶ ὁ Ἰχνηλάτης· «Ὁ νουνεχὴς ἀνὴρ, φησίν, οἶδεν ἀναστρέφεσθαι, καὶ ἐν οἷς ἐμπειρίαν οὐκ ἔχει· ὁ δὲ μὴ τοιοῦτος καὶ περὶ τὴν ἰδίαν τύχην σφάλλεται.» Ὁ δὲ Στεφανίτης ἔφη· «Ὁ ἐξουσιαστὴς οὐκ εἴωθε λαμβάνειν τὸν κρείττονα τῶν παρ' αὐτῷ ἀλλὰ καὶ τῶν λοιπῶν πλησιέστερον, παρομοιούμενος τῇ ἀμπέλῳ· αὕτη γὰρ οὐ τοῖς κρείττοσι τῶν δένδρων, ἀλλὰ καὶ τοῖς πλησιέστερον περιπλέκεται. Πῶς οὖν αὐτὸς οἰκειοῦσθαι δυνήσῃ τῷ λέοντι, τούτου ἀπῳκισμένος ὑπάρχων;» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ἔγνων, ὅσα εἴρηκας, καὶ ἀληθῆ εἰσι· ἀλλ' οἶδα τοὺς οἰκειοτέρους μὴ ὄντας πρότερον τοιούτους, ἀλλὰ ἀναχθέντας κάτωθεν. Βούλομαι οὖν κἀγὼ οὕτως ἐπιχειρήσασθαι. Λέγεται γὰρ, ὅτι πᾶς ὁ προσανέχων τῇ βασιλικῇ αὐλῇ, τὴν ὑπερηφανίαν ἀποῤῥίψας, καὶ τὸν θυμὸν δαμάσας, καὶ τὴν βλάβην ὑπομένων, καὶ τοῖς πᾶσιν ὑπείκων, οἰκειοῦται τάχιστα τῷ Βασιλεῖ.» Καὶ ὁ Στεφανίτης αὖθις φησί· «Καὶ ὑπόθου νῦν, ὅτι προσεγγίσεις τῷ λέοντι· πῶς οὖν δυνήσῃ χάριν εὑρεῖν παρ' αὐτῷ;» Καὶ ὁ Ἰχνηλάτης, «Ὅτε προσεγγίσω τούτῳ, φησί, γνώσομαι τά τε ἤθη αὐτοῦ, καὶ τὴν γνώμην αὐτοῦ ὄψομαι· καὶ βουλόμενον μὲν τινι ἐπιχειρήσασθαι τῶν λυσιτελῶν, διεγερῶ μᾶλλον αὐτὸν πρὸς τὴν πρᾶξιν, καὶ παρασκευάσω τοῦτον ἐπὶ πλεῖον τῷ τελεσιουργήματι ἐπιτρέπεσθαι· μεταχειριζομένῳ δέ τι τῶν ἀσυμφόρων, ἀποκαλύψω αὐτῷ τὴν ἐκ τοῦ τοιούτου ἔργου βλάβην, καὶ τὸ ἐν τῇ καλύψει αὐτοῦ λυσιτελές. Καὶ τοῦτο εὐμεθόδως καὶ κολακευτικῶς ἐργάσομαι, καὶ οἶμαι, ὡς τοι-

οὐτοτρόπως ὁ λέων με ἀγαπήσει, καὶ τῶν ἄλλων προκρινεῖ. Ὁ γὰρ συνετὸς ἀνὴρ δύναται τὸ ἀληθὲς κυρῶσαι, καὶ τὸ ψεῦδος συστῆσαι· ὥπερ καὶ ὁ ἄριστος γραφεὺς παραχαράττειν ἰσχύει τὴν ἀλήθειαν, σχηματίζων εἰσελεύσεις τινῶν, καὶ ἐξελεύσεις ἐν ἐπιπέδῳ.»

Ὁ δὲ Στεφανίτης ἔφη· «Εἰ ταῦτα βούλῃ, δεῖ σε παραφυλάττεσθαι τὴν παρὰ τῷ Βασιλεῖ οἰκειότητα. Οὐδεὶς γὰρ ἐχέφρων τῶν δε τῶν τριῶν κατατολμᾷ, ἀλλ᾽ οὐδὲ ῥαδίως ἐξ αὐτῶν σώζεται· λέγω δὴ τῆς πρὸς τοὺς Βασιλεῖς ἐγγύτητος, καὶ τῆς τοῦ δηλητηρίου διαπειρᾶν μεταλήψεως, καὶ τοῦ ταῖς γυναιξὶ πιστεύειν μυστήρια. Παρείκασται γὰρ ὁ Βασιλεὺς ὄρει κρημνώδει καὶ δυσβάτῳ, παντοίαις ὀπώραις, καὶ πόαις κομῶντι, θηρίων τε καὶ λεόντων πλήρει· ἐφ᾽ ὃ καὶ ἡ ἄνοδος δυσχερής. καὶ ἡ διαμονὴ ἐπισφαλής.» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ἀληθῶς εἶπας· ἀλλ᾽ ὁ μὴ κινδύνων κατατολμῶν, οὐ τυγχάνει τῶν ἐφετῶν, καὶ ὁ πρὸς πᾶν πρᾶγμα ἐπτοημένος, ἄμοιρος πάντων μένει. Λέγεται γάρ, ὡς τὰ τρία ταῦτα οὐδεὶς ὑπεισέρχεται τῶν μικροψύχων· λέγω δὴ τὰς βασιλικὰς ὑπηρεσίας, καὶ τὴν διὰ θαλάσσης ἐμπορίαν, καὶ τὴν ταχεῖαν πρὸς τὸν ἐχθρὸν συμπλοκήν. Δύο γὰρ ἀφώρισται τόποι τῷ μεγαλόφρονι ἀνδρί· αἱ Βασίλειαι αὐλαὶ, καὶ αἱ ἐν ἐρήμοις παρὰ τοῖς ἀσκηταῖς διατριβαὶ, ὥσπερ καὶ τῷ ἐλέφαντι, ἥτε ἔρημος, καὶ ἡ ἐν τοῖς βασιλείοις διαγωγή.» — «Καὶ αὐθις, φησὶν ὁ Στεφανίτης, οὐ συναινῶ σοι περὶ τῶν τοιούτων. Ἄπελθε, καὶ ποίει, ὃ βούλει.»

Ὁ δὲ ἰχνηλάτης εὐθέως ἀπελθὼν πρὸς τὸν λέοντα, προσεκύνησεν αὐτῷ· ὁ δὲ λέων ἐπηρώτησεν αὐτὸν, ἔνθα διῆγε τὸν τοσοῦτον καιρόν. Ὁ δὲ Ἰχνηλάτης, «Οὐ διέλειπον, φησὶν, ἀεὶ προσανέχειν τῇ βασιλικῇ πύλῃ, ἐλπίζων διὰ παντὸς ἀξιοῦσθαι συνεργείας τινὸς μεταδοῦναι τῷ Βασιλεῖ, εἰδὼς ὡς τινα τῶν πραγμάτων ἐπιδέονταί ποτε καὶ τῆς χθαμαλῶν καὶ

ἀδήλων ἀνδρῶν συμμεταλήψεως, καὶ πολλοὶ τῶν τῆς κάτω τύχης πολλάκις ἐν μεγάλοις πράγμασι λυσιτελοῦσι· τῷ γὰρ ἐρριμμένῳ καὶ ἐπὶ γῆς κειμένῳ ζύλῳ ἐνίοτε χρώμεθα πρὸς ὠτὸς κνησμόν.» Ὡς οὖν ἤκουσεν ὁ λέων τῶν τοιούτων λόγων, εἶπε πρὸς τοὺς ὑπ' αὐτόν· «Ὁ εὐσυνείδητος καὶ λόγιος ἀνὴρ ἀγνοεῖται πολλάκις· πλὴν καθάπερ τὸ ὑποκρυπτόμενον πῦρ, ὁπόταν εἰς φῶς ἐξέλθῃ, ἀέριον τὴν φλόγα ἀπεργάζεται, παραπλησίως καὶ οὗτος, καιροῦ τυχών, ἐκ μόνης τῆς ὁμιλίας οἷος ἐστὶ, κατάδηλος γίνεται.» Ὡς οὖν ἔγνω ὁ Ἰχνηλάτης, ὅτι ἀρεστὸς κατεφάνη τῷ λέοντι, ἔφη· «Ὦ Βασιλεῦ, δεῖ τὴν αὐλὴν τοῦ Βασιλέως ἀναφέρειν εἰς αὐτὸν ἅπαντα τὰ δέοντα· τηνικαῦτα γὰρ ἑκάστῳ τὴν ἀξίαν ἐκεῖνος ἀπονεμεῖ τιμήν. Καὶ καθάπερ τὰ διάφορα σπέρματα, ὑπὸ γῆν κείμενα, οὐ φαίνεται οἷά ἐστιν, εἰ μή γε τῆς γῆς ἀναβλαστήσει, οὕτω καὶ ἕκαστος τῶν ἀνθρώπων διὰ τῶν οἰκείων αὐτῷ λόγων ὁποῖος ἐστὶ, δείκνυται. Καὶ δεῖ τὸν Βασιλέα μήτε τὸν τῆς κεφαλῆς κόσμον προσάπτειν τοῖς ποσὶ, μήτε τὸν τῶν ποδῶν τῇ κεφαλῇ ἐπισυνάπτειν. Καὶ γὰρ ὁ τὸν ὑάκινθον καὶ τοὺς μαργαρίτας τῷ μολίβδῳ συμπλέκων, ἑαυτὸν μᾶλλον, ἢ τοὺς μαργαρίτας ἠτίμησε· δεῖ γὰρ τὸν μὲν ἄρχοντα διακρίνειν τοὺς ὑπ' αὐτὸν, τὸν δὲ στρατηγὸν τοὺς στρατιώτας. Οὐ γὰρ τῷ πλήθει κατορθοῦσιν οἱ ἡγεμόνες τὰ ἐπιχειρήματα, ἀλλὰ τῇ ἀρίστῃ ἐκλογῇ· καὶ γὰρ ὀλίγοι ὑάκινθοι πολλῶν ἑτέρων εὐμεγέθων σωμάτων καὶ πραγμάτων ὠνησιμώτεροί εἰσι καὶ χρησιμώτεροι. Καὶ χρὴ τὸν ἡγεμόνα μὴ καταφρονεῖν τινὸς τῶν ὑπ' αὐτὸν εὐτελῶν· τὸ γὰρ μικρὸν οὐ μικρόν, φασιν, ὅταν ἐκφέρῃ μέγα. Δεῖ δὲ καὶ τὸν ἐξουσιαστὴν μὴ τοὺς κατὰ γένος περιφανεῖς μόνον προσίεσθαι, ἀλλὰ καὶ λυσιτελεῖν δυναμένους. Μήτε μὴν τοῖς περὶ αὐτὸν μόνοις ἀρκεῖσθαι, καὶ τούτοις προσανέχειν· ἀλλὰ καὶ πόρρωθεν τοὺς συνέσει καὶ παιδείᾳ κεκοσμημένους μετακαλεῖν. Οὐδὲν γὰρ ἐγγύτερόν

τινι ὑπὲρ τὸ ἴδιον σῶμα· ἀλλ' ὅτε νόσος τούτῳ ἐπισυμβῇ, τὰ πορφυρώτερα φάρμακα ὁ νοσῶν ἐπιζητεῖ. Καὶ οἱ μῦες πολλάκις βασιλικοῖς οἰκήμασι παρεδρεύουσιν, ἀλλ' οὐ προτιμώτεροι τοῦ ἱέρακος, τῆς ἐγγύτητος ἕνεκα· ὁ γὰρ ἱέραξ ἄγριος ὢν, διὰ τὴν ἐν αὐτῷ λυσιτέλειαν, μετακαλεῖται καὶ προσλαμβάνεται παρὰ Βασιλέων καὶ ἐπὶ βραχίονος φέρεται.»

Τούτων ἀκούσας τῶν ῥημάτων ὁ λέων, κατεπλάγη σφόδρα, καί φησι πρὸς τοὺς συνέδρους αὐτοῦ· «Οὐ δεῖ τὸν ἐπ' ἐξουσίας παρορᾶν τοὺς σπουδαίους ἄνδρας, κἂν ὦσι τῆς κάτω τύχης· ἀλλὰ ἑκάστῳ τὸ κατ' ἀξίαν ἀπονέμειν, κἂν ἅπαντες ἀπαρέσκωνται.» Ἰδὼν οὖν ὁ Ἰχνηλάτης εὐμενῆ τὴν τοῦ λέοντος πρὸς αὐτὸν ῥοπὴν, ὡμίλησε μετὰ θάρσους αὐτῷ κατὰ μόνας λέγων· «Τί τοῦτο, ὦ Βασιλεῦ, ὅτι ἐπὶ πολλὺν ἤδη καιρὸν ἔμεινας ἀκίνητος, μὴ καταβαίνων ἐπὶ τόπον ἕτερον ;» Ἠβουλήθη οὖν ὁ λέων τὴν αὐτοῦ δειλίαν ἀποκαλύψαι· ἀλλ' ἔφθασε τὸ μεταξὺ τῶν μυκηθμῶν ἀκούσας τοῦ ταύρου, καὶ ἔτι περίδηλος καὶ περίτρομος γεγονὼς, ἔφη· «Λέδοικα, μὴ ἀνάλογον εἴη τούτου τοῦ ζώου τὸ σῶμα τοῖς μυκηθμοῖς· καὶ εἰ οὕτως ἔχει, φευκτέον ἐνθένδε.» Ὁ δὲ Ἰχνηλάτης ὑπολαβὼν, «Μὴ φοβοῦ, φησιν, ὦ βασιλεῦ, τὰς ὑπερόγκους φωνάς· κεναὶ γὰρ πολλάκις εἰσὶν αὗται. Λέγεται γὰρ, ὡς ἀλώπηξ τὶς πεινῶσα, καὶ τροφὴν ἐπιζητοῦσα, προστετύχηκεν ἔν τινι ὕλῃ τυμπάνῳ, δένδρῳ ἀπηωρημένῳ, καὶ ἐν τῷ ὑπὸ ἀνέμων ὑποκρούεσθαι, ἀλαλαγμὸν ποιουμένῳ τοῖς τοῦ δένδρου κλωσί. Τούτου ἡ ἀλώπηξ ἀκούσασα, ἐδειλίασε προσεγγίσαι· εἶτα τῷ λιμῷ καὶ τῇ ὀρέξει ἡττηθεῖσα, κατετόλμησε τούτου. Πολλῶν γὰρ καὶ πιμελῶν κρεάτων πρότερον ἐπιτυχοῦσα, τῷ δὲ μεγέθει τοῦ τυμπάνου καὶ τῷ ἦχει πλανηθεῖσα, ἀπέσχετο τούτων. Διὸ πάντα κινήσασα κᾶλον, λαβοῦσα διέῤῥηξεν αὐτὸ, καὶ κενὸν ἰδοῦσα ἔφη· «Βαβαί ! πῶς τὰ χείρονα τῶν σωμάτων εὐμεγεθέστερα καὶ μι-

γαλοφωνότερά εἰσι! «Τοιοῦτόν τι καὶ ἡμεῖς, ὦ Βασιλεῦ, τήμερον πάσχομεν, ὑπὸ τῆς τοιούτου ζώου φωνῆς πλανόμενοι καὶ δεδιττόμενοι. Ἀλλ' οὖν, εἰ βούλει, ἀπελεύσομαι πρὸς αὐτὸ, ἵν' ἴδω, οἷόν ἐστι, καὶ τάχιον ὑποστρέψω πρός σε.»

Καὶ τοῦτο ἀρεστὸν ἐφάνη τῷ λέοντι, καὶ ἐξαπέστειλεν αὐτόν. Τοῦ δὲ ἀπελθόντος πολὺς κατέλαβε τὸν λέοντα μετάμελος ἐπὶ τῇ τοῦ Ἰχνηλάτου ἀποστολῇ, καὶ καθ' ἑαυτὸν διελογίζετο, λέγων· «Τί ἄρα παθὼν τῷ Ἰχνηλάτῃ ὅλος προσερρύην; οὐ δεῖ γάρ, φασι, τὸν ἐξουσιαστὴν πιστεύειν τῷ ἐπὶ πλεῖστον καιρὸν ἀναιτίως παρεωραμένῳ, ἢ τῷ πλεονέκτῃ, καὶ ἁπλήστῳ ἀνδρὶ, ἢ τῷ μὴ ἐν καιρῷ περιστάσεως οἰκείας παρ' αὐτοῦ συνεργηθέντι, ἢ τῷ πλοῦτον καὶ δόξαν ἀφαιρεθέντι, καὶ τοῖς τοιούτοις. Ὁ γὰρ Ἰχνηλάτης ἐκ πολλοῦ ἤδη συνετώτατος ὢν, πρὸς τὴν ἐμὴν ἀπέρριπτο πύλην. Ἴσως γὰρ διὰ τοῦτο οὐ πιστῶς ἐκολάκευέ με, μὴ εὑρὼν τὸ μεγαλοφωνότατον τουτὶ ζῶον ἐμοῦ μεῖζον τῇ δυνάμει καὶ εὐσθενέστερον. Εὑρὼν δὲ, τούτῳ προσρύσεται καὶ ἀναγγελεῖ τὰ ἐμὰ ἐλαττώματα.» Ταῦτα καὶ τὰ τοιαῦτα λογιζομένου τοῦ λέοντος, ἐφάνη μόνος ὁ Ἰχνηλάτης. Ὡς οὖν εἶδε τοῦτον ὁ λέων, ἐθάρσησε καὶ εἶπε πρὸς αὐτόν· «Τί ἔδρασας;» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Εἶδον τὸ μεγαλοφωνότατον ζῶον· τουτὶ ταῦρός ἐστι, καὶ ἐπλησίασα τούτῳ, καὶ ὡμίλησα, καὶ διελέχθην, καὶ οὐδεμία μοι βλάβη ἀπεγένετο ἐξ αὐτοῦ.» Καὶ ὁ λέων, «Μὴ λάβῃς, φησὶ, τὸ μὴ βλαβῆναί σε τεκμήριον τῆς τοῦ ζώου ἀσθενείας· ὁ γὰρ σφοδρὸς ἄνεμος, ὁ καὶ λαίλαψ, τὰ μὲν ἁδρανῆ τῶν φυτῶν οὐ καταβλάπτει· τὰ δὲ ὑψιπέτηλα δένδρα πρόῤῥιζα ἐκτίλλει καὶ κατακλᾷ.» Ὁ δὲ Ἰχνηλάτης εἶπε· «Μὴ οἷου, ὦ Βασιλεῦ, τὸ τοιοῦτον ζῶον δυνατώτατον εἶναι· εἰ γὰρ βούλει, παραστήσω σοι τοῦτο, καὶ ὑπήκοόν σοι ἔσται ὑπὸ χεῖρα. Ἡσθεὶς οὖν ἐπὶ τούτων ὁ λέων, προσέταξεν αὐτῷ ποιῆσαι τὸ ὑποσχεθέν.

Ὁ οὖν Ἰχνηλάτης ἀπελθὼν πρὸς τὸν ταῦρον θαρσαλέως ἔφη αὐτῷ· «Ὁ λέων πρός σέ με ἐξαπέστειλεν, ἀξιῶν ἐλθεῖν σε πρὸς αὐτόν. Εἰ μὲν οὖν σπεύσεις τὴν πρὸς ἐκεῖνον πορείαν, συγγνωμονήσει σοι τὴν μέχρι τοῦδε καθυστέρησιν, καὶ τὴν περὶ τὴν ἀπάντησιν αὐτοῦ ἀμέλειαν· εἰ δὲ ἐνδοιάσεις, ἀναφερῶ αὐτῷ τὰ κατά σε.» Καὶ ὁ ταῦρος· «Καὶ τίς ἐστί, φησιν, ὁ λέων οὗτος, ὁ πρός με ἐξαποστείλας σε; καὶ ποῦ διάγει;» Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Βασιλεύς ἐστι τῶν θηρίων, καὶ ἐν τῷδε διάγει τόπῳ, μετὰ καὶ τῆς ὑπ' αὐτὸν στρατιᾶς.» Ὁ δὲ ταῦρος δειλιάσας ἠκολούθησεν ἄχρι τοῦ λέοντος σὺν τῷ Ἰχνηλάτῃ. Καὶ ὁ λέων τοῦτον ἰδὼν εὐμενῶς προσεδέξατο, καὶ ἠρώτησε τὰ κατ' αὐτόν. Ὁ δὲ ἀνήγγειλεν αὐτῷ πάντα, καὶ ὑπέσχετο τούτῳ ὁ λέων πᾶν ἀγαθὸν, καὶ ἀνέθηκεν αὐτῷ τὰ τῆς ἀρχῆς, καὶ πάντων προέκρινε τῶν ὑπ' αὐτόν.

Ὅπερ ἰδὼν ὁ Ἰχνηλάτης ἐφθόνησε, καὶ μὴ ἀναισχυνόμενος ἀπεκάλυψε τὸν φθόνον τῷ ἑταίρῳ αὐτοῦ Στεφανίτῃ. «Καὶ οὐ θαυμάζεις, ἔφη, ὅπερ ἔδρασα κατ' ἐμοῦ αὐτοῦ; τὰ γὰρ λυσιτελοῦντα τῷ λέοντι ἐλάσας, ἔλαθον ἐμαυτὸν βλάψας, προσενεγκὼν ἐκείνῳ τὸν καθυστερήσαντά μου τῇ ἀξίᾳ κατὰ πολὺ ταῦρον· βούλομαι οὖν ἀποκατασταθῆναι εἰς τὴν προτέραν μου τάξιν. Δεῖ γὰρ τὸν φρόνιμον τὰ τρία ταῦτα μεταχειρίζεσθαι. Πρῶτον μὲν ἐννοεῖν, ἃ πέπονθεν ἀγαθά τε, καὶ ἐναντία· καὶ τὰ μὲν αἴτια τῶν κακῶν ἀποφεύγειν, τὰ δὲ αἴτια τῶν ἀγαθῶν διώκειν. Εἶτα δὲ καὶ τὰ ἐνεστῶτα καλὰ ἢ φαῦλα· καὶ σπεύδειν κατέχειν μὲν τὰ καλὰ, ἀποφεύγειν δὲ τὰ φαῦλα, καὶ σκοπεῖν καὶ τοῦτο τὸ μέλλον, καὶ ὡσαύτως τί ποιεῖν. Διελογισάμην οὖν κἀγὼ τὴν προτέραν κατάστασιν, καὶ οὐχ εὗρον πόρον τῆς ἀποκαταστάσεως, ἀλλ' ἢ τῷ δόλῳ τὸν ταῦρον ἀποκτεῖναι· τοῦτο γάρ μοι λυσιτελὲς, ἴσως δὲ καὶ τῷ λέοντι.» Ὁ δὲ Στεφανίτης εἶπεν·

«Οὐχ' ὁρῶ βλάβην τῷ λέοντι ἐπιγινομένην ἐκ τῆς τοῦ ταύρου οἰκειώσεως.» Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Ὁ λέων ὅλος αὐτοῦ ἐγεγόνει, περιφρονήσας τοὺς λοιποὺς. Δι' ἃ δὲ πράγματα ὁ Βασιλεὺς περιφρονεῖται καὶ καθαιρεῖται· τῷ μὴ χρᾶσθαι τοῖς προσφόροις τῷ καιρῷ, ἀλλ' ἔνθα δεῖ δεινότητος καὶ αὐστηρίας, ἐκεῖσε μαλακίζεσθαι, καὶ ἔνθα δεῖ κολακείας τοὐναντίον θρασύνεσθαι· τῷ μὴ ἱκανῶν καὶ συνετῶν καὶ πιστῶν εὐπορεῖν ὑπηκόων, ἢ οἰκείων συμβούλων, καὶ τῷ στασιάζειν τοὺς ὑπ' αὐτόν· τῷ ἡττᾶσθαι ταῖς ἀλόγοις ὀρέξεσι, καὶ τῷ ὑπείκειν τῷ θυμῷ· πρὸς δὲ πᾶσι τούτοις, τῷ εἴκειν ταῖς τῶν καιρῶν μεταβολαῖς.»

Ὁ δὲ Στερανίτης εἶπε· «Καὶ πῶς δυνήσῃ βλάψαι τὸν ταῦρον, πολὺ ὄντα σου δυνατώτερον, καὶ φίλων εὐποροῦντα καὶ ὑπηκόων;» Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Μὴ ἀπίδῃς πρὸς τὴν ἐμὴν εὐτέλειαν καὶ ἀσθένειαν· οὐ γὰρ ἡ νίκη τῇ δυνάμει καὶ τῇ ῥώμῃ τοῦ σώματος ἕπεται· πολλοὶ γὰρ τῶν δυνατωτέρων ὑπὸ τῶν τυχόντων ἡττήθησαν.» Εἶτα πρὸς τούτοις ἔφη ὁ Στερανίτης· «Ναὶ ἀληθῶς οὕτως ἔχει· ἀλλ' ὅρα, μὴ τοῦτο ποιήσας, σὺ βλαβήσῃ. Λέγεται γάρ, ὡς ἀσκητῇ τινι δέδοται παρὰ τοῦ Βασιλέως ὑφάσματα πολλά. Ἰδὼν δὲ ταῦτα κλέπτης τις, προσελθὼν δολερῶς τῷ ἀσκητῇ, εἶπεν αὐτῷ· «Βούλομαί σοι μαθητὴς γενέσθαι, καὶ σύν σοι εἶναι, καὶ τὰς σὰς μιμεῖσθαι ἀρετάς.» Μετ' οὐ πολὺ δὲ, εὑρὼν ἄδειαν ὁ κλέπτης, λαβὼν τὰ ὑφάσματα ἀπέδρασε. Γνοὺς δὲ ὁ ἀσκητὴς τὸν δρασμὸν, ἐδίωκε τοῦτον. Καὶ ἐν τῷ διώκειν αὐτὸν, ὁρᾷ καθ' ὁδὸν δύο κριοὺς ἀλλήλοις μαχομένους, ὥστε τὰ αἵματα αὐτῶν καταῤῥέειν ἐπὶ τῆς γῆς. Ἐλθοῦσα δὲ ἡ ἀλώπηξ ἐκεῖσε, ἔλειχε τὰ τούτων ἕλκη· ἐν δὲ τῷ λείχειν, αὖθις συνκρούσαντες ἀλλήλοις, ἔκτειναν τὴν ἀλώπεκα.

«Καταλαβὼν δὲ τὴν πόλιν νυκτὸς, καὶ ποῦ καταλύσαι μὴ ἔχων, ἦλθε τοῦ μεῖναι ἐν οἰκίᾳ τινὸς πόρνης. Εἶχε δὲ

ἡ πόρνη δούλην τὰ αὐτὰ τῇ κυρίᾳ αὐτῆς μετερχομένην· ἡ δὲ δούλη ἐραστήν τινα εἶχε πάνυ αὐτὴν φιλοῦντα, τὴν δὲ κυρίαν αὐτῆς βδελυσσόμενον. Ζηλοτυπήσασα δὲ ἡ κυρία αὐτῆς, ἠβουλήθη ἐκ μέσου τοῦτον ποιήσασθαι. Νυκτὸς γοῦν καταμεθύσασα τοῦτον, καὶ κοιμήσασα, λαβοῦσα δὲ δηλητήριον ἐν καλάμῳ κατεσκευασμένον, καὶ ἐνέγκασα τῷ ἀφεδρῶνι, ἐφύσησε τοῦτο, ἵνα τοῦ δηλητηρίου εἰς τὰ ἔγκατα τοῦ ἐραστοῦ εἰσελθόντος, θανατώσῃ αὐτόν. Ἐκ δὲ τοῦ ἀφεδρῶνος, συμβὰν οὕτω, φυσήματος ἐξελθόντος, στραφὲν τὸ δηλητήριον διὰ τοῦ καλάμου εἰς τὸν τῆς πόρνης λαιμὸν, ἀπέκτεινεν αὐτήν. (Καὶ ταῦτα ἔκ τινος ὀπῆς τοῦ ἀσκητοῦ, κατοπτεύοντος.) Ἐγερθεὶς δὲ τῇ ἑξῆς κατέλυσεν ἐν οἴκῳ τινὸς σκυτοτόμου. Οὗτος δὲ ὑπότινος φίλου κληθεὶς, παρήγγειλε τῇ γυναικὶ αὐτοῦ φιλοφρονῆσαι τὸν ξένον, ἐξὼν ἔχει, καί ἀναπαῦσαι. Ἔσχε δὲ ἡ γυνὴ αὐτοῦ μοιχὸν καὶ μαστρωπὸν, συσκιαστοῦ (γείτονος) γυναῖκα. Τοῦ δὲ ἀνδρὸς ἀπελθόντος ἤδη, ἔφη πρὸς τὴν μαστρωπὸν ἡ γυνή· «Ἀπελθοῦσα, ὦ αὕτη, κάλεσόν μου τὸν ἐραστήν· ὁ γὰρ ἀνὴρ ὁ ἐμὸς οὐκ οἴκοι μένει.» Ἡ δὲ ἀπελθοῦσα εἰς ἔργον ἔβαλε τὸ τῆς μοιχαλίδος ἐπίταγμα. Ἐλθόντος οὖν τοῦ μοιχοῦ, καὶ ἐν τῷ πυλῶνι ἅμα τῇ μοιχαλίδι καθίσαντος, ἀφίκετο καὶ ὁ σκυτοτόμος ἤδη μεθύων. Ὃς ἰδὼν τὸν μοιχὸν μετὰ τῆς γυναικὸς, ἐκείνω μὲν ἔφη οὐδὲν, τὴν δὲ γυναῖκα, οἰσελθὼν, δήσας ἐν τῷ στύλῳ, ἔτυπτεν ἀφειδῶς· καὶ τύψας ἀπελθὼν ἐκάθευδε. Καθεύδοντος δὲ αὐτοῦ, εἰσελθοῦσα ἡ μαστρωπὸς, «Ὁ σὸς, ὦ καλή φησιν, ἐραστὴς ἔξω κάθηται ἀγανακτῶν.» Κἀκείνη, «Ὁρᾷς, φησι, τὸ συμβάν μοι· ἀλλὰ δέομαί σου, λύσασά με δῆσον σεαυτήν, ὅπως ἔλθω πρὸς τὸν ἐρώμενον, ταχέως δὲ ἐπιστρέψω.» Ἡ δὲ οὐδὲν ἀμελήσασα ἔλυσε μὲν τὴν μοιχαλίδα, ἔδησε δὲ ἑαυτήν. Ἐκείνης δὲ ἀπελθούσης, ἔξυπνος γενόμενος ὁ ἀνὴρ, καλεῖ μὲν τὴν γυναῖκα· ἡ δὲ, ἵνα μὴ

γνωσθῇ, ἐσιώπα. Θυμωθεὶς δὲ καὶ ἐγερθεὶς ἐκεῖνος, λαβὼν μάχαιραν ἀπέτεμεν αὐτῆς τὴν ῥίνα, καὶ στραφεὶς πάλιν ἐκάθευδε. Ἐπανελθοῦσα δὲ ἡ μοιχαλὶς, καὶ ἰδοῦσα τὸ συμβὰν, λύει μὲν τὴν μαστρωπὸν, καὶ ἀποπέμπει, δήσασα πρότερον ἑαυτὴν τῷ στύλῳ. Ἐκείνης δὲ οἴκαδε ἀπερχομένης, καὶ ἀνὰ χεῖρας τὴν ῥίνα φερούσης, ἤρξατο αὕτη θεοὺς ἐπικαλεῖσθαι καὶ λέγειν· «Εἰ μὲν ἐγὼ ἠδικήθην παρὰ τοῦ ἀνδρὸς, στραφήτω αὖθις ἡ ῥὶν, καὶ γενέσθωμοι ὑγιὴς, ὡς τὸ πρότερον.» Τοῦτο δὲ εἰποῦσα, «Ἀνάστα, φησὶ, πρὸς τὸν ἄνδρα, ὦ ἀνόσιε, καὶ ἴδε τὸ γεγονὸς εἰς ἐμὲ τεράστιον, πῶς ὑγιὴς κατέστην!» Ὁ δὲ, «Τίνες οἱ λόγοι οὗτοι, ὦ μάγε σύ, φησι;» Ἀνάψας δὲ λύχνον, καὶ ἰδὼν αὐτὴν ὑγιῆ, μετεμελήθη, οἷς ἔδρασε, καὶ διηλλάγη αὐτῇ.

Ἡ δὲ μαστρωπὸς τὴν ἑαυτῆς αἰσχύνην οὐκ ἔχουσα πῶς ἐπικρύψῃ, τοιοῦτόν τι ἐδραματούργησεν. Ὀρθρίσας ὁ ἀνὴρ αὐτῆς τοῦ ἀπελθεῖν εἰς τὸ ἴδιον ἐργαστήριον, «Ἐπίδος μοί φησιν, ὦ γύναι, τὰ ἐργαλεῖα.» Ἡ δὲ ἐξεπίτηδες λαβοῦσα τὸ ξυρὸν μόνον, αὐτῷ ἐνεχείρησε. Καὶ οὗτος, «Πάντα μοι δός!» Ἡ δὲ πάλιν τὸ ξυρὸν δέδωκε μόνον. Καὶ τρίτον ἤδη τὸ αὐτὸ ποιησάσης, ὀργισθεὶς ὁ ἀνὴρ ἀφῆκε μετὰ θυμοῦ κατ' αὐτῆς τὸ ξυρόν. Λαβοῦσα δὲ εὐθὺς ἐκείνη τὴν ῥίνα, καὶ κράξασα, τὴν ῥίνα μου, δὶς καὶ τρὶς, ἐφώνησε τοὺς γείτονας καὶ τοὺς ἰδίους. Ἐκεῖνοι δὲ παρέδωκαν αὐτὸν τῷ δικαστῇ, καὶ ὁ δικαστὴς αὐτὸν ἐτάσας, παρέδωκεν εἰς τὸ κολασθῆναι. Ἔφη δὲ ὁ ἀσκητής· «Δοκεῖς, Κύριέ μου, ὅτι ὁ κλέπτης ἔλαβε τὰ ὑφάσματα, ἅπερ μοι δέδωκας, καὶ ζητῶ αὐτά; ἢ οἱ κριοὶ ἀπέκτειναν τὴν ἀλώπεκα; ἢ τὸ δηλητήριον τὴν πόρνην; ἢ ὁ τιμωρηθεὶς οὗτος ἀπέτεμε τὴν ῥίνα τῆς γυναικὸς αὐτοῦ; Οὐχί. Ἀλλ' ἡμεῖς πράττομεν αὐτὰ, ἅπερ πάσχομεν·» καὶ ἀνήγγειλεν αὐτῷ πάντα ἅπερ ἔπαθε, καὶ ἅπερ ἑώρακεν. Οὕτω καὶ σὺ σεαυτὸν βλάψεις, εἴπερ εἰς ἕτερον κακόν τι ποιήσεις.

Εἶτά φησι πρὸς αὐτὸν ὁ Ἰχνηλάτης· «Ἀληθῶς ἔφης· ἀλλ' εἶπον σοι ἤδη, καὶ πάλιν ἐρῶ, ὡς πολλοὶ τῶν δυνατωτέρων ὑτὸ τῶν τυχόντων ἡττήθησαν. Λέγεται γὰρ, ὡς κόραξ τις ἐμφωλεύων τινὶ τῶν ὀρεινῶν δένδρων, παρὰ τοῦ ὄφεως καθ' ἕκαστον ἠδικεῖτο ἔτος, τοὺς νεοττοὺς αὐτοῦ κατεσθίοντος. Ὡς οὖν πολλάκις τοῦτο εἰς αὐτὸν ἔδρασεν, ἀπελθὼν εἰς τινα φίλτατον αὐτῷ θῶα, «Βούλομαί σοι, ἔφη, συμβούλῳ χρήσαθαι, εἰδότι, οἷα παρὰ τοῦ ὄφεως πάσχω. Ἔδοξε γάρ μοι συμφέρειν προσεγγίσαι τούτῳ ὑπνώττοντι, καὶ ἐξορύξαι αὐτοῦ τοὺς ὀφθαλμούς.» Ὁ δὲ θὼς, «Οὐ καλῶς, φησιν, ἐβουλεύσω· ἀλλὰ σκόπησον ἑτέραν μηχανὴν, δι' ἧς ἐκεῖνον μὲν ἀπωλέσῃς, σὺ δὲ ἀπήματος διατηρηθείῃς. Λέγεται γὰρ, ὡς κύκνος τις παρά τινι ἰχθύων πλήρει λίμνῃ οἰκῶν, κἀκ τούτων τρεφόμενος ἐγήρασε, καὶ πρὸς ἁλιείαν ἠτόνησε. Λιμῷ δὲ κατασχεθεὶς ἀνῆλθεν εἰς τὸ ὄρος, καὶ ἀνερχόμενος συνήντησε καρκίνῳ, κατηφὴς ὢν καὶ σκυθρωπός. Ὁ δὲ καρκῖνος ἔφη πρὸς αὐτόν· «Σύννους μοι φαίνῃ καὶ ἀθυμῶν.» — «Καὶ πῶς οὐκ ἀθυμήσω, φησὶν ὁ κύκνος; Πρότερον γὰρ παρέδρευον τῇ λίμνῃ ταύτῃ, καὶ ὑπὸ τῶν ἰχθύων αὐτῆς, ἱκανῶν ὄντων, δαψιλῶς ἐτρεφόμην· σήμερον δὲ ἑώρακα ἁλιεῖς παραγενομένους εἰς τοῦτον τὸν τόπον, καὶ πρὸς ἀλλήλους διαλεγομένους, ὅπως ἂν ἅπαντας τοὺς ἰχθύας σαγηνεύσωσιν.» Ὁ δὲ καρκῖνος, ταῦτα ἀκούσας, παραγίνεται πρὸς τοὺς ἰχθύας, καὶ ἀπαγγέλλει, ἃ παρὰ τοῦ κύκνου ἠκηκόει. Κἀκεῖνοι προσελθόντες τῷ κύκνῳ εἶπον· «Ἄρτι συμβούλῳ σοι χρώμεθα· ὁ γὰρ συνετὸς ἀνὴρ πολλάκις τῷ ἰδίῳ ἐχθρῷ συμβούλῳ χρῆται, νουνεχεῖ ὄντι, ὅτε κοινὴ πᾶσιν αὐτοῖς ἡ τοῦ πράγματος ὠφέλεια εἴη. Ὁ δὲ κύκνος·

«Οὐδεμία μοι ἐν τούτῳ, φησὶ, μηχανὴ, εἰ μήγε ἄρα τὸ μεταθῆναι ὑμᾶς ἀπὸ τοῦδε τοῦ τόπου ἐφ' ἕτερον βαλτώδη καὶ καλαμώδη, καὶ ὑδατώδη.» Οἱ δὲ, «Καὶ μετάστησον λοιπὸν

ἡμᾶς πάντας ἐπὶ τὸν τοιόνδε, ὃν φῂς τόπον.» Καὶ ὁ κύκνος, «Δέδοικα, ἔφη, μὴ πρὸ τοῦ μετατεθῆναι πάντας ὑμᾶς, προκαταλάβωσιν οἱ ἁλιεῖς· ὅμως, ὅση δύναμις, ἐπιχειρήσω τοῦτο ποιῆσαι.» Ἤρξατο δὲ ἐπὶ τοιαύτῃ προφάσει μετακομίζειν τινὰς τῶν ἰχθύων ἐπίτηδα τόπον, καὶ ἐσθίειν, τῶν ἄλλων οἰομένων ἐπὶ τὸν ὑποσχεθέντα τόπον μετακομίζεσθαι. Ἠξίωσε γοῦν καὶ ὁ καρκῖνος τὸν κύκνον μετακομίσαι καὶ αὐτὸν, ὡς ἕνα τῶν ἰχθύων· ὃν λαβὼν ὁ κύκνος ἀπήγαγεν, ἔνθα τοὺς ἰχθύας κατήσθιε, βουληθεὶς καὶ τοῦτον ἐκεῖσε καταφαγεῖν. Ὁ δὲ καρκῖνος, ἰδὼν τὰ τῶν ἰχθύων ὀστᾶ ἐκεῖσε κείμενα, ἔγνω τὸν δόλον, καὶ τὴν οὐ καλὴν ἀποικίαν, καὶ καθ' ἑαυτὸν διελογίζετο, ὡς βιοθανατώσει τὸν κύκνον. Καὶ δεῖν ἔγνω μὴ ὑπείξειν, ἀλλὰ συμπλακῆναι τῷ κύκνῳ, καὶ μὴ ἄδοξον ὑποστῆναι θάνατον, ἀλλὰ ἢ ζῆσαι, ἢ καλῶς τεθνηκέναι· καὶ ἐπισχὼν ἀθρόως ταῖς χηλαῖς τὸν τοῦ κύκνου τράχηλον, βιαίως αὐτὸν ἀπέπνιξε. Διὰ τοῦτο οὖν σοι τάδε ἔφην, ὦ κόραξ, ἵνα μάθῃς ἀκριβῶς, ὡς πολλάκις ὁ ἐπιβουλεύων τινὶ, ταῖς οἰκείαις ἄρκυσιν ἁλίσκεται. Δεῖ οὖν σε μετελθεῖν τὸν ὄφιν τρόπῳ τοιῷδε· ἁρπάσας γῆθέν τι τῶν τιμίων καὶ πολυτελῶν, οἷς ἄνθρωποι χρῶνται, τούτων ὁρώντων, ἐγκατάθου τῇ τοῦ ὄφεως τρώγλῃ. Οἱ δὲ τοῦ πράγματος κύριοι ἰδόντες, ἕψονταί σοι, καὶ εὑρόντες, αὐτοὶ ἐκεῖνοι ἀναιροῦσι τὸν ὄφιν. Τοῦτο δὲ δράσας ὁ κόραξ ἀπηλλάγη παντελῶς τῶν τοῦ ὄφεως ἀδικημάτων.

Ταῦτά σοι διῆλθον, ὦ φίλε, ἵνα γνῷς, ὡς ἡ φρόνησις ἐπικρατεστέρα ἐστὶ τῆς δυνάμεως.» Ὁ δὲ Στεφανίτης εἶπεν· «Εἰ μὴ πρὸς τὴν ἀνδρείαν ὁ ταῦρος καὶ ἀγχίνους ἦν, εὖ εἶχέ σοι τὰ τοιαῦτα λέγειν· ἀλλ' ἐστὶ καὶ συνετώτατος.» Καὶ ὁ Ἰχνηλάτης· «Ἀληθῶς ἔφης, τοιοῦτός ἐστιν· ἀλλ' ἐν τούτῳ δύναμαι καταβαλεῖν αὐτὸν, τῷ θαρρεῖν μοι, καὶ πιστεύειν

ἐν πολλοῖς πράγμασι, τοιούτῳ τρόπῳ, ὥπερ καὶ ὁ λαγωὸς τὸν λέοντα κατέβαλε. Λέων γάρ τις ὤκει χλοηφόρον καὶ ὑδατῶδες πεδίον, ἐν ᾧ καὶ γένη θηρίων ἐνέμοντο διάφορα, τῶν μὲν ἄλλων ἀφθόνως καὶ δαψιλῶς εὐμοιρούντων, μόνῳ δὲ τῷ λέοντος φόβῳ παρενοχλούμενα. Βουλὴν δὲ συστησάμενα προσῆλθον τῷ λέοντι, καὶ εἶπον αὐτῷ· «Πάντες, ὦ Βασιλεῦ, συνίδομεν, ἵνα σε μὲν κόπου καὶ μόχθου ἀπαλλάξωμεν, ἡμῖν δὲ αὐτοῖς ἀμεριμνίαν ποιήσωμεν. Σὺ γὰρ μόχθῳ πολλῷ καὶ ἱδρῶτι μόλις θηρεύσεις ἕνα ἐξ ἡμῶν· ἡμεῖς δὲ πάλιν τῷ φόβῳ τοῦ θηρεύοντος περίδειλοι ὁσημέραι διατελοῦμεν. Δεῖν οὖν ἔγνωμεν ἑκάστη ἡμέρα δεξιοῦσθαί σου τὴν τράπεζαν ἕνα ἐξ ἡμῶν.» Καὶ τοῦτο ἀσπαστὸν ἐφάνη τῷ λέοντι, καὶ διετέλεσαν ἡμέρας ἱκανὰς, κλήρους βάλλοντες κατ' ἀλλήλων, καὶ τὸν εἰσπεσόντα τῷ κλήρῳ, τῷ λέοντι ἐξαπέστελλον. Ὡς οὖν ὁ κλῆρος ἦλθέ ποτε καὶ ἐπὶ τὸν λαγωὸν, εἶπε τοῖς θηρσί· «Συνεργήσατέ μοι, ὦ θῆρες, ἀπαλλάξω γὰρ ὑμᾶς ἐπιτιμίου βαρυτάτου.» Οἱ δὲ εἶπον· «Ὅπερ βούλει, ποιήσωμεν.» Ὁ δὲ φησί· «Παραγγείλατε τῷ ἕλκοντί με πρὸς τὸν λέοντα, μὴ κατεπείγειν με πρὸς τὴν ὁδόν· ἀλλ' ὅτε πλησίον αὐτοῦ γενώμεθα, ἀποκρυβῆναι.» Οἱ δὲ τὸ προσταχθὲν ἐποίησαν· καὶ ἀπελθὼν ὁ λαγωὸς, βραδυτέρᾳ τῇ πορείᾳ ἐχρήσατο, ὥστε τὸν λέοντα πρόσπεινον γενόμενον ἀγριωθῆναι. Ὡς οὖν οἶδε τὸν λαγωὸν, εἶπε πρὸς αὐτόν· «Τί ὅτι μέχρι τοῦδε ἐβράδυνας, καὶ οὐχ, ὡς οἱ λοιποὶ, τάχιον ἦλθες;» Καὶ ὁ λαγωὸς, «Ἐφελκόμην, φησὶ, πρός σε, καί τίς μοι συναντήσας λέων, ἥρπασε τὸν ἕλκοντά με, πολλὰ αὐτῷ ἐπιφωνησαμένου καὶ προδιαμαρτυραμένου μου, ὡς δίκαιά σοι ἐπέμφθην· ἀλλ' οὐκ εἰσηκούσθην, καὶ εἴπερ βούλει, ἀπάξω σε πρὸς αὐτόν.» Θυμωθεὶς οὖν ὁ λέων εἶπε τῷ λαγωῷ, ὡς ἔφομαί σοι, ἔνθα ἐστὶν ἐκεῖνος. Ὁ δὲ ἀπήγαγε τοῦτον ἐπί τι βαθύτατον

φρέαρ, καὶ παρεσκεύασεν ἐν αὐτῷ προκύψαι, ὥστε τὸν λέοντα ἰδεῖν. Καὶ συμπροέκυψε καὶ οὗτος, καὶ εἶπεν αὐτῷ· «Οὗτός ἐστιν ὁ λέων, ὁ τὴν ἁρπαγὴν ποιήσας, καὶ ὁ ἁρπαγεὶς λαγωὸς,» ὑποδείξας αὐτῷ ἐν τῷ ὕδατι τὸ ἑαυτοῦ καὶ ἐκείνου ἐκτύπωμα. Ἐφ' ᾧ ὁ λέων πλανηθεὶς ἔρριψεν ἑαυτὸν ἐν τῷ ὕδατι, καὶ ἀπεπνίγη. Οὕτω κἀγὼ θαρρῶ ἐπὶ πᾶσί μοι πιστεύοντα τὸν ταῦρον.»

Ὁ δὲ Στεφανίτης εἶπεν· «Εἰ δύνασαι τὸν ταῦρον ἀπολέσαι, μὴ καταβλαπτομένου τοῦ λέοντος, τὸ ἔργον ἐπιχείρησον. Καὶ γὰρ σύτε κἀγὼ, καὶ ἕτεροι πλεῖστοι τῶν καθ' ἡμᾶς διὰ τῆς τοῦ ταύρου οἰκειώσεως παρεωράθημεν νῦν· εἰ δὲ τοῦτο ἀδύνατόν ἐστί σοι, ἀπόσχου τοῦ ἐγχειρήματος· παράβασις γὰρ τὸ τοιοῦτον καὶ παρασπόνδησις.» Οὐ μετὰ πολλὰς γοῦν ἡμέρας ἦλθεν ὁ Ἰχνηλάτης πρὸς τὸν λέοντα, κατηφείας μεστὸς καὶ σύννους, καὶ ἐπηρώτησε τοῦτον ὁ λέων περὶ τοῦ πάθους, καὶ ἔφη· «Μήτι συνέβη καινόν;» Ὁ δὲ Ἰχνηλάτης εἶπε· «Συμβεβηκέ τι πρᾶγμα ἀποτρόπαιον, σοί τε κἀμοί· ἀλλ' ὅτε ὁ λέγων ἐπίσταται, ὡς τὰ παρ' αὐτοῦ λεχθησόμενα δυσάρεστα τῷ ἀκούοντι φανήσεται, οὐ τοῦ λέγειν κατατολμᾷ, εἴγε καὶ δι' εὔνοιαν τοῦτο πράττει τοῦ ἀκούοντος, εἰ μή γε πολλάκις θαρρήσει τῇ εὐνοίᾳ αὐτοῦ, δόξαντος παραίνεσιν εὐνοϊκὴν εἶναι τὰ ὑποτιθέμενα. Εἰδὼς οὖν σε, ὦ Βασιλεῦ, καὶ αὐτὸς συνέσει καὶ ἀγχινοίᾳ κεκοσμημένον, ἐθάρσησα διαλεχθῆναί σοι. Περὶ ὧν ἄκουε, εἰ βούλει· οἶδα γάρ, ὡς οὐκ ἐνδοιάζεις πρὸς τὴν ἀκραιφνῆ καὶ εἰλικρινῆ μου δουλωσύνην, καὶ διανοοῦμαι μὲν, ὡς ἄπιστά σοι φανήσεται τὰ ῥήματά μου· ἀλλὰ πάλιν διαλογίζομαι, ὡς αἱ ἡμέτεραι ψυχαὶ τῆς σῆς ἀνήρτηνται ψυχῆς, καὶ γνώμης καὶ ἐξουσίας. Καὶ ἀναγκαῖόν μοι φαίνεται, τὸ μηδὲν τῶν δεόντων καὶ λυσιτελούντων ἀποκρύπτειν σοι· οὐ δεῖ γὰρ οὔτε τὸν ὑπήκοον τὴν πρὸς τοὺς

δεσπότας εὔνοιαν συγκαλύπτειν· οὔτε τὸν νοσοῦντα μὴ ἀνακοινοῦσθαι τὰ τῆς νόσου τῷ ἰατρῷ· οὔτε τὸν πένητα σπεύδειν λαθεῖν τὴν ἑαυτοῦ πενίαν τοὺς φίλους. Ἀνέμαθον οὖν παρά τινος ἀξιοπίστου, ὡς ὁ ταῦρος τοῖς ἄρχουσι τοῖς ὑπό σε ὡμίλησε κατὰ μόνας, καὶ εἶπεν αὐτοῖς· «Ἐπειράσθην τοῦ λέοντος καὶ ἔγνων ἀκριβῶς τὴν ἀνδρείαν αὐτοῦ, καὶ τὴν φρόνησιν, καὶ εὗρον αὐτὸν παντελῶς ἐν τούτοις ἀφελῆ·» καὶ ἐκ τῶν τοιούτων αὐτοῦ προοιμίων ἐτεκμηράμην τὴν τούτου ἀναίδειαν, καὶ τὴν παρασπόνδησιν· ὅτι, σοῦ τὸν τοιοῦτον ὑπὲρ πάντας ὑψώσαντος, καὶ ὁμότιμον σεαυτῷ καταστήσαντος, διενοήθη τῆς σῆς ἀποδράζασθαι ἀρχῆς.

Καὶ δεῖ τοὺς Βασιλεῖς, ὅτε τινῶν ἐπαίσθωνται τῆς οἰκείας ἀρχῆς ἐφιεμένων, προκαταλαμβάνειν τούτους, καὶ ἀφανίζειν, πρὶν ἢ τὰ τῆς ἐφέσεως εἰς μεῖζον ἀρθῇ· τούτου γὰρ μὴ γενομένου, ἀνέγκλιτα ἴσως γίνεται τὰ συμπτώματα. Οἱ μὲν γὰρ ἱκανώτατοι παντὶ τρόπῳ σπεύδουσι μὴ ἐμπεσεῖν ἀπευκταίῳ τινί, καὶ ἐναντίῳ συμπτώματι· οἱ δὲ ἧττονες τούτων καὶ καταδεέστεροι περιπίπτουσι μὲν ἴσως τισί, μηχανῶνται δ' ὅμως τὴν οἰκείαν σωτηρίαν· οἱ δὲ ἄλλοι πάντῃ ἀφελεῖς, περιπεσόντες οὐκ ἀναφέρουσι. Καὶ τοῦτο παρόμοιόν ἐστι τοῖς τρισὶν ἰχθῦσι· λέγεται γὰρ ὡς ἔν τινι λιμνηδίῳ πρὸς ποταμὸν συνάπτοντι τρεῖς διῃτῶντο ἰχθύες· ὧν ὁ μὲν ἦν συνετώτατος, ὁ δὲ ἧττον ἐχέφρων, ὁ δὲ πάντῃ ἠλίθιος. Συνέβη δὲ ἐλθεῖν δύο τινὰς ἁλιεῖς ἐπὶ τὸ τοιοῦτον λιμνήσιον ὕδωρ, καὶ συνθῆναι πρὸς ἀλλήλους, ὁπότε ὑποστρέψωσι σαγηνεῦσαι τοὺς ἰχθύας. Ὁ μὲν οὖν συνετώτατος τούτων, ἅμα τῷ ἀκοῦσαι τῶν τοιούτων, ἀπεδήμησε τῆς λίμνης πρὸς τὸν παραῤῥέοντα ποταμόν· οἱ δὲ λοιποὶ δύο, ἀμελήσαντες τῆς ἑαυτῶν σωτηρίας, προσεκαρτέρησαν. Ὅπερ ἰδὼν ὁ ἧττον ἐχέφρων ἰχθύς, μετεμελήθη ἐπὶ τῇ τοῦ δέοντος ἀβλεψίᾳ, καὶ εἶπε πρὸς ἑαυτόν·

τοιαύτη ἐστὶν ἡ τῶν ἀμελούντων ἀπόβασις· ποῖα οὖν μηχανή ἐστι τῆς ἐμῆς σωτηρίας; σπανίως γὰρ δρᾶται, καὶ κατὰ καιρὸν, ἡ μετὰ σπουδῆς ἐπιτηδευομένη μηχανή· ἀλλὰ μηδὲν τῶν εἰκότων παραλείψω. Εἶτα ὑπεκρίθη τοῦ θανεῖν, καὶ ὕπτιος ὑπὸ τοῦ ὕδατος ἐξεφέρετο· ᾧ δὴ πιστεύσαντες οἱ ἁλιεῖς, καὶ οἰκείαις χερσὶ λαβόντες αὐτὸν, ὡς τεθνεῶτα, ἔθηκαν μεταξὺ τοῦ λιμνηδίου, καὶ τοῦ ποταμοῦ, καὶ εὐθὺς τῷ ποταμῷ εἰσπηδήσας ἐσώθη. Ὁ δὲ ἡλίθιος ἐκεῖνος ἰχθὺς, πολλὰ μογήσας πηδῶν, ἔνθεν κἀκεῖθεν ἀναστρεφόμενος, διαίως ἐσαγηνεύθη. Οὕτω καὶ πᾶς ἀνόητος πείσεται, τῆς αὐτοῦ μὴ προνοῶν σωτηρίας.»

Ὁ δὲ λέων ἔφη· «Ἔγνων σου τὸ ὑπόδειγμα, ἀλλ᾽ οὐ δοκῶ τὸν ταῦρον, οὐδὲν παρ᾽ ἐμοῦ παθόντα δεινὸν, δόλιον φανῆναι.» Ὁ δὲ Ἰχνηλάτης εἶπε· «Τὸ μηδὲν παρά σου δεινὸν παθεῖν παρεσκεύασεν αὐτὸν σκευωρίαν κατά σου τοιαύτην συρράψαι· τοσοῦτον γὰρ αὐτὸν ὕψωσας, ὡς πρὸς μηδένα ἕτερον βαθμὸν ἀφορᾶν, ἢ τὸν σόν. Ὁ γὰρ οὐκ εὐσυνείδητος ἀνὴρ εὐνοίᾳ χρῆται πρότερον, ἄχρις ἂν καταλήψεται βαθμὸν, οὗ ἦν ἄξιος· τοῦτον δὲ καταλαβὼν, μηχανᾶται σὺν δόλῳ, καὶ κακουργεῖ τοῦ περαιτέρω προβῆναι. Καὶ δι᾽ οὐδὲν ἕτερον ἐξυπηρετεῖται τοῖς ἡγεμόσιν, ἢ τοῦ τυχεῖν τινος τῶν ἐφετῶν, καὶ ὑποκρίνεται τὸ σπουδαῖος φαίνεσθαι, ἄχρι τῆς τῶν ἐλπιζομένων καταλήψεως· τούτων δὲ τυχὼν, πρὸς πονηρὰν ἐπανακάμπτει φύσιν, ὡς καὶ ἡ τοῦ κυνὸς οὐρά, φύσει λοξὴ οὖσα καὶ διεστραμμένη, ἐπειδὰν μίτῳ δεσμευθῇ, καὶ ἐκταθῇ, εὐθεῖα φαίνεται.

Καὶ ἴσθι, ὦ Βασιλεῦ, ὡς ὁ μὴ δεχόμενος παρὰ τοῦ εὐνοϊκῶς ὁμιλοῦντος τοὺς ἐπαχθεῖς λόγους, ἔοικε τῷ νοσοῦντι, τῷ τὴν χρῆσιν τῶν πικρῶν φαρμάκων καὶ λυσιτελῶν ἀποστρεφομένῳ, καὶ τοῦ ἰατροῦ παρακούοντι· καὶ ἔσο πρὸς τούτοις εἰδὼς, ὡς κρείττων, ἐν ὑπηκόοις καὶ φίλοις, ὁ τῆς

εὐνοίας ἀντιποιούμενος· καὶ ἐν τοῖς ἔργοις βέλτιον, τὸ ἀγαθὴν ἔχον ἀπόβασιν· ἐν δὲ τοῖς ἐπαίνοις, ὁ παρὰ τῶν ἀγαθῶν ἀνδρῶν θρυλλούμενος ἔπαινος· ἐν δὲ τοῖς ἡγεμόσιν, ὁ μὴ τῇ οἰήσει καὶ τῇ ὑπερηφανίᾳ ἑαυτὸν ἐκδιδούς· ἐν δὲ τοῖς πλουσίοις, ὁ μὴ ὑπὸ τοῦ πολλοῦ μόχθου καὶ πόνου περισπώμενος· ἐν δὲ τοῖς φίλοις, ὁ μὴ ἀντερίζων· λέγεται δὲ καὶ τοῦτο, ὡς αἱρετώτερόν ἐστιν ἐπὶ πυρᾶς καὶ ὄφεων ἐπιβῆναι, ἢ συνοικεῖν τινι τῶν ἐπιβουλευόντων τῇ αὐτοῦ ζωῇ.»

Ὁ δὲ λέων ἔφη· «Συνετώτατα λέγεις, εἰ καὶ ἀπότομα· ἀλλ' εἰ θῶμεν τὸν ταῦρον οὕτωσὶ ἐχθρωδῶς πρὸς ἡμᾶς ἔχοντα, οὐ δυνήσεται μέντοιγε βλάψαι, χλοηνόμος ὤν, ἐμοῦ ὠμοβόρου ὑπάρχοντος· μᾶλλον γὰρ ἡ φύσις ἐκεῖνον ἐμοὶ, ἢ ἐκείνῳ ἐμὲ τροφὴν παρεσκεύασεν.» Ὁ δὲ Ἰχνηλάτης εἶπε· «Μὴ πλανηθῇς τῷ τοιούτῳ σκοπῷ· εἰ γὰρ μὴ δι' αὐτοῦ σε ὁ ταῦρος καταβαλεῖν δυνήσεται, τοῦτο δι' ἑτέρων ἐργάσεται· λέγεται γὰρ, ὡς εἰ ξεναγωγήσει σέ τις, τὴν σεαυτοῦ μὴ πρότερον πιστεύσῃς σωτηρίαν, πρὶν ἢ τὴν τούτου διάθεσιν διαγνῷς, μὴ ταὐτὸν πάθῃς τῷ τοῦ φθειρός. Φθεὶρ γάρ τις δεμνίοις τινὸς τῶν μεγιστάνων ἐπὶ μακρῷ ἀνεκέκρυπτο χρόνῳ, τρεφόμενος τῷ αἵματι αὐτοῦ ὑπνώττοντος, καὶ ἠρέμα τούτῳ προσέρπων, ἀφώρατος ἦν. Τῶν δὲ νυκτῶν μιᾷ κατέλυσέ τις παρ' αὐτῷ ψύλλα, ἥτις ἀνυποστόλως καὶ αὐθαδῶς πλήξας τὸν ἄνδρα ὑπνώττοντα, ἐξύπνησεν· ὁ δὲ εὐθέως ἐγερθεὶς, καὶ τὴν ἑαυτοῦ στρωμνὴν ψηλαφήσας, τὸν φθεῖρα εὑρὼν, ἀπέκτεινε, ταχέως τῆς ψύλλας ἐκπηδησάσης, καὶ διασωθείσης. Εἰ οὖν σὺ τὸν ταῦρον οὐ φοβῇ, τοὺς ὑπό σε δειλιάσῃς ἀνεπανισταμένους σοι.» Ὁ δὲ λέων τοῖς τούτου πεισθεὶς λόγοις, ἔφη· «Καὶ τί δεῖ πρὸς ταῦτα ποιεῖν;»— «Ὁ σεσημμένος ὁδοὺς (ὑπολαβὼν ἔφη ὁ Ἰχνηλάτης,) οὐκ ἄλλως ἰᾶται, εἰ μὴ ἐκβληθῇ· καὶ τῆς διαφθαρείσης τροφῆς ἡ

βλάβη διὰ τοῦ ἐμέτου ἐκδιώκεται.» Ὁ δὲ λέων ἔφη· «Δηλώσω λοιπὸν τούτῳ ἀπελθεῖν, ἔνθα βούλεται.» Ὁ δὲ Ἰχνηλάτης εἰδὼς ὡς, εἰ ὁμιλήσῃ τῷ λέοντι ὁ ταῦρος, ἀποκαλυφθήσεται ἡ μεταξὺ τούτων σκευωρία, εἶπεν· «Οὐ συνορῶ τοῦτο εἶναι λυσιτελές· εἰ γὰρ διαγνώσεται ὁ ταῦρος, ὡς παρά σοι ἐφωράθη, ἐχθρὸς γενήσεται, καὶ πρὸς ἀντιπαράταξιν παρασκευασθήσεται· οἱ γὰρ συνετώτατοι τῶν Βασιλέων φανερῶς μὲν τιμωροῦσι τὸν προδήλως πταίσαντα, κρυφίως δὲ τὸν ἀδήλως.» Ὁ δὲ λέων ἔφη· «Ὅτε ὁ Βασιλεὺς ἐξ ὑπολήψεως ἐπενέγκῃ τινὶ τιμωρίαν, καὶ ἀτιμίαν, καὶ μὴ ἀληθὴς δειχθείη ἡ ὑπόληψις, ἑαυτὸν μᾶλλον ἠτίμησεν.» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ὅτε εἰσέλθῃ πρός σε ὁ ταῦρος, ἕτοιμος ἔσο· ἐκ γὰρ πρώτης ὀφθαλμῶν ἐπιβολῆς διαγνώσῃ τὸ βούλημα αὐτοῦ· ὄψῃ γὰρ ὠχρὸν τὸν τοιοῦτον, καὶ ὑπότρομον τὰ μέλη, καὶ ἐπὶ δεξιᾷ καὶ ἀριστερᾷ κλονούμενον, καὶ κερατίσαι βουλόμενον.» Ὁ δὲ λέων ἔφη· «Εἰ τοιαῦτα σημεῖα ἴδω, πληροφορηθῶ ἐν τοῖς σοῖς ῥήμασιν.» Ἐβουλήθη οὖν ὁ Ἰχνηλάτης πρὸς τὸν ταῦρον ἀπελθεῖν, καὶ διεγεῖραι τοῦτον κατὰ τοῦ λέοντος· καὶ συνεῖδε, μὴ ἄνευ γνώμης τοῦ λέοντος προσομιλῆται αὐτῷ, μήπως ἀκούσας ὁ λέων τὸ τοιοῦτον, διαγνῷ τὸν δόλον, καὶ εἶπεν· «Εἰ προστάττεις, ὦ Βασιλεῦ, ἀπελεύσομαι πρὸς αὐτὸν, καὶ ἴδω τὴν τούτου διάθεσιν, καὶ οὐ λήσεταί με ἡ διάνοια αὐτοῦ ἐκ πρώτης ὁμιλίας.» Ὁ δὲ λέων προσέταξεν αὐτῷ ἀπελθεῖν.

Καταλαβὼν οὖν ὁ Ἰχνηλάτης τὸν ταῦρον, εἰσῆλθε πρὸς αὐτὸν σκυθρωπὸς καὶ κατηφής. Ὁ δὲ ταῦρος ἐυμενῶς προσεδέξατο αὐτὸν, καὶ περὶ τῆς βραδυτῆτος ἐπηρώτησε, καὶ εἶπε· «Πάντως ἀγαθὸν τὸ ταύτης αἴτιον; Καὶ ὁ Ἰχνηλάτης, «Καὶ ποῖον πάρεστιν ἀγαθὸν τῷ μὴ ἑαυτοῦ κυριεύοντι, ἀλλ' ἑτέρου ἀπηρτημένῳ, ἀπίστου καὶ ἀβεβαίου;» Ὁ δὲ ταῦρος ἔφη· «Καὶ τὶ γέγονε καινόν;» Καὶ ὁ Ἰχνηλάτης· «Καὶ τίς δυ-

νήσεταί φησι, τὴν εἱμαρμένην ἐκφυγεῖν; ἢ τίς τοῖς ἡγεμόσι παρεδρεύων, καὶ ἐξυπηρετούμενος ἀβλαβὴς ἀπηλλάγη; ἐοίκασι γὰρ οὗτοι πόρναις γυναιξίν, αἵτινες πολλοῖς ἀνδράσι συζεύγνυνται· ἢ διδασκαλείῳ, εἰς ὃ φοιτῶσι παῖδες, καὶ ὑποχωροῦσιν, ἀεὶ ἕτεροι ἀνθ' ἑτέρων εἰσερχόμενοι. Οἶδας τὴν μεταξὺ ἡμῶν συστᾶσαν φιλίαν, καὶ ὡς αἴτιός σοι γέγονα τῆς πρὸς τὸν λέοντα ἀφίξεως, καὶ τοῦτο μὲ πείθει εὐνοϊκώτατα προσομιλῆσαί σοι νῦν· εἶπε γάρ μοι τῶν πιστωτάτων, ὡς ὁ λέων ἔφη πρός τινας τῶν ἀμφ' αὐτὸν, ὅτι βούλεταί σε καταφαγεῖν, διὰ τὸ λιπανθῆναι καὶ ὀγκωθῆναί σε, καὶ τοῦτο ἀκούσας ἦλθον δηλῶσαί σοι, ἵνα περιποιήσῃς σεαυτῷ τὸ ἀσφαλές.» Ὡς οὖν ἤκουσεν ὁ ταῦρος τοὺς τοιούτους λόγους, ἐφρόντισε λίαν, καί φησι· «Τί κακὸν ἔδρασα τῷ λέοντι; ἢ πρός τινα τῶν ἀμφ' αὐτὸν ἐκοινολογησάμην, ἵνα περὶ ἐμοῦ τοιαῦτα διανοηθῇ; ἀλλ' οἱ περὶ αὐτὸν, φθονεροὶ ὄντες, κατεψεύσαντό μου, τῷ φθόνῳ διαβαλλόμενοι· ἡ γὰρ τῶν πονηρῶν ὁμιλία ἐναντίας ἀπογεννᾷν εἴωθεν ὑπολήψεις περὶ τοὺς ἀγαθοὺς ἄνδρας.» Ὁ δὲ Ἰχνηλάτης ὑπολαβὼν εἶτεν· «Οὐκ ἔτι τοῦτο αἴτιον ταύτης αὐτοῦ τῆς πρός σε διαθέσεως· ἀλλ' ἔστιν ἀεὶ ἄστατος, ἄφιλος, ἀγνώμων, ἀβέβαιος, καὶ πρῶτον μὲν γλυκὺς, εἶτα δὲ πικρὸς φαινόμενος.» Ὁ δὲ ταῦρος ἔφη· «Καλῶς εἶπας· ἐγευσάμην γὰρ αὐτοῦ γλυκύτητος πρότερον, καὶ κατήντησα μέχρι τοῦ πικροῦ δηλητηρίου· καὶ τί με δεῖ διάγειν παρὰ λέοντι αἱμοβόρῳ, χλοηνόμος ὤν; ἡ γὰρ πλεονεκτικὴ γνώμη τοιούτῳ με συμπτώματι περιέπλεξε, παρόμοιόν τι παθόντα ταῖς ἄφροσι μελίτταις, αἵτινες ἀσπαστὸν ἡγούμεναι τὸ ἐπικαθῆσθαι τοῖς ἄνθεσιν, οὐ πρότερον ἀφίστανται, πρὶν ἢ συμμιγέντων τοῖς ἄνθεσι τῶν φύλλων ἀποπνιγῶσι. Καὶ ὁ μὴ τοῖς ὀλίγοις ἀρκούμενος ἐν τῷ βίῳ, ἀλλ' ἐπιτείνων τοὺς ὀφθαλμοὺς ἐπὶ τὰ πόρρω, καὶ μὴ διαλογιζόμενος τὰ

ἔμπροσθεν καὶ τὰ ὄπισθεν, πείσεται τὰ τῶν μυιῶν, αἵτινες οὐκ ἀρκοῦνται τοῖς δένδροις καὶ τοῖς ἄνθεσιν, ἀλλ᾽ ἐνίοτε περιπέτονται τῷ ῥύπῳ τῶν ὠτῶν τοῦ λέοντος· δι᾽ ὃ καὶ πολλάκις πληγεῖσαι θνήσκουσιν.»

Ὁ δὲ Ἰχνηλάτης «Ἄφες, εἶπε, τὰ πολλὰ καὶ τὰ ἄκαιρα, καὶ σκόπει βουλὴν ἐφευρεῖν, ἥ σε σώσει τοῦ θανάτου.» Ὁ δὲ ταῦρος ἔφη· «Ὁ μὲν τοῦ λέοντος σκοπὸς ἀκέραιός ἐστιν· ἀλλ᾽ οἱ περὶ αὐτὸν, πονηροὶ ὄντες, οὐκ ἐῶσιν αὐτὸν ἀγαθὸν εἶναι, καὶ τὸ τοιοῦτον σύστημα πολλάκις, κἂν ἀδύνατον ᾖ, ἀναιρεῖ τὸν ἀθῷον καὶ ὅσιον, ὡς ὁ λύκος, καὶ ὁ κόραξ καὶ ὁ θώς. Λέγεται γὰρ, ὡς λέων τις παρά τινι διητᾶτο ὕλῃ, ἧς πλησίον ὁδὸς ἦν· ἦσαν δὲ ἐκεῖσε τρία ζῶα ἀλλήλοις συμφιλιούμενα· λύκος, κόραξ καὶ θώς. Ἐμπόρων δέ ποτε τινῶν διερχομένων, ἀπελείφθη ἐξ αὐτῶν κάμηλος, ἥτις πρὸς τὸν λέοντα ἐλθοῦσα, ἀνήγγειλε τὰ κατ᾽ αὐτήν. Ὁ δὲ λέων εἶπεν αὐτῇ· «Εἰ βούλει τὴν ἐμὴν ξυναυλίαν, ἔσται σοι πάντως, καὶ διάξεις ἐν ἀμεριμνείᾳ, καὶ βίου εὐθηνίᾳ, καὶ ἀνέσει τὸν πάντα τῆς ζωῆς χρόνον.» Καὶ διέμεινεν ἐκεῖσε ἡ κάμηλος, ἄχρις ὅτου, ἐν μιᾷ τῶν ἡμερῶν, ὅτε ἐξελθὼν ἐπὶ θήραν ὁ λέων συνήντησεν ἐλέφαντι, καὶ συνεπλάκη τούτῳ, καὶ τραυματισθεὶς ὑπέστρεψεν ἄπρακτος, καθημαγμένος τὰς σάρκας, καὶ ἀνεκλίθη τῇ νόσῳ δεδαμασμένος, καὶ μήτε θηρεῦσαι δυνάμενος, μήτε ἑτέρωθι μεταβῆναι. Ἀπέλειψαν οὖν αὐτὸν αἱ τροφαὶ, καί φησι τοῖς περὶ αὐτόν· «Ἀπειρήκατε, ὡς οἶμαι, τῷ λιμῷ πιεζόμενοι.» Οἱ δὲ εἶπον· «Ἡμεῖς μὲν ἑαυτῶν φροντίσαι δυνάμεθα· περὶ σοῦ δὲ μόνον ἀλύομεν, καὶ εἴγε ἠδυνήθημεν εὑρεῖν, δι᾽ οὗ συ μὲν αὐτὸς ὠφεληθήσῃ, ἡμεῖς δὲ πάντες βλαβησόμεθα, προθύμως ἄν τὸ τοιοῦτον πράξαιμεν.» Ὁ δὲ εἶπεν· «Οὐκ ἐνδοιάζω περὶ τῆς ἡμετέρας εὐνοίας· ἀλλὰ διασκεδάσθητε ὑμεῖς πανταχοῦ, εἴ πως εὑρήσητε τὰ αὐτάρκη ὑμῖν τε καὶ ἐμοί.»

Οἱ δὲ ἔγγιστά που ἀναχωρήσαντες συνελογίσαντο πρὸς ἀλλήλους λέγοντες· «Τί ἡμῖν καὶ τῇ καμήλῳ ταύτῃ, τῇ χλοηνόμῳ καὶ ἑτεροφυεῖ οὔσῃ πρὸς ἡμᾶς, καὶ ἑτεροβίῳ; ἀλλ' εἰ δοκεῖ, διερεθίσωμεν τὸν λέοντα ταύτην καταφαγεῖν.» Καὶ ὁ μὲν θὼς εἶπε· «Τοῦτο ἀδύνατόν ἐστιν ἡμῖν ἀριδηλότατα διασαφῆσαι τῷ λέοντι, συνθήκας ἤδη πρὸς αὐτὴν ποιησαμένῳ.» Ὁ δὲ κόραξ εἶπε· «Μείνατε ἐνταῦθα ὑμεῖς, καὶ ἐάσατε μόνον ἐμὲ σὺν ἐκείνῳ.» Ἀπῆλθεν οὖν ὁ κόραξ πρὸς αὐτὸν, καὶ ἰδὼν αὐτὸν ὁ λέων, ἔφη· «Ἄραγε ἐπίθου τινός, ἢ ἔγνως τί;» Καὶ ὁ κόραξ· «Σὺ γινώσκεις τὰ περὶ ἡμᾶς· ἡμεῖς γὰρ τῆς ὄψεως ἐστερήμεθα, δι' ἣν ὑπέστημεν ἔνδειαν· ἀλλὰ δυνάμεθά σοι ἐξυπηρετήσασθαι, εἰ ὑπακούσας ἡμῶν κατάξεις τὴν μεθ' ἡμῶν ἀναστρεφομένην κάμηλον.» Ὁ δὲ λέων ὀργισθεὶς εἶπε· «Βαβαὶ τῆς ἀπηνίας καὶ ὠμότητος! ἢ οὐκ οἶσθα, ὡς συνθήκας καὶ φιλικὴν συμφωνίαν πρὸς αὐτὴν ἐποίησα; Οὐκ ἔδει σε ῥήμασί με τοιούτοις προσερεθίσαι· ἀδύνατόν μοι καθέστηκε τοῦτο.» Ὁ δὲ κόραξ πάλιν εἶπε· «Καλῶς εἴρηκας, ὦ Βασιλεῦ· ἀλλ' ἡ μία ψυχὴ ὑπὲρ ὅλου οἴκου προδίδοται, καὶ οἶκος ὅλος ὑπὲρ πόλεως, καὶ πόλις ὑπὲρ κλίματος (ἐπαρχίας), καὶ κλίμα (ἐπαρχία) ὑπὲρ Βασιλείας. Καὶ ἡμεῖς συγκατατρυχόμεθα σήμερον τῇ τῶν ἀναγκαίων ἐνδείᾳ, καὶ πῶς εὑρήσομέν σοι πόρον, ᾧ τηρηθείης πάσης ἀνώτερος μέμψεως;» Καὶ ταῦτα εἰπὼν ἐπανῆλθε πρὸς τοὺς ἑταίρους, ἀναγγείλας αὐτοῖς, ὅσα εἶπε τῷ λέοντι, καὶ ὅσα παρ' αὐτοῦ ἤκουσεν.

Οἱ δὲ τοιοῦτον δόλον συνέῤῥαψαν, ὥστε ὁμοῦ πάντες σὺν τῇ καμήλῳ προσελθεῖν τῷ λέοντι, καὶ ἕκαστον δωρεῖσθαι ἑαυτὸν πρὸς διατροφὴν, καὶ ἀπολογίαν τοὺς λοιποὺς ὑπὲρ ἑκάστου ποιήσασθαι, πλὴν τῆς καμήλου· καὶ τοῦτο σκευωρήσαντες προσῆλθον τῷ λέοντι. Πρῶτος δὲ ὁ κόραξ εἶπεν· «Ὁρῶ σε, ὦ Βασιλεῦ, πάνυ τῇ νόσῳ βεβαρημένον·

καὶ πολλαί σου εἰσὶν αἱ πρὸς ἐμὲ πρότερον εὐποιΐαι· ἀλλ' οὐκ ἔχωτι, ὥνγε προσοίσω σοι, ἀλλ' ἢ ἐμαυτόν· κατέσθιε λοιπὸν ἀνυποστόλως.» Οἱ δὲ εἶπον· «Παῦσαι τοῦ λήρου· βραχὺς εἰ τὸ σῶμα καὶ μηδαμινός.» Ὁ δὲ θὼς εἶπεν· «Ἀλλ' ἐγώ σοι, ὦ Βασιλεῦ, ἱκανὴ τροφὴ ἔσομαι σήμερον.» Ὁ δὲ λύκος ἔφη· «Παῦσαι καὶ σὺ, δυσῶδες γάρ σου τὸ σῶμα, καὶ πρὸς τροφὴν ἀνεπιτήδειον· μᾶλλον ἐγὼ πρὸς τοῦτο εὐθετώτερος.» Ὁ δὲ θὼς καὶ ὁ κόραξ ἀπεκρίναντο· «Εἴτις βούλεται κυνάγχη περιπεσεῖν ὅλως, ἀπογευσάσθω σου τῶν σαρκῶν.» Ὑπέλαβεν οὖν ἡ κάμηλος, ὡς καὶ ὑπὲρ αὐτῆς ἀπολογήσονται, καί φησιν· «Ἀλλ' ἐγὼ καὶ σαρκῶν εὐπορῶ, καὶ ἡδυτάτη τῷ βουλομένῳ τροφὴ εἰμι.» Οἱ δὲ ὁμοῦ μεγάλως ἐβόησαν· «Ἀληθέστατα εἶπας, ὦ κάμηλε,» καὶ διεσπάραξαν αὐτήν. Δέδοικα γοῦν κἀγὼ, μὴ ταὐτόν τι πάθω τῇ καμήλῳ παραπλήσιον παρὰ τῶν τοῦ λέοντος ὑπηκόων, μὴ βουλομένου αὐτοῦ τὴν ἐμὴν ἀπώλειαν· ῥανὶς γάρ, φασιν, ἐνδελεχοῦσα κοιλαίνει πέτραν. Ἀλλ' ἑτοιμασθήσομαι λοιπὸν πρὸς ἀντιπαράταξιν αὐτῶ· οὔτε γὰρ τοσοῦτος μισθὸς ἀποταμιεύεται τῷ πολλὰ εὐχομένῳ, ἢ τῷ ἱλαροδότῃ, ἢ τῷ ἀσκητῇ, ὅσος τῷ ἑαυτὸν θανάτου ῥυσαμένῳ, κἂν πρὸς μίαν καιροῦ ῥοπήν.»

Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Οὐ δεῖ τινα κινδυνώδει πράγματι δι' ἑαυτοῦ προσπλακῆναι· καὶ γὰρ ὁ ἐχέφρων ἀνὴρ, μετὰ πᾶσαν ἄλλην μέθοδον, τῷ πολέμῳ ὕστερον ἐπιχειρεῖ· οὐ δεῖ δὲ καταφρονεῖν τοῦ ἐχθροῦ, εἰ καὶ ἀδύνατός ἐστι, καὶ μάλιστα, εἰ συνέσει κατωχύρωται. Ἄκουσον δέ μου εὐνοϊκώτατά σοι προσομιλοῦντος· ὁ γὰρ μὴ τοὺς ὀνησιφόρους λόγους παρὰ τῶν φίλων δεχόμενος, ταὐτὸ πείσεται τῇ ἀλκυόνι, ὅπερ ἔπαθε παρὰ τῆς Νηρηΐδος, ἥτις κέκλοφε τοὺς ταύτης νεοσσοὺς, καὶ πάλιν φοβηθεῖσα ὑπέστρεψεν αὐτοὺς διὰ τὴν πρὸς ἐκείνην ἀντιπαράταξιν. Λέγεται γάρ,

ὡς ἔν τινι αἰγιαλῷ κατῴκει ὄρνεον, καλούμενον ἀλκυών, σὺν τῇ συνεύνῳ· ἡ δὲ σύνευνος, ἐγγίσασα τῷ τεκεῖν, εἶπε τῷ ἀνδρὶ αὐτῆς· «Εἰ εὑρήσεις ἡμῖν τόπον ὀχυρὸν τῷ φωλεῦσαι, καὶ γεννῆσαι ἐν αὐτῷ, κρεῖττόν ἐστι· καὶ γὰρ φοβοῦμαι μήπως, τῆς θαλάσσης οἰδουμένης, ἐλθοῦσα ἡ Νηρηὶς λάβῃ τοὺς νεοσσοὺς ἡμῶν. «Ἡ δὲ εἶπεν· Τέκε ἐνθάδε· ὁ γὰρ τόπος οὗτος χλοηφόρος καὶ ὑδατώδης, καὶ πάνυ ἡμῖν ἐπιτήδειος.» Λέγει δὲ αὐτῷ ἡ ὁμόζυγος· «Πρόσεχε τοίνυν· οὐκ ἀφόβως γὰρ ἐνθάδε ὑπὸ τῆς Νηρηΐδος διάξωμεν.» Ὁ δὲ, «Οὐ τολμήσει, φησὶν, ἐγῷμαι, ποιῆσαι τοῦτο· ἀντιπαραταξώμεθα γὰρ αὐτῇ.» Ἡ δὲ ἔφη· «Οὐκ αἰσχύνῃ ταῦτα λέγειν, καὶ ἀπειλεῖν τῇ Νηρηΐδι; ἢ οὐκ οἶσθα τὴν σὴν δύναμιν; ἀλλ᾽ οὖν ἄκουσόν μου, καὶ μετάστησον ἡμᾶς ἐκ τοῦδε τοῦ χώρου· ὁ γὰρ μὴ ἀκούων τοῦ εὐνοϊκῶς νουθετοῦντος, πείσεται τὸ τῆς χελώνης. Λέγεται γὰρ, ὡς ἔν τινι πηγῇ νῆτται ἐδιαιτῶντο δύο, καὶ μία χελώνη, ἀλλήλαις συμφιλιούμεναι· τοῦ δὲ τῆς πηγῆς ὕδατος ἐκλιπόντος, διενοήθησαν ἐκεῖθεν μεταστῆναι ἐφ᾽ ἕτερον ὕδωρ. Ὡς οὖν ἔμελλον μετακομισθῆναι, εἶπεν αὐταῖς ἡ χελώνη· «Ὑμῖν μὲν μέλει οὐδὲν περὶ τῆς τοῦ ὕδατος ἐκλείψεως· ἐμοὶ δὲ τῇ ἀθλίᾳ, πόρον ζωῆς ἕτερον οὐκ ἐχούσῃ, καὶ πάνυ μελήσει· ἀλλ᾽ ἅρατέ με, δέομαι, τῶν ὧδε, καὶ κομίσατε σὺν ἡμῖν αὐταῖς.» Αἱ δὲ εἶπον· «Εἰ μὴ πρότερον ἐπομόσῃς ἡμῖν, ὡς οὐδὲν φθέγξῃ παρ᾽ ἡμῶν φερομένη, οὐκ ἄν σε μετακινήσωμεν, ἢ μετοικήσωμεν.» Ἡ δὲ ἐπωμόσατο· καὶ λαβοῦσαι αἱ νῆτται ξύλον ἀπευθυσμένον ἐπέτρεψαν αὐτῇ δακεῖν τὸ μέσον αὐτοῦ· καὶ τούτου γεγονότος, λαβοῦσα ἑκάστη τῶν νηττῶν τὸ τοῦ ξύλου ἄκρον, ἦραν εἰς ἀέρα δὶ αὐτοῦ τὴν χελώνην. Καί τινες τῶν κάτω ἐρχομένων, ἰδόντες τὴν χελώνην ἀνηρτημένην, καὶ τὰς νήττας πετομένας, ἔφασαν· «Οὐχ ὁρᾶτε τέρας; χελώνην μέσον δύο

νηττῶν ἐπ᾽ ἀέρος φερομένην;» Ἡ δὲ τοῦτο ἀκούσασα, ὑπὸ φιλοτιμίας, «Ἀνωτέρη, ἔφη, ἵπταμαι ὑμῶν·» καὶ ἀνοίξασα τὸ στόμα, ἵνα τὸ ἔπος προφέρῃ, πεσοῦσα εἰς τὴν γῆν, συνετρίβη. Τοιαῦτα πείσεται καὶ ὁ μὴ ἀκούων αὐτῷ ὁμιλοῦντι.»

Ἡ δὲ ἀλκυὼν εἶπεν· «Ἔγνων ἃ λέγεις· τέκε δ᾽ οὖν, καὶ μὴ φοβοῦ τὴν Νηρηΐδα.» Γεννησάσης δὲ, ἦλθεν ἡ Νηρηΐς, καὶ λαβοῦσα τοὺς νεοσσοὺς σὺν τῇ φωλεᾷ ἀπῆλθεν. Ἡ δὲ στραφεῖσα εἶπε τῷ συνεύνῳ· «Ἐγὼ μὲν προέλεγον ταῦτα, σὺ δὲ ἠπίστεις, καὶ διὰ τοῦτο ταῦτα πεπόνθαμεν.» Ἡ δὲ ἀλκυὼν ἔφη· «Ἀληθὲς τοῦτο εἴρηκας, ἀλλ᾽ εἰπόν σοι ὅτι, ἐάν τι συμβῇ ἡμῖν τῶν ἐναντίων παρ᾽ αὐτῆς, δείξω σοι τὴν ἀντιπάθειαν, καὶ ἄρτι ὄψῃ τοῦτο.» Ἀπελθοῦσα οὖν πρὸς τοὺς συγγενεῖς αὐτῆς καὶ φίλους, ἐγνώρισεν αὐτοῖς, ἅπερ ἐπεπόνθει παρὰ τῆς Νηρηΐδος καὶ, «Ἀντιλάβεσθέ μου, ἔφη, κατ᾽ αὐτῆς, ὡς ὁμογενεῖς καὶ ὁμοιοπαθεῖς ὄντες, μή ποτε ταὐτὸν ἐμοὶ πάθοιτε καὶ ὑμεῖς.» Οἱ δὲ εἶπον αὐτῇ· «Ἡμεῖς μὲν σύνεργοί σου καὶ ἐπίκουροι ἐσμέν· ἀλλ᾽ οὖν τί δυνάμεθα βλάψαι αὐτήν;» Ἡ δὲ ἀλκυών, «Ἀπέλθωμεν πάντες, καὶ δεηθῶμεν τῶν πετεινῶν, ὅπως συνεργήσωσιν ἡμῖν.» Ἀπελθόντες οὖν ἐκεῖνοι εἶπον πᾶσι τοῖς πετεινοῖς τὰ τοιαῦτα· τὰ δὲ πετεινὰ ἔφησαν· «Ἡμεῖς μὲν μετὰ προθυμίας, εἰ μόνον ὁ Βασιλεὺς βουληθείη, βοηθήσωμεν ὑμῖν.» Τοῦ δὲ βασιλέως τῇ αὐτῶν εἴξαντος ἱκεσίᾳ, ὑπέσχοντο βοηθῆσαι αὐτῇ, καὶ ποιῆσαι τὴν ἐκδίκησιν. Ἀκούσασα δὲ ταῦτα ἡ Νηρηΐς, καὶ φοβηθεῖσα τὴν Βασιλέως ἀντιπαράταξιν, ἀπέδωκε τοὺς νεοσσοὺς τῇ ἀλκυόνι. Ταῦτα οὖν διεξῆλθόν σοι, ἵνα γνῷς, ὅτι οὐ συμφέρει σοι ἡ ἀντιπαράταξις τοῦ λέοντος, οὐδὲ συναινῶ σοι εἰς ταῦτα.» Καὶ ὁ ταῦρος, «Οὐχ οὕτως ἀναιδῶς ἐπιχειρήσω τῇ ἀπωλείᾳ τοῦ λέοντος.» Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Σὺ δὲ ὅταν ἴδῃς ὀφθαλμοὺς ἠγριωμένους, καὶ ὑφαίμους,

καὶ ὁρμὴν ἀκατάσχετον, συνεχῆ καὶ ταχείαν τοῦ οὐραίου κίνησιν, τότε πληροφορήθητι.»

Εἶτα εἰσῆλθεν ὁ ταῦρος πρὸς τὸν λέοντα. Ἰδὼν δὲ τοῦτον ἠλλοιωμένον, καὶ ἃ εἶπεν ὁ Ἰχνηλάτης σημεῖα φέροντα, θυμοῦ πλησθεὶς ὁ ταῦρος ἔφη· «Κρεῖττόν ἐστιν ὄφει ἢ Βασιλεῖ συνοικεῖν ἀδίκῳ·» καὶ διανέστη πρὸς τὴν τοῦ λέοντος παράταξιν. Ἰδὼν δὲ ὁ λέων τὸ τοιοῦτον, συνεπλάκη καὶ αὐτὸς τῷ ταύρῳ, καὶ τοῦτον ἀπέκτεινε. Παρὼν δὲ τηνικαῦτα ὁ Στεφανίτης τῷ Ἰχνηλάτῃ ἔφη· «Οἶδας τὸν δόλον, ὃν συνέῤῥαψας κατὰ τοῦ ταύρου· σκόπησον οὖν καὶ τὴν ἀπόβασιν· τὸν γὰρ λέοντα κατήσχυνας, τὸν ταῦρον ἀπώλεσας, τὴν ὁμόνοιαν τῶν συστρατιωτῶν διεσκέδασας. Ἢ οὐκ οἶσθα, ὡς οἱ δυνατώτατοι τῶν Βασιλέων πρωτοσύμβουλοι οὐκ ἐῶσι τούτους πολέμων κατάρξασθαι, καίπερ δυνατώτεροι ὦσι ἐχθρῶν; ἡ γὰρ φρόνησις τὰς τῶν πολλῶν χεῖρας νικᾷ. Ἐγωγε οὖν ἀεὶ ὁρῶν σου τὴν οἴησιν, καὶ τὴν πλεονεκτικὴν γνώμην, ἐκώλυόν σε τοῦ τοιούτου κατατολμῆσαι ἔργου· οὐδὲν γὰρ ἕτερον ἀπολλύει τοὺς ἐπ' ἐξουσίας, ὡς τὸ ἀκούειν, καὶ δέχεσθαι λόγους παρὰ τοιούτων, οἷος σύ. Κἀμοὶ μὲν γάρ ἐστι λόγου σύνεσις, ῥητορείας, δικαιοσύνης, μεταδόσεως, ἱλαρότητος, πλούτου, καὶ ἡ πρὸς τοὺς δεομένους μετάδοσις, ὡς ζωὴ ὑγεία καὶ εὐφροσύνη. Ἴσθι δὲ πρὸς τούτοις, ὡς διὰ τῆς γνώσεως νήφει μὲν ὁ συνετὸς, μεθύσκεται δὲ ὁ ἀσύνετος· καθάπερ πάσχει τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ καθ' ἡμέραν φῶς. Καὶ Βασιλεὺς ὁ τοιούτους ἔχων περὶ αὐτὸν ὑπηκόους, ἔοικεν ὕδατι πάνυ καθαρῷ καὶ διαφανεῖ, κροκοδείλων δὲ πλήρει, ᾧ τίς ἂν πλησιάσειε, κἂν δίψῃ καταφλέγοιτο; σὺ δὲ οὐδένα ἠθέλησας πλήν σου οἰκειωθῆναι τῷ λέοντι. Ἀλλ' ἡ βασιλεία διὰ τῶν περὶ αὐτὴν συνίσταται, ὡς ἡ θάλασσα διὰ τῶν κυμάτων· ἐν τούτοις γὰρ φοβερὰ τοῖς πλέουσι καθίστα-

ται. Ἀνόητον δὲ πάντη τὸ ἐπιπολαίως φιλεῖν, καὶ τὸ τὰ εἰκότα τῇ φιλίᾳ μὴ τηρεῖν, καὶ τὸ δι' ἑτέρων βλάβης οἰκείαν ἐπισπᾶσθαι ὠφέλειαν.

Πρὸς τούτοις οἶδα τοιαῦτά σοι παραινοῦντα, ἀνηνύτοις μὲ ἐπιχειρεῖν· φησὶ γάρ τις τῶν σοφῶν· «Μὴ ἔλεγχε μωρόν, ἵνα μὴ σε μισήσῃ, ὥσπερ καὶ οἱ πίθηκοι μισοῦντες ἀπώλεσαν τὸν ἐλέγχοντα αὐτοὺς κόρακα. Λέγεται γάρ, ὡς τινὲς πίθηκοι ἔν τινι τῶν ὀρεινῶν δένδρων καὶ τόπων, καθ' ὥραν χειμερινὴν διατρίβοντες, καὶ σφοδρῷ τῷ κρύει συσχεθέντες, εὑρόντες τινὰ λίθον στίλβοντα, ὑπέλαβον πῦρ εἶναι, καὶ κατεφύσων αὐτὸ ἱκανῶς. Κόραξ δὲ τούτους ἰδὼν τοῦτο ποιοῦντας, «Μὴ πλανᾶσθε, ὦ οὗτοι, ἔφη· οὐ γὰρ πῦρ τὸ προκείμενον, ἀλλὰ λίθος.» Ὡς δὲ τούτου οὐκ ἤκουον, κατῆλθεν ἐπ' αὐτούς· κατερχομένῳ δὲ αὐτῷ εἶπεν ἕτερος κόραξ· «Μὴ μάτην κοπία· μηδὲ ἐπιχείρει τὸν σκολιὸν εὐθύνειν, καὶ τὸν ἀσύνετον συνετίζειν· οὐδεὶς γὰρ τὴν ἑαυτοῦ σπάθην ἐπὶ πέτρας δοκιμάζει ἀτόμου.» Ὁ δὲ κόραξ, ἀποστραφεὶς τὸν παραινοῦντα, προσήγγισε τοῖς πιθήκοις· οἱ δὲ συλλαβόντες αὐτὸν διεσπάραξαν. Τοιοῦτον δή κἀμὲ τοιαῦτά σοι παραινοῦντα δοκεῖ εἶναι.

Ἀλλὰ καὶ σύ, τῇ πονηρίᾳ καὶ τῇ φιλαυτίᾳ ἡττώμενος, καὶ οὐκ ἀκούων παραινέσεως, ταὐτὸν πείσῃ τῷ πονηρῷ ἀνδρὶ, τῷ κοινωνῷ τοῦ σχολαστικοῦ. Λέγεται γάρ, ὡς πονηρός τις ἀνὴρ συνάμα σχολαστικῷ τινι, κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι, καὶ συμπεριπατοῦντες εὗρον χρυσίου τάλαντα χίλια· καί φησιν ὁ σχολαστικὸς τῷ δυστρόπῳ ἐκείνῳ ἀνδρί· «Διάνειμε τὸ ἕρμαιον ἐπ' ἴσης.» Κἀκεῖνος ἔφη· «Οὐχί· ἀλλὰ τανῦν ἀναλάβωμεν, εἰ δοκεῖ, ὅσα ἐξ αὐτοῦ χρήζομεν· τὸ δὲ λοιπὸν ὑπὸ γῆν συγκαλύψωμεν· καὶ ὅταν δεηθῶμεν, ἐλευσόμεθα, καὶ κατὰ μικρὸν τὸ αὐτάρκες λαμβάνοντες τὸν θησαυρὸν ἐξαντλήσομεν· τούτῳ

γὰρ τῷ τρόπῳ ἡ κοινωνία πολὺν ἡμῖν διαρκέσει χρόνον, καὶ διὰ τῆς κοινωνίας ἡ φιλία. Καὶ ἐπείσθη ὁ σχολαστικὸς τῇ παραινέσει αὐτοῦ, καὶ ὑπὸ δένδρον μέγα καὶ ὑψηρεφὲς τὸν χρυσὸν κρύψαντες ἀνεχώρησαν. Μετ' οὐ πολὺ δὲ λάθρα ὁ πονηρὸς ἐλθὼν ἐσφετερίσατο τὸν θησαυρόν. Καιροῦ δὲ οὐ πολλοῦ διαστάντος, ἔφη πρὸς αὐτὸν ὁ σχολαστικός· «Ἀπέλθωμεν, εἰ δοκεῖ, καὶ λάβωμεν τὸ ὑπὸ γῆν χρυσίον.» Πορευθέντες οὖν καὶ κατορύξαντες, ὡς οὐδὲν εὗρον, ἤρξατο ὁ τοῦτο κεκλοφὼς τίλλειν τὰς τρίχας, καὶ τύπτειν τὸ στῆθος, καὶ καταβοᾶν τοῦ σχολαστικοῦ, ὡς ὑποκεκλοφότος τὸν θησαυρόν. Τοῦ δὲ, μυρίοις τοῦτο ὅρκοις ἐπιβεβαιοῦντος, οὐκ ἐπείθετο· ἀλλὰ καὶ πρὸς τὸ κριτήριον εἵλκυσεν. Ὁ δὲ κριτὴς εἶπεν· «Ὁ ἐνάγων βαρύνεται ταῖς ἀποδείξεσι, καὶ δεῖ σε τὸ τοιοῦτο ἡμῖν δεῖξαι.» Ὁ δὲ, «Τὸ δένδρον ἡμῖν αὐτὸ μαρτυρήσει τὴν ἀλήθειαν, εἰ καὶ ἄφωνόν ἐστι.»

Καὶ προσελθὼν τῷ ἰδίῳ πατρὶ, ἀνήγγειλεν αὐτῷ πάντα, καὶ ἠξίου αὐτὸν ὑπεισελθόντα τὸ δένδρον, πρὸς τὸν μέλλοντα ἐρωτᾶν ἀποκρίνασθαι, καὶ λέγειν, ὡς ὁ σχολαστικὸς μόνος ἀνείληφε τὸ χρυσίον. Ὁ δὲ πατὴρ ἔφη· «Ἐγὼ μὲν, ὦ τέκνον, τοῦτο ποιήσω· σὺ δὲ ὅρα, μὴ ταῖς ἰδίαις παγίσι ληφθῇς, καὶ πάθῃς ὅπερ καὶ ὁ κύκνος πέπονθε. Λέγεται γὰρ, ὡς κύκνος τις, ἔν τινι χώρᾳ πλησίον ὄφεως φωλεύων, ἐν τῷ γεννᾶν αὐτὸν, ὁ ὄφις τοὺς νεοσσοὺς αὐτοῦ κατήσθιεν. Ὁ δὲ κύκνος, διὰ τὴν τοῦ χωρίου ἐπιτηδειότητα, ἥκιστα μετοικῆσαι ἐβούλετο. Γνοὺς οὖν ὁ καρκῖνος τὴν αὐτοῦ βλάβην, ἔφη τῷ κύκνῳ· «Διατί ἀδημονεῖς;» Ὁ δ' ἀνήγγειλεν αὐτῷ, ἅπερ ἐπεπόνθει ὑπὸ τοῦ ὄφεως. Ὁ δὲ καρκῖνος, δείξας αὐτῷ ὀπήν τινα ἀντικρὺ τῆς τοῦ ὄφεως καταδύσεως, λέγει αὐτῷ· «Ἔγνως τίνος ἡ ὀπὴ αὕτη;» Κἀκεῖνος, «Νύμφης, ἔφη.» Καὶ ὁ καρκῖνος, «Ἡ νύμφη, φησὶ, μεγίστην

ἔχθραν ἔχει κατὰ τοῦ ὄφεως· εἰ οὖν ἰχθύας λαβὼν θήσεις μέσον τῶν ὀπῶν, ἡ μὲν ἐξελθοῦσα φαγεῖν τοὺς ἰχθύας, καταντήσει μέχρι τῆς τοῦ ὄφεως τρώγλης, καὶ εἰσελθοῦσα καταπνίξει αὐτόν.» Ἐξελθοῦσα οὖν ἡ νύμφη τῇ ἑξῆς, κατέφαγε τοὺς ἰχθύας. καὶ τὸν ὄφιν ἀπέκτεινε· εὑροῦσα δὲ καὶ τὸν κύκνον ἅμα τοῖς νεοσσοῖς, κατεθοινήσατο. Τοῦτόν σοι, ὦ τέκνον, εἰρῆκα τὸν μῦθον, ἵ.α γνῷς, ὡς ὁ ἐπιβουλεύων τινὶ ἀρρόνως, ἁλίσκεται τῇ ἰδίᾳ πονηρίᾳ.» Ὁ δὲ υἱὸς αὐτοῦ ἔφη· «Μὴ φοβοῦ, πάτερ, τοῦ μύθου τούτου ἕνεκεν· ἀνδρίζου δὲ μᾶλλον, ἵνα ταῦτα τὰ τάλαντα κερδήσω.» Πεισθεὶς δὲ τῷ υἱῷ, ἀπελθὼν ὑπεισέδυ τὸ δένδρον. Τοῦ δὲ κριτοῦ ἐκεῖσε παραγενομένου, καὶ τὸ δένδρον ἐπερωτήσαντος, φωνὴ ἐνεδίδοτο, τὸν σχολαστικὸν τοῦτο κεκλοφέναι φάσκουσα. Ἀκούσας δὲ τοῦτο ὁ κριτὴς, καὶ τὸν δόλον νοήσας, προσέταξε πυρὶ τὸ δένδρον ἀποτεφρωθῆναι, ὡς ἂν μᾶλλον εἴποι τὸ ἀληθές. Τοῦ δὲ πυρὸς ἀναφθέντος ἤδη, καὶ ἐπ' αὐτὸν τῆς φλογὸς ἀνελθούσης, ἀνεφώνησεν εὐθὺς ὁ πραιὸς, καὶ ἐκβληθεὶς τὸν δόλον καθωμολόγησε. Τιμωρηθεὶς οὖν παρὰ τοῦ κριτοῦ σὺν τῷ υἱῷ, ἅπαν τὸ χρυσίον ἀφῃρέθησαν, ὃ καὶ ἐδόθη μόνῳ τῷ σχοχαστικῷ. Αὕτη γοῦν ἡ τοῦ πονηροῦ καὶ τοῦ μοχθηροῦ ἀπόβασις.

»Ἐγὼ μὲν γὰρ ἀεί σου τὴν γλώτταν ἐπτοούμην, ὡς τὸν τοῦ ὄφεως ὀδόντα, ἐπεὶ καὶ ἄμφω ἰὸν ἀποστάζετον· καὶ, ὡς εἴρηκεν ὁ εἰπών· «Φευκτέον πονηροὺς ἄνδρας, κἂν συγγενεῖς, κἂν ἄγχιστοί εἰσι·» ταὐτὸν γὰρ πέπονθας καὶ αὐτὸς τῷ ἐμπόρῳ. Λέγεται γὰρ, ὡς ἔμπορός τις, μέλλων ἀποδημεῖν, παρακατετίθετό τινι λάμνας σιδήρου ἑκατόν· καὶ ὡς ἐπανέζευξε, παρεγένετο πρὸς τὸν τὴν παρακαταθήκην λαβόντα, ἀπογνόντα ἤδη τὴν ἐπάνοδον αὐτοῦ, καὶ τὸν σίδηρον πωλήσαντα, καὶ εἶπεν αὐτῷ· «Ἀπόδος, ὃν παρεθέμην σοι, σίδηρον.» Ὁ δὲ ἔφη· «Ἐν τινι γωνίᾳ τοῦτον τῆς οἰκίας

βαλόντος μου, οἱ μῦες αὐτὸν κατέφαγον· μελέτω δέ σοι περὶ αὐτοῦ μηδέν, ἐπειδὴ σῶος πρὸς ἡμᾶς ἐπανῆλθες· ἀλλ' ἐλθὲ σήμερον, συνεστιάθητι ἡμῖν μετὰ περιχαρείας, καὶ τελέσωμεν τὰ εἰσιτήρια.» Ὁ δὲ κατένευσε, καὶ εἰσελθὼν ἐνέτυχε τῷ υἱῷ αὐτοῦ, καὶ λαβὼν αὐτὸν, νήπιον ὄντα, ἀπήγαγεν ἐπὶ τὸν ἴδιον οἶκον, καὶ κατέκρυψε, καὶ πάλιν ὑπέστρεψεν. Εὑρὼν δὲ τὸν πατέρα τοῦ παιδὸς ζητῶντα, καὶ ἐρωτῶντα περὶ αὐτοῦ, «Εἶδον ἐγώ, φησιν, ἱέρακα, τὸν σὸν υἱὸν εἰς ἀέρα φέροντα.» Καὶ ὃς μέγα κράξας τοῖς ἐκεῖσε, ἔφη· «Ἴδετέ ποτε, ὦ ἄνδρες, ἱέρακα ἄνδρα εἰς ὕψος φέροντα;» Καὶ ὁ τοῦ σιδήρου κύριος ὑπολαβὼν ἔφη· «Ναί· ἔνθα μῦες σίδηρον τοσοῦτον ἐσθίουσιν, ἐκεῖσε καὶ ἱέρακες ἐλέφαντας αἴρουσιν.» Ὁ δὲ αἰσχυνθεὶς ἐπὶ τούτῳ, ἀπέδωκε τὸν ὅσον ἀφείλετο, σίδηρον, καὶ τὸν οἰκεῖον ἀπέβαλε παῖδα.

»Οὕτως ἔτι καὶ σὺ καταισχυνθήσῃ ψευδεῖς λόγους οὕτω πλαττόμενος. Ἀλλ' ὁ κακὸς οὐδὲν ἄλλο, πλὴν κακός· καὶ γὰρ ὁ πικρὸς καρπὸς, κἂν πολλάκις ἐπιχρισθῇ μέλιτι, οὐκ εἶδε μετατρέπειν τὴν οἰκείαν πικρότητα εἰς γλυκύτητα. Ἀνθεκτέον, ὦ οὗτος, τῆς τῶν ἀγαθῶν ἀνδρῶν συναυλίας, καὶ φευκτέον τοὺς πονηρούς· ὥσπερ γὰρ μεταλαμβάνει ὁ πνέων ἀὴρ ἀπὸ τῆς δυσωδίας τῶν δυσωδῶν, καὶ τῆς εὐωδίας τῶν εὐωδῶν, ἐφ' ᾧτινι ἂν τύχῃ τούτων πεπνευκώς, οὕτω μεταδίδωσιν ἡ τῶν φαύλων καὶ τῶν πονηρῶν ἀνδρῶν ὁμιλία τῷ προσομιλοῦντι. Οἶδα δὲ πρὸς τούτοις, ὡς καὶ πάνυ σοι φορτικὸς ταυτὶ παραινῶν καταφαίνομαι· ἀεὶ γὰρ φορτικοί εἰσι τοῖς ἀνοήτοις ἀνδράσιν οἱ συνετοὶ, καὶ τοῖς ἀπαιδεύτοις οἱ πεπαιδευμένοι, τοῖς δὲ φειδωλοῖς οἱ εὐμετάδοτοι, καὶ τοῖς προπετέσιν οἱ ἀνεξίκακοι, καὶ τοῖς στρεβλοῖς οἱ εὐθεῖς.» Τούτων δὲ λεγομένων μεταξὺ, λέων ὁ Βασιλεὺς τὸν ταῦρον ἀνῄρηκε, καὶ εὐθὺς μετεμελήθη ἐπὶ τῇ αὐτοῦ ἀναιρέσει. Ὁ δὲ ἰχνηλάτης προσελθὼν τῷ λέοντι, καὶ σύννουν αὐτὸν ἰδὼν,

«Τί, μετάμελος ἐπὶ τὸν ταῦρον γέγονας, ἔφη; ἢ οὐκ οἶσθα, ὡς εἰ δηχθῇ τις ὑπὸ ἐχίδνης, ἐπὶ τὸ σύμπαν σῶμα ἀναδίδοται τὸ δῆγμα;» Καὶ ἀκούσας ὁ λέων ἐπίστευσε τοῖς λόγοις αὐτοῦ, καὶ παρηγορήθη. «Οὕτως οὖν, ἔφη ὁ φιλόσοφος, καὶ ὁ κακὸς καὶ μοχθηρὸς ἀνὴρ, ὅτε μεταξὺ δύο τινῶν ἀλλήλοις ἀντιφιλούντων ἑαυτὸν παρεισβάλλει, θορύβους ἐμποιεῖ, καὶ τοὺς φίλους διίστησι.»

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Ἀνάγγειλον οὖν μοι, πῶς ἔσχε τὰ κατὰ τὸν Ἰχνηλάτην ἐκεῖνον, μετὰ τὴν ταύρου ἀναίρησιν;

Ὁ δὲ φιλόσοφος ὑπολαβὼν ἔφη· «Μετὰ τὴν τοῦ ταύρου ἀναίρεσιν, μιᾷ τῶν νυκτῶν ἐξελθὼν ὁ λεοντόπαρδος, ὃς ἦν διδάσκαλος τῷ λέοντι, καὶ πιστὸς σύμβουλος, καὶ προσελθὼν τῇ τοῦ Ἰχνηλάτου πύλῃ, καὶ ἀκροώμενος ἤκουσε τοῦ Στεφανίτου, κατονειδίζοντος τοῦτον, ὑπὲρ ὧν εἰς τὸν ταῦρον ἔδρασε, καὶ ὡς οὐ διεκφυγεῖ τὰς τοῦ λέοντος χεῖρας, μαθόντος τὸν συρραφέντα κατ' ἐκείνου δόλον. Ὅπερ ἀκούσας εἰσῆλθε πρὸς τὴν μητέρα τοῦ λέοντος, καὶ ἀνήγγειλεν αὐτῇ, ὅσα δὴ καὶ ἀκήκοε. Ἡμέρας δὲ ἤδη γενομένης, ἀφίκετο αὐτὴ πρὸς τὸν λέοντα· καὶ ἰδοῦσα τοῦτον σκυθρωπὸν καὶ κατηφῆ καὶ μετάμελον ἐπὶ τῇ ἀπωλείᾳ τοῦ ταύρου, ἔφη· «Ὦ τέκνον, ὁ μετάμελος καὶ ἡ φροντὶς οὐδὲν ἄλλο ἐργάζονται, ἀλλ' ἢ τοῦ σώματος τηκεδόνα καὶ τῆς ψυχῆς ζόφωσιν· ἀλλ'

Ἐξαύδα μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω. Ἀλλ' οἶδα καὶ πρὸ τοῦ εἰπεῖν σε, ὡς διὰ τὸν ταῦρον ἀθυμεῖς, καὶ γὰρ ἀναιτίως αὐτὸν ἀνήρηκας· καὶ εἰ δίκαιος ἦς, ἔδει σε πάντως τὴν πρὸς αὐτὸν σου διάθεσιν τῇ πρὸς σεαυτὸν

ἐκείνου διακρίναι διαθέσει· λέγεται γὰρ, ὡς ἀνταμείβουσιν ἀλλήλας αἱ καρδίαι. Εἰπὲ οὖν μοι, ὅπως διέκεισο πρὸς τὸν ταῦρον.» Ὁ δὲ λέων εἶπεν· «Ἀεί μοι ὁ ταῦρος φίλος ἦν, καὶ ἐπίστευον αὐτῷ ἐν πᾶσι, καὶ τὰς αὐτοῦ παραινέσεις ἐδεχόμην, καὶ οὐδεμία μοι κατ' αὐτοῦ ὑπόληψις ὑπέδραμεν ἐναντία. Καὶ νῦν μεταμέλημαι ἐπὶ τῷ αὐτοῦ θανάτῳ, καὶ περίεργός εἰμι, αἰσθόμενος, ὡσανεὶ ἀθῶον τοῦτον τῶν κατ' αὐτοῦ ἐγκληθέντων κατέκτεινα· ἀλλ' ἠπατήθην τοῖς τοῦ δολίου Ἰχνηλάτου λόγοις καὶ ψευδέσι διαλογισμοῖς. Ἀνάγγειλον οὖν μοι, εἴπερ τι τοιοῦτον ἀκήκοας· ἡ γὰρ ἀληθὴς ὑπόληψις διὰ τῶν ἔξωθεν ἐρχομένων βεβαιοῦται ἀγγελιῶν.»

Ἡ δὲ τοῦ λέοντος μήτηρ φησίν· «Ἐπυθόμην πορά τινος τῶν πιστοτάτων, ὡς διὰ φθόνον ὁ Ἰχνηλάτης ἐπί σοι τοῦ ταύρου κατεψεύσατο.» — «Καὶ τίς ἐστιν, ἔφη, ὁ λέων ὁ τοῦτό σοι ἀναγγείλας;» Ἡ δὲ μήτηρ αὐτοῦ φησι· «Τὰ τῶν φίλων μυστήρια δεῖ τηρεῖν· ἔνθα δὲ σκοπός ἐστι τῆς ἀληθείας ἡ φανέρωσις, καὶ τοῦ ἡμαρτημένου ἐκδίκησις, ἥκιστα συγκατακαλύπτειν χρὴ τὸ ἁμάρτημα. Ὁ γὰρ δίκαιος Βασιλεὺς οὐχ ὑπολήψει τιμωρεῖ οὐδέν, εἰ τύχοι ἀμφίβολος ἡ ὑπόθεσις· δέδοικα γὰρ, μήπως τὰ ὅμοια μεταμεληθῆς τῇ τοῦ ταύρου ἀναιρέσει, καὶ ἐπὶ τοῦ Ἰχνηλάτου, ὑπολαμβάνουσά σε ἐνδοιάζειν τὰ περὶ ἐμοῦ.» Ὁ δὲ λέων εἶπεν· «Οὐκ ἐνδοιάζω, ἀλλὰ βούλομαι τὴν ἀλήθειαν εἰς φῶς ἀγαγεῖν. Ἡ δὲ, «Δέδοικά, φησι, μήπως τοῦτο ποιήσασα, ἀσυνείδητος, ὑποπτευθῶ.»

Ταῦτα ὁ λέων ἀκούσας παρὰ τῆς μητρὸς παρέστησεν αὐτῷ τοὺς ὑπ' αὐτὸν ἅπαντας· μετεκαλέσατο δὲ καὶ τὸν Ἰχνηλάτην· ὃς κατηφῆ ἰδὼν τὸν λέοντα, «Τί ὅτι, φησί, πρὸς τοὺς παρεστῶτας, ὁρῶ τὸν λέοντα στυγνὸν καὶ κατηφείας μεστόν;» Ὑπολαβοῦσα δὲ ἡ τοῦ λέοντος μήτηρ ἔφη· «Οὐ δὶ

ἕτερόν τι κατήφεια, ἀλλ' ἢ τὸ μέχρι νῦν σε ἐάσαι τοῖς ζῶσι συμμετρεῖσθαι, πείσαντα τοῦτον δόλῳ καὶ πανουργίᾳ τὸν ἄθλιον ταῦρον ἀνελεῖν.» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ὁρῶ, ὡς πᾶς ὁ βλέπων τὸ συμφέρον, ἕτοιμός ἐστι πρὸς ὑποδοχὴν τῶν συμφορῶν μᾶλλον, ἢ τῶν εὐποιιῶν· ἐπὶ τοῦτο γὰρ οἶμαι καὶ τοὺς ἀσκοῦντας, χαίρειν εἰπόντας τοῦ τοῖς ἀνθρώποις συνδιαιτᾶσθαι (ἀσφαλέστερον τὸ) τὰς ἐρήμους διώκειν. Ἐγὼ δὲ, εὔνους ὢν τῷ Βασιλεῖ, ἀνέφερον αὐτῷ τὰ κατὰ τὸν ταῦρον, καὶ ἐξεφαύλισα τὴν ἐπιβουλὴν αὐτοῦ. Εἰ οὖν ἐτάσει τὰ παρ' ἐμοῦ ἀναχθέντα, εὑρήσει πάντως ἀληθῆ ὄντα· τὸ γὰρ ἐνοικοῦρον τοῖς λίθοις πῦρ, μεθόδῳ τινὶ φανεροῦται, καὶ τὰ ἐγλήματα ἐπίσης, ἐξεταζόμενα, μᾶλλον ἀποκαλύπτεται, παραπλησίως τῇ δυσώδει ὕλῃ ταραττόμενα. Εἰ μὲν οὖν συνεγίνωσκον ἐμαυτῷ ἁμάρτημά τι, οὐκ ἂν ἐνταῦθα προσαφικόμην, ἀλλ' ἔντινι τόπῳ τῆς εὐρείας χθονὸς τὰς διατριβὰς ἐποιούμην. Ἀξιῶ οὖν τὴν Βασιλικὴν μεγαλειότητα ἐξετάσαι ἀκριβῶς τὰ κατ' ἐμὲ διά τινος δικαιοτάτου διαιτητοῦ, μὴ τὴν ἀλήθειαν παραχαράττοντος, μήτε μὴν πρόσωπον λαμβάνοντος, μήτε πρὸς τοὺς φθονοῦντάς μοι τὰ ὦτα κλίνοντος· ἐπεί μοι πολλοὶ πάρεισι τοιοῦτοι, δὶ ἣν ἔχει πρός με ὁ Βασιλεὺς ἀγαθὴν διάθεσιν. Εἰ δὲ μὴ τοῦτο γένηται, πρὸς τίνα ἄρα καταφεύξομαι, εἰ μὴ πρὸς τὸν τὰ πάντα βλέποντα τοῦ Θεοῦ ὀφθαλμόν; Τὸν γὰρ θάνατον οὐ δέδοικα· οἶδα γὰρ τοῦτον ὡρισμένον, καὶ ἀπαραίτητον παντὶ θνητῷ ζώῳ. Εἰ καὶ μυρίας ψυχὰς εἶχον, οὐκ ἂν ἐφεισάμην τούτων πρὸς σὴν ἀρέσκειαν.»

Ὑπολαβών δέ τις τῶν στρατιωτῶν ἔφη πρὸς αὐτόν· «Οὐ φθέγγῃ τὰ τοιαῦτα διὰ φιλικὴν πρὸς τὸν κρατοῦντα διάθεσιν, οὔτε μὴν διὰ τὸ πρὸς αὐτὸν σέβας· ἀλλ' ἢ διὰ σεαυτὸν, ὑπεραπολογούμενος, δι' ὧν παρηνόμησας.» Καὶ ὁ Ἰχνηλάτης, «Ἄφρον, ἔφη, πῶς οὖν μεμπτέον ἐστὶ τὸ τοι-

οὗτον ἔργον; καὶ τί ἕτερον τῷ ζῶντι τῆς ἑαυτοῦ ψυχῆς τιμιώτερον; εἰ γὰρ μὴ ὑπὲρ αὐτοῦ ἀπολογήσεταί τις, σχολῇ γ' ἂν ἑτέρου ὑπερασπίζοιτο· ὥστε ἐφανέρωσας τὸν ἐνδομυχοῦντά σοι φθόνον, καὶ ἀνεγνώρισας πᾶσιν, ὡς ἄφιλος εἰ καὶ ἀβέβαιος. Ἄφες οὖν τὸ προσανέχειν τῇ Βασιλικῇ αὐλῇ· ἀνάξιον γάρ ἐστιν τοιοῦτον ὄντα σε Βασιλεῖ ὑπηρετεισθαι.» Τούτων ἀκούσας ἐκεῖνος, ἐξῆλθε κατηφής. Πρὸς αὐτὸν αὖθις ἡ τοῦ λέοντος μήτηρ ἔφη· «Ἄγαμαί σου τὸ προπετὲς, ὦ Ἰχνηλάτα, καὶ ὅπως τοιοῦτον τολμήσας ἔργον, τοιούτοις ἡμῖν καταναιδεύῃ τοῖς ῥήμασι.» Καὶ οὗτος ὑπολαβὼν, «Ἵνα τί με, φησὶ, δι' ἑνὸς ὁρᾷς ὁρμματος; οὐκ οἶσθα, ὡς *στρεπταὶ αἱ τῶν ἐσθλῶν φρένες* κατὰ τὸν ποιητήν; Ἀλλ' ὁρῶ πάντας ἀγριωθῆναι καὶ οὐδένα τὴν ἀλήθειαν ἀσπάζεσθαι, δι' ἀγαθότητος τοῦ Βασιλέως ὑπερβολὴν, μήτε ἐκδειματοῦντος τινὰ, μήτε ἐπιπλήττοντος.» Κἀκείνη, «Ὁρᾶτε, ἔφη, τὸν πονηρότατον καὶ ἀσεβέστατον τοῦτον· πῶς τοιαῦτα πράξας ἀνομήματα, καὶ μεγάλοις περιπεσὼν ἐγκλήμασι, παραχαράττειν ἐπιχειρεῖς τὴν ἀλήθειαν, καὶ συλλογισμοῖς, μᾶλλον δὲ παραλογισμοῖς ψευδέσιν ἀπατᾶν ἅπαντας;» Ὁ δὲ Ἰχνηλάτης ἔφη· «Τοιοῦτός ἐστιν ὁ τὰ μυστήρια ἐκφαυλίζων, καὶ ὁ γυναικείοις τρόποις ἀνὴρ χρώμενος, ἢ ἀνδρείοις χρωμένη γυνὴ, καὶ ὁ ξένος ὁ λέγων ἑαυτὸν κύριον τῆς οἰκίας, καὶ ὁ παρὰ Βασιλεῖ ἀπολογούμενος, περὶ ὧν οὐκ ἐρωτᾶται.» Ἡ δὲ τοῦ λέοντος μήτηρ αὖθις ἔφη· «Οὐκ οἶδας, ὦ Ἰχνηλάτα, οἷα εἰργάσω δεινά;» Καὶ ὁ Ἰχνηλάτης, «Ὦ δεινά, φησιν, ἐργαζόμενος οὐκ εὐνοεῖ πρός τινα, οὐδ' ἀποτρέπει τὴν μέλλουσαν κακίαν.» Τῆς δὲ, «Μὴ ὑπολάβῃς, ἀσεβέστατε, εἰπούσης, ὡς ἐκφεύξῃ τὴν ἐκ τῆς δίκης τιμωρίαν, διὰ τῶν ψευδῶν σου τουτωνὶ παραλογισμῶν.» Καὶ αὖθις ὁ Ἰχνηλάτης· «Τοιοῦτοί εἰσιν οἱ τὰ ψεύδη διαπλαττόμενοι, καὶ τὸ δίκαιον ἐκκλίνοντες, καὶ μήτε λό-

γοις, μήτε ἔργοις στέργοντες.» Τὸν γοῦν λέοντα ἰδοῦσα μηδὲν πρὸς ταῦτα ἀποκρινόμενον, ἔφη ἐν ἑαυτῇ· ἴσως κατεψεύσαντο τούτου οἱ διαβάλλοντες· δοκεῖ γὰρ ἀληθῶς φθέγγεσθαι ὁ ἐπὶ μέσου τοῦ θεάτρου, Βασιλέως ἐνώπιον, παρρησιαζόμενος, καὶ παρὰ μηδενὸς ἀνατρεπόμενος. Προσέταξεν οὖν ὁ λέων τηνικαῦτα τὸν Ἰχνηλάτην καθειρχθῆναι καὶ δεσμευθῆναι, ἄχρις ἂν ἐξετάσῃ τὰ κατ' αὐτόν.

Μετὰ δὲ τὸ φρουρηθῆναι τοῦτον καθωμολόγησε τῷ λέοντι ἡ μήτηρ τὸν εἰπόντα, καὶ ὡς ὁ λεοντόπαρδος ἦν. Καὶ ὁ λέων «Ἕπου, φησί, τοῦτον· ὄψεσθε γὰρ, ἃ πείσεται.» Νυκτὸς δὲ ὁ Στεφανίτης παραγενόμενος πρὸς τὸν Ἰχνηλάτην, καὶ δέσμιον τοῦτον θεασάμενος ἔκλαυσε, καὶ ἔφη· «Ταῦτά εἰσιν, ἅπερ σοι προὔλεγον· σὺ δὲ τῇ οἰήσει καὶ τῇ φιλαυτίᾳ νικώμενος οὐ προσεδέχου· ὅρα γοῦν τὴν τούτων ἀπόβασιν.» Ὁ δὲ Ἰχνηλάτης, «Ἀληθῶς εἶπας, ἔφη· οὐ γὰρ διέλειπες παραινῶν μοι τὰ συνοίσοντα· ἀλλ' ἐγὼ οὐχ ὑπήκουον, ἀπληστίαν νοσῶν ὁ ἄθλιος· πέπονθα γὰρ ταὐτὸν τοῖς νοσοῦσιν, οἵτινες εἰδότες, ὡς ἕλκονται ὑπό τινος τῶν ἐδεσμάτων, οὐκ ἀπέχονται μέν τοι γε τούτου. Καὶ νῦν οὐ δι' ἐμαυτὸν ἀλύω, ἀλλὰ περὶ σοῦ· δέδοικα γὰρ, μήποτε, διὰ τὴν μεταξὺ ἡμῶν φιλίαν, ληφθῇς καὶ σὺ, καὶ ἀναγκασθήσῃ ὁμολογῆσαι τὰ κατ' ἐμέ· καὶ θάνατόν μου καταψηφίσονται ἄωρον, καὶ συναναιρεθῇς μοι τότε καὶ σύ.» Ὁ δὲ Στεφανίτης εἶπε· «Κἀγὼ τοῦτο διελογισάμην· ἀλλὰ συναινῶ σοι, ἅπαν ὁμολογῆσαι ἁμάρτημα.» Καὶ ὁ Ἰχνηλάτης, «Ἀνέξομαι ἕως ἴδω, ὅπῃ καταντήσει τὰ κατ' ἐμέ.» Τότε ὁ Στεφανίτης, περίλυπος ὁμοῦ καὶ περίδειλος, ἀπαλλαγεὶς καὶ δηλητήριον πεπωκώς, ἐξέπνευσε.

Τῇ δὲ ἐπαύριον ὁ λέων προσεκαλέσατο τὸν κριτὴν, καὶ τὸν λεοντόπαρδον, καὶ τὸν ἰχνηλάτην, ὥστε ἐπὶ μέσου κριθῆναι· καὶ συνελθόντων ἁπάντων, εἶπεν ὁ Λεοντόπαρδος· «Ὁ Βασιλεὺς, ᾧ συστρατιῶται, οὐ διαλείπει φροντίζων περὶ

τῆς τοῦ ταύρου ἀναιρέσεως· λοιπὸν οὖν, εἴτις ἐξ ἡμῶν συνοῖδέ τι περὶ αὐτοῦ, ἀναφερέτω αὐτό· οὐ γὰρ βούλεται ἀνεξέταστον τὴν κρίσιν ἐπενεγκεῖν.» Ὁ δὲ κριτὴς ἔφη· « Καλῶς ἔφη οὗτος, καὶ εἴτις ἔγνω τι περὶ ταύτης τῆς ὑποθέσεως, ἀναγγειλάτω· πονηροῦ γὰρ ἀνδρὸς ἀναιρεθέντος, συστολὴ τῶν κακῶν γίνεται, καὶ πρὸς συμφέρον ὁρᾷ τὸ τοιοῦτον τῆς πολιτείας.» Οἱ δὲ ἀκούσαντες ἐσιώπησαν. Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Ἵνα τί σιωπᾶτε, ὦ οὗτοι; Εἴτις ἐξ ὑμῶν οἶδέ τι περὶ ἐμοῦ, λαλησάτω, κἀγὼ ἀπολογήσομαι· ὁ γὰρ τὰ ψεύδη λέγων ταῦτα, πείσεται κατὰ πάντα τὸ τοῦ ἀμαθοῦς ἰατροῦ. Λέγεται γὰρ, ὡς ἰατρός τις τοιοῦτος ἐπεδήμησε πόλει τινί· ἔτυχε δὲ τὴν θυγατέρα τοῦ τῆς πόλεως ἐξουσιαστοῦ νόσῳ περιπεσεῖν, καὶ διωρίσατο σοφός τις ἕτερος ἰατρὸς τυφλὸς, χρήσασθαι ταύτην ἀδιάντῳ. Προσελήλυθη οὖν ὁ ξένος ἰατρὸς, ὥστε διακρίναι τὸ ἀδίαντον ἐκ τῆς φαρμακοφόρου κίστης, καὶ τοῦτο ἀγνοῶν, ἀντ' αὐτοῦ ἐντεριώνην προσελάβετο, καὶ δέδωκε πιεῖν τῇ γυναικί· πιοῦσα δὲ ἐκείνη καὶ δυσεντερίᾳ περιπεσοῦσα ἐτελεύτησεν. Ἐβιάσθη οὖν ὁ ἀμαθὴς ἰατρὸς παρὰ τοῦ πατρὸς τῆς κόρης ἐκ ταύτης πιεῖν· καὶ πιὼν περὶ τὸ ζῆν ἐκινδύνευσεν. Οὕτως οὖν ὁ ποιῶν καὶ λέγων, ἃ οὐκ οἶδε, πείσεται.

Ἀναστὰς δὲ ὁ πρωτομάγειρος ἔφη· «Ἀκούσατέ μου, ὦ συστρατιῶται· φυσιογνώμων γάρ εἰμι. Πρόδηλός μοι καταφαίνεται ὁ Ἰχνηλάτης δόλιός τε εἶναι, καὶ μοχθηρότατος. λέγεται γὰρ, ὡς ὁ ἔχων τὸν ἀριστερὸν ὀφθαλμὸν τοῦ δεξιοῦ βραχύτερον, καὶ εὐκινητότατον, καὶ τοὺς ὀφθαλμοὺς ἀλλήλων ὅσον διεστηκότας, καὶ ἐν τῷ βαδίζειν τὴν κεφαλὴν κλίνων, συκοφάντης ὁ τοιοῦτός ἐστι, καὶ πονηρότατος· τοιοῦτον ὁρῶμεν τὸν ἄθλιον Ἰχνηλάτην.» Καὶ ὁ Ἰχνηλάτης, «Πάντες, φησὶν, ἐσμὲν ὑπὸ τὸν οὐρανὸν, καὶ οὐδεὶς ἡμῶν ὑπερβαίνει τοῦτον· καὶ οὗτος ὁ ταῦτα λέγων δοκεῖ σώφρων εἶναι;

Εἰ οὖν, ὡς ἔφη, αἱ ψυχικαὶ δυνάμεις ἕπονται ταῖς τοῦ σώματος κράσεσι, τί δεῖ κολάζειν τοὺς βίᾳ παρανομοῦντας, ἢ βραβεῖα χορηγεῖν τοῖς ὀρθῶς πολιτευομένοις; Ἔοικάς μοι, ὦ ἄφρων, τὴν μὲν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐχ ὁρᾶν, τὸ δὲ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ πλησίον διακρίνειν, ταὐτὸ πεπονθὼς τῇ ἄφρονι ἐκείνῃ γυναικί. Λέγεται γάρ, ὡς δύο γυναῖκες μετ' ἀνδρὸς ἕκ τινος διαδράντες αἰχμαλωσίας γυμναὶ, συνηυλίζοντο τῇ χώρᾳ. Θατέρα δὲ αὐταῖν ῥάκει τινὶ περιτυχοῦσα, τούτῳ τὴν ἰδίαν περιεκάλυψεν αἰσχυνην. Ἐπιστραφεῖσα δὲ πρὸς τὴν ἑτέραν ἔφη· «Οὐκ αἰσχύνῃ γυμνὴ βαδίζουσα;» Πρὸς ἣν ὁ ἀνήρ· «Κατέλειπες, ὦ ἀσύνετε, τὴν ἰδίαν ὁρᾶν γυμνησίαν, καὶ ὀνειδίζεις ταύτην ἐπὶ τούτῳ;» Οὕτως οὖν καὶ σὺ, ὦ πρωτομάγειρε, καθέστηκας, τὴν δίκην τοῦ κατ' ἐμὲ συμβάματος μεταχειριζόμενος.» Ταῦτα ὁ πρωτομάγειρος ἀκούσας μετεμελήθη, ἐφ' οἷς εἶπε. Μαθὼν δὲ παρά τινος τὰ λεχθέντα ὁ λέων, ἀπέπεμψε τοῦτον, καὶ ἐσημειώθη ἐν γραφῇ τὰ τῆς δίκης, καὶ αὖθις καθείρχθη ὁ Ἰχνηλάτης.

Ἕτερος δέ τις φίλος τοῦ Ἰχνηλάτου παρεγένετο πρὸς αὐτὸν, καὶ ἀνήγγειλεν αὐτῷ τὸν τοῦ Στεφανίτου θάνατον· ἐφ' ᾧ λυπηθεὶς, καὶ πικρῶς κλαύσας, «Τί μοι δεῖ, ἔφη, ζῆν ἔτι βούλεσθαι, στερηθέντα φίλου τοιούτου, φιλτάτου καὶ εὐγνώμονος; Καλῶς οὖν ἔφησεν ὁ εἰπών· *ὡς ἐν καιρῷ πειρασμοῦ σοφὸς πανταχόθεν τὰ δεινά.*» Εἶτα καὶ αὖθις παρέστη τῷ δικαστηρίῳ, καὶ ἰδὼν τοῦτον ὁ στρατηγὸς ἔφη· «Ἔγνων, ὦ Ἰχνηλάτα, τὰ ἔργασου, καὶ οὐ καταλέλειπταί σοι ἔτι πρόφασις, ἡ ἀπολογία· καὶ εἰ μὴ ἡ τοῦ Βασιλέως ἐπιείκεια μεγίστη ἦν, καὶ ἄπειρος, οὐκ ἄν σε μέχρι τοῦδε ζῆν εἴασεν.» Ὁ δὲ Ἰχνηλάτης εἶπεν· «Εἰ γὰρ πολλὴ καὶ ἄπειρος ἡ ἐκείνου ἐπιείκεια, νικᾷ δ' ὅμως ἡ ἀνεξίτητός σου ἀπήνεια καὶ σκληροκαρδία· ὁρῶ γάρ σε, ὦ ἀνδράποδον, τῷ σῷ θε-

λήματι πρὸ τῆς καταδίκης μου θάνατον καταψηφιζόμενον. Καὶ οὐ μέμφομαί σε τοῦ τρόπου· ἀεὶ γὰρ οἱ φαῦλοι τοῖς σπουδαίοις ἀντίκεινται.» Ὁ δὲ κριτὴς ὑπολαβών, ἔφη· «Δεῖ τοὺς ἄρχοντας παῤῥησιάζεσθαι τὴν ἀλήθειαν, καὶ ἐλέγχειν, καὶ ἐτιμᾶν τοὺς ἀπαιδεύτους· ἀλλὰ συναινῶσο', ὦ Ἰχνηλάτα, προαιρεῖσθαί σε ἐνταῦθα μᾶλλον κολασθῆναι ἢ μετὰ τὴν ἐντεῦθεν ἀποβίωσιν δίκας ὑφέξειν.»

Ὁ δὲ Ἰχνηλάτης, «Καλῶς εἶπας, φησί· δεῖ γὰρ ἅπαντα νουνεχῆ προσκαίρων προκρίνειν τὰ αἰώνια· ἀλλὰ ἀθῷός εἰμι τοῦδε τοῦ ἐγλήματος, καὶ οὐ δεῖ με θανάτου κατ' ἐμαυτοῦ ψεύσεσθαι. Εἰ γὰρ ὁ ἑτέρου καταψευδόμενος θάνατον ἀσύνετος, πόσῳ μᾶλλον ὁ καθ' ἑαυτοῦ τοῦτο δρῶν; ὁρᾶτε γοῦν, μήπως μεταμεληθήσεσθε, ὁπότε οὐ λυσιτελήσει ὑμῖν ὁ μετάμελος· καὶ προσέχετε, μὴ ταὐτὸν πάθοιτε τῷ ἀμαθῶς λέγοντι, καὶ, ἃ μὴ οἶδε, μαρτυροῦντι. Λέγεται γάρ, ὡς ἱερακάριός τις ἠράσθη τῆς γυναικὸς τοῦ κυρίου αὐτοῦ· ἡ δὲ ἀπεστρέφετο αὐτόν. Ὀργισθεὶς οὖν ἐπὶ τούτῳ, ἐθήρευσε κίσσας δύο, καὶ ἐδίδαξε τὴν μὲν λέγειν Περσικῇ διαλέκτῳ· «Εἶδον τὴν κυρίαν μου μοιχευομένην τῷ πυλωρῷ·» τὴν δὲ ἑτέραν λέγειν· «Ἐγὼ οὐδὲν λέγω.» Ἔτυχε γοῦν ποτε τὸν κύριον αὐτοῦ Πέρσαις συνδιαιτᾶσθαι· οἱ δὲ ἀκούσαντες τῶν κισσῶν, ἠδέσθησαν· εἶτα καὶ αὐτὰ, ἅπερ αἱ κίσσαι, ἀνήγγειλαν. Ὁ δὲ ἱερακάριος ἔξωθεν ἑστὼς ἔφη· «Κἀγὼ συμμαρτυρῶ, ὡς τὸ τοιοῦτον εἶδον οὐχ ἅπαξ, ἀλλὰ πολλάκις.» Ὁ δὲ κύριος αὐτοῦ, θυμοῦ πλησθείς, ἔμελλε τὴν ἰδίαν ἀποκτεῖναι γυναῖκα. Ἡ δὲ τὰ τοῦ ἱερακαρίου τῷ ἰδίῳ ἀνδρὶ ἀνήγγειλε, καὶ ὡς δόλον ὁ τοιοῦτος κατ' αὐτῆς συνέῤῥαψε, διὰ τὸ μὴ πεισθῆναι αὐτῷ, καὶ ποιῆσαι τὴν αἰσχρουργίαν· καὶ τούτου σημεῖον, ἔφασκεν ἡ γυνὴ, τὸ μὴ εἰδέναι τὰς κίσσας ἄλλην περσικὴν λέξιν, πλὴν ἣν ἐδιδάχθησαν. Καὶ ἐρωτήσαντες οἱ Πέρσαι περί τινων ἑτέρων τὰς κίσσας, εὗρον αὐτὰς

μηδὲν ἕτερον εἰδέναι, εἰ μὴ ὃ ἔμαθον αἴσχιστον ἀπόφθεγμα. Ἐλθοῦσα δὲ ἡ γυνὴ πρὸς τὸν ἱερακάριον, ἔφη· «Οὐ φοβῇ σὺ τὸν Θεὸν, τοιαῦτά μου καταμαρτυρῶν; οὕτως ἔχει τὸ πρᾶγμα;» Ὁ δὲ ἔφη· «Ναί·» Καὶ τοῦτο αὐτοῦ λέγοντος ἐκείνῃ, ἄφνω ἱέραξ ἐπεισπηδήσας, τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξώρυξεν. Οὕτως ἄρα καὶ ὑμεῖς πείσεσθε, εἰ ψευδῶς μου καταμαρτυρήσεσθε.»

Μηδενὸς οὖν τὸν Ἰχνηλάτην καταδικάσαι ἰσχύσαντος ἐξ ἐκείνων, αὖθις ἐφρουρήθη ἐπὶ ἡμέρας ἑπτά. Ἡ δὲ μήτηρ τοῦ λέοντος ἐν τῷ μεταξὺ πρὸς τὸν λέοντα ἔφη· «Εἰ τὸν ἀσεβέστατον τοῦτον τοῦ ἐγλήματος ἀφήσῃς, ἴσθι, ὡς ἕκαστος τῶν ὑπό σε (ὅπερ κἀκεῖνος βούλεται) ἀνυποστόλως διαπράξεται τὰ ὅμοια, πληροφορούμενος τῷ μὴ ἀποτίσαι εὐθύνας, ὧν ἔπραξεν.» Ἰδὼν οὖ ὁ λέων τὴν ἔνστασιν τῆς ἰδίας μητρὸς, προσέταξεν ἀναιρεθῆναι τὸν Ἰχνηλάτην. Εἶτα ὁ φιλόσοφος εἶπε· «Σκοπητέον, καὶ ἰστέον τὰ τοιαῦτα· πᾶς γὰρ ὁ καθ' ἕτερον δόλον συῤῥάπτων, ἑαυτῷ λέληθε τὸ κακὸν ἀρχιτεκτονῶν.»

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Ὁ δὲ Βασιλεὺς ἔφη· «Ἔγνων τὰ τοιαῦτα ὑποδείγματα· λοιπὸν ἀνάγγειλόν μοι ὑπόδειγμα τ.νῶν ἀντιφιλούντων ἀλλήλους, καὶ τῇ φιλίᾳ ἀεὶ συστοιχούντων.»

Ὁ δὲ φιλόσοφος εἶπε· «Τοῦ ὄντος φίλου πιστοῦ ἀντάλλαγμα τῶν ὄντων οὐδέν· καὶ δεῖγμα τούτου σαφέστατον τὸ τοῦ κόρακος, μυὸς, δορκάδος τε, καὶ χελώνης. Λέγεται γάρ, ὡς ἔν τινι χώρῳ τόπος ἦν πρὸς θήραν ἐπιτήδειος, εἰς ὃν συχνοὶ παρεγένοντο θήρευταί· ἦν δὲ ἐκεῖσε καὶ δένδρον μέγα, ὑψηρεφές τε, καὶ εὐσκιόφυλλον· καὶ τούτῳ ἐνεφώλευσε κόραξ, ὃς ἰδὼν ἐκ τοῦ δένδρου τὸν θηρευτὴν, τῷ μὲν δα-

κτύλῳ δίκτυον, τῇ δὲ χειρὶ ῥάβδον κατέχοντα, ἐδειλίασε μὲν ἐμμεῖναι· μέντοι γε ἔκρινε καὶ θεάσασθαι τὸν θηρευτήν, τί μέλλει διαπράξασθαι. Τοῦ δὲ θηρευτοῦ τὸ δίκτυον ἐξαπλώσαντος, περιστερά τις τῶν ἄλλων προκρίτους θεασαμένη τοὺς κόκκους, ἐμπέπτωκεν αὐτῷ μετὰ τῶν ὑπ' αὐτὴν λοιπῶν περιστερῶν. Ἥσθη οὖν ὁ θηρευτὴς τῇ θήρᾳ· αἱ δὲ περιστεραὶ ἠρξαντο συνταράττεσθαι, καὶ ἑκάστη τὴν ἰδίαν πραγματεύεσθαι σωτηρίαν. Ἡ δὲ τούτων ὁδηγὸς, «Μὴ θορυβεῖσθε, ὦ αὗται, ἔφη· ἀλλ' ὁμοῦ ἀλλήλαις συνασπισώμεθα, εἴποτε δυνηθείημεν ἆραι τὸ δίκτυον.» Ἦραν οὖν εἰς τὸν ἀέρα τὸ δίκτυον· ὅπερ ἰδὼν ὁ θηρευτὴς ἐθαύμασε μὲν, οὐκ ἀπέγνω δέ· ἠκολούθησε δὲ μᾶλλον αὐταῖς πετομέναις, προσδοκίᾳ, τοῦ μὴ ἐπὶ πολὺ προήκειν αὐτάς.

Ὁ οὖν κόραξ τοιαῦτα ἰδὼν, δεῖν ἔγνω ἕψεσθαι ταύταις, καὶ ὄψεσθαι, ὅπη καταντήσουσιν. Ἡ δὲ προέχουσα τῶν περιστερῶν, ἑπόμενον τὸν θηρευτὴν ὁρῶσα, ἔφη πρὸς τὰς λοιπάς· «Ὁ θηρευτὴς οὗτος, ὡς ὁρᾶτε, ἕπεται ἡμῖν· καὶ εἰ κατὰ πεδίον τὴν πτῆσιν ποιησόμεθα, οὐκ ἀπόσχοιτο ἀκολουθῶν· εἰ δὲ ἐπ' ὀρέων καὶ δυσβάτων τόπων, τάχις' ἂν ἡμῶν ἀπογνῷ. Πρὸς δὲ τούτοις ὑπὸ ταύτην τὴν ὁδὸν ἔχω φίλον· καὶ εἴγ' εἰς τοῦτον ἀπέλθωμεν, αὐτὸς ἡμῶν τὰ δεσμὰ διαῤῥήξει, καὶ τούτων ἐλευθερώσει.» Ὁ γοῦν θηρευτὴς ἀπογνοὺς ὑπέστρεψεν. Ἠκολούθει δὲ ἄρα ὁ κόραξ, ἅμα τὸν τρόπον τῆς αὐτῶν σωτηρίας μαθησόμενος, καὶ τὸν φίλον αὐταῖς θεασόμενος. Ὡς οὖν ἐπὶ τὴν τοῦ μυὸς γεγόνασι κατάδυσιν, κατῆλθον. Ὁ δὲ μῦς ἐξελθὼν, καὶ ἰδὼν τὴν περιστερὰν, ἥσθη λίαν, καί φησι· «Τίς σε τοῖς τοιούτοις, ὦ φιλτάτη, ἐνέπλεξε δοινοῖς;» Ἡ δὲ, «Οὐκ οἶσθά, φησι, ὡς τὰ ἀγαθὰ καὶ τὰ φαῦλα τῇ πεπρωμένῃ ὑπόκεινται; Ἡ εἱμαρμένη τοῖς τοιούτοις περιέπλεξε, καὶ πρὸς τοὺς κόκκους ὡδήγησε, καὶ τῇ τοῦ δέοντος ἀβλεψίᾳ περιέπειρεν, ὥστε με τῷ δικτύῳ συμπεπλέχθαι.

Οὐκ οὖν θαυμαστὸν τοιούτῳ περιπεσεῖν με συμπτώματι· μείζονες γὰρ, ἢ ἔγωγε, μείζοσι περιέπεσον. Ἔσθ' ὅτε γὰρ ἥλιος τῇ σελήνῃ ἐπισκοτούμενος ἐκλείπει, καὶ ἡ σελήνη τῇ σκιᾷ τῆς γῆς συγκαλύπτεται, καὶ ὁ θαλάττιος ἰχθὺς ἐκ βάθους τοῦ ὕδατος ἁρπάζεται, καὶ τὰ πετεινὰ, ἢ ἐξ ἀέρος κατάγεται, ἢ εἰς γῆν ὄντα συλλαμβάνεται, ὅτε ὁρισθῇ τὸ τοιοῦτον, καὶ δὶ οὐ πολλάκις ὁ ἀσύνετος τυγχάνει τῶν κατὰ σκοπόν.»

Ταῦτα λεγούσης τῆς περιστερᾶς, ἤρξατο ὁ μῦς τοὺς δεσμοὺς κατεσθίειν, καὶ λύειν. Ἡ δὲ περιστερὰ, «Ἄρξαι πρῶτον, ὦ φίλος, ἔφη, τὰς ὑπ' ἐμὲ ἐλευθεροῦν, εἶτα ἐμέ.» Τοῦ δὲ μυὸς μὴ ἐν νῷ λαβόντος τοὺς αὐτῆς λόγους, ἀλλ' ἐπιειμένου καὶ λύοντος αὐτήν· «Μή με μέμφῃ, φησὶν, ὦ μῦ, ὑπὲρ ὧν σοι ἐπιτάσσω. Ἐπεὶ γὰρ ὑπ' ἐμὲ αὗται τυγχάνουσιν οὖσαι, ἐπωφείλεται ταύταις ἡ παρ' ἐμοῦ πρόνοια· εὐγνωμόνως γάρ μοι ὑπηρέτησαν, καὶ διὰ τῆς τούτων συμμαχίας τῶν τοῦ θηρευτοῦ παγίδων ἀνώτεραι γεγόναμεν. Δέδια δὲ πρὸς τούτοις, μήπως προτέραν με λύων ἀπείποις, καί τινα τούτων ἄλυτον ἐάσῃς· εἰ γὰρ ἔγωγε μόνη καταληφθῶ, ἀναγκασθήσῃ τοῦ δεσμοῦ ἀπολύειν με.» Ὁ δέ μῦς εἶπεν· «Οὗτοί σου οἱ λόγοι ἐπὶ πλεῖόν σε φιλεῖν τοὺς οἰκείους, καὶ τοὺς ὑπό σε διερεθίζουσιν.» Εἰπὼν δὲ ταῦτα ἔλυσε πάσας, καὶ λυθεῖσαι ἐπετάσθησαν.

Ἰδὼν οὖν ὁ κόραξ τὸ πραχθὲν, ἐπὶ τὴν τοῦ μυὸς μυωξίαν παρεγένετο, καὶ ἐφώνησε τοῦτον. Ὁ δὲ μῦς ἔφη· «Τίς εἶ φίλτατε;» Τοῦ δὲ, ἐγὼ εἰμὶ, εἰπόντος, καὶ ἰδών σου τὴν πρὸς τοὺς φίλους διάθεσιν, ἔδοξέ μοι φιλιωθῆναί σοι, καὶ ἐπὶ τοῦτο προσῆλθόν σοι, ἔφη ὁ μῦς· «Τί κοινὸν ἐμοί τε καί σοι; τὸν γὰρ νουνεχῆ οὐ τὰ ἀδύνατα ἐπιζητεῖν χρή. Ὁ γὰρ ἀδυνάτοις ἐπιχειρῶν, τῷ καθ' ὕδατος ἅμαξαν ἕλκοντι ἔοικε, καὶ ἐπὶ ξηρᾶς πλοῖον· πῶς γάρ σοι ἔσομαι φίλος, ὁρῶσις

ὑπάρχων σοι;» Ὁ δὲ κόραξ, «Διάκρινον, ἔφη, τῷ λογισμῷ τὰ εἰκότα· οὐδὲν γάρ μοι λυσιτελεῖ τὸ διά σου τραφῆναί με. Πολὺ γάρ μοι ὀνησιμώτερον τὸ τοῖς ζῶσι συνεῖναί σε, καὶ συνεργεῖν μοι ἐν ἅπασιν· οὐ δεῖ οὖν σε κενόν με ἀποπέμψασθαι τῶν ἐλπίδων. Πεπληροφόρημαι γάρ σου τὴν περὶ τοὺς φίλους εὔνοιαν, κἂν μὴ σὺ ταύτην μοι ὑπέδειξας· ἡ γὰρ τοῦ σπουδαίου ἀρετὴ τῇ τοῦ μόσχου ἔοικεν εὐωδίᾳ, ἣ καὶ καλυπτομένη διαχεῖται, καὶ κατάδηλος γίνεται.» Καὶ ὁ μῦς εἶπε, «Μεγίστη ἐστὶν ἡ φυσικὴ ἔχθρα, αὕτη δὲ διττή ἐστιν· ἡ μὲν ἀντεριστικὴ λεγομένη, ὡς ἡ τοῦ λέοντος καὶ τοῦ ἐλέφαντος· ἡ δὲ φευκτή τε καὶ διωκτή, ὡς ἡ τῆς γαλῆς, καὶ τοῦ μυός. Καὶ οὐ δεῖ πιστεύειν ἐχθροῖς· τὸ γὰρ ὕδωρ, κἂν πυρὶ θερμανθῇ, τὴν οἰκείαν οὐκ ἀποβάλλει φύσιν, οὐδὲ ἑνοῦται τῷ πυρί· σβέννυσι γὰρ τοῦτο ἐπιχεόμενον.» Ὁ δὲ κόραξ «Ἔγνων, φησὶν, ἃ λέγεις· ἀλλ᾽ ἡ ἐμὴ πρός σε φιλία οὐ τοιαύτη γενήσεται· παγία δὲ μᾶλλον, καὶ στερέμνιος. Ὥσπερ γὰρ τὸ χρυσοῦν σκεῦος δυσκέδαστόν ἐστι, καὶ εὐκατασκεύαστον· τὸ δὲ ὀστράκινον εὔθρυπτον μὲν, δυσανάκτητον δέ· οὕτως καὶ ἡ εἰλικρινὴς καρδία καὶ φιλία δυσμετάβλητος καὶ εὐανάδοτος, ἡ δὲ μὴ καθαρὰ εὔφθαρτός τε καὶ δυσίατος.»

Ὁ δὲ μῦς, «Δέχομαί σου, φησὶ, τὴν φιλίαν, ἐπεὶ οὐδέποτέ τινα τῶν δεομένων μου κενὸν ἀπέπεμψα· ἀλλὰ τούτοις τοῖς λόγοις ἐμαυτῷ, ἥ σοι τὴν ἀπολογίαν ἐποιησάμην. Εἰ γάρ ποτε καιροῦ ἀνατρέψεις τὰς ἡμετέρας συνθήκας, οὐκ ἂν ἔνοις εἰπεῖν· «εὑρὼν τὸν μῦν ἀσύνετον, ἠπάτησα τοῦτον, καὶ ἐδελέασα.» Εἶτα προκύψαντι τῆς οἰκείας μυωξίας ἔφη ὁ κόραξ· «Τί μὴ τέλειον ἐξέρχῃ πρός με;» Ὁ δὲ μῦς εἶπεν· «Οἱ ἐν τῷ βίῳ ἀναστρεφόμενοι κατὰ δύο τρόπους ἀλλήλους ἀντιφιλοῦσιν· οἱ μὲν κατὰ τὴν ψυχήν, οἱ δὲ κατὰ τὴν χρείαν. Κατὰ ψυχὴν μὲν φιλοῦσιν οἱ οὐ δι᾽ ἄλλο τι τὸν φίλον φιλοῦσιν, ἢ διὰ τὴν αὐτοῦ ψυχήν· οἱ δὲ κατὰ χρείαν φιλοῦντες, ἕνεκά τινος τῶν

βιωτικῶν πραγμάτων τὴν φιλίαν συνιστῶσι. Καὶ ἐοίκασιν οὗτοι θηρευτῇ, ὃς ὑποῤῥίπτει τὸν σίτον δέλεαρ τοῖς πετεινοῖς, οὐ φιλοτιμούμενος, ἀλλ' ἑαυτῷ τὸ συμφέρον θηρώμενος. Ἔγωγε δ' οὖν, οὐ δι' ἄλλο τι, ἢ διὰ σεαυτὸν ἐφιλιώθην σοι· καὶ οὐδὲν ἕτερον κωλύει με τῆς πρός σε ἐξελεύσεως, ἀλλ' ἢ τὸ δεδοικέναι με τοὺς ὁμοειδεῖς καὶ ὁμοίους σοι τὴν φύσιν, κατὰ δὲ τὴν γνώμην διαλλάττοντας.» Ὁ δὲ κόραξ ἔφη· «Μὴ φοβοῦ τούτων ἕνεκα· τῆς γὰρ εἰλικρινοῦς φιλίας τεκμήριον, τὸ φιλιοῦσθαι τῷ φίλῳ τοῦ φίλου, καὶ ἐχθραίνεσθαι τῷ ἐχθρῷ αὐτοῦ· κἀμοῦ σε ποθοῦντος, καὶ οἱ μετ' ἐμοῦ σε ποθήσουσι.» Ταῦτα εἰπόντος τοῦ κόρακος, ἐξῆλθεν ὁ μῦς, καὶ ἡ φιλία ἐν αὐτοῖς ἐπαγιώθη.

Μετὰ δέ τινας ἡμέρας ἔφη ὁ κόραξ· «Ὁρῶ σου τὴν κατάδυσιν πλησίον τῆς ὁδοῦ, καὶ δέδοικα, μὴ δι' ἐμοῦ διαγνωσθῇ σου ἡ κατοίκησις· ἀλλ' οἶδα τόπον κεχωρισμένον, ἐν ᾧ ἰχθύες πολλοί, καὶ ἕτεραι διατροφαὶ δαψιλεῖς ὑπάρχουσιν· ἐστὶ δέ μοι κἀκεῖ καὶ φίλη χελώνη, καὶ βούλομαι ἐκεῖσε ἀπελθεῖν καὶ συνδιάγειν.» Ὁ δὲ μῦς, «Συμπορεύσομαί σοι, φησὶ κἀγώ, βούλομαι γὰρ τὸν τόπον ἐκεῖνον εἰδέναι· ἵν', ὅταν τοῦτον ἐάσω, περί τινος ἄλλου διαγωγήν, εἰς ἐκεῖνον ἀπέλθω.» Ἀκβὼν οὖν ὁ κόραξ τὸν μῦν διὰ τῆς οὐρᾶς, ἀπήγαγε τοῦτον ἐπὶ τὴν πηγήν, ἐν ᾗ ἡ χελώνη διῆγεν. Ὡς οὖν εἶδεν αὐτὴ τὸν κόρακα, μῦν ἐπιφερόμενον, ἔδοξεν ἀλλότριον τοῦτον εἶναι· καὶ δειλιάσασα ὑπεκρύβη τῷ ὕδατι. Θεὶς οὖν ὁ κόραξ τὸν μῦν ἐπὶ τῆς γῆς, ὀνομαστὶ τὴν χελώνην προσεκαλέσατο. Ἡ δὲ τὴν τοῦ φίλου φωνὴν γνωρίσασα, ἐξῆλθε πρὸς αὐτὸν, καὶ ἠρώτησε, πόθεν παρεγένετο; Ὁ δὲ ἀνήγγειλεν αὐτῇ πάντα, καί φησι πρὸς τὸν μῦν· «Ὑπέσχου μοι, ὅτε τὰ ἐνταῦθα καταλάβωμεν, ἀναγγεῖλαι περί τινων τῶν κατά σε.»

Ὁ δὲ μῦς ἔφη· «Ἐγὼ τὴν πρώτην ἐποιησάμην οἴκησιν

παρά τινι μοναχῷ, καὶ ἦσθιον λάθρα, ἃ ἡτοίμαζεν ἑαυτῷ ἐδέσματα, καὶ κορεννύμενος ἐλάμβανον, ἃ καὶ τοῖς λοιποῖς παρετίθουν μυσί. Καὶ πολλάκις ὁ μοναχὸς, ἀναρτήσας πασσάλῳ τινὶ τὴν οἰκείαν τροφὴν, οὐκ ἠδυνήθη τὴν ἐξ ἐμοῦ φυγεῖν βλάβην. Ξένης δέ τις καταλύσας παρ' αὐτῷ, ἤρξαντο ἀλλήλοις προσομιλεῖν· διὰ μέσου δὲ ὁ μοναχὸς τὰς χεῖρας ἐκρότει, ἐμὲ δεδιττόμενος. Ὁ δὲ ξένος εὐθὺς ἤρετο τὴν αἰτίαν τοῦ κρότου τῶν χειρῶν. Καὶ ὁ μοναχὸς ἔφη· «Ἐρωτᾷς με, δι' ἣν αἰτίαν ποιῶ τοῦτο; Καγώ σοι λέγω, ὅτι ἐν τῇ οἰκίᾳ μου ἐστί τις μῦς, βλάπτων με τὰ μέγιστα· ἐσθίει γὰρ τὸ βρῶμά μου, καὶ διαφθείρει αὐτό. «Καὶ ὁ ξένος, «Πολλοί εἰσιν, ἔφη, οἱ μῦες, ἢ εἷς μόνος;» Ὁ δὲ μόναχος ἔφη· «Οἱ μὲν μῦες πολλοί εἰσιν· παρ' ἑνὸς δ' ἐγὼ βλάπτομαι τὰ μέγιστα·» καὶ ἀνήγγειλεν αὐτῷ τὰ κατ' ἐμέ.

Ὁ δὲ ξένος εἶπε· «Μιᾷ τῶν ἡμερῶν ἐγὼ, καί τινες ἄλλοι κατελύσαμεν ἐν τῇ πόλει, καὶ δειπνήσαντες ἐκοιμήθημεν· ἦν δὲ μεταξὺ ἡμῶν παραπέτασμα. Ἤκουον δὲ τοῦ οἰκοδεσπότου πρὸς τὴν γυναῖκα αὐτοῦ τοιάδε λέγοντος· «Βούλομαι ἐγὼ αὔριον καλέσαι τοὺς.» Καὶ ἡ γυνή· «Πῶς δύνασαι, φησι, τοῦτο ποιῆσαι, μηδὲν περισσεύων, μήτε τροφὴν ἔχων ἐν τῷ οἴκῳ σου· πάντα γὰρ καταναλίσκεις;» Ὁ δὲ ἀνὴρ ἔφη· «Μή σοι μελέτω περὶ τῶν δαπανηθέντων· οἱ γὰρ θησαυρίζοντες ἄνθρωποι καὶ πλεονεκτοῦντες, ἀπολλύουσιν ἑαυτούς, ὡς ὁ λύκος. Λέγεται γὰρ, ὡς θηρευτής τις ἐξῆλθε θηρεύσων, τόξον φέρων, καὶ βέλη· καὶ συναντήσας δορκάδι, ἔτρωσεν αὐτὴν, καὶ ἄρας ταύτην ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ. Καὶ πάλιν συναντήσας χοίρῳ, ἔρριψε κατ' αὐτοῦ τὸ βέλος· ὁ δὲ χοῖρος εἰσπηδήσας ἔτρωσε καιρίως τὸν θηρευτήν. Πεσόντες οὖν ἄμφω ἐτεθνήκασιν· ἔπεσε δὲ καὶ τὸ τόξον, ὥσπερ ἦν μετὰ τῆς φαρέτρας πλῆρες μετὰ βέλους. Τύχῃ δέ τινι λύκος ἐλθὼν, καὶ ἰδὼν τούτους τεθνηκότας λιπαροὺς

τε πάνυ, καὶ παχεῖς, εἶπεν ἐν ἑαυτῷ· μὴ φανοῦμαι σήμερον γαστρίμαργος, ἀλλὰ φυλάξω τούτους ἐμαυτῷ· ταῦτα γὰρ τὰ εὑρεθέντα μοι βρώματα θησαυρίσω, καὶ ἀρκεσθῶ ταύτῃ τῇ ἡμέρᾳ μόνῃ τῇ τοῦ τόξου χορδῇ· καὶ ἁψάμενος τοῦ τόξου, θέλων ταύτην καταφαγεῖν, ἀπεπήδησε τὸ βέλος, καὶ ἔτρωσεν αὐτοῦ τὴν καρδίαν, καὶ πεσὼν ἀπέψυξεν. Οὕτως ἄρα καὶ οἱ πλεονέκται διὰ μόχθων τινῶν κατατελευτῶσιν. Ἡ δὲ λέγει αὐτῷ· «Ἄπελθε λοιπόν, καὶ κάλεσαι ὁπόσους βούλει· ἔχουσα γὰρ ὀρύζην καὶ σήσαμον, ἀπέρχομαι εὐτρεπίσουσα αὐτά.» Καθαρίσασα οὖν τὸ σήσαμον ἐκείνη, ἥπλωσεν αὐτὸ ἐν τῷ ἡλίῳ, τοῦ ζηρανθῆναι· ἀσχολουμένης δὲ αὐτῆς ἐρ' ἕτερα, ἐλθὼν ὁ κύων οὗρησεν ἐν τῷ σησάμῳ. Ἰδοῦσα δὲ τοῦτο ἡ γυνὴ ἐβδελύχθη, καὶ λαβοῦσα τὸ μὴ κεκαθαρμένον σήσαμον, ἔριξε μετὰ τοῦ κεκαθαρμένου ἐπίσης. Ἐγὼ δὲ πάντα ἔβλεπον, παρὼν ἐκεῖσε, καὶ ἤκουσά τινος τῶν ὑπὸ τῶν σὺν ἐμοὶ λέγοντος· «Αὕτη ἡ γυνὴ δι' αἰτίαν τινὰ κατέριξε τὸ καθαρὸν αὐτῆς σήσαμον τῷ μὴ κεκαθαρμένῳ.»

Οὕτω καὶ ὁ μῦς οὗτος ὁ ἀναιδής, οὐκ ἄνευ αἰτίας τῶν τοιούτων κατατολμᾷ· ἀλλ' ἐρευνήσωμεν ὁμοῦ τὰ κατ' αὐτόν, καὶ κατορύξωμεν τὴν εἴσδυσιν αὐτοῦ.» Ἔτυχον δὲ τηνικαῦτα ἐγὼ ἐν ἑτέρᾳ ὀπῇ, ἀκούων τῶν λεγομένων παρ' αὐτοῦ· ἦσαν δὲ ἐν τῇ ἐμῇ μυωξίᾳ χρυσοῦ νομίσματα χίλια, ἅτινα ὑπεστρώννυον ἐμαυτῷ, καὶ μέγα ἐπὶ τούτοις ἐφρόνουν. Καὶ κατορύξαντες ἐκεῖνοι τὴν ὀπήν, καὶ εὑρόντες τὸν χρυσόν, ἀφείλοντο τοῦτον, καὶ εἶπον· «Ὁ χρυσὸς διερέθιζε τὸν μῦν, καὶ διανίστα τῶν τοιούτων κατατολμᾶν· καὶ ὄψῃ ἀπό γε τοῦ παρόντος, ὡς ἀνίσχυρος ὁ μῦς καὶ ἀδύνατος γενήσεται. Καὶ εὐθέως κατεβλήθη μου ἡ ἔπαρσις, καὶ ἀπέλειπέ με ἡ οἴησις, καὶ κατεφρονήθην ὑπὸ τῶν μυῶν· καὶ μέλλων τῇ ἐξῆς εἰσπηδῆσαι τῇ χύτρᾳ τῶν ἐδεσμάτων, οὐκ ἠδυνήθην· καὶ διὰ τοῦτο ἀντέστησάν μοι καὶ οἱ λοιποὶ μῦες, καὶ ἐχθροί μοι ἐγένοντο,

Ἐγὼ δὲ ἐθαύμαζον, ὅπως διὰ τὸν χρυσὸν καὶ οἱ φίλοι, καὶ οἱ συγγενεῖς καὶ οἱ ὑπήκοοι συνίστανται· ἀλλ' οὐδὲ αὐτὴ ἡ ἀγαθὴ προαίρεσις δείκνυται, εἰ μὴ δι' αὐτοῦ. Καὶ μὴν καὶ ὁ λογισμὸς, καὶ ἡ ἰσχὺς δι' αὐτοῦ ἐπιγίνονται· ὁ δὲ τούτου ἀπορῶν οὐ δύναταί τι τῶν ἐφετῶν καταλήψασθαι. Καὶ ἐμνήσθην ὡς καλῶς εἴρηκεν ὁ εἰπών· *ὅτι δεῖ χρημάτων, καὶ ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων· καὶ ὡς χρὴ περίην· φεύγοντα, (ἑαυτὸν) εἰς μεγακήτεα πόντον ῥίπτειν·* καὶ ὅτι τὸ ὀλίγον ὕδωρ ἀδύνατον τὸν οἰκεῖον τόπον, ὅ ἐστι τὴν θάλατταν, καταλαβεῖν. Ὁ γὰρ πενίᾳ συζῶν, κινδύνων καταπολμᾷ, καὶ ἁμαρτήμασιν ἐπιχειρεῖ· δι' ἃ πολλάκις ἀπόλλυσι καὶ τὴν ἐνταῦθα ζωὴν, καὶ τὴν ἐκεῖσε ἀπόλαυσιν. Ὁ γὰρ τῶν ἀναγκαίων ἐπιδεὴς λυπηρὸς γίνεται, καὶ τοιοῦτος γενόμενος μισεῖται· καὶ μισούμενος ἐπὶ πλέον λυπεῖται, καὶ λυπούμενος οὐκ εὐφρονεῖ· οὐ φρονῶν δὲ εὖ, τὰ συμφέροντα αὐτῷ οὐκ ἐργάζεται. Εἶδον δ' ὅτι, ὅσα παρὰ τοῖς πλουσίοις εἰσὶν ἐπαινετὰ, παρὰ τοῖς πένησιν ὄντα τὰ τοιαῦτα μεμπτά· εἰ γὰρ ὁ πένης ἀνδρεῖος τύχοι ὤν, θρασὺς καὶ ῥιψοκίνδυνος ὀνομάζεται· εἰ δὲ εὐμετάδοτος, ἄσωτός τε καὶ εὐδάπανος· εἰ δὲ πρᾶος καὶ προσηνὴς, ἀδύνατος· εἰ δὲ καὶ εἰδήμων, ἠλίθιος· εἰ δὲ λόγιος, φλύαρος· εἰ δὲ σιωπηλὸς, ἀνόητος. Καὶ ἄμεινον τοῦ βίου προαπελθεῖν, ἢ τὸν ἥλιον καὶ τὸν εἰπόντα αἰχύνης κτήσασθαι μάρτυρας καὶ μάλιστα, ὅταν τις πρός τινα τῶν ἐξουσιαστῶν ποιεῖται τὴν αἴτησιν.

Ταῦτα διαλογιζόμενος εἶδον τὸν ξένον, ὅτε τὴν τοῦ χρυσοῦ ἐποιεῖτο διαίρεσιν, ἔν τινι βαλαντίῳ τὸ ἴδιον ἐμβαλόντα μέρος, καὶ ὑπὸ τῇ κεφαλῇ ἀποκρύψαντα· καὶ δεῖν ὠήθην τοῦτο λάθρα ἐλκύσαι, δοκῶν τοῦτον τῷ ὕπνῳ κατέχεσθαι. Ἐκεῖνος δὲ ἔξυπνος ὤν, λαβὼν τῇ χειρὶ κλάδον τινα αὐτοῦ προκείμενον, ἔτυψέ με κατὰ κεφαλῆς, κἀκεῖθεν ὑπέστρεψα· εἶτα πάλιν τοῦ βαλαντίου κατετόλμησα, καὶ πάλιν ἰδὼν ἔτυ-

ψέ με τῷ κλάδῳ κατὰ κεφαλῆς σφοδρότερον, καὶ εὐθὺς αἷμα ἐρρύη μοι ἐκ τῶν ῥινῶν, καὶ λειποθυμία μοι ἐγένετο, καὶ μόλις ἕλκων ἐμαυτὸν κατέλαβον τὴν ὀπήν, καὶ ἄφωνος ἐκεῖ ἦν ὥρας ἱκανάς. Καὶ ἐμίσησα τότε τὸν χρυσὸν, ὡς μηδὲ ἀκούσαι ἀνέχεσθαί με μνείαν χρυσοῦ· καὶ ἔγνων, ὡς πάντων αἴτιον τῶν κακῶν, τῶν ἐν τῷ βίῳ, ἡ πλεονεκτικωτάτη γνώμη· καὶ ὁ ἔχων ταύτην, ῥᾷον ἂν τῶν τε κατὰ γῆν, τῶν τε κατὰ θάλατταν κατατολμήσειεν, εἴπερ ὁ λελογισμένος μόλις ἐπιχειρήσει λαβεῖν ἕτοιμον χρυσὸν προκείμενον. Πεπληροφόρημαι δὲ, ὡς οὐκ ἔστι μεῖζον τῆς αὐταρκείας ἀγαθὸν, καὶ ὡς ἐκείνῳ μάλιστα ἡ καρτερία, καὶ ἡ ὑπομονὴ ἕπεται, καὶ ἐπαινεῖται, ἐν οἷς οὐκ ἔστι πόρον, ἢ δίοδον ἐφευρεῖν· λέγεται γὰρ, ὡς πρώτη τῶν ἀρετῶν ἡ ἐλεημοσύνη, καὶ ἐξαίρετον χρῆμα τῆς φιλίας, τὸ ἁπλοϊκῶς φέρεσθαι, καὶ ἀρχὴ φρονήσεως, τὸ γνῶναι τὰ ἐσόμενα· καὶ μὴν καὶ προτίστη εὐθυμία, τὸ μὴ ἀδυνάτοις ἐπιχειρεῖν. Διὰ ταῦτα μὲν μετήμειψα τὸν βίον τὸν ἐμὸν, ἀνταλλαξάμενος τοῦ ἐν οἰκήμασι λαμπροῖς τὴν ἐρημίαν οἰκεῖν. Εἶχον δὲ καὶ φίλην περιστερὰν, ἥτις πρὸ τοῦ κόρακος ἐφιλιώθη μοι· ἔπειτα δὴ οὐδεμία τέρψις ἐστὶν ἐν τῷ βίῳ, ὡς τὰ ἀρκοῦντα ἐπιζητεῖν· ῥάδια γὰρ ταῦτα τῷ βουλομένῳ παντί, ὡς τῆς μακαρίας φύσεως δαψιλῶς προσφερούσης αὐτά· τὴν ἀναγκαίαν φημὶ τροφὴν καὶ τὸ ὕδωρ. Εἰ γὰρ ὑποθώμεθά τινα τοῦ κόσμου παντὸς κυριεύσαντα, οὐκ ἂν οὗτος τούτων ἁπάντων ἀπώνατο, πλὴν τῶν ἐλαχίστων. Ταῦτα διαλογιζόμενος συνοδοιπορήσας, καί σε αὖθις φίλην προσελαβόμην.»

Ἡ δὲ χελώνη ὑπολαβοῦσα εἶπεν· «Ἔγνων, ἅπερ διεξῆλθες κάλλιστά τε καὶ τελειώτατα, καὶ εἶδόν σε ἔναυλον διατηροῦντα τὴν μνήμην τῶν ἐπιγινομένων σοι δεινῶν· καὶ δεῖ σε εἰδέναι, ὡς ἡ πρᾶξις κοσμεῖ τοὺς λόγους, καὶ ὁ ἄῤῥωστος, εἰ μὴ χρήσεται, οἷς οἶδεν ἑαυτὸν ὠφελεῖσθαι, εἰς κενὸν ἂν εἴη ἡ γνῶσις αὐτῷ, μὴ δυναμένῳ ταύτης τῆς νόσου εὑρεῖν

κουφισμόν. Μὴ οὖν φρόντιζε τοῦ οἴκοι πλούτου· ὁ γὰρ μεγαλόνους ἀνὴρ, καὶ χωρὶς τούτου, σεβάζεται παρὰ πάντων, ὡς ὁ κοιμώμενος λέων· ὁ δὲ ἀσύνετος πλούσιος ἀτιμάζεται, καὶ παρορᾶται, ὥσπερ καὶ ὁ περιδέραια χρυσᾶ περικείμενος κύων· μήτε περὶ τῆς ξενιτείας σου διαλογίζου καὶ ἀλαζωνεύου· οὐδεὶς γὰρ τῶν συνετῶν ξένος. Μὴ οὖν μνημόνευε τῶν προτέρων, λέγων, ὡς ἦς ποτε ὄλβιος, καὶ γέγονας ἠπορημένος· τὸ γὰρ ἐν γενέσει καὶ φθορᾷ εὑρεῖν ἐστι καὶ ἀπορρεῖν· καθάπερ τις σφαῖρα, τάχιστα μετακινουμένη καὶ μεταρριπτομένη. Λέγεται γάρ, ὡς ταῦτα τῶν ἄλλων ἀστατώτερα· τὸ τοῦ νέου φρόνημα, ἡ τῶν μοχθηρῶν ἀνδρῶν ὁμιλία, ὁ τῶν γυναικῶν ἔρως, ὁ ψευδὴς ἔπαινος, καὶ ὁ πλοῦτος. Ὁ δὲ νουνεχὴς καὶ φρόνιμος, οὔτε τῇ τούτου δαψιλείᾳ ἐπιτέρπεται, οὔτε μὴν ἀλύει τῇ ὀλιγότητι.» Ὡς οὖν ἤκουσεν ὁ κόραξ τὴν τῆς χελώνης διάλεξιν, ἤσθη ἐπὶ τούτῳ, καὶ εἶπεν· «Ὡς οὐδὲν ἡδύτερόν ἐστι φίλῳ τῆς τῶν φίλων συναντιλήψεως, καὶ συναγαλλιάσεως· οὐδεὶς γὰρ ἕτερος σπουδαίου ἀνδρὸς ἀντέχεται, εἰ μὴ ὁ σπουδαῖος· ὥσπερ οὐδὲν ἕτερον ἐγείρει πεσόντα τὸν ἐλέφαντα, εἰ μὴ ὁ ἐλέφας.»

Ταῦτα καὶ τούτοις παραπλήσια τοῦ κόρακος λέγοντος, δορκάς τις ἄφνω παραγίνεται, ἣν ἰδὼν ὁ κόραξ ἐπὶ δένδρου ἀνέπτη, καὶ ἡ χελώνη τῷ ὕδατι περιεκαλύφθη· ὑπεισῆλθε δὲ καὶ ὁ μῦς κατάδυσίν τινα. Ὁ δὲ κόραξ ἐφ' ὕψους ἀρθεὶς περιεσκόπει, εἴ ποῦ τι καταδιώκει τὴν δορκάδα θηρίον· καὶ πανταχόθεν περιβλεψάμενος, ὡς οὐδὲν ἐθεάσατο, κατῆλθε, καὶ τὴν χελώνην καὶ τὸν μῦν ἐκάλεσεν, ἀναγνωρίσας, ὡς οὐδὲν ὑποπτεύεται· καὶ πρὸς τὴν δορκάδα εἶπεν, ὡς οὐδὲν τῶν θηρίων εἶδεν. Ἡ δὲ χελώνη ἐξελθοῦσα, καὶ τὴν δορκάδα, τοῦ πιεῖν μὴ κατατολμῶσαν, πείθει ταύτην πιεῖν καὶ «Πιέ, φησι, φιλτάτη, οὐδεὶς γὰρ ἐνταῦθα νῦν σε καταλαμβάνει· καὶ ἀνάγγειλόν μοι πόθεν ἥκεις.» Ἡ δὲ δορκὰς ἔφη· «Ἐδιωκόμην μέχρι

τοῦ νῦν παρὰ τῶν θηρευτῶν, τόπον ἐκ τόπου ἀμείβουσα, καὶ ἐνταῦθα κατήντησα.» Ἡ δὲ χελώνη εἶπε· «Θάρρει φιλτάτη· οὐδέποτε γὰρ θηρευτὴς παρ' ἡμῖν ἐπεδήμησε, καὶ ὁμοζώει μεθ' ἡμῶν· ἰδοὺ γάρ σοι πρόκειται τροφὴ δαψιλὴς, καὶ ὕδατος νᾶμα διαφανές.» Ἠρεσθήσατο οὖν ἡ δορκὰς συνδιαιτᾶσθαι, καὶ συνδιάγειν μετ' αὐτῶν, καὶ ἐποιοῦντο ἑκάστοτε τὴν ὁμιλίαν καὶ πανδαισίαν ὑπὸ δένδρῳ συνηρεφεῖ.

Ποτὲ γοῦν ὁ κόραξ, ὁ μῦς, καὶ ἡ χελώνη εἰς ταὐτὸν συνελθόντες, εἶδον τὴν δορκάδα παγίδι περιπεσοῦσαν. Καὶ ἀναπτὰς ὁ κόραξ εἶδε ταύτην συμπεπλεγμένην σχοινίῳ παγίδος θηρευτοῦ, καὶ ὑποστρέψας ἀνήγγειλε τὸ θεατόν. Ἡ δὲ χελώνη πρὸς τὸν μῦν ἔφη· «Ἔν σοι ἡ τῆς ἡμετέρας δορκάδος σωτηρία κεῖται.» Ὁ δὲ μῦς μετὰ τάχους δραμὼν τὴν δορκάδα κατέλαβε, καὶ ὁ κόραξ ὁμοῦ. «Καὶ πῶς, ἔφασαν, ὦ φιλτάτη, τοῖς τοιούτοις δεινοῖς σαυτὴν περιέπλεξας;» Ἡ δὲ εἶπε· «Καί τις ἀπόναιτο τῆς οἰκείας συνέσεως, ὅτε δεῖ τὸ ὡρισμένον τελεσθῆναι;» Ταῦτα λεγούσης αὐτῆς, ἔφθασε καὶ ἡ χελώνη, καί φησι πρὸς αὐτὴν ἡ δορκάς· «Τί ἔδρασας, ἐλθοῦσα ἐνταῦθα; ἐγὼ γὰρ λυθεῖσα παρὰ τοῦ μυὸς τῶν δεσμῶν, διαδράσω, ὡσαύτως καὶ ὁ κόραξ δι' ἀέρος, καὶ ὁ μῦς εὑρήσει κατάδυσιν· σὺ δὲ μόνη καταληφθεῖσα τῷ θηρευτῇ γενήσῃ φεῦ! παρανάλωμα.» Ἡ δὲ ὑπολαβοῦσα ἔφη· «Ἀβίωτος ὁ μετὰ τὴν τῶν φίλων στέρησιν βίος, καὶ τίς ἑτέρα ἐν τούτῳ τέρψις καταλιμπάνεται;» Ταῦτα λεγούσης τῆς χελώνης ἐπῆλθεν ὁ θηρευτὴς, ἅμα τῷ τὴν δορκάδα λυθῆναι παρὰ τοῦ μυὸς, καὶ ἀποδράσαι. Καὶ ὁ μὲν κόραξ εἰς τὸν ἀέρα ἀπέπτη, ὁ δὲ μῦς καταδύσει ἐκρύβη. Ὁ δὲ θηρευτὴς μόνην τὴν χελώνην εὑρὼν, καὶ συλλαβὼν ταύτην κατέδησεν.

Ἰδόντες δὲ ὁ κόραξ, ὁ μῦς, καὶ ἡ δορκὰς τὸ γεγονὸς, σφόδρα περιαλγεῖν ἐοίκασι. Καί φησιν ὁ κόραξ· «Ἴδε πῶς τὰ τοῦ βίου ἐξετράπη ἡμῖν! καλῶς γὰρ ἔφησεν ὁ εἰπών· ὡς ὅτε τις

ἅπαξ προσκόψει, πολλοῖς περιπίπτει συμπτώμασιν. Οὐκ ἤρκει μοι τὸ πατρίδος στερεθῆναι, συγγενῶν, καὶ φίλων ἀποπεσεῖν· ἀλλ' ἐστερήθην, οἴμοι! καὶ τῆς φιλτάτης χελώνης, ἥτις οἶδε θεσμοὺς φιλίας τηρεῖν. Ἀλλ' ἐρρέτω τὸ θνητὸν τοῦ σώματος, καὶ μυρίοις περιεστοιχισμένον δεινοῖς, καὶ μηδέποτε μένον ἐν ταὐτῷ, ἀλλὰ λυόμενον εἰς τὸ διηνεκὲς, καὶ καταβαλλόμενον. Καὶ ὥσπερ ὁ ἀστὴρ ὁ ἀνατέλλων, οὐ προσμένει τῇ ἀνατολῇ, ἀλλὰ περιφερόμενος διὰ τάχους δύει, καὶ ὁ ἑῶος ἑσπέριος γίνεται, καὶ τὸ ἐν τῇ ἀνατολῇ μέρος δύει, καὶ τὸ δῦνον ἀνατέλλει· οὕτω τὰ παρ' ἡμῖν εἰσιν εὐμετάβλητα. Ἀνεμνήσθην οὖν ἔγωγε τῶν προτέρων μου συμφορῶν διὰ τῆς παρούσης λύπης, καθάπερ ἡ ἐκ τραύματος ἐνσκιρρωθεῖσα οὐλὴ, ὅτε ἐπλήγη τις, ὁμοῦ τε καὶ τῆς ἐκ τῆς πληγῆς ἀλγηδόνος ἐπαισθάνεται, καὶ τὸ πρότερον τραῦμα αὖθις, ὡς ἔκ τινος ἀρχῆς ἀνακαινίζεται.»

Ἡ δὲ δορκὰς ἔφη· «Ἡ ἡμετέρα φιλτάτη ἄρτι λυπεῖται, οἱ δέ σοι περιώδυνοι λόγοι, καίπερ ῥητορείας ἔχονται, τὴν χελώνην οὐκ ὠφελοῦσιν· ἀλλ' ἔασον ταῦτα, καὶ εὑρὲ πόρον ζωῆς καὶ σωτηρίας. Λέγεται γὰρ, ὡς ὁ μὲν ἀνδρεῖος, ἐν καιρῷ συμπλοκῆς ἑτοιμάζεται, ὁ δὲ πιστὸς ἐν ταῖς δόσεσι καὶ λήψεσι, καὶ οἱ φίλοι ἐν καιρῷ πειρασμοῦ γνωρίζονται.» Ὁ δὲ μῦς, «Ἐμοὶ δοκεῖ, ἔφη, συμφέρειν σε τὴν δορκάδα ἀπελθεῖν, καὶ ὡς νεκρὰν ἐν μέσῳ τῆς ὁδοῦ τῶν θηρευτῶν πεπτωκέναι, καὶ ἐπιμαρτυρήσαί σοι τὴν νέκρωσιν τὸν κόρακα, (ἐν τῷ) ἐπικαθεσθῆναί σοι, καὶ ὑποκρίνεσθαι ἐσθίειν τὰς σάρκας σου. Οἶμαι γὰρ, ὡς τοῦτο ἰδὼν ὁ θηρευτὴς ἀποθήσεται τὸ τόξον αὐτοῦ, καὶ τὴν φαρέτραν, καὶ προσελεύσεταί σοι. Ὅτε οὖν ἴδῃς τοῦτον προσεγγίζοντα, ἀναστᾶσα σχολιαίτερον βάδιζε, ἕλκουσα τοῦ καταλαβεῖν σε αὐτὸν ὑποσαίνουσα, καὶ καταλαμβάνοντος, χρῶ ἐπὶ πλέον τῇ τῶν ποδῶν ὠκύτητι· ἐν γὰρ τῷ μεταξὺ ἔγωγε τῶν δεσμῶν τὴν χελώνην ἀπολύσω, τοῖς ὀδοῦσι

καταφαγὼν τὸ δίκτυον.» Ἡ δὲ δορκὰς τὸ προσταχθὲν ἐποίησε, καὶ οὕτω λυθεῖσα παρὰ τοῦ μυὸς ἡ χελώνη, σῶοι ἅπαντες οἴκαδε ἐπανέζευξαν. Οὕτως ἄρα καὶ οἱ ὀρθῶς φιλοῦντες τῶν οἰκείων φίλων ἀντέχονται.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

Μετὰ ταῦτα δὲ ὁ Βασιλεὺς πρὸς τὸν φιλόσοφον ἔφη· «Ἔγνων διὰ τούτου σου τοῦ παραδείγματος τὰ τῆς εἰλικρινοῦς φιλίας. Λοιπὸν ἀνάγγειλόν μοι ὑποδείγματι, πῶς δεῖ τινα παρατηρεῖν τὸν ἐχθρὸν, εὔνοιαν ὑποκρινόμενον.»

Ὁ δὲ φιλόσοφος ἔφη· «Ὁ ἐχθρῷ καταπιστευόμενος πείσεται τὸ τῶν γλαυκῶν. Λέγεται γάρ, ὡς ἔν τινι ὄρει, ἐν ὑπερμεγέθει δένδρῳ, κόρακες διῆγον χίλιοι, παρ' ἑνὸς κυριευόμενοι, καὶ πρὸς τὰς γλαῦκας ἀεὶ ἐχθρωδῶς διακείμενοι. Νυκτὸς γοῦν αἱ γλαῦκες ἐπελθοῦσαι τούτοις, πολλοὺς μὲν ἀπέκτειναν, ἑτέρους δὲ ἐτραυμάτισαν. Ἐωθεν δὲ ὁ κοράκων βασιλεὺς τοὺς ὑπ' αὐτὸν ἐπισυνάξας, καὶ συνέδριον ποιήσας, εἶπεν· «Εἴδετε, ἃ τὸ τῶν γλαυκῶν γένος εἰς ἡμᾶς ἔδρασε, καὶ ὅπως τὴν ἡμετέραν δύναμιν κατετροπώσατο, καὶ ὅσους ἀπέκτειναν, καὶ ἐτραυμάτισαν, τά τε πτερὰ ἔτιλαν· ὧν δὴ πάντων χείριστον, τὸ κατατολμῆσαι ἡμῶν, καὶ ὄψεσθαι δὲ πρὸς τούτοις καὶ τὰ ἑπόμενα.» Ἦσαν δὲ παρὰ τῷ τοιούτῳ Βασιλεῖ προτοσύμβουλοι πέντε, ὧν ὁ εἷς ὑπολαβὼν εἶπεν· «Οὐδὲν ἕτερον σώσει ἡμᾶς ταύτης τῆς ἐπιδρομῆς ἄλλο, ἢ τὸ φυγεῖν, καὶ τὴν ἐνταῦθα διατριβὴν καταλιπεῖν, καὶ τὸν ἐπὶ ξένης βίον ἀσπάζεσθαι, μὴ ἐξὸν ἐπὶ τοὺς πολεμίους ἀντιπαρατάττεσθαι.»

Ὁ δὲ ἕτερος ἔφη· «Οὐ κρίνω συμφέρον εἶναι ἐπὶ τοσοῦτον ὑπὸ μιᾶς προσβολῆς ταπεινωθέντας, τὴν πατρίδα καταλιπεῖν, καὶ τὸν ἐπὶ ξένης ἀσπάζεσθαι βίον· ἀλλ' ἑτοιμάζεσθε, ὦ φί-

λοι, καὶ πρὸς ἀγῶνα ἀποδύεσθε, καὶ εἴ ποτε οἱ ἐχθροὶ ἐπελεύσονται, συμπλακῆναι δεῖ τούτοις, καὶ φυλάττεσθαι τὸ εἰσδῦναι τούτους μέσον ἡμῶν. Καὶ εἰ μὲν νικήσωμεν ταύτας, εἶτ' οὖν ἄμεμπτοι περὶ τὴν πρώτην προσβολὴν ἐσόμεθα.»

Ὁ δὲ τρίτος εἶπεν· «Οὐ καλῶς, ὦ Βασιλεῦ, οἱ τοιοῦτοι λέγουσιν· ἀλλὰ δεῖ ἡμᾶς ἀναμαθεῖν, εἰ βούλονται οἱ ἐχθροὶ ἡμῶν φιλιωθῆναι ἡμῖν, καὶ σπονδὰς εἰρηνικὰς ποιήσασθαι διὰ δώρων ὑπαγόμενοι, ἃ δὴ καὶ πέμψομεν αὐτοῖς, καὶ ἀμερίμνως βιώσομεν· ἀεὶ γὰρ οἱ Βασιλεῖς περὶ τῶν οἰκείων χωρῶν δεδιότες, καὶ πρὸς τοὺς ἐχθροὺς ἀδυνατοῦντες, ἀντάλλαγμα ποιοῦνται τὸν χρυσὸν, δι' οὗ συντηροῦσι τοὺς ὑπ' αὐτούς.»

Ὁ δὲ τέταρτος ἔφη· «Οὐ καλῶς βουλεύῃ· ἀλλὰ κρεῖττόν ἐστι τῷ βίῳ στενοῦσθαι καὶ ὠδινᾶσθαι, ἢ τοσοῦτον τοῖς ἐχθροῖς ὑποπεσεῖν, ὧν κρείττονες ἐσμεν καὶ τιμιώτεροι. Ἀλλ' εἰ καὶ τοῦτο, ὃ παραινεῖς, ποιήσομεν, οὐκ ἀρκεσθήσονται τοῖς ὀλίγοις· ἀλλὰ τὰ ὑπὲρ δύναμιν ἐπιζητήσουσι. Λέγεται γὰρ, ὡς δεῖ πρὸ τῆς χρείας τοὺς ἐχθροὺς διὰ μετρίων ἀφέλκεσθαι δώρων πρὸς φιλίαν, μὴ μὴν διὰ πολλῶν· τοῦτο γὰρ μὲν τὴν ἐκείνων δύναμιν ἐπιτείνει, τὴν δ' ἡμετέραν ἐκλύσει. Τῆς γὰρ ἐν ἡλίῳ ἱσταμένης ῥάβδου μετρία κλίσις τὴν σκιὰν ἐπιτείνει, ἡ δὲ ἄμετρος ταύτην συστέλλει· δεῖ οὖν καὶ τὴν εἰρήνην ἀσπάζεσθαι, καὶ τὸ πολεμεῖν.»

Ὁ δὲ πέμπτος εἶπεν· «Οὐ δυνατὸν ἡμῖν ἐστι τὸ πολεμεῖν· ἐπικρατέστεραι γὰρ ἡμῶν αἱ γλαῦκες. Ὁ γὰρ ἀγνοῶν, ἑαυτὸν μᾶλλον, ἢ τοὺς ἐναντίους ἔβλαψεν· εἰ τάχα ὁ συνετὸς οὐκ ἀδύνατόν ποτε λογίζεται τὸν ἐχθρόν. Ἔγωγε οὖν καὶ νῦν τε καὶ πρότερον τὸν ἐχθρὸν δέδοικα, καὶ πρὸ τούτου ἐδεδοίκειν· οὐδεὶς γὰρ ἐχέφρων ἀνὴρ τοῦ ἰδίου ἐχθροῦ περιφρονεῖ, οὗπερ ἐγγὺς διάγει. Καὶ ὁ ἄριστος στρατηγὸς, ἑτέρας μηχανῆς οὐχ αἱρεῖται τὸ πολεμεῖν· ἐν πᾶσι γὰρ τοῖς ἄλλοις αἱ δαπάναι περὶ πλοῦτον, ἐν δὲ τῷ πολέμῳ περὶ αὐτάς τε ψυχάς.» Ὁ δὲ

Βασιλεὺς ἔφη· «Εἰ τὸ πολεμεῖν οὐ συναινεῖς, τί ἕτερον προτρέπεις;» Ὁ δὲ εἶπε· «Δεῖ σε, ὦ βασιλεῦ, συμβούλοις χρήσασθαι τοῖς ὑπόσε συνετωτάτοις· ἡ γὰρ ἀρίστη βουλὴ μυρίων στρατευμάτων καὶ παρασκευῶν ἐπικρατεστέρα ἐστί, καὶ προτίθησιν αὐτὴ σκοποὺς ὀνησίμους τῷ βίῳ, ὥσπερ οἱ ποταμοὶ τῷ θαλαττίῳ ὕδατι. Καὶ οὐδέποτε νουνεχὴς τὴν τοῦ ἐχθροῦ δύναμιν καὶ πονηρίαν ἐπὶ βλάβῃ ἐπάγεται, καὶ ὅσα καὶ οἷα βούλεται ἐν τοῖς πρὸς αὐτὸν στρατεύμασι χρήσηται, καὶ ἐπιτηδείοις καὶ παρασκευαῖς. Ἐπεὶ οὖν μοι συμβούλῳ ἐχρήσω, ὦ Βασιλεῦ, βούλομαί σοι ἰδίᾳ τε, καὶ δημοσίᾳ προσομιλῆσαι· καὶ δημοσίᾳ μὲν λέγω σοι, ὅτι καθάπερ οὐ συνορῶ λυσιτελὲς τὸ πολεμεῖν, οὕτως οὐδὲ τὸ φόρους τελεῖν, καὶ ὑπόπτωσιν τοιαύτην ἀσπάζεσθαι· ὁ γὰρ μεγαλόνους ἀνὴρ αἱρεῖται μᾶλλον μετὰ δόξης θάνατον, ἢ τὴν ἐν ἀτιμίᾳ ζωήν. Μὴ οὖν ἀμελήσῃς καὶ ἀναβάλῃ περὶ τὰ τοιαῦτα· *ἀεὶ γὰρ ἀμφιβολοεργὸς ἀνὴρ ἄτῃσι παλαίει*, κατὰ τὸν ποιητήν. Ἰδίᾳ δέ σοι διαλέξομαι, ὅτι ἀκούω τῶν πάλαι λεγόντων, ὡς οἱ Βασιλεῖς τροπαιοῦχοι γίνονται διὰ τῆς ἀρίστης οἰκονομίας· ἡ δὲ ἀρίστη οἰκονομία ἐπιγίνεται διὰ τῆς πολυειδοῦς βουλῆς· ἡ δὲ βουλὴ ἐνεργεστέρα γίνεται, ὅτε μὴ ἐκφαυλισθῇ. Ἐκφαυλίζεται δὲ τὰ μυστήρια ἐξόχως, ἢ παρὰ τοῦ προσκαλοῦντος εἰς τὴν συμβουλὴν, ἢ παρὰ τῶν καλουμένων, ἢ διὰ τῶν ταῦτα συνεργούντων, ἢ παρὰ τῶν εἰς πρεσβείαν ἀποστελλομένων, ἢ παρὰ τῶν τὰ ἑπόμενα τισὶ τῶν προδήλων ἔργων συντηρούντων, ἢ παρὰ τῶν οὐκ ὀρθῶς συλλογιζομένων, καὶ στοχαζομένων. Ὁ δὲ τὸ οἰκεῖον μυστήριον συντηρῶν κατὰ δύο τρόπους ὠφελεῖται· ἢ γὰρ τυγχάνει τοῦ ἑφετοῦ, ἢ ἀποτυγχάνων, τὴν τῆς ἀτυχίας μέμψιν ἐκφεύγει. Οὐ δεῖ δὲ τὸν προσκαλοῦντα εἰς τὴν συμβουλὴν, συνετώτατον ὄντα, τῶν προσκαλουμένων τοὺς λόγους περιφρονεῖν· βεβαιοῦται γάρ, καὶ προστίθεται διὰ τούτων ἡ τοῦ λογισμοῦ αὐτοῦ ἀκρίβεια·

Εἰ γὰρ ὁ Βασιλεὺς συντηρεῖ τὰ οἰκεῖα μυστήρια, καὶ ἀνδράσι νουνεχέσι πρὸς τὰς οἰκονομίας χρήσηται, φοβερὸς ἔσται τοῖς πολλοῖς, καὶ τὴν διάνοιαν ἀκατάληπτος. Καὶ εἰ τὴν τοῦ εὐνοοῦντος καὶ εὐγνωμονοῦντος ἐνέργειαν μὴ παρορᾷ, μήτε τὰ παρά τινος ἡμαρτημένα παρατρέχει, οὕτως ἐν ἅπασιν εὐοδωθήσεται, καὶ κράτιστος ἔσται. Τάξις δέ ἐστιν ἐν τοῖς μυστηρίοις· τὰ μὲν γὰρ δύο, τὰ δὲ καὶ ἐπέκεινα ἀκουστὰς ἐπιδέχεται. Ἐν ᾧ δέσοι μέλλω ἀναγγεῖλαι, δεῖ στομάτων μὲν δύω, ὦτα δὲ τέσσαρα συνδραμεῖν βούλομαι.»

Ταῦτα ἀκούσας ὁ βασιλεὺς ἀνέστη, καὶ κατὰ μόνας αὐτῷ προσωμίλησε, καὶ ἠρώτησε περὶ τῆς αἰτίας τῆς μεγίστης ἐχθρας. Ὁ δὲ πρωτοσύμβουλος ἔφη· «Ἡ ἀρχὴ τῆς ἐνέξεως τοιάδε ἐστί· λέγεται γὰρ, ὅτι πετεινῶν ποτε γένος τι συναθροισθὲν ἀνηγόρευε γλαυκά τινα ἑαυτοῖς Βασιλέα. Κόραξ δέ τις, ἐκεῖσε τυχὼν, ἔφη· «Εἰ μή τι, ὡς ἀτιμότερον τῶν πετεινῶν παρεωράθη ὑμῖν ὁ ταὼς, γερανὸς, καὶ περιστερὰ, καὶ νῆττα, οὐκ ἔδει ὑμᾶς τὸ δυσῳδες τοῦτο ζῶον ἀναγορεῦσαι· ὁμοῦ τε γὰρ καὶ τὸ τῆς ψυχῆς κάλλος ἀφῄρηται, καὶ ἄνουν ἐστὶ, καὶ ἀσύνετον, καὶ ὀργίλον, καὶ ἄτακτον, καὶ ὄψεως ἡμερινῆς ἐστερημένον, καὶ δόλιον, καὶ πανοῦργον· καὶ ὃ, δὴ πάντων χείριστον, οὐ δύναταί τι τῶν πτηνῶν αὐτῷ προσεγγίσαι, διὰ τὴν αὐτοῦ οἴησίν τε καὶ ὑπερηφανίαν, καὶ πονηρίαν. Καὶ γὰρ ὁ Βασιλεὺς, εἰ τύχοι ἀσύνετος, οἱ ἐγγὺς καὶ πλησιάζοντες αὐτῷ, ἐὰν νουνεχεῖς ὦσι καὶ σώφρονες, ἡ βασιλεία αὐτοῦ ἀπαράλλακτος μένει, καὶ εὐθύνονται τὰ πράγματα αὐτοῦ, ὥσπερ ἐκείνου τοῦ λαγωοῦ, τοῦ πορευθέντος ἀφ' ἑαυτοῦ πρὸς τοὺς ἐλέφαντας ἐκ προσώπου τοῦ φέγγους, καὶ κατορθωκότος τὰ πράγματα τοῦ Βασιλέως σὺν πᾶσι τοῖς ὑπ' αὐτόν.»

Τῶν δὲ, καὶ πῶς ἦν τοῦτο; πυθομένων, ὁ κόραξ ἔφη πρὸς αὐτούς· «Λέγεται, ὡς ποτε ἀνομβρία ἐγεγόνει μεγίστη, τῶν πηγέων ἐκλελοιπότων ὑδάτων, ὥστε ξηρανθῆναι τὰ φυτὰ

πάντα· ἐστενοχοροῦντο δὲ πάντα τὰ ζῶα, ἐξαιρέτως δὲ οἱ ἐλέφαντες, καὶ προσελθόντες εἶπον τῷ Βασιλεῖ αὐτῶν· «Δέον ἐστὶν ἡμᾶς, ὦ Βασιλεῦ, μετοικῆσαι ἐν ἄλλῳ τινὶ τόπῳ χλοηφόρῳ καὶ ὑδατώδει, μήποτε τεθνηξώμεθα ἐνθάδε·» Ὁ δὲ Βασιλεὺς αὐτῶν ἔπεμψέ τινας ἐξ αὐτῶν τοῦ εὑρεῖν ἑαυτοῖς τόπον ἀνήκοντα. Ἀπελθόντες δὲ ἐκεῖνοι καὶ εὑρόντες ὑπέστρεψαν, καὶ ἀνήγγειλαν τῷ Βασιλεῖ, ἐν τῷδε, λέγοντες, τῷ τόπῳ πηγὴ ὕδατος καὶ χλόη δαψιλής· καὶ εὐθὺς μετοικήσαντες ᾤκησαν ἐκεῖ.

Ἦσαν δὲ ἐν τῷ τόπῳ ἐκείνῳ ὑπαὶ λαγωῶν· καὶ προσελθόντες οἱ ἐλέφαντες κατεπάτησαν ἐκεῖσε τοὺς λαγωούς, καὶ ἀπέκτεινάν τινας ἐξ αὐτῶν. Ἐν δὲ τῷ ὑποστρέψαι αὐτοὺς συνήχθησαν οἱ λαγωοί, καὶ ἀνήγγειλαν τῷ Βασιλεῖ αὐτῶν, ἃ πεπόνθασι παρὰ τῶν ἐλεφάντων. Καὶ ἠτήσαντο αὐτὸν, ὅπως γένηται μηχανή τις παρ' αὐτοῦ, τοῦ λυτρωθῆναι τῆς ἐπηρείας τῶν ἐλεφάντων. Ἀναστὰς οὖν εἷς ἐξ αὐτῶν, ἔφη· «Ἐγὼ ἀπελθὼν πρὸς αὐτοὺς, πείσω τούτους τὸν ἡμέτερον ἐάσαι χῶρον· πέμψατε οὖν μετ' ἐμοῦ τινας, ἀκοῦσαι τοὺς λόγους, οὓς μέλλω εἰπεῖν αὐτοῖς.» Ὁ δὲ βασιλεὺς τῶν λαγωῶν εἶπεν. «Σὺ πιστὸς εἶ, καὶ οὐκ ἔστιν ἡμῖν χρεία τοῦ μετὰ σοῦ πέμψαι μάρτυρας· εἶδον γὰρ τὴν σὴν πρὸς ἡμᾶς εὔνοιαν. Ἄπελθε οὖν, καὶ ποίει, καὶ λέγε, ἃ βούλει.» Ἀνατείλαντος δὲ τοῦ φέγγους ἀπῆλθεν ὁ λαγωὸς πρὸς τοὺς ἐλέφαντας, καὶ φοβηθεὶς, μὴ καταπατηθῇ παρ' αὐτῶν, ἀνῆλθεν ἐπί τι ὄρος ὑψηλὸν, καὶ κράξας φωνῇ μεγάλῃ ἐδημηγόρησεν οὕτως· «Ὦ Βασιλεῦ τῶν ἐλεφάντων, πρέσβυς πρός σε ἀπεστάλην παρὰ τοῦ φέγγους· σὺ δὲ οἶδας, ὅτι ὁ ἀπεσταλμένος, κἂν θρασυλογῇ, ἀβλαβὴς μένει. Λέγει σοι τὸ φέγγος· ἄτακτον καὶ μέμψεως οὐκ ἐκτὸς, πολεμεῖν τὸν δυνατὸν τῷ ἀδυνάτῳ· ἐπαινετότερον δὲ τὸν ἰσοδύναμον τῷ ἰσοδυνάμῳ. Σὺ δὲ ἦλθες ἐν τῷδε τῷ τόπῳ, ἀδικῶν καὶ βλάπτων τοὺς ὑπ' ἐμὲ λα-

γωοὺς, οἱ καὶ ἀσθενέστεροί εἰσι πάντων τῶν ζώων, καὶ ἀπέκτεινας αὐτοὺς, καὶ κατέλυσας αὐτῶν τὰς ὀπὰς, καὶ ἐθόλωσας τὸ ὕδωρ, ἐν ᾧ εἰμι. Ἀλλ' ἰδοὺ κἀγὼ διὰ τὰ ἃ πεποιηκας αὐτοῖς ἀδίκως, σβεννύω τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἀποκτενῶ ὑμᾶς· καὶ εἰ τούτοις ἀπιστεῖς, ὦ Βασιλεῦ, ἐλθὲ πρὸς τὴν πηγὴν, καὶ ὄψει με.» Ἀκούσας δὲ ὁ τῶν ἐλεφάντων Βασιλεὺς, καὶ οἱ σὺν αὐτῷ πάντες τοῦ λαγωοῦ, ὡς ἐκ προσώπου τοῦ φέγγους, ἐθαύμασαν· καὶ εὐθὺς αὐτὸς καλέσας τὸν λαγωὸν ἀπῆλθε σὺν αὐτῷ πρὸς τὴν πηγήν. Ὁ δὲ λαγωὸς δείξας τῷ ἐλέφαντι τὸ τῆς σελήνης ὁμοίωμα ἐν τῇ πηγῇ, «Νίψαι, ἔφη, ἐκ τοῦ ὕδατος, καὶ προσεύχου, ὅπως ἀξιωθῇς τῆς ὁμιλίας αὐτῆς.» Ὁ δὲ Βασιλεὺς τῶν ἐλεφάντων φοβηθεὶς εἶπε· «Μὴ ὀργίζου κατ' ἐμοῦ, Κύριέ μου· οὐ γὰρ ἐλεύσομαι ἔτι ἐνθάδε, οὐδέ τις τῶν ὑπ' ἐμέ.» Καὶ οὕτως ἀπηλλάγησαν οἱ λαγωοὶ τῆς τῶν ἐλεφάντων βλάβης.

Ταῦτα ὑμῖν διῆλθον διὰ τὴν ὀξυθυμίαν καὶ μεγαλαυχίαν τῶν γλαυκῶν, καὶ πονηρίαν αὐτῶν, καὶ ὅτι οὐ δύναταί τις προσεγγίσαι αὐταῖς, ἢ συμβουλεύσασθαι, ἢ ὁμιλῆσαι· διότι οὐκ εἰσὶν ἐξ αἵματος βασιλικοῦ. Πάλιν δὲ οἱ προβάλλοντες μετὰ τοῦ κακοῦ Βασιλέως διαβολάς τινας, καὶ ἀδικίας καὶ πονηρίας, πείσονται τὸ τοῦ λαγωοῦ καὶ τοῦ σκιούρου, παρὰ τῆς γαλῆς.» Τὰ δὲ πετεινὰ εἶπον· «Καὶ πῶς ἦν τοῦτο;» Ὁ δὲ κόραξ πάλιν ὑπολαβὼν ἔφη· «Ἦν πλησίον τινὸς δένδρου ὀπὴ σκιούρου· ἦν δέ μοι ὁ σκίουρος φίλτατος πάνυ. Συνέβη δὲ τὸν σκίουρον ἀπελθόντα καταλεῖψαι τὴν ὀπὴν μόνην· ἐγὼ δὲ ἀπελθὼν ἐν αὐτῇ, καὶ μὴ εὑρὼν αὐτὸν, ἐνεκαρτέρουν καὶ οὐχ ὑπέστρεφεν· ἐθλίβην δὲ μεγάλως περὶ αὐτοῦ. Ἐξ ἄλλου δέ τινος τόπου ἐλθὼν λαγωός τις ᾤκησεν ἐν τῇ τοῦ σκιούρου ὀπῇ. Ἐπανελθὼν δὲ ἐκεῖνος, καὶ εὑρὼν τὸν λαγωὸν, «Ἔξελθέ φησιν, ἐκ τῆς οἰκίας μου.» Ὁ δὲ λαγωὸς, μὴ θέλων ἐξελθεῖν, «Ὁ τόπος οὗτος, ἔφη, ἐμὸς ἦν τὸ πρῶτον, καὶ εἰ βούλει, δικα-

σθῶμεν.» Ὁ δὲ ἔφη· «Ἔχω ἐπὶ τοῦτο μάρτυρας, καὶ πλησίον ἡμῶν ἐστιν ὁ δικαστής.» Καὶ ὁ λαγωὸς, «Καὶ τίς ἔστιν οὗτος;» —«Γαλήτις ἀσκήτριά, φησιν ὁ σκίουρος, παρὰ τὸν αἰγιαλὸν, εὐσεβὴς καὶ δικαία, μηδέποτέ τινι ὀργιζομένη.»—«Ἀπέλθωμεν τοιγαροῦν, φησιν ὁ λαγωὸς, πρὸς αὐτήν.» Ἡ δὲ γαλὴ τούτους ἰδοῦσα πρὸς αὐτὴν ἐρχομένους, ἤρξατο εὔχεσθαι καὶ ὑποψιθυρίζειν, καὶ γονυκλινεῖν, ὅτι πανοῦργος ἦν, καὶ ἐβούλετο καταφαγεῖν αὐτοὺς, ὃ καὶ ἐποίησεν. Ἐγγίσαντες οὖν αὐτῇ, ἤρξαντο διαλέγεσθαι καὶ ἀντιμάχεσθαι. Ὁ δὲ κριτὴς εἶπεν αὐτοῖς· «Ἵνα τί, ἀδελφοί, οὕτω μάχεσθε πρὸς ἀλλήλους; Ἐγγίσατε πρός με, ἵνα ἀκούσωμαι ὑμῶν· γεγήρακα γὰρ, καὶ τετύφλωμαι, καὶ οὐκ ἀκούω. Ἐγγίσατε πλησίον, καὶ ἄρατε τὰς φωνὰς, ὅπως νοήσω τὰ λεχθέντα παρ' ὑμῶν.» Οἱ δὲ ἄφρονες καὶ τοῦτο ἐποίησαν. Ἀκούσασα δὲ τὰ λεχθέντα παρ' αὐτῶν, ἤρξατο παραινεῖν αὐτοῖς. Οἱ δὲ, ἀκούοντες τὰς παραινέσεις, θαρροῦντες προσήγγισαν αὐτῇ. Ἡ δὲ εἰσπηδήσασα ἀπέκτεινεν αὐτούς. Καὶ τοῦτον τὸν μῦθον ἔλεξα ὑμῖν, ὦ οὗτοι, ὅτι ἡ γλαὺξ πανοῦργος τυγχάνει καὶ σαρκοφάγος, καὶ οὐ δεῖ ὑμᾶς καταπιστεῦσαι αὐτῇ.»

Ταῦτα ἀκοῦσαν τὸ τῶν πτηνῶν ἐκεῖνο γένος καθεῖλον τῆς ἀρχῆς τὴν γλαῦκα. Καθαιρηθεῖσα δὲ ἡ γλαὺξ εἶπε πρὸς τὸν κόρακα· «Οὐ σύνοιδα ἐμαυτῇ, ὦ κόραξ, ὅτι ἔδρασά ποτε ἐναντίον τι κατά σου, καὶ διὰ τί τοιαύτην κατ' ἐμοῦ ἐποίησας δημηγορίαν καὶ ἀντεκδίκησιν; Ἀλλ' ἴσθι, ὡς τὸ τεμνόμενον ξύλον διὰ τῆς ἀξίνης αὖθις ἐκφύει, καὶ τὸ διὰ ξίφους τραῦμα πάλιν συνοδοῦται, καὶ ἐνσκιρροῦται· ἡ δὲ τῆς γλώττης δῆξις ἀνίατός ἐστιν, ὡς ἀπτομένης αὐτῆς μέσης τῆς καρδίας. Καὶ γὰρ τὸ πῦρ σβέννυσι τὸ ὕδωρ, καὶ τὸ δηλητήριον φαρμάκοις τισὶν ἀντικρούεται, καὶ ὁ ἔρως τῇ ἐπιτυχίᾳ παύεται· τὸ δὲ τῆς μνησικακίας πῦρ ἀεὶ ζωὸν ἐστι. καὶ ὃ ἀνεσπάρη μέσον ἡμῶν καὶ ὑμῶν, ὦ κόραξ, δένδρον γενήσεται,

οὐδέποτε ἐκριζούμενον.» Ταῦτα εἰποῦσα ἡ γλαὺξ ἀπηλλάγη, θυμοῦ πνέουσα· καὶ μετεμελήθη ὁ κόραξ, ὅτι κατηναιδεύσατο. Αὕτη γοῦν ἐστιν ἡ μεγίστη ἔχθρα, καὶ οὐκ ἄλλη.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Ἔγνων τὰ τοιαῦτα· λοιπὸν οὖν εἰπὲ περὶ τῶν προκειμένων ἡμῖν ἀναγκαίων, καὶ τί δεῖ ἔτι ποιεῖν;» Ὁ δὲ πρωτοσύμβουλος εἶπε· «Τὰ περὶ τοῦ πολέμου οὐ συναινῶ, οὐδὲ προτρέπω εἰς τοῦτον. Ἀλλ' ἴσως δυνηθείημέν τι διά τινος κατορθῶσαι μηχανῆς· μεγάλα γὰρ αὕτη δύναται· καθάπερ ἐμηχανήσαντο καί τινες κατά τινος ἀσκητοῦ. Λέγεται γάρ, ὡς ἀσκητὴς ἠγόρασε τράγον, καὶ ἀπήρχετο εἰς τὸν οἶκον αὐτοῦ. Ἰδόντες δὲ αὐτόν τινες, συνεβουλεύσαντο ἆραι ἀπ' αὐτοῦ τὸν τράγον διὰ μηχανῆς. Ἐγγίσαντες οὖν αὐτῷ, εἶπεν ὁ πρῶτος αὐτῶν· «Ὁρᾷς, πῶς αἴρει οὗτος ὁ ἀσκητὴς τὸν κύνα τὸν μικρόν;» Ὁ δὲ δεύτερος ἔφη· «Ὁρῶ μὲν ἀσκητήν, ἔργον δὲ ἀσεβοῦς· εἰ γὰρ ἦν ἀσκητής, οὐκ ἂν ἔσυρε τὸν κύνα.» Ὁ δὲ ἀπέλυσεν αὐτόν· καὶ ἀπελθὼν ἔπλυνε τὰ ἱμάτια αὐτοῦ ἐν τῷ ποταμῷ καὶ ἐκαθαρίσθη. Καὶ λαβόντες τὸν τράγον ἔσφαξαν καὶ διεμερίσαντο ἑαυτοῖς.

Ταύτην τὴν παραβολὴν διεξεῖην ὑμῖν, ἵνα ἐπιγνῶτε ὁμολογουμένως, ὡς ἄνω μοι εἴρηται, ὅτι ἡ μηχανὴ μεγάλα δύναται ποιῆσαι. Κρίνω οὖν συμφέρον εἶναι, ὀργισθῆναί σου τὴν μεγαλειότητα κατ' ἐμοῦ, πάντων ὁρώντων, καὶ προστάξαι τυφθῆναί με ἀφειδῶς ἐπὶ μέσου· ὥστε με αἱματωθῆναι τοῖς ὤμοις[1]· εἶτα καὶ τὰ πτερά μου ἐκτίλασθαι καὶ τὴν οὐράν, καὶ ῥιφῆναι πλησίον τούτου τοῦ δένδρου. Εἶτα τούτου γενομένου ἀπᾶραί σε μετὰ τῶν ὑπό σε, καὶ ἐᾶσαί με κείμενον.» Τοῦτο οὖν ποιήσας ὁ Βασιλεὺς τῶν κοράκων μετὰ τῶν ὑπ' αὐτὸν ἀπεδήμησε. Νυκτὸς δὲ αἱ γλαῦκες ἐπὶ τὸ δένδρον παραγενόμεναι οὐκ εἶδόν τινα ἐν αὐτῷ, εἰ μὴ μόνον τὸν τυφθέντα κόρακα κείμενον, καὶ ἀνήγγειλαν τοῦτο τῷ

(1) Τὸ κείμενον τοῦ πρώτου ἐκδ. φέρει α ι ν ο ι ς.

οἰκείῳ αὐτῶν Βασιλεῖ. Ὁ δὲ τῷ κόρακι προσεγγίσας ἐπηρώτησε, πόθεν τε ἐστὶ, καὶ ὅπῃ οἱ λοιποὶ ἐτράπησαν κόρακες; Ὁ δὲ κόραξ εἶπεν· «Ἐγώ εἰμι ὁ δεῖνα τοῦ δεῖνα. Ὅπῃ δὲ οἱ κόρακες ἐπράπησαν, οὐκ ἐπίσταμαι· πῶς γὰρ ἂν τὰ ἐκείνων εἰδείην μυστήρια οὕτωσί διακείμενος;» Καὶ ὁ Βασιλεὺς ἔφη· «Τῷ ὄντι οὗτος ὁ πρωτοσύμβουλός ἐστι τοῦ τῶν κοράκων ἀρχηγοῦ· ἐρωτήσατε οὖν αὐτὸν, διὰ ποίαν αἰτίαν τοσαῦτα πέπονθε δεινά;» Ὁ δὲ κόραξ εἶπεν· «Ἡ ἐμὴ κακοβουλία τοῖς τοιούτοις με κακοῖς περιέπλεξεν· ὅτε γὰρ παρ' ὑμῶν ἠττήθησαν οἱ κόρακες, βουλευτήριον τούτοις συνέστη, καὶ ἕκαστος, ὡς εἶχε σκέψεως, ἐφθέγξατο, καὶ συνεβούλευσεν. Ἐγὼ δὲ ἐπαρρησιάσθην ὑπὲρ ὑμῶν, καὶ εἶπον, ὡς δυνατώτεραί ἐσε τῶν κοράκων, καὶ τῷ πλήθει ὑπερβάλλουσαι· καὶ διὰ τοῦτο δεῖ μὴ ἀντιπαρατάξασθαι πρὸς ὑμᾶς, ἀλλὰ τὴν εἰρήνην ἐπιζητεῖν, καὶ φόρους τελέσαι, εἴπερ δέχονται, καὶ σπένδεσθαι, καὶ σέργειν, καὶ χάριτας τούτου ἕνεκα Θεῷ καθομολογεῖν. Τῷ γὰρ ἐπικρατεστέρῳ εὐθρῷ δεῖ τὸν νοῦν ἔχοντα εἴκειν, καὶ τὴν ἐκ τούτου βλάβην ἐκφεύγειν· ἢ οὐχ ὁρᾶτε, ὅπως ὁ σφοδρὸς ἄνεμος τὰ ὑπερμεγέθη τῶν δένδρων ἐκριζοῖ καὶ συνθραύει· τὰ δὲ ἀδρανῆ τῶν φυτῶν τούτῳ συμπεριφερόμενα οὐ καταβάλλει; Ταῦτα ἀκούσαντες οἱ κόρακες ὑπόπτευόν με, καί τινα τρόπον εὐνοεῖν ὑμῖν, καὶ διὰ τοῦτο ταῦτα διαλέγεσθαι· καὶ θυμοῦ πλησθέντες τοιαύτῃ με καταδίκῃ ὑπέβαλον, τὸ πολεμεῖν τοῦ εἰρήνην ἄγειν προαιρούμενοι.»

Τούτων ἀκούσας τῶν λόγων ὁ Βασιλεὺς, ἔφη πρός τινα τῶν αὐτοῦ συμβούλων· «Τί ὑμῖν δοκεῖ περὶ τούτου;» «Ὡς τάχιον ἀναιρηθήτω, φησί· τρόπαιον γὰρ ἡμῖν γενήσεται μέγιστον ἡ τούτου ἀναίρεσις. Ἀπαλλαγησόμεθα γὰρ αὐτοῦ τῶν σκευωριῶν καὶ μηχανῶν, ἃς ὑπὲρ τῶν κοράκων συῤῥάπτειν οὐ παύεται· ὁ γὰρ περί τι τῶν αὐτῷ πρακτέων ἀμελῶν τῶν λόγου ἀξίων, ἐν χερσὶν ἤδη τοῦτο ἔχων, καὶ

ἀπολέσας, οὐ ῥᾳδίως ἄλλοτε τεύξεται τούτου. Καὶ ὁ τὸν ἐχθρὸν ἐν ἀσθενείᾳ εὑρίσκων, καὶ μὴ ἀναιρῶν αὐτόν, ἐσνέωτα μεταμεληθήσεται, μὴ δυνάμενος τότε τοῦτο ποιῆσαι.»

Ἕτερος δέ τις τῶν τοῦ Βασιλέως πρωτοσυμβούλων ἔφη· «Οὐ δεῖ τοῦτον ἀναιρεθῆναι· γέγραπται γάρ, ὡς κάλαμον συντετριμμένον οὐ κατεάξεις, καὶ λύχνον τυφόμενον οὐ σβέσεις· μᾶλλον δὲ καὶ οἰκτείρειν δικαιότατον, ὅτι τοιάδε ὑπέστη συμφοράς, καὶ τοιαῦτα ῥαπίσματα. Δεῖ οὖν τὸν τοιοῦτον περιέπειν· τὸ γὰρ διαφέρεσθαι τοὺς ἐχθροὺς πρὸς ἀλλήλους μέγιστον εὐτύχημα, ἴσως γὰρ ὠφεληθείημεν ἐξ αὐτοῦ, ὡς ὁ ἔμπορος παρὰ τοῦ κλέπτου. Λέγεται γάρ, ὡς ἔμπορός τις γηραιός, πολύολβος ὤν, καὶ γυναῖκα ἔχων νέαν, ἐπόθει αὐτὴν λίαν· ἡ δὲ αὐτὸν ἀπεστρέφετο. Μιᾷ δὲ τῶν νυκτῶν, κοιμωμένων αὐτῶν, εἰσῆλθε κλέπτης, τοῦ συλῆσαι τὴν οἰκίαν· ἡ δὲ γυνὴ τοῦτον ἰδοῦσα καὶ φοβηθεῖσα, περιεπλάκη τῷ ἀνδρὶ αὐτῆς, καὶ ἐνηγκαλίσατο τὸ στῆθος αὐτοῦ. Ἔξυπνος δὲ γενόμενος ὁ ἀνὴρ αὐτῆς, «Πόθεν μοι, ἔφη, τοῦτο; καὶ τίς οὗτος ὁ πόθος;» Καὶ ἀναβλέψας εἶδε τὸν κλέπτην, καὶ ἔγνω, ὅτι δι' αὐτόν ἐστιν ἡ ἀγάπη αὕτη τῆς γυναικὸς αὐτοῦ. Καὶ εἶπε πρὸς τὸν κλέπτην· «Λάβε ἐκ τοῦ οἴκου μου, ὅσα βούλει, ἀκώλυτος, διὰ τὸ πεποιηκέναι μοι τοῦτο τὸ ἀγαθόν· διά σε γὰρ περιεπλάκη μοι ταύτῃ τῇ νυκτὶ ἡ περιπόθητός μου γυνὴ πολλὰ πρότερον μισοῦσά με.» Οὕτως καὶ ἡμεῖς ἴσως ἐξ αὐτοῦ ὠφεληθῶμεν.»

Ἄλλος δέ τις πρωτοσύμβουλος τοῦ Βασιλέως εἶπε· «Καλῶς ἔφη οὗτος, ὦ Βασιλεῦ· ὁ γὰρ νοῦν ἔχων εὑρὼν τὸν τοῦ ἐχθροῦ αὐτοῦ φίλον, τυφθέντα καὶ μαστιχθέντα παρ' αὐτοῦ, εὐεργετεῖ τὸ κατὰ δύναμιν, ἵνα ἐξ αὐτοῦ ὠφεληθῇ. Ὠφεληθήσεται δὲ (καθὼς) ὁ ἐκ τοῦ θανάτου, καὶ τοῦ δαίμονος (διὰ κλέπτου) ῥυσθεὶς ἄνθρωπος. Λέγεται γάρ, ὡς ἀσκητής τις εἶχε δάμαλιν καλλίστην· ἰδὼν δὲ αὐτὴν ἔν τινι τόπῳ ὁ κλέπτων,

ἠβουλήθη μετὰ πανουργίας κλέπτειν αὐτήν. Ὁδοιποροῦντι δὲ αὐτῷ ἐφάνη ὁ διάβολος ἐν μορφῇ ἀνθρώπου, καί φησι πρὸς αὐτὸν ὁ κλέπτης· «Πόθεν ἔρχῃ; καὶ ποῖ πορεύῃ; καὶ τὶ βούλει ποιῆσαι;» Ὁ δὲ «Βούλομαί, φησι, τὸν ἀσκητὴν τοῦτον ἀποπνίξαι.» Καὶ ὁ κλέπτης πρὸς τὸν διάβολον· «Κἀγὼ βούλομαι τὴν δάμαλιν αὐτοῦ κλέψαι.» Ἀμφότεροι δὲ ἐπορεύθησαν εἰς τὸν οἶκον τοῦ μοναχοῦ. Ὁ δὲ μοναχὸς, λαβὼν τὴν δάμαλιν εἰς τὸ οἰκίδιον αὐτοῦ, ἀπῆλθε τοῦ δειπνῆσαι. Ὁ δὲ κλέπτης εἶπεν ἐν ἑαυτῷ· ἐὰν εἰσέλθῃ ὁ διάβολος πνίξαι τὸν ἀσκητὴν, φωνήσει ἴσως, καὶ συναχθέντος τοῦ λαοῦ ἀποτύχω τοῦ σκοποῦ. Καὶ εὐθέως ἔφη τῷ διαβόλῳ· «Ἡσύχασον, ἕως ἂν ἔλθω πρῶτος ἐγὼ, καὶ λήψομαι τὴν δάμαλιν, καὶ ἔσται ἡμῖν κοινή.» Φοβηθεὶς δὲ ὁ διάβολος, μήπως ἐν τῷ εἰσελθεῖν τὸν κλέπτην τοῦ λαβεῖν τὴν δάμαλιν νοηθῇ παρὰ τῶν ἀνθρώπων, καὶ ἀστοχήσωσιν ὁμοῦ, εἶπε τῷ κλέπτῃ· «Ἀνέχου, ἕως ἂν ὑπνώσωσι πάντες, καὶ εὐθέως ὁμοῦ τύχωμεν τοῦ πεθουμένου.» Ὁ δὲ κλέπτης εἶπεν· «Οὐ τοῦτο.» Καὶ ἤρξαντο μάχεσθαι πρὸς ἀλλήλους, ἕως οὗ ἐφώνησεν ὁ κλέπτης τὸν μοναχὸν, καὶ εἶπεν· «Μοναχὲ, οὗτος ὁ διάβολος βούλεταί σε πνίξαι.» Καὶ αὖθις ὁ διάβολός φησι τῷ μοναχῷ· «Οὗτός ἐστι κλέπτης, καὶ βούλεται κλέψαι σου τὴν δάμαλιν.» Ὁ δὲ ἀσκητὴς ἔξυπνος γενόμενος ἐδίωξεν αὐτοὺς, καὶ ἐρρύσθη ἐκ θανάτου. Ταῦτα ὑμῖν εἶπον, ἵνα γνῶτε, ὅτι δεῖ τὸν ἐχέφρονα τιμῆσαι καὶ εὐεργετῆσαι τὸν φίλον τοῦ ἐχθροῦ αὐτοῦ, καὶ ἴσως ὠφεληθήσεται, ὥσπερ καὶ οὗτος ὁ ἀσκητής.

Ὁ δὲ τὴν ἀναίρεσιν αὐτοῦ συμβουλεύσας εἶπεν· «Ἀναιρεθήτω τάχιον, ὦ Βασιλεῦ, καὶ μὴ πιστεύσῃς τοῖς λόγοις αὐτοῦ τοῖς ψευδέσι καὶ ματαίοις. Ὁ γὰρ εὐφρονῶν οὐ πιστεύει τὸ ψεῦδος· ὁ δὲ ἄνους, ὁ προσέχων τοῖς ψευδέσι καὶ ματαίοις (λόγοις,) ὅμοιός ἐστι τέκτονί τινι, ἀπιστήσαντι τοῖς, ἃ εἶδε, καὶ ἃ ἤκουσε. Λέγεται γὰρ, ὡς τέκτων τις γυναῖκα

εἶχε πάνυ ὡραίαν καὶ περικαλλῆ· ἡ δὲ γυνὴ ἐφίλει. τὸν γείτονα αὐτῆς. Νοήσαντες δὲ τοῦτο οἱ τοῦ τέκτονος συγγενεῖς, ἀπήγγειλαν αὐτῷ. Ὁ δὲ εἶπεν· «Ἐὰν μὴ αὐτὸς ἴδω τοῖς ὀφθαλμοῖς μου, οὐ πιστεύω τοῦτο.» Καὶ θέλων δοκιμάσαι τὴν ἰδίαν γυναῖκα, εἶπεν αὐτῇ· «Βούλομαι ἀπελθεῖν εἰς τόν δέ τινα τόπον, ὅπως οἰκοδομήσω οἶκον τῷ Βασιλεῖ· ἑτοίμασον οὖν μοι τὰς πρὸς τὴν χρείαν δαπάνας.» Ποιησάσης δὲ αὐτῆς τοῦτο συντόμως, «Κλεῖσον, φησὶν ὁ ἀνὴρ, τὴν θύραν, καὶ τήρησον τὸν οἶκόν σου, ἕως ἔλθω.» Ἀπελθὼν δὲ μικρὸν ἐπανουργεύσατο, καὶ στραφεὶς ἐκρύβη ὑποκάτω τῆς κλίνης αὐτοῦ. Ἡ δὲ γυνὴ ἀπέστειλε πρὸς τὸν φίλον αὐτῆς λέγουσα· «Ἐλθὲ τάχιον πρός με· ὁ γὰρ ἀνήρ μου ἀπεδήμησεν εἴς τινα τόπον μακρὰν, διά τινα ὑπηρεσίαν.» Ἐλθὼν δὲ ἐκεῖνος ἔμενε παρ' αὐτῇ. Ὁ δὲ τέκτων, ἀκούων καὶ βλέπων τὰ γενόμενα ὕπνωσεν, ἐν ᾧ ἦν τόπῳ, καὶ ἐξέτεινε τὸν πόδα αὐτοῦ ἔξω τῆς κλίνης. Ἐκείνου δὲ κοιμωμένου, στραφεῖσα ἡ γυνὴ, καὶ ἰδοῦσα τὸν πόδα τοῦ ἀνδρὸς αὐτῆς ἐκτεταμένον, ἔφη τῷ μοιχῷ· «Φωνήσας ἐρώτησόν με, λέγων τίνα μᾶλλον φιλεῖς, τὸν ἄνδρα σου, ἢ ἐμέ;» Ὁ δὲ ἔφη τοῦτο πρὸς αὐτήν. Κἀκείνη πάλιν πρὸς αὐτόν· «Τίς ἡ χρεία τοῦ ἐρωτήματος τούτου; Οὐκ οἶσθα, ὅτι κρίνω οὐδένα κρείττονα τοῦ ἐμοῦ ἀνδρός; ἢ τοῦ ποδὸς αὐτοῦ ὄντος ἐπὶ τῆς γῆς; Καὶ γὰρ αἱ γυναῖκες ἐὰν κτήσωνται φίλους, διὰ μικρὰν ἡδονὴν, καὶ διὰ χρήματα τοῦτο ποιοῦσιν· ὁ δὲ νόμιμος ἀνὴρ κρείττων ἐστὶ χιλίων φίλων· ὁ γὰρ κόπος αὐτῶν, καὶ ὁ μόχθος οὐδέν ἐστι. Καὶ εἴγε φιλῶ σε, τὸν τοῦ ποδὸς μέν τοι γε τοῦ ἐμοῦ ἀνδρὸς δάκτυλον ὅλης τῆς σῆς προτιμῶ κεφαλῆς.» Διυπνισθεὶς δὲ ὁ ἀνὴρ αὐτῆς, καὶ ἀκούσας ταῦτα πάντα, εἶπεν ἐν ἑαυτῷ· «Ἀληθῶς ἡ ἀγάπη τῆς ἐμῆς γυναικὸς πολλὴ καὶ σταθερά ἐστι πρός με.» Πρωΐας δὲ γενομένης ἀπῆλθεν ὁ φίλος αὐτῆς· ἡ δὲ ἀφύπνωσεν ἐν τῷ κειτῶνι

αὐτῆς. Ἀναστὰς δὲ ὁ ἀνὴρ αὐτῆς, καὶ λαβὼν ῥιπίδιον ἤρξατο ῥιπίζειν αὐτὴν, ὅτι καῦμα ἦν. Διυπνισθείσης δὲ αὐτῆς, καὶ ἰδούσης αὐτόν· «Ἀναπαύου, ἔφη φιλτάτη.» Διὰ γὰρ τὴν ἀφροσύνην αὐτοῦ, ἃ εἶδεν εἰς αὐτὴν αἰσχρὰ, καὶ ἃ ἤκουσεν, οὐκ ἐπίστευε. Ταῦτά σοι διῆλθον, ὦ Βασιλεῦ, ἵνα μὴ πιστεύσῃς τοῖς λόγοις τοῦ κόρακος, τοῦ λήρου καὶ ἀναιδοῦς, ἀλλὰ θάττον ἀναιρεθήτω.» Ὁ δὲ Βασιλεὺς τῶν γλαυκῶν ὑπ' ἀνοίας καὶ μωρίας οὐκ ἤκουσε τοῦ πρωτοσυμβούλου, ἀλλὰ προσέταξε διὰ τιμῆς ἄγειν τὸν κόρακα. Ὁ δὲ τὴν ἀναίρεσιν αὐτοῦ συμβουλεύων ἔφη· «Ἐπεὶ τοῦτον οὐ κατακτείνετε, ἔσω ἐν παραφυλακῇ, καὶ διαγέτω παρ' ἡμῖν, ὡς ἐχθρὸς παρατηρητέος· δεινὸς γὰρ ὁ κόραξ καὶ δόλιος, καὶ οἶμαι τοῦτον διὰ πανουργίαν καὶ ἀπάτην ἐνθάδε ἀφικέσθαι.»

Ἤρξατο οὖν ὁ κόραξ ταῖς γλαυξὶ προσομιλεῖν κατὰ μόνας, καὶ συνοικειοῦσθαι ταύταις, καὶ συμφιλιοῦσθαι. Καί φησί ποτε πρὸς αὐτάς· «Ἀκήκοα τῶν πάλαι λεγόντων, ὡς εἴ τις ἑαυτῷ πυρὶ ἀφειδῶς παρεμβάλῃ, τηνικαῦτα, ἃ ἐὰν αἰτήσεται τὸ θεῖον, δοθήσεται αὐτῷ. Βούλομαι οὖν κἀγὼ τοιοῦτόν τι διαπράξασθαι, καὶ ἀξιῶσαι τὸ θεῖον μετατρέψαι μου τὴν φύσιν εἰς γλαῦκα, ὡς ἂν τοῖς κόραξι πολεμήσω μεθ' ὑμῶν, καὶ ἀμύνωμαι τούτους, ὑπὲρ ὧν ἔδρασαν εἰς ἐμέ.» Παρὼν δὲ τηνικαῦτα ὁ τὴν ἀναίρεσιν αὐτοῦ συμβουλεύσας εἶπεν· «Ὅμοιοί εἰσιν οὗτοί σου οἱ λόγοι πόματι δηλητηρίου μεστῷ, οὗ τίς ἂν γεύσοιτο, εἰ καὶ δίψῃ συνέχοιτο; εἰ γὰρ καὶ πυρίκαυσόν σε ποιήσωμεν, οὐκ ἄν σου δυνηθείημεν τὴν γνώμην μεταβαλεῖν, ἢ ἀποβαλεῖν· ἀλλ' εἰς τὸ ἀρχαῖόν σου πλάσμα στραφείσῃ, ὡς ἡ μῦς, ἡ στραφεῖσα εἰς τὴν ἰδίαν φύσιν, καὶ συζευχθεῖσα τῷ μυΐ, τῷ ὁμογενεῖ αὐτῆς, τόν τε ἥλιον καὶ τὰ λοιπὰ κτίσματα βδελυξαμένη.»

Ὁ δὲ τῶν γλαυκῶν Βασιλεὺς τοῦτο ἀκούσας, «Ἄγε εἰπὲ ἡμῖν,

φησι, πῶς τοῦτο συνέβη;» Ὁ δὲ πρωτοσύμβουλος εἶπε· «Λέγεται, ὡς ἀσκητής τις, ἀρετῇ συζῶν, ἴσατο παρὰ τὸν ποταμὸν προσευξόμενος. Καὶ ἰδοὺ, νέβλα βαστάζουσα μῦν, ἐλθοῦσα ἔρριψεν αὐτὸν παρὰ τοὺς πόδας τοῦ ἀσκητοῦ ἡμιθανῆ. Ὁ δὲ λαβὼν τὴν μῦν, καὶ σπλαγχνισθεὶς, ἠτήσατο τὸ κρεῖττον μεταβαλεῖν αὐτὴν εἰς κοράσιον· καὶ εὐθέως ἐγένετο τὸ αἴτημα αὐτοῦ. Καὶ λαβὼν ταύτην ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ, καὶ ἔθρεψεν αὐτήν. Αὐξηθείσης δὲ ταύτης, καὶ ἡλικίας γενομένης ἐννόμου, ἐβουλήθη ταύτην ἀνδρὶ συζεύξειν, καί φησι πρὸς αὐτήν· «Βούλομαί σε ἀνδρὶ δοῦναι· εἰπὲ οὖν μοι, τίνι θέλεις συζευχθῆναι;» Ἡ δὲ «Ζεῦξαί μέ, φησιν, ἀνδρὶ, ὃν οἶσθα πάντων κτισμάτων δυνατώτερον.» Ὁ δὲ μοναχὸς ἔφη· «Τοῦ ἡλίου δυνατώτερον οὐδέν.» Κἀκείνη «Θέλω,» ἔφη. Καὶ ἀπελθὼν πρὸς τὸν ἥλιον ἠτήσατο τοῦ ζευχθῆναι μετ' αὐτῆς. Ὁ δὲ ἥλιος εἶπεν· «Ἀληθῶς δυνατός εἰμι, πλὴν τὸ νέφος σκεπάζει τὸ φῶς μου.» Ἐλθὼν δὲ εἰς τὸν νέφος, ἤκουσε καὶ παρ' ἐκείνου· «Ὅτι δυνατὸν μέν εἰμι, ἀλλ' οὖν ὁ ἄνεμος ἐμοῦ δυνατώτερός ἐστι· διώκει γὰρ καὶ σκορπίζει με.» Εἶτα πάλιν ἐλθὼν ὁ μοναχὸς πρὸς τὸν ἄνεμον, ἤκουσε καὶ παρ' ἐκείνου· «Ὅτι δυνατός εἰμι· πλὴν τὸ ὄρος δυνατώτερόν μου ἐστὶ, διότι οὐ δύναμαι αὐτὸ παρασαλεῦσαι.» Ἐλθὼν δὲ καὶ πρὸς τὸ ὄρος, ἤτει τὰ ὅμοια. Τὸ δὲ ἀποκριθὲν ἔφη· «Δυνατὸν μέν εἰμι, ὁ δὲ μῦς ἐστιν ἐμοῦ δυνατώτερος· κατατρυπᾷ με γὰρ ἔνθεν κἀκεῖθεν, καὶ τῆς βλάβης αὐτοῦ ἀποφυγεῖν οὐ δύναμαι.» Ἀπῆλθε δὲ πρὸς τὸν μῦν, τὰ παραπλήσια περὶ τοῦ γάμου τῆς κόρης λέγων. Ὁ δὲ μῦς ἔφησεν· «Ἐγώ εἰμι μικρὸς, αὕτη δὲ μεγάλη ἐστὶ τὴν ἡλικίαν, καὶ οὐ χωρεῖ εἰς τὴν ἐμὴν κατάδυσιν.» Στραφεὶς δὲ ὁ ἀσκητὴς πρὸς τὴν κόρην, ἀνήγγειλεν αὐτῇ πάντα, ὅσα ἤκουσε παρὰ τῶν κτισμάτων, καὶ τὰ λεχθέντα παρὰ τοῦ μυός. Ἡ δὲ εἶπεν αὐτῷ· «Λοιπὸν αἴτησε τὸν Θεὸν, ὅπως ἐπιστρέψῃ με εἰς τὸ παλαιὸν

καὶ ἀρχαῖόν μου σχῆμα.» Ὁ δὲ μοναχὸς ἠτήσατο τὸν Θεὸν, καὶ μετεστράφη εἰς τὴν ἀρχαίαν αὐτῆς φύσιν, καὶ συνέζευξεν αὐτὴν τῷ μυΐ. Ἀλλὰ ταῦτά σοι ἔφην, ὦ Βασιλεῦ, ἵνα γνῷς, ὅτι κἂν τῷ πυρὶ οὗτος κατακαυθήσεται, πάλιν εἰς τὴν ἰδίαν σραφήσεται γνώμην.»

Ὁ δὲ Βασιλεὺς οὐκ ἤκουσεν αὐτοῦ τοιαῦτα λέγοντος, ἀλλ' εἴασε τὸν κόρακα ἐκεῖσε ταῖς γλαυξὶ συνδιάγειν. Ὁ δὲ κόραξ ἔμενε κατανοούμενος τὰ τῶν γλαυκῶν ἅπαντα· καὶ κατανοήσας τὴν αὐτῶν φρόνησιν, καὶ δύναμιν, διέμενεν ἀμέριμνος μετ' αὐτῶν, καὶ παχυνθέντι ἀνεφύη τούτῳ πτερά. Καί ποτε καιροῦ δραζάμενος ἀπέδρασε, καὶ πρὸς τοὺς κόρακας παρεγένετο, καί φησι τῷ Βασιλεῖ· «Χαῖρε, ὦ Βασιλεῦ· ἰδού σοι τετέλεκα τὸ κατὰ σκοπόν. Λείπετε οὖν διαστῆναι ἡμᾶς, καὶ πέρας ἄϊδιον τῇ μάχῃ ἐπιθεῖναι· ἰδοὺ γὰρ ἅπασαι αἱ γλαῦκες τῷ δεῖνι ἄντρῳ ὑπεκρύβησαν. Ἀναλαβέτω οὖν ἕκαστος ἡμῶν ἐκ τῆσδε τῆς ὕλης, ὅσα δύναται τῶν ξυλίσκων, καὶ περιθήσομεν ταῦτα τῷ τοῦ ἄντρου στόματι, καὶ πῦρ ἐπανάψομεν, καὶ τοῖς πτέρυξι τοῦτο διαφυσήσομεν, ὡς ἀέριον τὴν φλόγα ἀπεργάζεσθαι. Τούτῳ γὰρ τῷ τρόπῳ αἱ μὲν ἔνδοθεν τῷ καπνῷ συμπνιγήσονται· αἱ δὲ ἔξω ἐρχόμεναι καταφλεγήσονται κακαὶ κακῶς.» Ὃ δὴ καὶ ποιήσαντες οἱ κόρακες, τέλεον τοὺς ἐχθροὺς αὐτῶν ἐξηφάνισαν· καὶ ἐπανέζευξεν ὁ τῶν κοράκων Βασιλεὺς τροποιοῦχος πρὸς τὴν ἰδίαν κατοίκησιν.

Καὶ ἔφη πρὸς τὸν κόρακα· «Πῶς ἠνέσχου τῆς τῶν γλαυκῶν ὁμιλίας καὶ πονηρίας; (Ὁ δὲ προτοσύμβουλος ἔφη·) «Ὁ νουνεχὴς ἀνὴρ, δεινοῖς περιπεσὼν, ὑπείκει τοῖς εὐτελέσιν, ἄχρις οὗ τὸ κατ' ἔφεσιν λήψηται.» Καὶ ὁ Βασιλεὺς πάλιν «ἔφη· «Ἀνάγγειλόν μοι τὰ τῶν γλαυκῶν φρονήματα, οἷά εἰσιν.» Ὁ δὲ κόραξ εἶπεν· «Οὐκ εἶδον ἐν αὐταῖς συνετωτέραν τῆς τὴν ἐμὴν συμβουλευσάσης ἀναίρεσιν· αἱ δὲ λοιπαὶ

πόρρω που τοῦ δέοντος ἐξετρέποντο. Δεῖ γὰρ τοὺς Βασιλεῖς τὰ οἰκεῖα τηρεῖν μυστήρια, καὶ μὴ ἐᾷν ἀλλότριόν τινα ταῖς οἰκείαις γραφαῖς πλησιάζειν, ἢ τῷ ὕδατι, ᾧ μέλλει ἀπονίπτεσθαι, ἢ τῇ στρωμνῇ, ἢ τοῖς ἱματίοις, ἢ τοῖς ὅπλοις, ἢ τῇ βρώσει καὶ πόσει, ἢ τῇ συζύγῳ, ἢ τοῖς μύροις. Ἀλλ' οὐ δυνατὸν ἦν, ὑπερηφάνους ὄντας τοὺς ἡμετέρους ἐχθροὺς, νικᾶν· σπανίως γάρ τις τρόπαιον συνιστᾷ τῶν ὑπερηφάνων. Ὁ σπανίως ἀδδηφάγος μέχρι τέλους ἄνοσος διατελεῖ, καὶ ὁ οὐ ῥᾳδίως τοῖς ἀσυνέτοις συμβούλοις χρώμενος ἐκφεύγει τὴν ἀπώλειαν. Ἔγωγε οὖν ὑπετάγην καὶ ἐταπεινώθην τοῖς ἐχθροῖς, ἵνα τύχω τοιούτου κατορθώματος, καθάπερ ὁ ὄφις τῷ βατράχῳ ἐκείνῳ ἐν τῷ λιμνηδίῳ ὑποπεσών.

Λέγεται γὰρ, ὡς ὄφις τις παραβεβηκὼς καὶ γεγηρακὼς, πρὸς τὴν θήραν ἠτόνησε, καὶ τῆς ἀναγκαίας ἠπορεῖτο τροφῆς, καὶ ἕρπων, λιμνήδιόν τι κατέλαβε, βατράχων μεστὸν, ἐξ οὗ τὴν ἀρχὴν ἤγρευε. Καὶ σκυθρωπὸν καὶ κατηφῆ ταύτης πλησίον ἐκτείναντι ἑαυτὸν, βάτραχός τις (ὁρῶν) «Τί ὄφι, φησὶν, ἀλύεις ἐνταῦθα καὶ κατηφιᾷς;» Ὁ δὲ, «Καὶ πῶς οὐ σκυθρωπάσω; ἔφη· ἀπὸ γὰρ ταύτης ἀεὶ τῆς λίμνης τὰς πρὸς τὸ ζῆν ἀναγκαίας ποριζόμενος τροφὰς, ἄνευ κόπου καὶ φροντίδος, τῶν ἀσκητῶν τινος νυνὶ ἐπαρασαμένου, αὐτῷ οὐκ ἔτι βοηθῆσαι δύναμαι. Ἀνθ' ὅτου βούλομαι πρὸς ὑμᾶς ἐλθεῖν, Βασιλεῖ τε ὑμετέρῳ ὑποζύγιος ἔσεσθαι.» Ταῦτα μαθὼν ὁ τῶν βατράχων Βασιλεὺς προσελάβετο τοῦτον, καὶ ἐπέβαινεν αὐτῷ· καὶ δύο βατράχους ἐδίδου αὐτῷ καθ' ἑκάστην ἡμέραν πρὸς διατροφήν. Οὕτω κἀγὼ διὰ τοιοῦτον καλὸν πρόσκαιρα ὑπέστην ἀλγεινά.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Ὁρῶ τὴν διὰ ὑπουλότητος καὶ μηχανῆς εὐόδωσιν καὶ νίκην κρείττονα τῆς δι' ἔριδος καὶ πολέμου. Τὸ γὰρ πῦρ, θερμότατον καὶ ὀξύτατον ὄν, μόνα τὰ ὑπὲρ γῆν ἀπόλλυσι· τὸ δὲ ὕδωρ, ψυχρὸν ὂν καὶ γαληνὸν,

καὶ κώτωθεν αὐτῆς διεισδύνει καὶ ἐκριζοῖ τὰ ἐν αὐτῇ Εἴρηται γὰρ, ὡς οὐ δεῖ καταφρονεῖν τινος τουτωνὶ τῶν τεσσάρων· πυρὸς, ἐχθροῦ, νόσου, καὶ χρέους. Τὰ τοιαῦτα φοβοῦ.» Ὁ δὲ κόραξ εἶπεν· «Ὅσα κατόρθωται, ὦ Βασιλεῦ, διὰ τῆς σῆς εὐτυχίας κατώρθωται. Δύο γάρ τινες ἐπιτυγχάνουσι. τῶν τροπαίων· ὁ κρείττων κατὰ τὴν συνείδησιν τῶν ἄλλων, καὶ ὁ νουνεχέστερος. Εἰ δὲ καὶ κατὰ τοῦτο παρόμοιοί εἰσιν, ὁ κρειττόνων εὐπορῶν ὑπηκόων· εἰ δὲ καὶ κατὰ τοῦτο ἰσάζουσιν, ὁ εὐτυχέστερος.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Εὑρόν σε τοῖς ἔργοις αὐτοῖς τὴν εὔνοιαν ἐπιδεικνύμενον· τοὺς δὲ λοιποὺς λόγους μόνον ἀνοήτους. Διά σου μεγίστη χάρις ἡμῖν νῦν ἐπεγένετο, καὶ ἡ διὰ τοῦ δείπνου, ἡ τῆς τρυφῆς ἡδονὴ, μεγίστη προσεπορίσθη ἡμῖν. Λέγεται γὰρ, ὡς ἄνεσιν μεγίστην εὑρίσκει ὁ ἐκ πυρετοῦ ἀνακαλούμενος, καὶ ὁ βαρὺ φορτίον ἀποτιθεὶς, καὶ ὁ τῆς ἐξ ἐχθροῦ βλάβης ἀπαλλαγείς.»

Καὶ αὖθις εἶπεν ὁ Βασιλεύς· «Πῶς ἐθεάσω τὴν τῶν γλαυκῶν Βασιλέως διαγωγήν;» Καὶ ὁ κόραξ· «Μοχθηρὰν, πονηρὰν, ἀνώμαλον, καὶ ἄτακτον· καὶ τὰς ὑπ' αὐτὸν ὁμοίας αὐτῷ, ἐκτὸς μόνον, τοῦ τὴν ἐμὴν ἀναίρεσιν συμβουλεύσαντος πρωτοσυμβούλου. Οὗτος γὰρ πάντων ὤφθη μοι συνετώτατος.» Καὶ ὁ Βασιλεύς· «Καὶ τί σοι, φησὶν, ἐφάνη ἐκ τῆς συνέσεως αὐτοῦ, καὶ οὕτω μεγάλως ἐπαινεῖς αὐτόν;» Ὁ δὲ κόραξ εἶπεν· «Ἦν, ὦ Βασιλεῦ, ὀξὺς εἰς τὸ νοῆσαι, ταχὺς εἰπεῖν, πεπαιδευμένος ἐς τὰ μέγιστα, καὶ πάσης ἀρετῆς πλέος, κἂν ἐμοίγε ἀγνωμονέστατος.» Οὕτως ἄρα οἱ μὴ παρατηροῦντες τὸν ἐχθρὸν, τὴν εὔνοιαν ὑποκρινόμενον, τὰ τῶν ἀφρόνων γλαυκῶν πείσονται.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ εἶπεν· «Ἔγνωκα τὸ ῥηθέν σοι παράδειγμα. Λοιπὸν ἀνάγγειλόν μοι, πῶς πολλάκις ἐπιτυχών τις τοῦ ἐφετοῦ, οὐ καλῶς δὲ τὸ ἐπικτηθὲν τηρεῖν δυνάμενος, ἀπολλύει τοῦτο;»

Ὁ δὲ φιλόσοφος ὑπολαβὼν εἶπε· «Λέγεται, ὡς οἱ πίθηκοι τὸν σφῶν Βασιλέα, παρηβηκότα ἤδη, καὶ ὑπέργηρον γεγονότα, τῆς ἀρχῆς τοῦτον διὰ τὸ γῆρας ἐγύμνωσαν. Παντελεῖ δὲ οὗτος συσχεθεὶς ἀπορίᾳ, ἐπί τινα παράλιον συκῆν, ἐπὶ θάλασσαν ἐξέχουσαν, παρεγένετο· καὶ κατώκησεν ἐν αὐτῇ, καὶ ἤσθιε τὸν ταύτης καρπόν. Ἐσθίοντος οὖν ποτε τοῦ πιθήκου τὰ σῦκα, πέπτωκεν ἓν ἐξ αὐτῶν, ὃ ἄγριος χελώνη λαβοῦσα κατέφαγεν. Ἐφ' ᾧ γελάσας ὁ πίθηκος, οὐ διέλιπε τὴν χελώνην συκίζων. Ἡ δὲ χελώνη, ἡδίστην εὑροῦσα τροφὴν, τῆς ἰδίας ἐπελάθετο οἰκίας. Καὶ διὰ τοῦτο ἡ σύζυγος αὐτῆς, ἀθυμοῦσα τὰ μέγιστα, πόρον ἐζήτει, πῶς τὸν πίθηκον ἀμυνεῖται, καὶ τὸν σύζυγον λήψεται. Μιᾷ γοῦν τῶν ἡμερῶν οἴκαδε ἐπανιοῦσα, καὶ περίλυπον τὴν σύζυγον εὑροῦσα, εἶπε πρὸς αὐτήν· «Τί, ὅτι σκυθρωπὴν ὁρῶ σε καὶ νοσεράν;» Ἡ δὲ, «Νόσῳ, φησὶ, δεινῇ περιπέπτωκα ἡ ταλαίπωρος, καὶ οὐκ ἐστιν ἴασιν εὑρεῖν με, ἐὰν μὴ καρδίας ἐπιτύχω πιθήκου, καθάπερ ὁ ἰατρός μοι παρήγγειλεν.» Ὁ δὲ σύνευνος αὐτῆς ἀπορήσας καθ' ἑαυτὸν διελογίζετο τὴν τοῦ ζητουμένου δυσχέρειαν, καὶ ὡς οὐχ ἑτέραν εὑρήσει καρδίαν, εἰ μή γε τὴν τοῦ ἑταίρου αὐτοῦ· ὃ καὶ φιλίας παράβασιν εἶναι διανοούμενος, παντοῖος ἐγένετο τοῖς λογισμοῖς.

Καὶ ἀπελθὼν πρὸς τὸν πίθηκον προσεφώνησεν αὐτόν. Ὁ δὲ πίθηκος περὶ τῆς βραδυτῆτος τὴν χελώνην ἠρώτα.

Ἡ δὲ, «Οὐ δι' ἄλλο τί, φησιν, ὑστέρησα, εἰ μὴ διὰ τὴν πρὸς σέ μου αἰδῶ, μὴ ἀξίαν τὴν ἀντέκτησιν τῆς εὐποιΐας δυναμένη ἐργάσασθαι.» Ὁ δὲ πίθηκος ἔφη· «Μὴ ὑπολάμβανε τοιαῦτα· οὐ γὰρ ἔγωγε τοιοῦτος, οἷος ἀμοιβὰς παρὰ φίλων ζητεῖν. Μᾶλλον γὰρ σύ μοι εὐεργέτης ἐχρημάτισας, τοιαύταις με περιεστοιχισμένον συμφοραῖς, καὶ τῆς ἀρχῆς ἔκπτωτον.» Ἡ δὲ χελώνη εἶπεν· «Βούλομαι εἰσέτι παγιωθῆναι τὴν μεταξὺ ὑμῶν φιλίαν. Συνίσταται δὲ αὕτη καὶ παγιοῦται διὰ τριῶν· διὰ τῆς εἰς τὴν τοῦ φίλου οἰκίαν ἐλεύσεως, καὶ τῆς τῶν συγγενῶν θέας καὶ ἐπισκέψεως, καὶ τῆς τῶν ὅλων κοινωνίας.» Ὑπολαβὼν δὲ ὁ πίθηκος ἔφη· «Οὐ ταῦτα συνιστῶσιν, ὦ αὕτη, τὴν ἀκραιφνῆ φιλίαν, ἀλλ' ἡ εἰλικρινεστάτη διάθεσις. Τὸ γὰρ ὁρᾶν συγγενεῖς, τοῦτο καὶ τοῦ σκηνίτου· τὸ δὲ ὁμοδίαιτόν ἐστι καὶ πολλοῖς τῶν ἀλόγων ζώων, καὶ ἡμιόνων καὶ ἄλλων τινῶν· ἡ δὲ εἰς τὴν οἰκίαν εἰσέλευσίς ἐστι καὶ τῶν λῃστευομένων.» Ἡ δὲ χελώνη ὑπολαβοῦσα εἶπεν· «Ἀληθῶς ἔφης· δεῖ γὰρ τὸν φίλον μόνην φιλίαν παρὰ τῶν φίλων ἀπαιτεῖν. Ὁ δὲ δι' ἄλλο τι τῶν βιωτικῶν πραγμάτων τὴν φιλίαν συνιστῶν, ἐπ' ἀδρανεῖ θεμελίῳ ταύτην ἐπῳκοδόμησεν. Οὐ γὰρ δεῖ παρὰ τῶν φίλων τὰ περιττὰ ζητεῖν· ὁ γὰρ μόσχος, ὅτε πλέον τοῦ δέοντος τὴν μητέρα θηλάσῃ, παροργίζει αὐτὴν, ὥστε διώκεσθαι ὑπ' αὐτῆς. Ἐγὼ δέ σε βούλομαι ἐλθεῖν εἰς τὴν οἰκίαν μου· οἰκῶ γὰρ ἐν νήσῳ τινὶ ποιηφόρῳ καὶ χλοηφόρῳ καὶ μυρίων πλήθουσῃ τῶν καρπῶν· ἐγὼ δέ σε ἐπὶ τῶν ὤμων φέρουσα ἐκεῖσε ἀπαγάγω.» Πεισθεὶς οὖν ὁ πίθηκος ἐπέβη τῆς χελώνης, καὶ ἐφέρετο παρ' αὐτῆς ἐν τῷ πελάγει.

Ἡ δὲ χελώνη τῷ κλύδωνι μέσῳ περιπεσοῦσα, διελογίζετο, ὅπως ποντίσῃ τὸν πίθηκον. Ἰδὼν δὲ ὁ πίθηκος τὴν τῆς χελώνης βραδυτῆτα, ὑπόπτευε τἀναντία καθ' ἑαυτοῦ, καὶ ἐλογίζετο λέγων· «Μήποτε κατ' ἐμοῦ τι τῶν ἀποτρο-

παίων ἡ χελώνη διαλογίζεται; οἶδα γὰρ, ὡς οὐδὲν καρδίας εὐμεταβλητότερον καὶ εὐαλλοιότερον. Δεῖ γὰρ τὸν νουνεχῆ μὴ ἀμελεῖν ποτε τοῦ ἐξετάζειν τὰς τῶν ἀναγκαίων καὶ φίλων καρδίας, καὶ τεκμαίρεσθαι διά τε τῶν λόγων αὐτῶν, καὶ τῶν πέριξ λοιπῶν. Εἶτα πρὸς τὴν χελώνην ἔφη· «Ὁρῶ σε σύννουν καὶ μελετῶσάν τινα, καὶ διὰ τοῦτο δέδοικα· τί οὖν ἐστιν, ὦ χελώνη, τοιαύτης μερίμνης αἴτιον;» Καὶ ἡ χελώνη, «Φροντίς μοι ἐστὶν, ἔφη, οὐχ' ἡ τυχοῦσα, μήποτε καταλαβὼν τὴν οἰκίαν μου οὐκ ἐντύχῃς ἅπασιν, ὡς βούλομαι, κλινοπετοῦς καὶ περιαλγοῦς οὔσης μου τῆς συνεύνου.» Καί φησιν ὁ πίθηκος· «Μὴ περὶ τοῦτο μερίμνα· λυσιτελήσει γὰρ εἰς οὐδὲν ἡ μέριμνα, ἀλλὰ φρόντισον ἑαυτῇ ἀκεσωδύνων φαρμάκων.» Ἡ δὲ χελώνη εἶπε· «Φασὶν ἰατρῶν παῖδες τὴν τοῦ πιθήκου καρδίαν ταύτην ἰᾶσθαι τὴν νόσον.» Τοῦτο ἀκούσας ὁ πίθηκος καθ' ἑαυτὸν τὴν οἰκείαν ὠδύρετο ἀπώλειαν. Φεῦ λέγων τῆς ἐμῆς ἀβελτηρίας. Βαβαί! πῶς ἡ πλεονεκτική μου γνώμη, καί τοι γηραιὸν ὄντα, τοιούτοις με κακοῖς περιέπειρεν; Ὁ γὰρ τοῖς ὀλίγοις ἀρκούμενος, ἄνετον βιοῦται ζωήν· ὁ δὲ πλεονεκτικὴν ἔχων γνώμην ἐν μόχθοις ἀεὶ καὶ πόνοις τῶν ἡμερῶν τῶν αὐτοῦ διαπεραιοῦται τὸν δίαυλον. Εἶτα πρὸς τὴν χελώνην ἔφη· «Διά τί, ὦ φιλτάτη, οὐκ ἐδήλωσάς μοι τὸ τοιοῦτον, πρὶν οἶκόν με καταλιπεῖν, ὥστε μου τὴν καρδίαν ἀναλαβέσθαι σὺν ἐμοί; νενομισμένον γὰρ ἡμῖν ἐστιν, ὅταν πρὸς φιλίαν ἀπίωμεν, τὴν καρδίαν οἴκοι καταλιμπάνειν, διὰ τὸ μὴ ὑπολαβεῖν τι περὶ τοῦ φίλου ἐναντίον.» Ταῦτα ἀκούσασα ἡ χελώνη ὀπισθόπους χαίρουσα ἔπλεε, καὶ τὸν πίθηκον τῷ αἰγιαλῷ προσώρμισεν.

Ἐπιβὰς δὲ τῇ χέρσῳ ὁ πίθηκος, ἐπὶ τὴν συκῆν δρομαῖος ἀνῆλθεν. Ἡ δὲ χελώνη κάτωθεν ἐβόα· «Κάτελθε, ὦ φίλος, διὰ τάχους, καὶ ἔνεγκε σύν σοι καὶ τὴν καρδίαν σου, ἵνα οἴκαδε ἀπελευσώμεθα.» Ὁ δὲ πίθηκος ἔφη· «Εἰ τοῦτο ποιήσω,

καὶ πλανηθῶ ἐκ δευτέρου, ὅμοιος ἔσομαι τῷ παρὰ τῆς ἀλώπεκος πλανηθέντι ὄνῳ. Λέγεται γὰρ, ὡς ᾤκει ποτὲ λέων ἔν τινι τόπῳ· ἦν δὲ μετ' αὐτοῦ καὶ ἀλώπηξ τρεφομένη ἐκ τῶν αὐτοῦ περισσευμάτων. Ψωριάσας οὖν ὁ λέων ἠδυνάτησε, καὶ τὰ πρὸς θήραν ἠτόνησε. Ἡ δὲ ἀλώπηξ ἔφη αὐτῷ· «Τί ὅτι ὁρῶ σε ἐν ἀδυναμίᾳ καὶ ταλαιπωρίᾳ πολλῇ;» Ὁ δὲ λέων ἔφη· «Ἀπὸ τῆς κατεχούσης με ταύτης ἀσθενείας, ἣν ὁρᾷς ἄλλως ἰαθῆναί με ἀδύνατον, εἰ μὴ δι' ὀνείου καρδίας καὶ ὤτων τῶν αὐτοῦ.» Ἡ δὲ ἀλώπηξ ἔφη· «Εὔκολόν μοι ἐστὶ τοῦτο ποιῆσαι· καὶ γὰρ πλησίον ἡμῶν ἐστι πηγὴ, ἐν ᾗ κναφεὺς σὺν τῷ ὄνῳ αὐτοῦ συχνῶς ἐπιφοιτᾷ. Ἀπελθοῦσα κομίσω σοι τοῦτον.» Ὁ δὲ λέων, «Εἰ τοῦτό, φησι, ποιήσεις, χαριεῖ μοι τὰ μέγιστα.» Πορευθεῖσα οὖν ἡ ἀλώπηξ πρὸς τὸν ὄνον ἔφη· «Ὁρῶ σε στεγνὸν καὶ ἠπορημένον.» Καὶ ὁ ὄνος· «Τῆς τοῦ δεσπότου μου κακίας αἴτιον τοῦτό φησι· δυσβαστάκτοις γάρ με πίεζει φορτίοις, καὶ ὀλιγοτροφεῖ με, καὶ δεδεμένον με ὅλην κατέχει τὴν ἡμέραν.» Ἡ δὲ ἀλώπηξ, «Καὶ ὑπομένεις, ἔφη, σὺ ταῦτα πάντα;» Ὁ δὲ ὄνος εἶπεν· «Ὅπου ἂν ἀπέλθω, καὶ ἄλλος ἄνθρωπος λαμβάνει με, ὁμοίως βασανίσει.» Καὶ ἡ ἀλώπηξ, «Καὶ λοιπὸν ἐλθὲ μετ' ἐμοῦ· οἶδα γὰρ ἐγὼ τόπον χλοηφόρον καὶ ὑδατώδη, ἔστι δὲ καὶ ἄλλη ἐκεῖ ὄνος δεδεμένη, καὶ ἔσῃ ἄφοβος, ὡς ἐμοὶ δοκεῖ, μετ' αὐτῆς· ἐκεῖ γὰρ οὐδέποτε πλησιάζει ἄνθρωπος.» Ταῦτα ἀκούσας ὁ ὄνος ἠκολούθησεν αὐτῇ μέχρι τοῦ λέοντος. Ἐγγίσας οὖν αὐτὸς πρὸς τὸν λέοντα, ἐπεπήδησεν ὁ λέων κατ' αὐτοῦ· διὰ δὲ τὴν ἀσθένειαν ἀπέδρασεν αὐτὸν ὁ ὄνος. Ταῦτα ἰδοῦσα ἡ ἀλώπηξ, ἔφη πρὸς τὸν λέοντα· «Διὰ τί ἐποίησας οὕτως; Εἰ ἑκουσίως τοῦτο πεποίηκας, τί, ὅτι κόπους παρέχεις μοι; εἰ δ' ἀκουσίως, φεῦ ἐμοὶ, ζωῇ τε τῇ ἐμῇ.» Ὁ δὲ λέων, αἰδούμενος τὴν ἑαυτοῦ δηλῶσαι ἀσθένειαν, εἶπεν· «Ἀγαγέ μοι τοῦτον ἐκ δευτέρου, καὶ εἴπω σοι, διὰ ποίαν αἰτίαν

ἐγὼ κατέλιπον αὐτόν.» Ἡ δὲ ἀλώπηξ πάλιν στραφεῖσα πρὸς τὸν ὄνον, ἔφη αὐτῷ· «Διατὶ πέφευγας τὴν ὄνον; ἐκείνη γὰρ ἀπὸ τῆς χαρᾶς περιπλεχθῆναί σοι ἤθελε· σὺ δὲ ἀπέδρασας αὐτήν.» Ὁ δὲ ὄνος, μὴ εἰδώς ποτε λέοντα, ἐπίστευσε τῇ ἀλώπεκι, καὶ ὑπέστρεψε μετ' αὐτῆς πρὸς αὐτὸν, καὶ ἤγγισεν αὐτῷ. Ἐκπηδήσας δὲ ὁ λέων κατ' αὐτοῦ, ἀπέκτεινεν αὐτόν. Εἶτα λέγει πρὸς τὴν ἀλώπεκα· «Πρόσεχε τούτῳ, ἕως οὗ ἀπελθὼν πρὸς τὴν πηγὴν νίψομαι.» Ἐξελθόντος οὖν τοῦ λέοντος, ἡ ἀλώπηξ κατέφαγε τοῦ ὄνου τὴν καρδίαν, καὶ τὰ ὦτα. Στραφεὶς δὲ ἐκεῖνος ἐκ τῆς πηγῆς ἐζήτει ταῦτα παρὰ τῆς ἀλώπεκος. Ἡ δὲ, «Εἴ, φησιν, ὁ ὄνος καρδίαν, καὶ ὦτα τοῦ ἀκούειν εἶχεν, οὐκ ἂν ἐκ δευτέρου ἐστρέφετο πρός σε, ἰδὼν τὴν πρώτην ἀνάγκην, ὁπότε ἀπό σου ἀπέδρασε.

Ταῦτα διηγησάμην, ὦ χελώνη, ἵνα γνῷς, ὡς οὐκ εἰμὶ ἄφρων, καθάπερ ὁ ὄνος. Εἰ γὰρ τοῦτο ποιήσω, καρδίας ὄντως τέλεον οὐκ εὐπορήσω.»»

Οὕτω καὶ οἱ καιροῦ δραξάμενοι, καὶ μὴ κατὰ σκοπὸν πληροῦντες, ἀλλὰ τοῦτον παρατρέχοντες, τοῦ ἔργου πάντως ἀποτυγχάνουσιν.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Ἔγνων τὸ τοιοῦτον· περὶ τούτου μοι λοιπὸν ἀνάγγειλον· «Τίνι ὁμοιοῦται ὁ σπεύδων ἐπί τι ἔργον, βουλόμενος τοῦτο πρὸ τῆς ἐπιχειρήσεως καταμαθεῖν;»

Ὑπολαβὼν δὲ ὁ φιλόσοφος ἔφη· «Λέγεται, ὡς ἄνθρωπός τις ἅμα τῇ ἰδίᾳ γυναικὶ κατὰ μόνας συζῶν ποτε καιροῦ, πρὸς αὐτὴν ἔφη· «Εὔελπίς εἰμι, ὦ γύναι, ὡς ἄρρην ἡμῖν τεχθήσεται παῖς, καὶ προθύμως ἡμῖν δουλεύσει. Λοιπὸν

οὖν σκεψώμεθα, τί ὄνομα ἐπιθήσομεν αὐτῷ;» Ὑπολαβοῦσα δὲ ἡ τούτου γυνὴ ἔφη πρὸς αὐτόν· «Παῦσαι τοῦ λήρου, ὦ ἄνερ· ἠδὺς γὰρ εἶ, τὰ τοιαῦτα φθεγγόμενος, καὶ ἐκείνῳ ἔοικας τῷ ἀνδρὶ, τῷ τὸ μέλι καὶ βούτυρον ἐπὶ τὸν ἴδιον καταχέοντι πώγωνα.

Λέγεται γάρ, ὡς πένης τις μέλι τε καὶ βούτυρον ἔν τινι ἀγγείῳ, ἔνθα ἐκάθευδε, πλησίον εἶχε. Μιᾷ δὲ τῶν νυκτῶν ἐν ἑαυτῷ ταῦτα διελογίζετο· Μέλλω τὸ μέλι τοῦτο καὶ τὸ βούτυρον πωλῆσαι νομίσματος τοὐλάχιστον, καὶ ὠνήσασθαι αἶγας (δέκα), αἵτινες ἀποτέξωσιν ἑτέρας τοσαύτας, διὰ πέντε μηνῶν, καὶ διὰ πέντε ἐνιαυτῶν περιστήσονται εἰς τετρακοσίας, αἷς ὠνήσομαι βόας ἑκατόν, καὶ δι' αὐτῶν ἄρουραν σπερῶ. Καὶ ἐκ τῶν ἐπιγεννημάτων ὁμοῦ καὶ τῶν καρπῶν, δι' ἑτέρων πέντε ἐτῶν πλουτισθήσομαι, καὶ οἰκίαν ἐγερῶ τετράροφον καὶ χρυσοφόρον, καὶ δούλους παντοδαποὺς ἐξονήσομαι, καὶ γυναικὶ ζευχθήσομαι, ἥτις καὶ παῖδά μοι τέξεται, καὶ καλέσω τοῦτον Πάγκαλον· ἄρρην γὰρ ἔσται, καὶ παιδεύσω τοῦτον ὡς δεῖ. Καὶ εἴπερ ἀμελοῦντα θεάσομαι, ταύτῃ τῇ ῥάβδῳ αὐτὸν οὕτωσὶ τύψω. Καὶ λαβὼν τὴν παρακειμένην αὐτῷ ῥάβδον, καὶ τὸ ἀγγεῖον ταύτῃ διακρούσας, κατέαξεν ἐς μέσον· τὸ δὲ μέλι καὶ βούτυρον τῷ ἰδίῳ κατέχεε πώγωνι. Οὕτω καὶ σύ, ὡς ἐκεῖνος ὁ ἄνους καὶ ἄγνωστος ἀνὴρ, τὰ τοιαῦτα φθέγγῃ.»

Εἶτα ἔτεκε παῖδα ἡ τούτου γυνή. Μετὰ δέ τινας ἡμέρας εἶπε πρὸς τὸν ἄνδρα αὐτῆς· «Πρόσεχέ μοι ἐνταῦθα τῷ παιδὶ, ἄχρις οὗ διά τινα χρείαν ἀπελθοῦσα αὖθις ἐπανακάμψω.» Αὐτῆς δὲ ἀπελθούσης ἤδη, ἐκλήθη ὁ ταύτης ἀνὴρ παρὰ τοῦ ἄρχοντος τῆς κώμης. Ἔτυχε δὲ τηνικαῦτα αὐτὸν ἀποδημῆσαι, ὅθεν δὲ ἐπὶ τὸν παῖδα ἑρπύσαντα, ἡ νύμφη τοῦτον εἰσπηδήσασα κατέκρυψεν. Ὑποστρέψας δὲ ὁ ἀνὴρ, καὶ ταύτην ἰδὼν θύραθεν τῷ τοῦ ὄφεως ἡμαγμένην αἵματι, ἔδοξεν

αὐτῷ τὸν παῖδα ταύτην καθαιμάξαι, καὶ μὴ ἀνασχόμενος ἄχρι τῆς τοῦ παιδὸς θέας, κατὰ κεφαλῆς τὴν αὐτοῦ νύμφην τύψας ἀφειδῶς, κατέκτανεν. Εἰσελθὼν δὲ, καὶ σῶον τὸν παῖδα εὑρὼν, τὸν δὲ ὄφιν ἀνῃρημένον, σφόδρα μετάμελος γέγονε, καὶ ἔκλαυσε πικρῶς.

Οὕτως ἄρα καὶ οἱ σπεύδοντες περὶ τὰ πολλὰ τῶν πραγμάτων σφάλλονται.

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

Ὁ δὲ Βασιλεὺς εἶπεν· «Ἔγνωκα καὶ τὸ τοιοῦτον. Λοιπὸν ἀνάγγειλόν μοι πῶς ἔνεστι τὸν Βασιλέα τὴν οἰκείαν Βασιλείαν τηρεῖν; καὶ ἐν τίνι μᾶλλον, ἀνεξικάκῳ γνώμῃ, ἢ τῇ ἀγαθῇ συνειδήσει, ἢ τῇ μεταδόσει αὕτη τηρηθήσεται;»

Ὁ δὲ φιλόσοφος ὑποτυχὼν ἔφη· «Πάντων κρείττων ἡ φρόνησις καὶ ἡ ἀνοχή, καὶ πρὸς τούτοις ἡ τῶν ἀγαθῶν καὶ συνετῶν συμβούλων φρόνησις· εἶτα καὶ ἡ ἀρίστη καὶ φρονιμωτάτη γυνή. Ἐστὶ δὲ καὶ παράδειγμα τούτων τὸ εἴς τινα τῶν Ἰνδῶν Βασιλέα συμβάν. Λέγεται γὰρ ὡς ὁ Βασιλεὺς οὗτος ὀκτώ ποτε ὀνείρους ἐν τῷ καθεύδειν φοβεροὺς ἰδὼν, ἐθροήθη· καὶ διυπνισθεὶς προσεκαλέσατο πάντας τοὺς φιλοσοφοῦντας, καὶ διηγήσατο αὐτοῖς, ἃ κατ' ὄναρ ἐθεάσατο. Ἐκεῖνοι δὲ «Ἀξιοθαυμάστους, εἶπον, ὦ Βασιλεῦ, ἑώρακας ὀπτασίας, καὶ δεῖ ἡμᾶς ἐπὶ ἑπτὰ ἡμέρας τὰ τοιαῦτα σκοπῆσαι, εἴποτέ σε δυνηθείημεν τῆς τούτων ἐξελεῖν βλάβης.»

Ἐξελθόντες δὲ διελέχθησαν πρὸς ἀλλήλους λέγοντες· «Οὐ πολὺς παρῴχηκε χρόνος, ἐξ οὗ ὁ Βασιλεὺς μυρίους τῶν ἡμετέρων ἀνῄρηκε. Νῦν οὖν τὸ θεῖον, ἡμῶν προνοούμενον, ἐνέβαλε τοῦτον ταῖς ἡμετέραις χερσί, καὶ δεῖ ἡμᾶς τοῦτον ἐκμέσου ποιήσασθαι. Ταῦτα οὖν δεῖ ἡμᾶς ξυμφέρειν αὐτῷ

εἰπεῖν· «Ἵνα τὴν σὴν ὁμευνέτιν ἀναιρήσῃς, ὦ Βασιλεῦ, καὶ τὸν υἱὸν αὐτῆς· πρὸς τούτοις καὶ τὸν σὸν υἱόν, καὶ τὸν σὸν πρωτοσύμβουλον, καὶ τὸν πρωτονοτάριον. Ἔτι δὲ καὶ τὸν λευκὸν ἐλέφαντα, ἐφ' ὃν ἐπιβαίνεις, καὶ τοὺς ἑτέρους σου δύο μεγίστους ἐλέφαντας, καὶ τὸν ἵππον, καὶ τὴν κάμηλον· καὶ τὸ τούτων αἷμα ἐν φιάλῃ ἀποθήσῃς, ᾧ σε ἀποπλυνοῦμεν, καὶ ἐπάσομεν ἀκεσωδύνους ᾠδάς, καί σε ῥυσόμεθα τῶν μελλόντων σοι συμφέρειν ἀνιαρῶν.» Ταῦτα δὲ σκεψάμενοι προσῆλθον, καὶ εἶπον τῷ Βασιλεῖ· «Ἠρευνήσαμεν τὰς γραφάς, καὶ εὕρομεν τὰ τοιαῦτα, καὶ οὐκ ἔστι σοι σωτηρίας ἕτερος πόρος, εἰ μὴ διὰ τούτων.» Ὁ δὲ Βασιλεὺς ἔφη· «Βούλομαι ἐγὼ τούς δε σώους εἶναι, ἐμὲ δ' ἀπολέσθαι.» Οἱ δὲ φιλόσοφοι πρὸς αὐτὸν εἶτον· «Μηδέν τι τῆς σεαυτοῦ προελῃς ψυχῆς· πάντα γὰρ ταύτης ὑποδεέστερα.»

Τούτων ἀκούσας τῶν λόγων ὁ Βασιλεὺς, καὶ περίλυπος γενόμενος, πέπτωκε πρηνὴς ἐπὶ κλίνης, διαλογιζόμενος τὸ πρακτέον. Διεδόθη οὖν ἡ φήμη πανταχοῦ, περὶ τῆς τοῦ Βασιλέως ἀθυμίας. Τοῦτο δὲ μαθὼν ὁ προτοσύμβουλος αὐτοῦ, καὶ τὸν δόλον φωράσας, οὐκ ἔγνω δεῖν τῷ Βασιλεῖ περὶ τούτων αὐτοῖ διαλεχθῆναι, ἀλλὰ τῇ τούτου πρότερον γυναικί. Τῇ δὲ ἔφη· «Ὁρῶ τὸν Βασιλέα περίλυπον, καὶ δέδοικα, μήποτε οἱ ψευδεῖς οὗτοι φιλόσοφοι δόλον τινὰ κατ' αὐτοῦ συνεῤῥάψαντο, διὰ μνησικακίαν τέλεον τοῦτον ἐκ μέσου ποιῆσαι προθυμούμενοι. Σὺ δὲ τὴν αἰτίαν μαθοῦσα, δι' ἣν ἐπὶ τοσαύταις ἡμέραις ἀθυμεῖ ὁ Βασιλεὺς, ἐμοὶ ἀνάφερε.»

Ἐλθοῦσα δὲ ἡ Βασιλὶς πρὸς αὐτὸν, καὶ καθίσασα πρὸς τῇ αὐτοῦ κεφαλῇ, «Ἀνάγγειλόν μοι, ἔφη, ὦ Βασιλεῦ, τί σοι οἱ φιλόσοφοι συνεβουλεύσαντο οὗτοι;» Ὁ δὲ Βασιλεὺς εἶπεν αὐτῇ· «Μὴ προστίθει τῇ λύπῃ μου λύπην· οὐ γὰρ δεῖ σε τὰ τοιαῦτα ἐρωτᾶν.» Καὶ ἡ Βασιλὶς, «Οὐκ ἤλπιζον, φησί, ποτέ σε μυστήριον ἐμοίγε κρύψειν, ἐς τὰ μάλιστα εὐνοού-

σῃ σοι· εἰ γὰρ ἐμοὶ κρύψεις, σχολῇ' ἂν ἑτέροις πιστεύσεις.» Ὁ δὲ Βασιλεύς, «Τί με, ὦ γύναι, περὶ τῆς σῆς πυνθάνῃ ἀπωλείας, καὶ τῶν ἐμοὶ φιλτάτων;» Ἡ δὲ Βασιλὶς, «Ἐγὼ μέν, φησι, καὶ οἱ σὺν ἐμοὶ οὐ φευξόμεθα τὸ μὴ γενέσθαι τῆς σῆς ζωῆς ἀντάλλαγμα· τί γάρ σου ἡμῖν τιμιώτερον; Ἀλλὰ δέομαί σου, ὦ Βασιλεῦ, μετὰ τὴν ἐμὴν ἀναίρεσιν, μὴ πιστεύσῃς ἔτι τῶν φιλοσόφων τινὶ, μηδὲ ἕτερον τῷ θανάτῳ παραδώσῃς, πρὶν ἢ τοῖς ὑπό σε βούλευμα ἀνακοινῶσαι. Ἢ οὐκ οἶδας, ὡς ἐχθρωδῶς πρός σε οἱ φιλοσοφοῦντες διάκεινται, πλήθη ἱκανὰ τούτων ἔναγχος ἀνῃρηκότα; Μὴ οἷον τούτους τοῦ φόνου ἐπιλελῆσθαι. Ἔδει δέ σε μηδὲ τὴν ἀρχὴν τούτοις τὸν ὄνειρον διηγήσασθαι. Ἀλλ' εἰ ἐμοὶ πείθῃ, ἐρώτησον τὸν παρ' ἡμῖν ἀσκητὴν τὰ περὶ τοῦ ὀνείρου.»

Ἀκούσας δὲ τοῦτο ὁ Βασιλεὺς, μηδὲν κατοκνήσας, ἵππον ἐπιβὰς ἀπῆει πρὸς τὸν γέροντα, καὶ ἅπερ καθ' ὕπνους ἑωράκει, τούτῳ ἀνήγγειλεν. Ὁ δὲ ἀσκητὴς, «Μὴ φοβοῦ φησιν, ὦ Βασιλεῦ, ὀνείρων τούτων γε ἕνεκα· ἀνιαρὸν γάρ σοι συμβήσεται οὐδέν. Δηλοῦσι γὰρ οἱ δύο ἰχθύες, οὓς ἑώρακας, οἱ ἐπὶ τῶν ὀρέων βαδίζοντες, ὡς πρέσβεις σοι ἥξουσιν, ἔκ τινος τῶν μεγιστάνων, δύο ἐλέφαντάς σοι κομίζοντες θαύματος ἀξίους. Αἱ δὲ δύο νῆτται, ἅςπερ σὺ πετομένας ἑώρακας, σημαίνουσιν, ὡς Περσῶν ἥξουσι πρέσβεις, δύο ἵππους τῶν γενναίων ἐπιφερόμενοι. Ὁ δὲ ἕρπων ἐπί σοι ὄφις, δηλοῖ τὸ ἐνεχθῆναί σοι σπάθην τινὰ, οἵαν οὐδεὶς ἑώρακε πώποτε. Τὸ δὲ δι' αἵματος βαπτίζεσθαι, ἐμφαίνει τὸ περιφθῆναί σοι ἱμάτιον πορφυροῦν, λάμπον ἐν τῇ σκοτίᾳ. Τὸ δὲ ὕδατι, ἀποπλύνεσθαί σε, τὸ διαφόροις στολαῖς δεξιωθῆναι δηλοῖ. Τὸ δ' ἐπ' ὄρους σε λευκοῦ βεβηκέναι, τεκμήριον ἐναργὲς, τὸ ἐπὶ ἐλέφαντος λευκοῦ ἐποχηθῆναί σε. Τὸ δὲ ἐπὶ τῆς κεφαλῆς σου πῦρ, προϋπογράφει σοι τὸ δέξασθαί σε στέφανον πολυτελῆ παρά τινος τῶν μεγίστων Βασιλέων. Περὶ δὲ τοῦ, τὴν

κεφαλήν σου τύπτοντος ὀρνέου, οὐδὲν ἄρτι ἀποφαίνομαι· δηλοῖ δέ τινα μερικὴν λύπην καὶ ἀποστροφὴν ποθουμένου προσώπου. Καὶ ταῦτα πάντα γενήσεταί σοι ἐπὶ ἡμέρας ἑπτά.»

Ἀ δὴ κατὰ τὴν ἑβδόμην οἱ πρέσβεις ἦξασαν, ἐπιφερόμενοι πάντα, ὅσα εἶπεν ὁ ἀσκητής. Ὅπερ ἰδὼν ὁ Βασιλεὺς, καὶ ἔκθαμβος γεγονὼς, ἔφη· «Ὁ νοῦν ἔχων παρὰ μόνων τῶν φιλτάτων δέξεται λόγους.» Εἶτα ἰδὼν τὰ δῶρα ἔφη· «Οὐ δεῖ μέ τι ἐξ αὐτῶν σφετερίσασθαι, ἀλλὰ λάβετε ταῦτα ὑμεῖς, ἅμα τῇ εὐνουστάτῃ μοι γυναικί· τὰς γὰρ ὑμετέρας ψυχὰς ὑπὲρ ἐμοῦ προτεθήκατε.» Ὁ δὲ πρωτοσύμβουλος ὑπολαβὼν ἔφη· «Οὐ δεῖ τοὺς ὑπηκόους ἡμᾶς τοιαῦτα δῶρα λαμβάνειν· δικαιότεροι γὰρ ταῦτα παρά σου λαβεῖν οἱ τῷ γένει προσήκοντες.» Ὁ δὲ Βασιλεὺς ἔφη· «Σὺ τῆς ἐμῆς προταίτιος γέγονας σωτηρίας, καὶ μυρίων ἄξιος εἶ τῶν εὐεργετημάτων.» Εἶτα ἔλαβεν ὁ Βασιλεὺς ἑαυτῷ τὸν λευκὸν ἐλέφαντα, δεδωκὼς καὶ τῷ υἱῷ αὐτοῦ ἕνα τῶν ἵππων· τῷ δὲ πρωτοσυμβούλῳ τὴν πολύτιμον σπάθην· τῷ δὲ ἀσκητῇ πέπομφε τὰ λοιπὰ πολυτελῆ τῶν ἐνδυμάτων· τὰ δὲ ἐπίλοιπα τούτων προσέταξε τῷ πρωτοσυμβούλῳ, ᾧ ὄνομα Παλάριος. Ἦσαν δὲ οὗτοι τῷ Βασιλεῖ φίλτατοι.

Ἡ δὲ συμβουλεύσασα τῷ Βασιλεῖ περὶ τῶν ὀνείρων ἐπερωτῆσαι τὸν ἀσκητήν, ἐκαλεῖτο Παλὰς· ἦν δὲ αὐτῷ καὶ ἑταίρα φιλτάτη. Ὁ δὲ προτοσύμβουλος παρέθηκε ταύταις τὸν στέφανον καὶ τὴν πορφύραν. Καὶ ὁ Βασιλεὺς πρὸς τὴν Βασίλισσαν· «Ἐπίλεξαι τῶν δύο ὃ προαιρῇ, ἢ τὸ στέμμα, ἢ τὴν πορφύραν, ὡς ἂν καὶ ἡ γυνὴ ἡ ἑτέρα λάβῃ τῶν δώρων τὸ καταληφθέν.» Ἡ δὲ Βασιλὶς, ἀποροῦσα ὁποῖον προέλοιτο; εἶδε τὸν πρωτοσύμβουλον. Ὁ δὲ ἔνευσε ταύτῃ, προκρίναι τὸν ἱματισμόν. Ἔτυχε δὲ τηνικαῦτα τὸν Βασιλέα τὸν ὀφθαλμὸν ἆραι, καὶ ἰδεῖν τὸν πρωτοσύμβουλον νεύοντα τῇ γυναικὶ, πρὸς τὸ λαβεῖν τὸν ἱματισμόν. Ἡ δὲ γνοῦσα, ὡς οὐ

διέλαθε τὸ νεῦμα, ἔλαβε τὸν στέφανον. Ὁ δὲ πρωτοσύμβουλος Παλάριος ἔκτοτε τὸν ὀφθαλμὸν αὐτοῦ ἔκλεινεν ἐπὶ ἔτεσι τεσσαράκοντα, ἵνα νομίσῃ ὁ Βασιλεὺς πάθος εἶναι τὸ νεύειν ἐν τῷ τοῦ πρωτοσυμβούλου ὀφθαλμῷ, καὶ οὐ νεῦμα πρὸς τὴν Βασιλίδα ἅπαξ γεγονός· ἐκινδύνευσε γὰρ ἂν περὶ τὸ ζῆν, μὴ δράσας τοῦτο ὁ Παλάριος.

Συνέβη γοῦν ποτε οὐ μετὰ πολλὰς ἡμέρας τὴν τὸν στέλαβοῦσαν γυναῖκα, τούτῳ ταινιωθεῖσαν προσελθεῖν τῷ Βασιλεῖ, καὶ κομίσασθαι ἔδεσμα ἐν τῷ πίνακι· τὸ δὲ ἦν ὄρυζα. Ἰδοῦσα δὲ ταύτην ἡ παλλακὶς, τὴν πορφύραν καὶ αὐτὴ ἐνδυσαμένη εἰσῆλθε πρὸς τὸν Βασιλέα, καὶ ἔπλησε φωτὸς τὸν τόπον ἐκεῖνον. Ὡς οὖν εἶδε ταύτην ὁ Βασιλεὺς, καὶ τὸν τόπον λάμποντα, εἶπε πρὸς τὴν Βασίλισσαν· «Τί παθοῦσα τὴν μὲν πορφύραν τοιαύτην οὖσαν κατέλιπες, τὸν δὲ στέφανον προὔκρινας;» Πλησθεῖσα δὲ ἐκείνη θυμοῦ, τὸν πίνακα κατὰ τῆς κεφαλῆς τοῦ Βασιλέως, ὡς εἶχε τὸ ἔδεσμα, ἔρριψε, καὶ ἐπεχύθη τούτῳ ἡ ὄρυζα. Ἐφ' ᾧ πάνυ ὀργισθεὶς ἐκεῖνος, ταύτην καρατομῆσαι τῷ πρωτοσυμβούλῳ ἐπέταξεν, ἥκιστα αὐτῆς φεισαμένῳ. Παραβιβάζων δὲ ταύτην αὐτὸς, διελογίζετο καθ' ἑαυτὸν ἐξελθών, μήποτε ἄρα μετάμελος εἰσέλθῃ τῷ Βασιλεῖ ἐπὶ τῇ ταύτης ἀναιρέσει. Ἀνθ' ὅτου ταύτην γυναιξί τισι παραδοὺς, διὰ πάσης τιμῆς ἄγεσθαι ἐκέλευσεν.

Ὁ δὲ Βασιλεὺς σφόδρα μεταμεληθεὶς, καὶ ἀναμνησθεὶς τῆς εὐνοϊκῆς διαθέσεως, ἠθύμει τὰ μέγιστα. Ἔγνω οὖν ὁ πρωτοσύμβουλος τὴν τοῦ Βασιλέως ἀθυμίαν, καὶ εἶπε πρὸς αὐτόν· « Οὐδεμία ὄνησις ἐπιγίνεταί τινι ἐκ φροντίδος καὶ μερίμνης, ἀλλὰ σαρκὸς ἔκτηξις, ὥσπερ τις ἔφησε τῶν σοφῶν·

«Νοῦς ἐν μερίμναις, σῆς βιβρώσκων ὀστέα.» Παρακλήθητι οὖν, ὦ Βασιλεῦ, ἐφ' οἷς οὐκ ἔστιν ἀνάκλησις, μὴ ὅμοιόν τι πάθῃς ταῖς περιστεραῖς.

Λέγεται γὰρ, ὡς ἄρ᾽ην καὶ θήλεια περιστερὰ τὸν οἰκεῖον ἐνέπλησαν φωλεὸν σίτου ὑγροτάτου, καὶ συνῆλθον ἄμφω, τοῦ μὴ πρότερον ἀπογεύσασθαι ἐκείνου τοῦ ἀποταμιευθέντος σίτου, πρὶν ἢ τὰς θύραθεν ἐκλεῖψαι διατροφάς. Θέρους δὲ καταλαβόντος, καὶ τοῦ ἡλίου τὴν τοῦ σίτου ἀνιμήσαντος ὑγρότητα, εἰς μικρὸν ὁ τούτου συνεστάλη ὄγκος. Ἰδοῦσα δὲ τοῦτο ὁ ἄρ᾽ην, ὑπέλαβε τὴν θήλειαν τὸν σίτον καταβεβρωκέναι, καὶ διὰ τοῦτο οὐ διέλειπε ταύτην τύπτων ἀφειδῶς, ἄχρις ὅτου ἀπέκτεινε. Χειμῶνος δὲ ἐπιγεγονότος, καὶ τοῦ σίτου τῇ ὑγρότητι ὀγκωθέντος, ἔγνω ἡ περιστερὰ, ὡς ἀδίκως τὴν σύζυγον ἔκτεινε, καὶ ἐθρήνει διηνεκῶς, καὶ ὑπὸ τῆς λύπης ἐξέπνευσεν. Οὕτω καὶ οἱ τοῦ θυμοῦ μὴ κυριεύοντες πείσονται ἄνθρωποι.

Ἐρρέθη δὲ πάλιν, ὡς ἄνθρωπός τις ἐβάσταζε σάκκον φακῶν πλήρη. Καὶ κοιμηθέντος αὐτοῦ, πίθηκός τις κατέκλεψε τῶν φακῶν ὡσεὶ δράκα μίαν, καὶ ἀνῆλθεν ἐπὶ τὸ δένδρον, καὶ ἤσθιεν. Ἐσθίοντος δὲ αὐτοῦ πέπτωκεν ἐκ τῆς χειρὸς αὐτοῦ εἰς κόκκος. Τοῦ δὲ τὴν χεῖρα τοῦ λαβεῖν τὴν φακὴν ἐξαπλώσαντος, ἐκπεπτώκασι καὶ οἱ λοιποί. Καί σοι τί μέλει, ὦ Βασιλεῦ, μιᾶς γυναικὸς, ἔχοντι μυρίων ἐπέκεινα; Ἐάσας τὸ τοσαύταις ἥδεσθαι κοινῶς, τὴν οἰχομένην ὀδύρῃ κενῶς.»

Ὡς οὖν ταῦτα ἤκουσεν ὁ Βασιλεὺς, περίλυπος γέγονε, μή τι ἄρα τὴν γυναῖκα ἀνῃρήκει Παλάριος, καί φησιν· «Οὕτω δι᾽ ἕν μου ῥῆμα μῦσος τοσοῦτον ἔδρασας;» Καὶ αὖθις ὁ πρωτοσύμβουλος· « Ὁ εἷς τοῦ νουνεχοῦς λόγος ἀμετάτρεπτος.»

Καὶ ὁ Βασιλεὺς πρὸς αὐτόν· «Περίλυπός εἰμι τῆς εὐνουστάτης μου γυναικὸς, ὦ Παλάριε.» Καὶ ὁ Παλάριος· «Δύο ἀνθρώπους οὐ δεῖ, φησι, λυπεῖσθαι· τὸν ἀγαθοποιὸν, καὶ τὸν οὐδέποτε ἁμαρτήσαντα.»

Καὶ αὖθις ὁ Βασιλεύς· «Λελύπημαι σφόδρα περὶ Παλάδος τῆς ἐμῆς· οὐκέτι γὰρ αὐτὴν ὄψομαι.» Καὶ ὁ Παλάριος πρὸς αὐτόν· «Δύο εἰσὶν οἱ μὴ βλέποντες· ὁ τυφλὸς, καὶ ὁ ἄνους. Ὥσπερ γὰρ οὐ βλέπει τὸν οὐρανὸν ὁ τυφλὸς, οὐδὲ γινώσκει τὰ πόρρω ἐκ τῶν ἐγγὺς, οὕτως οὐδὲ ὁ ἄνους διακρίνει τὸ πονηρὸν ἐκ τοῦ ἀγαθοῦ.»

Ὁ δὲ Βασιλεύς· «Οὐκ ἐκορέσθην, ἔφη, τῆς καλῆς Παλάδος ἐγώ ποτε.» Καὶ ὁ Παλάριός φησιν· «Δύω ἄνθρωποι οὐ πλησθήσονταί ποτε· ὁ φιλάργυρος, καὶ ὁ ἀκόλαστος.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Μακρυνθῆναί με δεῖ ἀπό σου.» Καὶ πάλιν ὁ Παλάριος· «Μακρυνθῆναί σε δεῖ ἀπὸ τοῦ ἀσεβοῦς, τοῦ μὴ φρονοῦντος, μηδὲ ὁμολογοῦντος κρίσιν καὶ ἀνταπόδοσιν, καὶ ἀπὸ τοῦ μὴ κυριεύοντος τῶν ὀρέξεων, καὶ τῶν ἐπιθυμιῶν τῶν αὐτοῦ.»

Καὶ ὁ Βασιλεύς φησιν· «Οἴμοι ὁ οἶκος τῆς Παλάδος μου! Καὶ ὁ Παλάριος· «Τέσσαρές εἰσιν οἱ ἐστερημένοι· ὁ ἄνυδρος ποταμὸς, ἡ ἀβασίλευτος γῆ, ἡ ἄνανδρος γυνὴ, καὶ ὁ μὴ γινώσκων διακρίναι τὸ ἀγαθὸν τοῦ πονηροῦ.»

Ὁ δὲ Βασιλεὺς εἶπεν αὐτῷ· «Ἀπώλετο ἡ Παλὰς, ὦ Παλάριε, καὶ ἄξιος εἶ πολλῶν πεῖραν βασάνων λαβεῖν.» Καὶ ὁ Παλάριος· «Οἱ βασάνων ἄξιοι τρεῖς εἰσιν· ὁ ἀδικῶν τὸν ἀναίτιον, ὁ εἰσερχόμενος εἰς δεῖπνον, μὴ ὢν κεκλημένος, καὶ ὁ ἁρπάζων τὰ μὴ ἴδια.»

Καὶ ὁ Βασιλεὺς πρὸς αὐτόν· «Ἔδει σε πάντως μακροθυμῆσαι εἰς αὐτήν.» Ὁ δὲ Παλάριος ἔφη· «Τρεῖς δεῖ μακροθυμεῖν· τὸν μέγιστόντι πρᾶγμα ἐργαζόμενον, τὸν ἐπὶ τὸ ὄρος ἀνερχόμενον, καὶ τὸν ἰχθύας ἐσθίοντα.»

Καὶ ὁ Βασιλεύς· «Πολλά μου καταφρονεῖς, φησιν, ὦ Παλάριε, ἀντιλέγων μοι εἰς ταῦτα καὶ τοσαῦτα.» Καὶ ὁ Παλάριος· «Οἱ Βασιλέως καταφρονοῦντες οὗτοί εἰσιν· ὁ ἀκριτόμυθος, ὁ λαλῶν ἐν οἷς οὐκ ἐρωτᾶται, ὁ λέγων, ἅπερ οὐ γινώσκει, καὶ ὁ πλούσιος δοῦλος, ὁ μὴ περι-

ποιούμενος τοῦ ἰδίου δεσπότου, ἅμα δὲ μαχόμενος, καὶ ἕλκων ἐν δικαστηρίῳ.»

Ὁ δὲ Βασιλεύς· «Ληρεῖς, ὦ Παλάριε, ταῦτα λέγων.» Ὁ δὲ Παλάριος ἔφη· «Λῆρός ἐστιν ὁ διδάσκων μωρὸν, καὶ ἀντιλέγων σοφῷ, καὶ ὁ συστρεφόμενος τοῖς ἀχρείοις λόγοις, καὶ μιμούμενος αὐτούς· ὁ πιστεύων γυναικὶ πόρνῃ, καὶ ὁ φανερῶν τὸ μυστήριον αὐτοῦ τῷ μὴ πιστῷ.»

Καὶ ὁ Βασιλεὺς πάλιν ἔφη· «Ἀτάκτως πεποίηκας φονεύσας τὴν Παλάδα.» Ὁ δὲ Παλάριος ἀπεκρίθη· «Ἄτακτοί εἰσιν, ὁ ψεύστης, ὁ μὴ ποιῶν κατὰ τοὺς λόγους αὐτοῦ, καὶ ὁ νέος, ὁ ἑπόμενος τῷ θυμῷ αὐτοῦ, ὁ ἔχων ἔρωτας ἐπὶ παλλακῇ, καὶ ὁ νικώμενος ὑπὸ τῆς ἀκρασίας αὐτοῦ, καὶ ὁ Βασιλεὺς, ὁ ἐγχειρίσας πρᾶγμα μέγιστον, καὶ μὴ συμβουλευόμενος τοῖς ἑαυτοῦ συμβούλοις.»

Ὁ δὲ Βασιλεὺς ἔφη αὐτῷ· «Οὐ φοβῇ, ταπεινὲ Παλάριε, Βασιλέα;» Ὁ δὲ ἔφη· «Τέσσαρές εἰσιν οἱ φοβούμενοι, ἐν οἷς φόβος οὐκ ἐστιν· ὁ ἀλέκτωρ, ὁ ὑψῶν τοὺς πόδας αὐτοῦ εἰς τὸν οὐρανὸν, μήπως ὁ οὐρανὸς πέσῃ κατ' αὐτοῦ· ὁ γερανὸς ἱστάμενος δι' ἑνὸς ποδὸς, καὶ φειδόμενος, μήπως δι' ἑτέρου γένηται χάσμα ἐν τῇ γῇ· ὁ σκώληξ ὁ ἐσθίων τὸν χοῦν, καὶ μὴ χορταζόμενος ἐξ αὐτοῦ, φοβούμενος, μήπως ἐκλείψῃ ὁ χοῦς ἐκ τῆς γῆς· καὶ ἡ νυκτερὶς πετομένη ἐν νυκτὶ, ἐν δὲ τῇ ἡμέρᾳ κρυπτομένη, μήπως θηρευθῇ διὰ τὸ κάλλος αὐτῆς.»

Καὶ ὁ Βασιλεύς· «Οὐκ ἔτι, φησὶν, ὄψομαι ἐν γυναιξὶν ὁμοίαν τῇ Παλάδι.» Καὶ ὁ Παλάριος ἔφη· «Τέσσαρές εἰσιν οἱ μὴ τρεπόμενοι· ἡ γυνὴ εἰθισθεῖσα εἰς πολλοὺς ἄνδρας, καὶ πάντας παραβλέπουσα, ὡς ὑπὸ πάντων μυκτηρίζεσθαι· ὁ τὸ ψεῦδος εἰθίσας ἀνήρ· ὁ ὑψηλόφρων καὶ κακογνώμων· ὁ πονηρὸς, δόλιος, καὶ συκοφάντης.»

Ὁ δὲ Βασιλεὺς πάλιν ἔφη· «Οὐκ ἐξέρχεταί μου ἡ λύπη τῆς καρδίας, ὦ Παλάριε, διὰ τὴν Παλάδα.» Ὁ δὲ ἔ-

φη· «Δεῖ σε λυπεῖσθαι, Βασιλεῦ, διὰ γυναῖκα ταύτας ἔχουσαν τὰς ἀρετάς· σωφρωσύνην, νουνέχειαν, φειδὼ ἐν τοῖς λόγοις, εὐγένειαν, κάλλος, ὑποταγὴν πρὸς τὸν ἴδιον ἄνδρα, καὶ πόθον πρὸς τὸν αὐτόν.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Μεγίστην λύπην ἐφύτευσας ἐν τῇ καρδίᾳ μου, καὶ μύσος κατά σου, τὴν ἐμὴν ἀποκτείνας Παλάδα.» Ὁ δέ φησιν· «Οἱ ἀληθῶς ἐχθραίνοντες, ὦ Βασιλεῦ, οὗτοί εἰσιν· ὁ λύκος τοῖς προβάτοις, ἡ γαλῆ τῷ μυΐ, ὁ ἱέραξ τῇ πέρδικι, ὁ κόραξ τῇ γλαυκὶ, ὁ καρκῖνος τῷ ὄφει· ὡσαύτως καὶ οἱ ἐκπεπτωκότες μεγάλης φιλίας φίλοι. Φιλία γὰρ παρωφθεῖσα γίνεται ἔχθρα.»

Καὶ ὁ Βασιλεύς· «Οὐ πλησθήσομαι ἔτι ὕπνου, διὰ τὴν πρὸς τὴν Παλάδα λύπην.» Καὶ ὁ Παλάριος ἔφη· «Ὀκτώ εἰσιν οἱ μὴ ὑπνοῦντες, ὦ Βασιλεῦ· ὁ πολύολβος ἄνθρωπος, μὴ ἔχων πιστὸν δοῦλον· ὁ βουλόμενος τὸν φίλον ἢ τὸν ἐχθρὸν αὐτοῦ ἀποκτεῖναι· ὁ ἐρῶν γυναικός· ὁ ψεύδη καταλαλῶν· ὁ ἄπορος, ἀπαιτούμενος ἃ μὴ ἔχει· ὁ κοιμώμενος ἐν ἀσθενείᾳ δεινῇ, μὴ ἔχων ἰατρόν· ὁ ἔχων γυναῖκα πόρνην· ὁ πλούσιος καὶ φειδόμενος, μὴ γένηται πένης· καὶ ὁ ζητῶν πρᾶγμα, ὃ (οὐ) δύναται καταλαβεῖν.»

Ὁ δὲ Βασιλεὺς ἔφη πρὸς αὐτόν· «Ἀπὸ τοῦ νῦν οὐχ ὁμιλήσω σοι ἔτι.» Καὶ ὁ Παλάριος· «Οἱ τῆς ὁμιλίας ἀνάξιοι οὗτοί εἰσιν· ὁ διὰ ψεῦδος μισῶν τὸν ἀδελφὸν αὐτοῦ· ὁ ὑπερήφανος, ὁ προκρίνων τὸν πλοῦτον τῆς ἑαυτοῦ ψυχῆς· καὶ ὁ ἀντιλέγων τῷ κυρίῳ καὶ τῷ διδασκάλῳ αὐτοῦ.»

Καὶ ὁ Βασιλεὺς πάλιν ἔφη· «Οὐδεὶς ἐν πᾶσι τέλειος· τὸ γὰρ τέλειον παρ' οὐδενὶ τῶν ἀνθρώπων ἐστί.»

Μετὰ γοῦν τὰς πολλὰς ἐκείνας διαλέξεις, καὶ τὴν τοῦ Βασιλέως περὶ τὴν Παλάδα ἀπόγνωσιν, στεφανηφοροῦσαν αὐτῷ παρήνεγκε τὴν Βασιλίδα ὁ Παλάριος. Ἰδὼν δὲ

ταύτην ὁ Βασιλεὺς, καὶ πάνυ περιχαρὴς γεγονὼς, ἐκείνην μὲν ἠδέως ἐδέξατο, τὸν δὲ Παλάριον πολυτελέσι δώροις ἐφιλοτιμήσατο. Τοὺς δὲ εἰς αὐτὸν τὴν μνησικακίαν μεμελετηκότας φιλοσόφους πάντας, συναγαγὼν, ἐνώπιον αὐτοῦ ἀπέκτεινεν.

Οὕτως ἄρα τῇ φρονήσει, καὶ τῇ ἀνοχῇ, καὶ τῇ τῶν συνετῶν συμβούλων συνέσει, καὶ τῇ φρονίμῳ γυναικὶ φυλάττει ὁ Βασιλεὺς ἀβλαβῆ τὴν οἰκείαν βασιλείαν.

ΤΜΗΜΑ ΟΓΔΟΟΝ.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ εἶπεν· «Ἔγνωκα δὴ ταῦτα· ἀνάγγειλον δέ μοι πρὸς τούτοις, πῶς δύο ἐχθροὶ, ἐν περιστάσει γεγονότες, φιλιοῦνται· ἀμφότεροι δὲ, ἐκ τῶν κινδύνων ἐλευθερωθέντες, πάλιν ἐχθροὶ διαμένουσιν.»

Σταθεὶς πάλιν ὁ φιλόσοφος ἔμπροσθεν τοῦ Βασιλέως ἔφη οὕτως· «Οὐ πᾶσαι, ὦ Βασιλεῦ, φιλίαι συνίστανται διὰ τὴν τῶν καιρῶν ἀπαλλαγὴν καὶ ἀποτροπήν· ἀλλ' ὁ νοῦν ἔχων ἐξετάζει τὸν καιρόν, καὶ ἐν περιστάσει μὲν διὰ τὴν ἑαυτοῦ σωτηρίαν φιλιοῦται· τοῦ κινδύνου δὲ ἀνώτερος γεγονὼς, πάλιν τῇ πρώτῃ διαμένουσιν ἀντιπαθείᾳ, ὡς ἐπὶ τῆς γαλῆς καὶ τοῦ μυὸς ἰδεῖν ἔνεστι.

Λέγετε γάρ, ὡς ἔν τινι τόπῳ παμμεγεθέστατον ἦν δένδρον· ἐν δὲ τῇ αὐτοῦ ῥίζῃ μυὸς ἦν κατάδυσις, καὶ πλησίον αὐτῆς ὀπὴ γαλῆς. Μιᾷ δὲ τῶν ἡμερῶν ἐξῆλθέ τις θηρευτὴς, καὶ ἥπλωσε τὰ δίκτυα αὐτοῦ πλησίον τοῦ δένδρου· ἐξελθοῦσα δὲ ἡ γαλῆ ζητῆσαι ἑαυτῇ βρῶσιν, περιεπλάκη τοῖς δικτύοις. Ἐξῆλθε δὲ καὶ ὁ μῦς βοσκηθῆναι, καὶ ἰδὼν τὴν γαλῆν τοῖς βρόχοις περιπεπλεγμένην, ἥσθη ἐπὶ τούτῳ μεγάλως. Στραφεὶς δὲ ὄπισθεν αὐτοῦ ὁρᾷ νύμφην καταλαβοῦσαν τὴν αὐτοῦ μυωπίαν· ἐν δὲ τῇ κορυφῇ τοῦ δένδρου γλαῦκά τινα παρακαθημένην. Φόβῳ δὲ μεγάλῳ συσχεθεὶς, εἶπεν ἐν ἑαυτῷ· εἰ ζητήσω τὴν

κατάδυσίν μου, ἀπολοῦμαι ὑπὸ τῆς νύμφης· εἰ δὲ πάλιν δεξιὰ ἢ ἀριστερὰ ἐκφύγω, ἁρπαγήσομαι ὑπὸ τῆς γλαυκός· εἰ δὲ καὶ πρὸς τὴν γαλῆν ἀπέλθω, βρωθήσομαι ὑπ' αὐτῆς. Ἀλλὰ σκέψομαι μηχανήν τινα, δι' ἧς σωθήσομαι· δεῖ γὰρ τὸν νοῦν ἔχοντα, ἐν περιστάσει γενόμενον μὴ θροεῖσθαι. Ἀλλ' οὐχ ὁρῶ πόρον σωτηρίας ἕτερον, εἰ μὴ διὰ τῆς πρὸς τὴν γαλῆν φιλίας· καὶ γὰρ καὶ αὐτὴ ἐν δεινῇ ἐστι περιστάσει, καὶ ἀγωνίσομαι, εἴποτε δυνηθῶ, λυτρώσασθαι αὐτὴν τῶν τοῦ θηρευτοῦ βρόχων. Οἶμαι γὰρ τούτου ἕνεκα ταύτην μὲν ἐκδιώξειν τὴν νύμφην ἐκ τῆς ἐμῆς ὀπῆς· ἐμὲ δὲ σωθῆναι, καὶ τὴν ταύτης ἕξειν φιλίαν.

Καὶ προσελθὼν πρὸς τὴν γαλῆν ὁ μῦς ἔφη αὐτῇ· «Πῶς διάγεις;» Ἡ δὲ, «Ἐν λύπῃ, φησὶ, καὶ στενοχωρίᾳ, καθὼς σὺ θέλεις καὶ ποθεῖς.» Καὶ ὁ μῦς, «Ἀληθῶς ἔφης·» ἀλλ' οὖν κἀγὼ συγκοινωνός σοι ἄρτι γέγονα, ἐν περιστάσει πεσών· ὁρᾷς γὰρ δήπου καὶ σὺ τὴν νύμφην, πῶς εἰς τὴν κατάδυσίν μου εἰσῆλθε, καὶ τὴν γλαῦκα ζητοῦσάν με ἁρπάσαι, ἀμφοτέροις ἡμῖν ἐχθρὰς οὔσας. Ἀλλὰ δεῖ καὶ ἡμᾶς, χαίρειν εἰπόντας τῇ ἔχθρᾳ, διαλλαγῆναι καὶ φιλικὰς ποιήσασθαι συνθήκας, ὅπως κἀγὼ διά σου τῆς αὐτῶν ῥυσθήσομαι βλάβης, καί σου δι' ἐμοῦ. Ἐγὼ μὲν γὰρ ἐκκόψω τοὺς δεσμοὺς, οἷς κατέχῃ, σὺ δὲ ἐκδιώξεις τῆς ὀπῆς μου τὴν νύμφην.» Ταῦτα παρὰ τοῦ μυὸς ἀκούσασα ἡ γαλῆ, περιχαρὴς ἐγένετο, καί φησι πρὸς αὐτόν· «Εἰ τοῦτο ποιήσεις, μεγάλην χάριν ἕξεις παρ' ἐμοῦ, μᾶλλον δὲ ἀντάμειψιν.»

Καί τοτε προσελθὼν ὁ μῦς πρὸς αὐτὴν ἐποιήσαντο ἐν ἑαυτοῖς φιλίαν, καὶ εὐθὺς ὁ μῦς ἤρξατο κατεσθίειν τοὺς δεσμοὺς αὐτῆς. Καὶ τούτους καταφαγὼν κατέλιπεν ἕνα δεσμὸν ἐξεπίτηδες, φοβούμενος, μήπως ἀθετήσῃ ἡ γαλῆ τοὺς ὅρκους. Ἡ δὲ γαλῆ ἔφη αὐτῷ· «Τί βραδύνεις,

ὦ ἑταῖρε; Μὴ ἀράγε ἐτράπη ἡ πρὸς ἐμέ σου φιλία; ἡ πρός σε δέ μου φιλία οὐκ ἐτράπη.» Ὑποτυχὼν ἔφη ὁ μῦς· «Ἀλλὰ τὴν σὴν ἐγὼ δέδια φιλίαν· τὸ γὰρ ἐκ φύσεως οὐκ ἀφίσταται· ἐὰν δὲ καὶ ἀφίσταται, οὐ μεθίσταται· εἰ δὲ καὶ μεθίσταται, οὐ συνίσταται. Διὰ τοῦτο κατέλιπον τὸν ἕνα δεσμὸν, ἕως οὗ εὕρω καιρὸν ἐπιτήδειον τοῦ κατακόψαι καὶ αὐτόν.»

Πρωΐας δὲ γενομένης κατέλαβε καὶ ὁ θηρευτὴς τὸν τόπον. Ἰδὼν δὲ αὐτὸν ὁ μῦς μακρόθεν, εἶπε τῇ γαλῇ· «Ὁ καιρὸς τοῦ πληρωθῆναι ἡμῖν τὰς συνθήκας ἤδη πάρεστιν· ἀλλ᾽ ἐγὼ οὐκ ἀθετῶ ταύτας.» Καὶ κόψας τὸν καταλειφθέντα δεσμὸν ἔφυγεν. Ἡ δὲ γαλῆ τότε τῷ φόβῳ τοῦ θηρευτοῦ διώξασα τὴν νύμφην εἰς τὸ δένδρον ἀνῆλθε, καὶ ὁ μῦς εἰσῆλθεν εἰς τὴν κατάδυσιν αὐτοῦ. Ὁ δὲ θηρευτὴς λαβὼν τὰ δίκτυα κενὰ, ἀνεχώρησεν ἀπ᾽ αὐτῶν.

Οὐ μετὰ πολλὰς οὖν ἡμέρας ἐξῆλθεν ὁ μῦς τοῦ βοσκηθῆναι· καὶ ἰδὼν τὴν γαλῆν μακρόθεν οὐκ ἐθέλησε πλησιάσαι πρὸς αὐτήν. Ἡ δὲ πρὸς αὐτὸν ἔφη· «Πρόσελθε, ὦ φίλτατε, πρός με, ὅπως ἀνταμείψωμαί σε, περὶ ὧν ἐποίησας εἰς ἐμὲ ἀγαθῶν.» Καὶ ὁ μῦς εἶπεν αὐτῇ· «Ἡ ἡμετέρα φιλία οὐ δεῖται ἐγγύτητος· πῶς γὰρ ἐγγίσω σοι βρῶσίς σοι ὤν; οὐ γὰρ δεῖ που τὸν ἀδύνατον πλησιάζειν τῷ δυνατωτέρῳ αὐτοῦ ἐχθρῷ. Ἡ γοῦν προλαβοῦσα ἡμῶν φιλία ἀναγκαία γέγονε διὰ τὴν ἀμφοτέρων σωτηρίαν. Ἀπὸ τοῦ νῦν δὲ ἔστω ἡμῶν ἡ φιλία μακρόθεν· τὸ γὰρ ἐγγίσαι με πρός σε ἀδύνατόν ἐστι, καὶ οὐ λυσιτελεῖ μοι.»

Οὕτως ἄρα, εἶπεν ὁ φιλόσοφος, δύω ἐχθροὶ ἐν περιστάσει μὲν φιλιοῦνται, ἀνώτεροι δὲ τῶν κινδύνων γεγονότες ἐν τῇ προτέρᾳ πάλιν διαμένουσιν ἔχθρᾳ.

ΤΜΗΜΑ ΕΝΝΑΤΟΝ.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ εἶπεν· «Ἔγνων καὶ τοῦτο· διασαφήνισον δὲ ἡμῖν, πῶς δεῖ τινα τὰς ἔχθρας εὐλαβεῖσθαι, καὶ τὰς μνησικακίας παρατηρεῖν.»

Ὁ δὲ φιλόσοφος ὑπολαβὼν ἔφη· «Βασιλεύς τις ψιττακὸν ἐκέκτητο μιμητὸν καὶ ὡραῖον, ἔχοντα καὶ οἰκεῖον νεοττόν. Τοῦτον προσέταξεν ὁ Βασιλεὺς, ἅμα τῷ νεοττῷ, τῷ οἰκείῳ συνδιαιτᾶσθαι παιδί. Συνέπαιζον οὖν ἀλλήλοις, οἷα εἰκὸς, καὶ μετελάμβανον πάντοτε τῆς αὐτῆς τροφῆς. Ὁ δὲ ψιττακὸς ὀσημέραι ἐπὶ τὸ ὄρος ἀπήρχετο, καὶ δύο τινὰς καινὰς ὀπώρας μετεκόμιζε, καὶ ἐδίδου τὴν μὲν μίαν τῷ οἰκείῳ νεοττῷ, τὴν δὲ ἑτέραν τῷ Βασιλέως παιδί. Ἀμφότεροι δὲ ταχέως αὐξηθέντες εἰς ἰσχύος ἐπίδοσιν καὶ ἡλικίας ἦλθον ἀκμήν. Ἀποδημοῦντος οὖν τοῦ ψιττακοῦ, ὁ τούτου νεοττὸς ἐπί τι πτηνὸν, προσφιλὲς τῷ παιδὶ τοῦ βασιλέως, ἐπεισπηδήσας ἐτραυμάτισε τοῦτο. Ἐφ' ᾧ ὀργισθεὶς ὁ παῖς ἐκεῖνον ἀπέκτεινεν. Ἐλθὼν οὖν ὁ ψιττακὸς καὶ ἰδὼν τὸν οἰκεῖον νεοττὸν ἀνῃρημένον, καὶ πάνυ τῇ λύπῃ συσχεθεὶς, ἔφη· «Οὐαὶ τοῖς βασιλεῦσι, τοῖς μήτε συνθήκας τηροῦσι, μήτε φιλίας δεσμούς! Οὐαὶ δὲ καὶ τοῖς ἐξυπηρετοῦσιν αὐτοῖς, οἳ οὔτε τιμῶσιν, οὔτε ὁρῶσί τινας, εἰ μήγε πολλάκις ἐπιδεεῖς αὐτῶν γένωνται! Ὅτε δὲ οὐκ ἐπιδέονται τούτων, οὐδὲ προσφωνοῦσιν αὐτοὺς, μὴ εἰδότες ἀρετῆς ἀμοιβὴν, μήτε συγγνώμην ἁμαρτημάτων, οἳ πᾶν πλημμέλημα ἐργαζόμενοι, καὶ μηδαμῶς τοῦτο λογιζόμενοι.» Εἶτα, «Ἀμυνοῦμαι ἔφη, σήμερον τὸν παλαμναῖον καὶ ἀλιτήριον, καὶ πρὸς οἶκτον ἀκαμπῆ, καὶ τῆς συναυλίας ἀθετητὴν, καὶ τῆς συνδιαιτήσεως ἐπιλήσμονα.» Καὶ ἐπεισπηδήσας τῷ τοῦ παιδὸς προσώπῳ, τοῖς ὄνυξι τὰς κόρας τῶν ὀφθαλμῶν ἐξέβαλε. Καὶ τοιοῦτον οὗτος ἔργον κατατολμή-

σας, ἐπί τινα ὑψηλότατον καὶ ὀχυρώτατον ἀνῆλθε τόπον.

Ὁ οὖν Βασιλεὺς τὸ γενόμενον ἀναμαθὼν, καὶ θυμοῦ πλησθεὶς, ἀπῆλθε πρὸς τὸν ψιττακὸν, καὶ προσεκαλεῖτο αὐτόν. Ὁ δὲ ψιττακὸς ἔφη· «Γίνωσκε, ὡς ὁ τῶν συνθηκῶν παραβάτης εὐάλωτος τῇ οἰκείᾳ παραβάσει γίνεται. Καὶ εἰ πρός τινα καιρὸν ἀνέξεται τούτου ἡ θεία πρόνοια, οὐκ ἀπολυθήσεται τῆς καταδίκης, ἀλλ' εἰς αἰῶνας κολασθήσεται· διαβαίνει δὲ κόλασις καὶ ἐπὶ υἱοὺς καὶ υἱωνοὺς, καὶ εἰς τὸ ἑξῆς. Ὁ γοῦν σὸς υἱὸς τὴν ἀντέκτισιν τῆς δίκης ταχεῖαν εἴληφεν.»

Ὁ δὲ Βασιλεὺς ὑπολαβὼν ἔφη· «Καλῶς εἴρηκας, καὶ οὐδὲν ἀμφίβολον καταλέλοιπας· κάτελθε λοιπὸν ἀνενδοιάστως.» Ὁ δὲ ψιττακὸς ἔφη· Οὐ δεῖ με ταῦτα ποιῆσαι· οἱ γὰρ ἐχέφρονες παραινοῦσιν ἀεὶ παρατηρεῖσθαι τὸν μνησίκακον, καὶ ὅσον ὁ τοιοῦτος ὑποκολακεύει καὶ ὑποσάινει, τοσοῦτον φευκτέος καὶ παρορατέος· καὶ οὐκ ἄλλως τις ἐκφεύξεται τὴν ἐξ αὐτοῦ βλάβην, εἰ μήγε τῇ τούτου ἀποχῇ καὶ τῇ τῶν οἰκείων σωτηρίᾳ. Φασὶ γὰρ, ὡς δεῖ τοὺς νοῦν ἔχοντας, τοὺς μὲν γονεῖς λογίζεσθαι φίλων τάξιν ἐπέχειν, τοὺς δὲ ἀδελφοὺς συνοδοιπόρων, τὰς δὲ ὁμοζύγους συνήθων, τοὺς δὲ υἱοὺς μνήμης ἕνεκα προσειλημμένους, τὰς δὲ θυγατέρας ἀντιδίκους, τοὺς δὲ συγγενεῖς δανειστὰς καὶ χρεῶν ἀπαιτητὰς, ἑαυτὸν δὲ μεμονωμένον καὶ πάσης συγγενείας ἔρημον. Κἀγὼ οὖν τῇ τοιαύτῃ παραινέσει ἑπόμενος ἤδη μεμόνωμαι.»

Ὁ δὲ βασιλεὺς εἶπεν· «Εἰ μέν σου πρῶτος κατήρξω τῆς ἡμετέρας βλάβης, ἔδει σε ἡμᾶς παραφυλάττεσθαι· ἐπειδὴ δὲ ἡ προκατάρξις ἀφ' ἡμῶν γέγονε, τί σοι πάρεστιν ἐμποδὼν ἐν τούτοις τοῦ μὴ πιστεύειν ἡμῖν;» Ὁδὲ ψιτακὸς ἔφη· «Αἱ μνησικακίαι μέγιστα πάθη περὶ τὴν καρδίαν ἐργάζονται, καὶ γλῶσσαι

οὐκ ἐμφαίνουσιν ἀληθέστατα τὰ τῶν ψυχῶν διανοήματα, καὶ τῶν καρδιῶν ὑπὲρ τὰς γλώσσας. Οὔτε οὖν ἡ (ἐμὴ) καρδία μαρτυρεῖ σου τῇ γλώττῃ, οὔτε ἡ σὴ τῇ ἐμῇ μαρτυρεῖ γλώττῃ.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Οὐκ οἶσθα, ὦ ψιττακέ, ὡς ὁ ἐχέφρων ἀνὴρ ὀφείλει τὴν μνησικακίαν ἐκριζῶσαι μᾶλλον, ἢ αὐξῆσαι;» Ὁ δὲ ψιττακὸς ἔφη· «Ἔστι τοῦτο, ὦ Βασιλεῦ, ἔστι καθὼς εἴρηκας, ἀλλ᾽ οὐ δεῖ τὸν ἐχέφρονα ἄνδρα ὑπολαμβάνειν, ὡς ὁ ἐχθρὸς αὐτοῦ τῆς προκειμένης μεταξὺ ἐπιλέλησται ἀμφισβητήσεως, ἀλλὰ παρατηρεῖσθαι τὸ ἀπατᾶσθαι· πολλοὶ γὰρ, μὴ δυνάμενοι τῇ βίᾳ ἡττηθῆναι, τοῖς ἀπατηλοῖς ἔργοις καὶ λόγοις ἑάλωσαν, καθάπερ ὁ ἄγριος ἔλεφας διὰ τοῦ ἡμέρου ἁλίσκεται.»

Ὁ δὲ Βασιλεὺς εἶπεν· «Ὁ ἐλευθέριος ἀνὴρ οὐ μεταλλάττει τὸν τρόπον, οὔτε μὲν τῆς φιλίας καταφρονεῖ, εἰ περίδειλος περὶ αὐτοῦ γενήσεται· τοῦτο (γὰρ) ἔργον ἀνδρῶν, τὸ φρόνημα χθαμαλῶν.» Ὁ δὲ ψιττακὸς ἔφη· «Αἱ μνησικακίαι πᾶσαι ἐπισφαλέστεραι αἱ ἐν ταῖς τῶν Βασιλέων ψυχαῖς, αἳ δὴ λογίζονται τὴν ἀντέκτισιν τρόπαιόν τε καὶ καύχημα. Ἔοικε γὰρ ἡ μνησικακία ἄνθραξιν ἐν τῇ καρδίᾳ ἡμμένοις, οἷς ὅτε ἐπιτηδεία ὕλη πρὸς ἐπίκαυσιν προσεγγίσῃ, τὸν πυρσὸν ἀέριον ἀπεργάζεται, καὶ τὴν φλόγα δυσκατάληπτον. Οὔτε γὰρ δυσωπήσεσιν ὁ μνησίκακος ὑπήκει, οὔτε ἱκεσίαις μαλθακίζεται. Πολλάκις δὲ ὁ μνησικακούμενος, δυνάμενος ἰάσασθαι τὸν μνησίκακον διά τινων ἐννοιῶν καὶ ὠφελειῶν, δυναμένων ἀπαλεῖψαι τὰ ἐν ταῖς καρδίαις σκιῤῥωθέντα, ἐπιστρέφει πρὸς τὸ μνησίκακον· ἀλλ᾽ ἐγὼ ἀδυνάτως ἔχω τοιούτοις πρὸς σὲ χρήσασθαι. Ἀλλ᾽ εἰ καθαρὰν διάθεσιν πρὸς ἐμὲ διατηρεῖς, ἄγνωστον τοῦτο ἐμοὶ, καὶ περιδεὴς ἔσομαι κατὰ πάντα τὸν τῆς συναυλίας καιρόν. Οὐδὲν οὖν ἄλλο καταλέλειπται σκοποῦ ἐχόμενον ὀρθοῦ,

ἀλλ' ἢ τὸ ἀποσχισθῆναί σου, καὶ ἀποχωρισθῆναι, καὶ ἀποικισθῆναι. Λοιπὸν οὖν ἐρώσῳ μοι.»

Ὁ δὲ Βασιλεὺς εἶπεν· «Οἶδα, ὡς ἀδυνάτως ἔχει ἕκαστος τὸ ὠφελεῖν καὶ βλάπτειν, καὶ ὡς οὐδέν ἐστι τῶν ὄντων, ἢ μεῖζον ἢ ἔλαττον, ὃ μὴ κατ' εἱμαρμένην καὶ πεπρωμένην τινὰ μοῖραν γίνεται. Καὶ ὥσπερ οὐκ αἴτιός τις ἐστὶν τῆς γενέσεως τῶν γενομένων τοῖς ἀνθρώποις, οὕτως οὐδὲ τῆς φθορᾶς τῶν φθειρομένων. Οὐδὲν οὖν ἔγκλημα προσάπτεταί σοι ἕνεκα τῆς τοῦ υἱοῦ μου πηρώσεως, οὐδὲ ἐκείνῳ ἕνεκεν τῆς τοῦ σοῦ νεοττοῦ ἀναιρέσεως· εἱμαρτο γὰρ τάδε γενέσθαι, καὶ συνεργοί τινες ἡμεῖς τῇ τῆς εἱμαρμένης ἀνάγκῃ ἐχρηματίσαμεν.» Ὁ δὲ ψιττακὸς ἔφη· «Ἀληθῶς εἶπας περὶ τῆς εἱμαρμένης· ἀλλὰ δεῖ τὸν νουνεχῆ παρατηρεῖν τὰ ἐπισφαλῆ, καὶ μὴ πιστεύειν τῇ εἱμαρμένῃ, ὑπέρτερον δὲ ταύτης τὸν οἰκεῖον δοξάζειν λογισμόν. Ἔγωγε οὖν οἶδα, ὡς ἡ γλῶσσα ὤμωκεν, ἡ δὲ φρὴν ἀνώμοτος. Σὺ οὖν τὴν ἐμὴν ψυχὴν ζητεῖς, αἱ δὲ ψυχαὶ τὸν θάνατον ἀπαναίνονται. Λέγονται γάρ, ὡς ἡ πενία, καὶ ἡ λύπη, καὶ ἡ τῶν φιλτάτων στέρησις μέγισται συμφοραί εἰσιν, καὶ ὁ ταῦτα μαθών, ἀκριβέστερον οἶδε τὰς τῶν παθόντων ἀλγηδόνας. Κἀγὼ οὖν ἔχω τινὰ παρὰ τῇ ἐμῇ ψυχῇ ὑποδείγματα τῶν ἐν τῇ σῇ ψυχῇ παθημάτων, καὶ ἀσύμφορον ἔσται μοι τὸ συνέπεσθαί σοι. Ὅταν γὰρ ἀπομνημονεύεις σὺ τὸ τοῦ υἱοῦ σου πάθος, κἀγὼ τὸ τοῦ ἐμοῦ νεοττοῦ, ἀλλοίωσις μεγίστη περὶ τὰς καρδίας ἑκατέρων γίνεται.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Οὐκ ἀγαθὸς ὁ μὴ δυνάμενος ἀπαλείψαι τὰ ἐν τῇ ψυχῇ παθήματα, ἀλλὰ μνημονεύει τινῶν ἐξ αὐτῶν.» Ὁ δὲ ψιττακὸς ἔφη· «Ὁ τὸν πόδα ἀλγῶν, κἂν τάχιον βαδίζειν ἐπιτηδεύηται, οὐκ ἀνάλγητος

διατελεῖ. Καὶ ὁ ὀφθαλμιῶν, εἰ καὶ πρὸς ἀνέμων ἀντωπήσει πνοάς, πάντως, κἂν μὴ βούληται, ἀμβλυωπήσει. Καὶ ὁ μνησίκακος, εἰ πρὸς τὸν μνησικακούμενον διαλέξηται, πάθος τῷ πάθει προστίθησιν. Δεῖ οὖν τὸν ἐχέφρονα πόρον σωτηρίας εὑρίσκοντα, μὴ παρέρχεσθαι τοῦτον. Καμοὶ δὲ πολλοὶ σωτηρίας πρόκεινται πόροι. Φασὶ δὲ καὶ οἱ φιλόσοφοι, ὡς πέντε τινὰ ἔθη δοξάζουσι τὸν ἄνθρωπον· τὸ μὴ βλάπτειν, τὸ πεπαιδευμένον εἶναι, τὸ τὰς ἐναντίας ὑπολήψεις ἐκφεύγειν, τὸ προσηνὲς καὶ φιλότιμον ἐν τοῖς ἤθεσι, καὶ τὸ μεγαλοπρεπὲς ἐν τοῖς ἔργοις. Καὶ φρόνιμος, ὅστις ὅεδοικὼς περὶ ἑαυτοῦ, ἀποσχοινίζεται συγγενῶν, υἱέων, πλούτου, καὶ αὐτῆς τῆς πατρίδος· ἀπάντων γὰρ τούτων εὑρήσει ἀντάλλαγμα, τῆς δὲ ψυχῆς ἥκιστα εὑρήσει. Εἴρηται δέ, ὡς χείρων πλοῦτος τῶν ἄλλων, ὁ μὴ μεταδιδόμενος, καὶ χείρων σύζυγος, ἡ τῷ ἀνδρὶ μὴ εὐνοοῦσα, καὶ χείρων παῖς, ὁ ἀπειθὴς, καὶ χείρων Βασιλεὺς, ὃς προσποιεῖται ἀθῶος, καὶ χείρων φίλος, ὁ ἄπιστος, καὶ χείρονες πόλεις, αἱ περίφοβοι καὶ ἐπισφαλεῖς. Κἀγὼ οὖν, εἴπερ πεισθήσομαί σοι, ἀεὶ περίφοβος ἔσομαι.» Ταῦτα εἰπὼν ὁ ψιττακὸς ἀφιπτάμενος ἀπηλλάγη.

Οὕτως ἄρα χρή τινα, ὡς τὸν ψιττακὸν, εὐλαβεῖσθαι καὶ παρατηρεῖν τὰς μνησικακίας.

ΤΜΗΜΑ ΔΕΚΑΤΟΝ.

Ὁ δὲ Βασιλεὺς πάλιν τῷ φιλοσόφῳ εἶπε· «Τὸ μὲν παράδειγμα τῶν πρὸς ἀλλήλους ἀπεχθανομένων, ἱκανῶς ἔγνων· ὑποδειγμάτισον δέ μοι, ὅπως δεῖ τοὺς Βασιλεῖς ἐπιστρέφειν πρὸς ἑαυτοὺς τοὺς οἰκείους, οὓς ἀδίκως ποτὲ λαθόντες ἐτιμώρησάν τε καὶ ἀπεσόβησαν.»

Ὁ δὲ φιλόσοφος αὖθις ὑπολαβὼν ἔφη· «Εἴρηται, ὡς ἔν

τινι τόπῳ θώς τις διῆγεν. Ἦν δὲ ἄρα οὗτος σώφρων καὶ ἐπιεικὴς παρά τε τοῖς ὁμογενέσι, καὶ ταῖς ἀλώπηξι, καὶ τοῖς λοιποῖς, οὐδέποτε ποιῶν τὰ αὐτῶν ἔργα, μήτε αἷμα ἐκχέων ἀθῶον, μήτε σαρκοφαγῶν. Ἐφ᾽ ᾧ τὰ ἄλλα θηρία ὀργισθέντα εἶπον αὐτῷ· «Γίνωσκε, θώς, ὡς ἀπαρεσκόμεθά σου τῇ διαγωγῇ, καὶ τῷ βίῳ, ὃν προείλου· λυσιτελοῦσι γὰρ οὐδέν σοι αἱ ἀρεταὶ, ἐπεὶ ἀδύνατόν σε ἡμῖν συμβαδίζειν.» Καὶ ὁ θώς, «Ἡ μὲν ὑμετέρα, φησὶ, φιλία καὶ συνοδοιπορία, οὐδέν μοι ἁμάρτημα προξενεῖ· ἐπεὶ μηδὲ οἱ τόποι καὶ αἱ συναυλίαι τοποῦσι τὰ ἁμαρτήματα, ἀλλ᾽ αἱ καρδίαι καὶ τὰ ἔργα· πλὴν εἰ καὶ τῷ σώματι ὑμῖν συναυλίζομαι, τῇ ψυχῇ πόρρω ἀπῴκισμαι.» Ἐπέμενε δὲ ὁ τοιοῦτος θὼς τῇ ἀρετῇ οὕτως, καὶ διαβόητος ἐγένετο ἐπὶ ταύτῃ.

Λέων δέ τις τῶν θηρίων Βασιλεὺς, μαθὼν τὰ κατ᾽ αὐτὸν, προσεκαλέσατο τοῦτον, καί φησι πρὸς αὐτόν· «Μεγάλη μου ἡ δυναστεία, καὶ εὐρύχωροι οἱ τόποι, καὶ δέομαι πιστοτάτου ὑπηρέτου· ἥκουσται γάρ μοι τὰ περί σου, καὶ τῶν ἀρετῶν σου, καὶ δοξάσαι σε βούλομαι, καί τινα σοι ἀρχὴν ἐγχειρῆσαι μεγάλην.» Ὁ δὲ θὼς ἔφη· «Χρὴ τοὺς Βασιλεῖς ἑκόντας ἐπιλέγεσθαι τοὺς ὑπηρέτας, καὶ τούτοις παραδιδόναι τὰς ἀρχάς· ἐπεὶ εἴτις ἀκουσίως μεταχειρίζεταί τι τῶν ἔργων, οὐ προθύμως αὐτὸ μέτεισι· κἀγὼ οὖν τὰς ἐξουσιαστικὰς ἀεὶ ἀποτρέπομαι μεταχειρήσεις, ἄπειρος ὢ τῶν τοιούτων. Καί σοι, ὦ Βασιλεῦ, πάρεστι πολλὰ θηρίων γένη, καὶ περὶ πᾶν ἔργον προθυμότατα, ἃ δή σοι ἐξυπηρετήσει, ὡς δεῖ, καὶ ἑαυτὰ ὠφελήσει προσηκόντως.»

Ὁ δὲ λέων εἶπε πρὸς αὐτόν· «Ἀρκεῖ· οὐ γὰρ ἐάσω σε τοῦ μὴ ἐξυπηρετεῖσθαί μοι.» Ὁ δὲ θὼς ἔφη· «Δύο τινες μόνοι δύνανται τοῖς ἐξουσιασταῖς δουλεύειν· ὅ,τε δόλιος ἀ-

νὴρ, ὁ συγκαλύπτων τὰ ἔργα αὐτοῦ διὰ δώρων καὶ μεταδόσεων, καὶ ὁ ἠλίθιος, ὁ καὶ δυσαίσθητος, ὁ τοσοῦτον διὰ τῆς ἠλιθιότητος ἐκφεύγων τὸν τῶν κακῶν φθόνον. Ὁ δὲ σωφρόνως καὶ εὐσεβῶς ὑπηρετεῖσθαι πειρώμενος, σπανίως τὰς ἔχθρας ἐκφεύγει· ὅ,τε γὰρ ἐχθρὸς τοῦ ἐξουσιαστοῦ ἀπεχθάνεται πρὸς τοῦτον, ὡς εὐνοοῦντα πρὸς αὐτὸν, καὶ ὁ φίλος ἐρίζει, βουλόμενος οἰκειότερος τούτου ἔσεσθαι. Ἕτοιμος οὖν ἐστιν ὁ τοιοῦτος διὰ ταῦτα ἀπολέσθαι.»

Ὁ δὲ Βασιλεὺς ἔφη· «Μή σοι μελέτω τῶν ἐμῶν ὑπηκόων ἕνεκα· ὑπέρτερόν σε γὰρ τούτων τῇ τιμῇ ἀναδείξω.» Καὶ ὁ θὼς, «Μεγίστη, ἔφη, πρὸς ἐμὲ εὐεργεσία, τὸ ἐάσαι με ἐν ταύτῃ τῇ ἐρήμῳ ἀδεῶς διαιτᾶσθαι, ἀρκούμενον τῇ τῆς χλόης καὶ τοῦ ὕδατος μεταλήψει· ἀκούω γάρ, ὡς ἐν μιᾷ καιροῦ ῥοπῇ, ὁ τοῖς Βασιλεῦσιν ὑπηρετῶν πάσχει τῇ ψυχῇ ὑπὸ τοῦ δέους τοσοῦτον, ὅσον ἕτερος παρ' ὅλην αὐτοῦ τὴν ζωὴν οὐχ ὑφίσταται. Καὶ μετρίως ζῶν καὶ ἀδεῶς, κατὰ πολὺ κρείττων τοῦ ἐν δόξῃ καὶ μυρίαις φροντίσιν.»

Ὁ δὲ λέων εἶπεν· «Ἔγνων, ἅπερ εἶπας, φοβεῖσθαι δέ σε οὐ χρή· ἀνάγκη δέ σε ἡμῖν ἐξυπηρετήσεσθαι.» Καὶ ὁ θὼς· «Ἐπεὶ ἀδύνατόν μου ἐστὶ γίνεσθαι τὸ αἴτημα, ἀξιῶ λοιπόν, εἴ τις τῶν ὑπό σε κατηγορήσει μου, μὴ συναρπαχθῆναί σε τοῖς τούτου λόγοις εὐθὺς, ἀλλὰ ἀνέχεσθαι μετὰ τὴν ἔρευναν τὴν κρίσιν ἐπενεγκεῖν· φιλία γὰρ ἄκαιρος, ἴσον ἐστὶ τῷ μισεῖν. Καὶ βουλευόμενος μετά τινος τῶν κατά σε, σκόπει πρῶτον, πῶς ἐκεῖνος τὰ οἰκεῖα διώκησεν· ὁ γὰρ κακῶς ὑπὲρ τῶν οἰκείων διατεθεὶς, οὐδέπω καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. Καὶ τὸν προσομιλοῦντά σοι τριχῇ δεῖ σκοπεῖν, ἢ ὡς μείζονα, ἢ ὡς ἐλάττονα, ἢ ὡς ἴσον. Καὶ εἰ μὲν μεί-

ζων σου, δεῖ ἀκούειν καὶ πείθεσθαι αὐτῷ· εἰ δὲ ἥττων, πείθειν· εἰ δὲ ἴσος, συμφωνεῖν, καὶ οὐδέποτε ἐμπέσῃς εἰς φιλονεικίαν.»

Ὁ δὲ Βασιλεὺς, πληροφορήσας περὶ τούτου τὸν θῶα, παρέδωκεν αὐτῷ τὰ ἴδια ταμεῖα, καὶ πάντων προέκρινε, καὶ συμβούλῳ ἐχρῆτο, καὶ δι' αἰδοῦς καὶ σεβασμοῦ τοῦτον εἶχεν. Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ ἀγανακτήσαντες οἱ περὶ τὸν λέοντα, καὶ φθόνου πλησθέντες, πάντα λίθον κεκινήκασιν, ἵνα τὸν τοῦ λέοντος θυμὸν δολίως κατὰ τοῦ θωὸς διεγείρωσι. Καί ποτε τροφὴν ἡδίστην, τοῦ λέοντος προστάξαντος εἰς τὴν αὔριον ἑαυτῷ τηρηθῆναι, λαθόντες ταύτην ἔκλεψαν· ἣν ὁ λέων ἐπιζητήσας, καὶ μὴ εὑρὼν, πάνυ ἐπλήσθη θυμοῦ.

Ἀπῆν δὲ τὸ τηνικαῦτα ὁ θώς· μόνοι δὲ παρῆσαν οἱ τὸν δόλον συρράψαντες. Θυμῷ δὲ ἡττηθέντα τὸν λέοντα θεασάμενοι, πρὸς ἀλλήλους ἔφασκον· «Ἀναγκαῖόν ἐστιν ἡμᾶς ἀναγγεῖλαι τῷ Βασιλεῖ τὰ ὠφελοῦντα τοῦτον καὶ βλάπτοντα, κἂν τινες ἐπὶ τοῦτο δυσχεραίνωσιν· ἀνεμάθομεν γάρ, ὡς ὁ θὼς εἰς τὴν ἰδίαν οἰκίαν τὴν τροφὴν τοῦ Βασιλέως ἐκόμισεν.» Ἕτερος δὲ αὐτῶν ὑπολαβών ἔφη· «Ἔοικεν ἡ πρᾶξις αὕτη ἐκείνου ὑπάρχειν· πλὴν ἐρευνήσατε ἀκριβῶς περὶ τούτου.» Ἄλλος δὲ εἶπεν· «Εἰ τοιοῦτόν τι φανῆται ἐργασάμενος, ἀληθῆ εἰσι πάντα, ὅσα κατ' αὐτοῦ ἐλέγοντο.» Ἕτερος δὲ ἔφη· «Τῷ ὄντι οὐδεὶς δόλιος καὶ πανοῦργος ἀνὴρ ὢν, λαθεῖν δυνήσεται. Μέγα τι ἔγκλημα περὶ τοῦ τοιούτου ἀκήκοα θωός· ἀλλ' οὐκ ἐπίστευον τούτῳ, ἄχρις οὗ τὸν ὑμέτερον νυνὶ λόγον ἀκήκοα.» Καὶ ἕτερος τῶν συκοφαντῶν ἔφη· «Οὐ λέληθέ με ὁ τοιοῦτος ἅμα τῷ θεάσασθαι αὐτόν. Πολλάκις τε πρὸς τὸν δεῖνα καὶ δεῖνα εἶπον, ὡς μόναι ὑποκρίσεις εἰσὶ πάντα τὰ κατ' αὐτόν.» — «Εἰ τοῦτο φανῆται ἀληθὲς, ἕτερος ἔφη, οὐ κλοπή

ἐστι μόνον, ἀλλὰ καὶ ἀσέβεια καὶ θρασύτης.» Καὶ ἄλλος οὖν ἔφη· «Εἰ ὁ Βασιλεὺς τὴν οἰκίαν αὐτοῦ ψηλαφήσῃ, πάντως εὑρήσει τὸ ἀληθές.» Καὶ αὖθις ἄλλος· «Γενέσθω τοιγαροῦν ἡ ἔρευνα.» Καὶ ἕτερος· «Οἶδά φησι, ὡς ὁ θὼς τῇ συνήθει πανουργίᾳ χρησάμενος, κεναῖς ἀπολογίαις τὸν Βασιλέα πείσει.» Καὶ διελέγοντο οὑτωσὶ πρὸς ἀλλήλους, ἄχρις οὗ πρὸς θυμὸν τὸν λέοντα ἐκίνησαν.

Προσκαλεσάμενος δὲ ὁ λέων τὸν θῶα, ἠρώτα πρῶτον περὶ τοῦ ἐδέσματος, τί γέγονεν; Ὁ δὲ θὼς ἔφη· «Τῷ δεῖνα τοῦτο ἐπέδωκα, τοῦ φυλάξαι αὐτό.» Ἐκεῖνος δὲ ἐρωτηθεὶς ἠρνήσατο· ἐφρόνει γὰρ τὰ τοῖς συκοφάνταις ἐκείνοις. Καὶ δὴ σταλέντες τινὲς παρὰ τοῦ Βασιλέως εἰς τὴν τοῦ θωὸς οἰκίαν, εὗρον ἐν αὐτῇ τὸ ἔδεσμα, καὶ λαβόντες αὐτὸ προσήνεγκαν τῷ Βασιλεῖ. Παρῆν δὲ ἐκεῖσε λύκος τις, ἀγαθὸς τοῖς ἄλλοις λογιζόμενος, καὶ δίκαιος, ὃς τηνικαῦτα προσεγγίσας τῷ Βοσιλεῖ ἔφη· «Οὐ δεῖ σε, ὦ Βασιλεῦ, συγγνώμην ἀπονεῖμαι τῷ ἀλιτηρίῳ τούτῳ· εἰ γὰρ οὗτος τῆς δίκης ἀφεθῇ, οὐδεὶς ἔτι τολμήσει δόλον τινὸς ἀποκαλύψαι τῷ κράτει σου φανερῶς.»

Προσέταξεν οὖν ὁ Βασιλεὺς τὸν θῶα τηρεῖσθαι ἀκριβῶς ἐν τῇ φυλακῇ. Καί τις τῶν συγκαθέδρων αὐτοῦ ἔφη· «Θαυμάζω πῶς λέληθεν ὁ θὼς, τοιοῦτος ὢν, ἄχρι τοῦ νῦν τὴν τοῦ λέοντος ἀγχίνοιαν, πανοῦργος καὶ δόλου πλήρης ὤν.» Ἕτερος δὲ εἶπε· «Τοῦτο θαυμαστότερον, εἴγε ἐρευνήσει μετὰ τὴν τοῦ ἐκγλήματος φανέρωσιν.» Ἀπέστειλεν οὖν ὁ λέων τινὰς ἐπὶ τὸν θῶα ἐπερωτήσοντας αὐτὸν, ὅπως ἔχει. Οἱ δὲ ὑποστρέψαντες ἐπλάσαντό τινας λόγους, ὡς ἀπὸ τοῦ θωὸς, τὸν λέοντα παροξύναντες, οὓς ἀκηκοὼς ὁ λέων, ἀναιρεθῆναι παραυτίκα τὸν θῶα προσέταξεν.

Ὅπερ μαθοῦσα ἡ τοῦ λέοντος μήτηρ, καὶ γνοῦσα τὸ σκευώρημα, ἀναβαλέσθαι τὴν τοῦ θωὸς ἀναίρεσιν διεπράξατο.

Καὶ πρὸς τὸν λέοντα παραγενομένη, «Δι' ἣν αἰτίαν, ὦ τέκνον, ἀναιρεῖς, φησι, τὸν θῶα;» Καὶ ὁ λέων εἶπεν αὐτῇ τὰ γεγονότα. (Ἡ δὲ μήτηρ ἔφη· οὐ καλῶς ἔσπευσας ἐν τούτῳ τέκνον)· χρὴ γὰρ τὸν νουνεχῆ σπεύδειν ἐκφεύγειν τὸν εἰς νέωτα μετάμελον, καὶ δεῖ περὶ τούτου πάντων μάλιστα ἀνέχεσθαι καὶ μὴ σπεύδειν. Ἥτε γὰρ γυνὴ διὰ τοῦ ἰδίου ἀνδρὸς συνίσταται, καὶ ὁ παῖς διὰ τῶν γονέων, καὶ ὁ μαθητὴς διὰ τοῦ διδασκάλου, καὶ ὁ στρατὸς διὰ τοῦ στρατηγοῦ, καὶ ὁ βασιλεὺς διὰ τῶν νόμων, καὶ οἱ νόμοι διὰ τῆς φρονήσεως, καὶ ἡ φρόνησις διὰ τῆς ἀνοχῆς. Καὶ ἀρχὴ συνέσεως βασιλέως, τὸ γινώσκειν τοὺς ὑπ' αὐτόν, καὶ ἑκάστῳ τὴν κατ' ἀξίαν ἀπονέμειν τιμὴν, καὶ εἰδέναι, ὡς οὐ παύσονται οὗτοι πρὸς ἀλλήλους ἐρίζοντες, καὶ ἀλλήλων κατηγοροῦντες. Καί σου οὖν ἐδοκίμασας πολλάκις τὸν θῶα, καὶ εὑρὼν τοῦτον πιστότατον, ἀρτίως δι' εὐτελῆ τροφὴν βιοθάνατον ἀπεργάζῃ, διὰ κατηγορίαν μοχθηρῶν τινων. Ἢ ἀγνοεῖς, ὡς οἱ βασιλεῖς, ὅτε ἑτέροις ἐπιτρέψωσιν, ἃ αὐτοὶ ὀφείλουσι δι' ἑαυτῶν μετέρχεσθαι, ἀπόλυνται; Οὐχ ὁρᾷς τοὺς τὸν οἶνον ἐξωνουμένους, ὅπως ἀκριβολογοῦνται περὶ τὴν χρόαν αὐτοῦ καὶ τὴν γεῦσιν, καὶ τὴν ὀσμὴν, μήπως ἀδικηθῶσι; Πόσον γε δεῖ μᾶλλον τοὺς βασιλεῖς ἀκριβολογεῖσθαι ἕνεκα τῶν προκειμένων μεγίστων ἔργων; Δεῖ οὖν σε, ὦ Βασιλεῦ, διασκέψασθαι περὶ τοῦ θωὸς ἀκριβέστιρον· θαυμάζω γὰρ, πῶς ὁ τοιοῦτος ἐν χρόνῳ τοσούτῳ κρεῶν ἀπεχόμενος, μικρὸν νυνὶ ἑαυτῷ ἐσφετερίσατο ἔδεσμα; Πόθεν οὖν οἶδας, εἰ οἱ κατήγοροι αὐτοῦ τὸ ἔδεσμα λάθρα ἐν τῇ αὐτοῦ κατέκρυψαν οἰκίᾳ, τῷ φθόνῳ βαλλόμενοι; ἢ οὐχ ὁρᾷς τὸν γῦπα, ὅταν πτῶμα φέρῃ, ὑπὸ πολλῶν ὑπὲρ τούτου πτηνῶν συμπολεμούμενον; καὶ τὸν κύνα, ὅταν δράζηται ὀστοῦν, ὑπὸ πολλῶν κυνῶν καθυλακτούμενον; Δύο γάρ εἰσιν αἱ μέγισται βλάβαι,

τοῖς τε ἄρχουσι, τοῖς τε ἀρχομένοις, καὶ μάλιστα τοῖς ἄρχουσι· τὸ ἀγαθῶν συμβούλων καὶ φίλων στερηθῆναι, καὶ τὸ πονηροὺς ἔχειν συμβούλους καὶ φίλους. Ὁ οὖν θὼς, ὅλος σοι προσανακείμενος, καὶ μηδέν σοι ἀποκρύπτων, ἔργον φθόνου γέγονε.»

Ταῦτα τῆς μητρὸς τοῦ λέοντος δημηγορησάσης, εἰσῆλθέ τις τῶν πονηρῶν ἐκείνων συνομωτῶν, καὶ ἀνήγγειλε τῷ λέοντι ἅπαν τὸ κατὰ τὸν ἀθῶον θῶα σκευώρημα. Τὸ δὲ διαγνοῦσα ἡ τοῦ Βασιλέως μήτηρ, ἔφη πρὸς αὐτόν· «Ἐπειδὴ ἔγνως τ' ἀληθὲς, ἀποδίωξον τοὺς ἀλιτηρίους τούτους καὶ πονηροὺς συκοφάντας, καὶ μὴ καταφρονήσῃς τούτων, ὡς μηδαμινῶν· ὁ γὰρ ἀσθενὴς χόρτος συνδεδεμένος σχοινίον ἀποτελεῖ, δυνάμενον τὸν παμμεγέθη κατέχειν ἐλέφαντα. Οἰκείωσον δὲ αὖθις τὸν θῶα· πρὸς γὰρ τὴν προτέραν ἀποκαταστήσεταί σοι εὔνοιαν.»

Ὁ δὲ Βασιλεὺς λέων, ἐνθυμηθεὶς τῶν τοῦ θωὸς ῥημάτων, εἰπόντος αὐτῷ· «Ὡς, εἴτις κατηγορήσειεν αὐτοῦ, μὴ ἀκοῦσαι τοὺς λόγους αὐτοῦ, ἀλλὰ μετὰ τὴν ἔρευναν τὴν δίκην ἀποδοῦναι,» μετεκαλέσατο αὐτὸν, καὶ ὑπέσχετο τούτῳ, ὡς διὰ τιμῆς πλείονος αὐτὸν ἕξει. Ὁ δὲ θὼς εἶπε· «Γίνωσκε, Βασιλεῦ, ὡς μέγιστον προτέρημά ἐστι τὸ ἀνέχεσθαι τὸν ἄρχοντα τοῦ ὑπηκόου, παῤῥησιαζομένου τὴν ἀλήθειαν. Κἀγὼ οὖν εὐνοϊκῶς λέγω, ὡς οὐ χρή με εἰσέτι σοι ὑπουργεῖν· δεῖ γὰρ τοὺς βασιλεῖς παρατηρεῖν τοὺς παρ' αὐτῶν ἀδίκως βλαπτομένους, καὶ τοὺς πλοῦτον ὁμοίως ἀφαιρουμένους, καὶ τοὺς ποτὲ οἰκείους, ἀναιτίως ἀπομακρυθέντας, καὶ τοὺς στερηθέντας μισθοῦ τινος, καὶ τοὺς πλεονέκτας καὶ ἀπλήστους, καὶ λογιζομένους τὴν τῶν βασιλέων ὠφέλειαν οἰκείαν βλάβην, καὶ τὴν ἐκείνου βλάβην ἰδίαν ὠφέλειαν· οὗτοι γὰρ πάντες ἐχθρῶν τάξιν ἐπέχουσι, καὶ φευκτέοι εἰσί. Καὶ πρὸς τούτοις δέδοικα, μήπως πά-

λιν τὸ πονηρὸν τοῦτο ἄθροισμα δόλον τινὰ κατ' ἐμοῦ συῤῥάψῃ, καὶ τῇ παρούσῃ ὑπολήψει συνεργῷ πρὸς τοῦτό σοι χρήσηται.» Ὁ δὲ λέων ὑπολαβὼν ἔφη· «Ἔγνων σου τὴν φύσιν, ὡς ἀγαθή ἐστι καὶ πάσης ὑπολήψεως ἀλλοτρία· τὸν δὲ ἀγαθὸν ἄνδρα μυρίων ἐπιλαθέσθαι ἁμαρτημάτων εὐεργεσία μία παρασκευάζει. Λοιπὸν προθύμως ἡμῖν ὑπούργει.» Ἀπεκατεστάθη οὖν ὁ θὼς εἰς τὴν προτέραν αὐτοῦ ὑπεροχὴν καὶ τιμήν.

Οὕτω δεῖ τοὺς βασιλεῖς ἐπιστρέφειν πρὸς αὐτοὺς τοὺς ἑαυτῶν φίλους, οὓς ἀδίκως ποτὲ ἐδίωξάν τε καὶ ἀπεσόβησαν.

ΤΜΗΜΑ ΕΝΔΕΚΑΤΟΝ.

Ὁ δὲ Βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Καὶ τοῦτό σου τὸ παράδειγμα ἔγνων· ἀνάγγειλόν οὖν μοι, τίνα δεῖ τὸν Βασιλέα εὐεργετεῖν, καὶ πῶς δεῖ καταπιστεύεσθαι;»

Ἀρξάμενος οὖν πάλιν ὁ φιλόσοφος, τοιαῦτα τῷ Βασιλεῖ ἔφασκε ῥήματα· «Δεῖ τὸν Βασιλέα εὐεργετεῖν τοὺς εὐχαρίστους, καὶ ἀξίους τῆς εὐεργεσίας, καὶ μὴ προκρίνειν αὐτὸν τοὺς συγγενεῖς αὐτοῦ, καὶ φίλους, καὶ πλουσίους, τῶν δὲ πενήτων καταφρονεῖν· ἀλλὰ τὸν νουνεχῆ καὶ φρόνιμον εὐεργετεῖν, καὶ προσδέχεσθαι τοὺς εὐγνώμονας καὶ πιστοὺς, καὶ εἴπερ εἰσὶν ἐκ τῶν ἀχρηστοτέρων. Καὶ γὰρ οὗτοι ἐν καιρῷ ἀνάγκης ἀνταμείψονται αὐτῷ· φησὶ γάρ που τις τῶν σοφῶν· «Ἄνθρωπος ἀνθρώπῳ τὴν ἀπάντησιν προσποιεῖται· ἀνθρώπου δὲ ἀχαρίστου μὴ φείδεσθαι, μηδὲ καταπιστεύειν αὐτῷ.» Καὶ φέρω σοι ἐκ τῶν ἀλόγων ζώων τοιοῦτόν τι παράδειγμα·

Λέγεται γὰρ, ὡς ὤρυξάν τινες λάκκον τοῦ θηρεῦσαι λέοντα· ἔτυχε δὲ πεσεῖν ἐν αὐτῷ τινα χρυσοχόον, καὶ πίθηκον, καὶ δράκοντα, καὶ ὄφιν. Ἰδὼν δέ τις αὐτοὺς ἐρη-

μίτης, εἶπεν ἐν ἑαυτῷ· «Προξενήσω ἐμαυτῷ μισθὸν ἀίδιον, λυτρωσάμενος τὸν ἄνδρα τοῦτον ἐκ τῆς βλάβης τῶν θηρίων.» Χαλάσαντος οὖν τὸ σχοινίον, πρῶτος ἀνῆλθεν ὁ πίθηκος. Ἐκ δευτέρου δὲ τοῦτο τοῦ ἐρημίτου χαλάσαντος, ἀνῆλθεν ὁ ὄφις. Τρίτον δὲ ὁ δράκων. Ἀνελθόντα οὖν τὰ ζῶα χάριτας ὡμολόγουν τῷ τούτων σωτῆρι ἐρημίτῃ. Ἔλεγον δὲ αὐτῷ· «Κατάλειψον τὸν ἄνθρωπον ἐν τούτῳ τῷ λάκκῳ· ἀχάριστος γάρ ἐστι.»

Καί φησιν ὁ πίθηκος· «Ἐγὼ οἰκῶ πλησίον πόλεως Ζάνζουρ, καὶ εἰ συμβῇ σοι ἐκεῖθεν διαπεράσαι, ἀμείψομαί σε τὴν εἰς ἐμὲ γενομένην εὐεργεσίαν.» Τὸ δὲ αὐτὸ καὶ ὁ ὄφις, καὶ ὁ δράκων ἔφασαν, ἐν τοῖς τείχεσι τὴν οἴκησιν ποιεῖσθαι τῆς αὐτῆς πόλεως. Τούτων δὲ ἀπελθόντων, οὐδένα λόγον τῆς τῶν ζώων συμβουλῆς ποιησάμενος ὁ ἀσκητής, χαλάσας τὸ σχοινίον, ἀνήγαγε καὶ τὸν χρυσοχόον. Εὐχαριστήσας δὲ καὶ οὗτος, καὶ εἰπὼν ἐν τῇ αὐτῇ καὶ αὐτὸς εἰκεῖν πόλει, ἀπῆλθε, παραγγείλας τῷ ἀσκητῇ, εἴπερ ποτὲ τὴν διάβασιν ἐκεῖθεν ποιήσηται, ἐρευνῆσαι αὐτὸν, καὶ ἕτοιμον εἶναι τὴν εὐποιΐαν τῷ πεποιηκότι ἀμείψεσθαι.

Τῷ δὲ ἀσκητῇ ἱκανῶς διατρίψαντι ἐν τῇ ἐρήμῳ, συνέβη ποτὲ διὰ τῆς πόλεως ἐκείνης ἐλθεῖν. Διερχομένῳ δὲ συνήντησεν ὁ πίθηκος, καὶ ἀσπασάμενος αὐτὸν, «Ἐπίμεινον, ἐφη, μικρὸν ἔξω τῆς πόλεως, καὶ ἀνάσχου, ἕως ἐπιστρέψω.» Καὶ ἀπελθὼν προσήνεγκεν αὐτῷ ὀπώρας παντοδαπάς. Ὁ δὲ μοναχὸς λαβὼν τὰς ὀπώρας ἀπῆλθε περαιτέρω. Ἀπερχομένῳ δὲ συνήντησε καὶ ὁ δράκων, καὶ περιχαρὴς γενόμενος, ἔφη αὐτῷ· «Ἀνάσχου μικρὸν, ἕως οὗ ἀπελθὼν ταχέως πρός σε ὑποστρέψω.» Καὶ ἀπάρας ἐκεῖθεν ὁ δράκων ἀπῆλθε, καὶ ἀπέκτεινε τὴν θυγατέρα τοῦ Βασιλέως· καὶ ἀγαγὼν τὸν κόσμον αὐτῆς, δέδωκε τῷ ἀσκητῇ. Λαβὼν δὲ αὐτὸς τὸν γυναικεῖον κόσμον, εἰσῆλθεν εἰς τὴν

πόλιν, καὶ ἐρωτήσας εὗρε τὸν χρυσοχόον. Ὁ δὲ ὑπεδέξατο αὐτόν.

Ἰδὼν δὲ παρὰ τῷ ἀσκητῇ τῆς τοῦ Βασιλέως θυγατρὸς τὸν περιτραχήλειον κόσμον, ἀπῆλθε πρὸς τὸν Βασιλέα, καί φησι πρὸς αὐτόν· «Εὗρον, ὦ Βασιλεῦ, τὸν ἀποκτείναντά σου τὴν θυγατέρα, καὶ λαβόντα τὰ αὐτῆς περιδέραια· στεῖλον οὖν τινας εἰς τὸν οἰκόν μου τοῦ κρατῆσαι αὐτόν.» Ἀποσταλέντες οὖν ἐκράτησαν αὐτὸν, καὶ ἤγαγον αὐτὸν ἐνώπιον αὐτοῦ. Ἰδὼν δὲ ὁ Βασιλεὺς τὰ χρυσεῖα, προσέταξε τυφθῆναι τοῦτον. Ξαινόμενος δὲ ἔκραζεν· «Εἰ ἐγὼ τοῦ πιθήκου, καὶ δράκοντος καὶ τοῦ ὄφεως ἤκουον, οὐκ ἂν τὰ τοιαῦτα νῦν ἔπασχον.»

Μαθὼν δὲ τὸ συμβὰν ὁ ὄφις, σφόδρα τε λυπηθεὶς, ἀπελθὼν ἔδηξε τὴν χεῖρα τοῦ υἱοῦ τοῦ Βασιλέως ἰσχυρῶς· ἐλθόντες δὲ οἱ σοφοὶ καὶ ἰατροὶ τοῦ θεραπεῦσαι αὐτὸν, οὐκ ἠδυνήθησαν. Εἶπε δὲ πρὸς αὐτοὺς ὁ Βασιλέως παῖς· «Οὐ θεραπευθήσομαι ὑπό τινος, εἰμὴ διὰ τῆς εὐχῆς τοῦ ἐρημίτου· ὁ γὰρ πατὴρ ὁ ἐμὸς ἀδίκως αὐτὸν ἐτιμωρήσατο.» Τοῦτο δὲ μαθὼν ὁ Βασιλεὺς, ἤγαγε τὸν ἀσκητὴν πρὸς τὸν υἱὸν αὐτοῦ. Ὁ δὲ, στὰς ἐνώπιον πάντων, διηγήσατο τὰ κατ' αὐτόν· τὴν τῶν θηρίων εὐχαριστίαν, καὶ τοῦ χρυσοχόου ἀχαριστίαν τε καὶ προδοσίαν, καὶ συκοφαντίαν. Καὶ αὖθις εὐξάμενος ἰάσατο τὸν παῖδα. Ὁ δὲ Βασιλεὺς τιμήσας, ὡς ἐχρῆν, τὸν ἀσκητὴν, καὶ χρήματα δοὺς αὐτῷ ἱκανὰ, ἀπέπεμψε· τὸν δὲ χρυσοχόον, ὡς συκοφάντην, ἀπέκτεινεν.

Εἶτα ὁ φιλόσοφος εἶπε τῷ βασιλεῖ· «Οὕτως ἄρα δεῖ τοὺς μὲν καλοὺς εὐεργετεῖν, καὶ πιστεύειν αὐτοῖς· τοὺς δὲ ἀχαρίστους καὶ ἀπανθρώπους ἐᾶν ἄνευ τῆς ὁποιασοῦν εὐεργεσίας.»

ΤΜΗΜΑ ΔΩΔΕΚΑΤΟΝ.

Ὁ δὲ Βασιλεὺς ἔφη· «Ἔγνων καὶ τοῦτο· ἀνάγγειλόν μοι λοιπὸν, πῶς συμβαίνει τινὶ πλουτεῖν ἀπὸ πτωχείας· ἀπὸ δὲ εὐημερίας δυστυχεῖν;»

Ὁ δὲ φιλόσοφος τοῖς προλαβοῦσι ῥήμασι προσθεὶς καὶ ταῦτα, ἔφη· «Δυσνόητον πρᾶγμα ἠρώτησας, ὦ Βασιλεῦ· καὶ γάρ τινες πλουτοῦσιν ἀπὸ συμβεβηκότος κόπου, καὶ συντυχίας τινός· τινὲς δὲ καὶ ἀπὸ πείρας καὶ τέχνης· ἄλλοι δὲ ἀπὸ δυναστείας καὶ πονηρίας· ἄλλοι ἀπὸ ἐμπορίας· ἕτεροι δὲ ἀπὸ ἀσελγείας· ἀπὸ εὐγενείας ἄλλοι· καὶ ἄλλοι ἀπὸ ἀλλοτρίων κόπων· καί τινες ἀπὸ εὑρημάτων.

Εἴρηται γάρ, ὡς τέσσαρές τινες ἄνδρες, ἀτυχίᾳ περιπεσόντες ἐν ὁδῷ τινι, οἷα συμβαίνει, τούτους γνωσθῆναι συνέβη· ἦν δὲ τούτων ὁ μὲν εἷς Βασιλέως υἱὸς, ὁ δὲ ἕτερος ἐξ ἐνδόξων εὐγενὴς, καὶ λίαν εὐειδής· ὁ τρίτος δὲ ἐμπόρου, καὶ ὁ τέταρτος γεωργοῦ ἦσαν υἱοί. Ὁδευόντων δὲ αὐτῶν εἶπεν ὁ τοῦ Βασιλέως υἱός· «Πάντα τὰ τοῦ βίου τούτου προωρισμένα εἰσί, καὶ τῇ εἱμαρμένῃ ὑπόκειται.» Ὁ δὲ τοῦ ἐμπόρου υἱὸς, «Ἡ φρόνησίς, φησι, πάντων κρείττων ἐστίν.» Ὁ δὲ ἐξ εὐγενῶν ὤν, «Τὸ ἐν τῷ ἀνθρώπῳ κάλλος, φησί, πάντων, ὧν εἴπετε, κρεῖττόν ἐστι.» Ὑπολαβὼν δὲ καὶ ὁ τοῦ γεωργοῦ υἱὸς, «Τὸ πονεῖν, ἔφη, καὶ μοχθεῖν, πάντα ὑπερβαίνει.»

Πλησιάσαντες δέ τινι πόλει, καὶ τῶν πρὸς τροφὴν ἐν ἀπορίᾳ ὄντες, ἔφησαν τῷ τοῦ γεωργοῦ υἱῷ· «Ἀπελθὼν μοχθήσας τε καὶ πονήσας προσένεγκε ἡμῖν βρώματα σήμερον.» Ἀπελθὼν δὲ ἐν τῷ ὄρει ἐκεῖνος, καὶ ξύλα κομίσας πέπρακεν εἰς τὴν ἀγοράν, καὶ διὰ τῆς τιμῆς ὠνήσατο αὐτοῖς τροφὰς, καὶ ἔφαγον. Καὶ ἐξελθόντες τῆς πύλης τῆς πόλεως, ἔγραψαν ἐν αὐτῇ· «*Μιᾶς ἡμέρας μ ὄχθος ἄνδρας ἐκόρεσε τέσσαρας.*

Τῇ δὲ ἑξῆς εἶπον τῷ υἱῷ τοῦ εὐγενοῦς τῷ ὡραίῳ· «Ἄπελθε καὶ σὺ σήμερον, καὶ ἔνεγκε ἡμῖν διὰ τοῦ σοῦ κάλλους τροφὰς, ὅπως φάγωμεν· πεινῶμεν γάρ, ὡς οἶσθα, καὶ οὐκ ἔχομέν τι φάγωμεν.» Ὁ δὲ ἀπελθὼν διελογίζετο ἐν ἑαυτῷ λέγων· «Τέχνην οὐ γινώσκω, κενὸς πρὸς τοὺς ἐμοὺς ὑποστρέψαι ἐρυθριῶ.» Ἐβουλήθη οὖν οἷα μὴ ἐπανακάμψαι πλέον πρὸς αὐτούς. Διαλογιζόμενον δὲ τὰ τοιαῦτα, κόρη τις τῶν εὐγενῶν, ἰδοῦσα ἐκ τῆς θυρίδος, ἠράσθη τούτου, καὶ πέμψασα τὴν δούλην αὐτῆς, προσεκαλέσατο αὐτόν. Διημερεύσασα δὲ μετ' αὐτοῦ, ἤσθιε καὶ ἔπινε σὺν αὐτῷ· ὀψίας δὲ γενομένης, δοῦσα αὐτῷ χρήματα ἱκανὰ, ἀπέπεμψεν αὐτόν. Ὁ δὲ λαβὼν αὐτὰ, ἐθρέψε καὶ αὐτὸς τοὺς ἑταίρους αὐτοῦ, γράψας καὶ αὐτὸς ἐν τῇ πύλῃ τῆς πόλεως· *Μιᾶς ἡμέρας κάλλος, τροφὰς ἀνδράσιν ἐχορήγησε τέσσαρσιν.*

Τῇ δὲ ἐπιούσῃ εἶπον τῷ υἱῷ τοῦ ἐμπόρου· «Ἄπελθὼν καὶ σὺ σήμερον θρέψον ἡμᾶς, γνώσει τε, καὶ φρονήσει τῇ σῇ.» Ὁ δὲ ἀπελθὼν πρὸς τὸν τῆς πόλεως λιμένα, ὁρᾷ πλοῖον ἱκανὰς ἐμπορίας ἔχον. Ἐλθόντων δὲ τῶν τῆς πόλεως ἐμπόρων, καὶ μηδὲν ὠνησάντων, ἔσχατον ἦλθε καὶ αὐτὸς, καὶ ἐτιμήσατο μετὰ τοῦ ναυκλήρου τὴν τιμὴν πάσης τῆς ἐμπορίας εἰς ἑαυτὸν χίλια νομίσματα. Καὶ λαβὼν αὐτὰ, ἀπῆλθε πρὸς τοὺς φίλους, καὶ ἐξελθὼν ἔγραψε καὶ αὐτός· *Ἡ ἐμπορία μιᾶς ἡμέρας ὠφέλησε χίλια νομίσματα.* Καὶ ἐτρύφησαν τῇ ἡμέρᾳ ἐκείνῃ πάνυ καλῶς.

Τῇ δὲ ἐπαύριον εἶπον τῷ υἱῷ τοῦ Βασιλέως· «Ἄπελθε καί σοι, καὶ ποίησον τὸ κατὰ δύναμιν.» Ὁ δὲ ἀπελθὼν ἐκάθισε παρὰ τὴν πύλην τῆς πόλεως περιχαρής, τί διαπράξασθαι οὐκ εἰδώς. Συνέβη δὲ τῇ ἡμέρᾳ ἐκείνῃ τελευτῆσαι τὸν Βασιλέα τῆς πόλεως ἐκείνης ἄτεκνον, μὴ καταλιπόντα κληρονόμον τῆς αὐτοῦ Βασιλείας. Ἐξερχόμενοι δὲ τοῦ κηδεῦσαι αὐτὸν, ὁρῶσι τὸν νέον ἀτάκτως καθήμενον καὶ περιχαρῆ, καὶ

ἤρξαντο ὑβρίζειν αὐτόν. Ἀτιμάσαντες δὲ, ἔβαλον αὐτὸν εἰς φυλακήν. Κηδεύσαντες δὲ τὸν βασιλέα, καὶ ὑποστρέψαντες ἐβουλεύοντο, τίνα καταστήσωσιν ἑαυτοῖς βασιλέα. Ὁ δὲ τούτων προέχων· «Ἀγάγετέ, φησι, πρῶτον τὸν νέον ἐκεῖνον, καὶ ἐτάσωμεν αὐτὸν, πόθεν ἐστὶ, μήπως κατάσκοπος εἴη τῆς ἡμετέρας πόλεως.»

Ἀχθεὶς οὖν καὶ ἐρωτηθεὶς παρ' αὐτῶν, εἶπεν αὐτοῖς· «Ἐγὼ μέν εἰμι υἱὸς Σανταμὰν τοῦ βασιλέως, καὶ τελευτήσας ὁ πατήρ μου κατεκράτησε τῆς αὐτοῦ βασιλείας ὁ ἐμὸς ἀδελφός· ἐγὼ δὲ φοβηθεὶς ἀπέδρασα ἀπ' αὐτοῦ, καὶ εἰμὶ τὰ νῦν ἐν ἐχάτῃ πενίᾳ καὶ κακῇ ταλαιπωρίᾳ.» Ἀκούσαντες δὲ ταῦτα οἱ πολῖται καὶ γνωρίσαντες τοὺς λόγους αὐτοῦ, ἔστεψαν αὐτὸν βασιλέα τῆς αὐτῶν πόλεως· καὶ καθίσαντες αὐτὸν ἐπὶ ἐλέφαντος, ἐποίησαν αὐτῷ προπομπὴν ἐν πάσῃ τῇ πόλει ἐκείνῃ. Ἐλθὼν οὖν καὶ αὐτὸς ἐν τῇ πύλῃ, ἰδών τε καὶ ἀναγνωρίσας τῶν ἑταίρων αὐτοῦ τὰς γραφὰς, προσέταξε γραφῆναι καὶ τὸ αὐτοῦ ὄνομα. Οἱ δὲ γεγράφασιν οὕτως· *Πόνος, κάλλος, γνῶσις καὶ πᾶν ἀγαθὸν ἐκ τῆς τοῦ Θεοῦ προνοίας ἐστίν.* Εἶτα ἀπελθὼν εἰς τὰ βασίλεια, ἐκαλέσατο τοὺς συνοδοιπόρους αὐτοῦ, καὶ δέδωκεν αὐτοῖς χρήματα ἐκ τῆς βασιλείας ἱκανὰ, καὶ μεγάλως τιμήσας αὐτοὺς, ἀπέλυσεν ἐν εἰρήνῃ. Καὶ ἐδόξασαν τὸν Θεὸν, τὸν διδόντα καὶ εὐεργετοῦντα ἕκαστον κατὰ τὴν αὐτοῦ πρόνοιαν.

Οὕτως ἄρα, ὦ Βασιλεῦ, οἱ πάντες πλουτοῦσιν, ἐκ τῆς ἰδίας τύχης, πόνου, συγγενείας, εὐγενείας καὶ γνώσεως, δυνάμει τε καὶ Θεοῦ προνοίᾳ.

ΤΜΗΜΑ ΔΕΚΑΤΟΝ ΤΡΙΤΟΝ.

Ὁ δὲ βασιλεὺς εἶπεν· «Ἔγνωκα δὴ καὶ τοῦτο τὸ ὑπόδειγμα· λοιπὸν ἀνάγγειλόν μοι· πῶς ἐπιλανθάνεταί τις τῆς εἰς ἑτέρους

γενομένης βλάβης, ἀβλαβὴς αὐτὸς ὤν· βλαφθεὶς δὲ παραίνεσις καὶ παιδεία αὐτῷ γίνεται ἡ δι' ἑτέρου ἐπιγενομένη συμφορά;»

Ἀρξάμενος δὲ πάλιν ὁ φιλόσοφος εἶπε· «Πᾶς ὁ ἐπιχειρῶν ἕτερον βλάπτειν, ἵνα ἑαυτὸν ὠφελήσῃ, ἄφρων ἐστὶ καὶ ἀσύνετος. Καὶ ἐὰν εἰς νοῦν μὴ ἔχῃ τὴν τοῦ ἐκδικήματος ἀντέκτισιν, καὶ τῆς τελευταίας ἡμέρας ἀντάμειψιν, πάσχει κακῶς, καὶ μετανοήσας ἴσως ὠφεληθήσεται οὐδέν, καὶ πάλιν παιδευθήσεται διὰ τῆς ὑφ' ἑτέρων εἰς αὐτὸν γενομένης βλάβης, ὥσπερ δὴ καὶ ἡ λέαινα πέπονθε.

Λέγεται γάρ, ὡς λεαινά τις εἶχε δύο σκύμνους· καὶ ἐξελθοῦσα πρὸς θήραν κατέλιπεν αὐτοὺς ἐν ὕλῃ τινί. Διελθὼν δὲ διὰ ταύτης ὁ θηρευτὴς, καὶ εὑρὼν τούτους ἀπέκτεινε, καὶ λαβὼν τὰ δέρματα αὐτῶν ἀπῆλθεν. Ἐλθοῦσα δὲ ἡ λέαινα, καὶ ἰδοῦσα τὸ γεγονὸς, ἐλυπήθη σφόδρα, καὶ ἔκλαιεν ἀπαραμυθήτως.

Ἀκούσασα δέ τις ἄρκαινα τὸν κοπετὸν αὐτῆς, ἦλθε τοῦ παραμυθήσασθαι αὐτὴν καὶ φησί· «Τί ὅτι περίλυπος εἶ; καὶ τίσοι γέγονεν;» Ἡ δὲ λέαινα ἔφη· «Καὶ πῶς μὴ κλαύσω; ἢ μὴ θρηνήσω, καὶ κόψομαι, ἀποβαλοῦσα τοὺς δύο μου σκύμνους, οὓς ἐν τῷ καλαμῶνι κεκρυμμένους εἶασα; Τούτους γὰρ εὑρὼν ὁ θηρευτὴς, οἴμοι! ἀκέκτεινε, καὶ ἐκδορήσας ἦρε τὰ αὐτῶν κώδια, καὶ ἀπῆλθεν.»

Ἡ δὲ ἄρκαινα ἔφη πρὸς αὐτήν· «Μὴ λυποῦ, μήτε κλαῖε· καὶ γὰρ ἔπαθες, ὅπερ ἔπραττες. Μὴ θλίβου, καὶ γὰρ σὺ πολλοὺς ἔθλιψας, καὶ ἀτέκνους ἐποίησας, καὶ τῷ μέτρῳ, ᾧ ἐμέτρησας, ἀντεμετρήθη σοι· καὶ ὅπερ ἔδρασας, πέπονθας· καὶ ὅπερ ἔσπειρας, τοῦτο καὶ ἐθέρισας. Πᾶς γὰρ ὁ καθ' ἑτέρου δόλον συρράπτων, αὐτὸς εἰς αὐτὸν ἐμπεσεῖται.»

Ἡ δὲ λέαινα, «Τῷ τρόπῳ τοῦτο φῆς, ἔφη;» Ἡ δὲ «Πόσα ἔτη, φησὶν, ἔχεις;» Καὶ ἡ λέαινα, «Πολλὰ,» ἔφη·» —«Τί δὲ ἤσθιες;»

αὖθίς φησιν ἡ ἄρκαινα. Κἀκείνη, «Ζώων σάρκας.» — «Καὶ τίς σοι, φησὶν ἡ ἄρκαινα, τὰς σάρκας τῶν ζώων ἐδίδου;» (Κἀκείνη·) «Ἐθήρευον αὐτὰς ἐν τῷ ὄρει.» — «Τί δὲ τὰ ζῶα ταῦτα, ὑπολαβοῦσα ἔφη ἡ ἄρκαινα, οὐκ εἶχον γονεῖς;» Ἡ δὲ, «Καὶ μάλα.» — «Καὶ διατί οὐχ ὁρῶμεν ἐκεῖνα πενθοῦντά φησιν ἡ ἄρκαινα, ὥσπερ σὺ πενθεῖς πικρῶς τὰ ἴδια;

Τέτλαθι δὴ παθοῦσα ἄπαξ, ὅπερ πεποίηκας πολλάκις· πέπονθας δὲ τοῦτο διὰ τὸ μὴ ἐνθυμεῖσθαί σε τὴν ἀντάμειψιν.» Ἀκούσασα δὲ ταῦτα ἡ λέαινα, καὶ γνοῦσα, ὅτι αὐτὴ ἑαυτῇ τοιαῦτα προϋξένησεν ἀτυχήματα, μετάμελος γέγονε σφόδρα, καὶ χαίρειν εἰποῦσα τῇ σαρκοφαγίᾳ, ἐτρέφετο παρ᾽ ὅλην αὐτῆς τὴν ζωὴν ἐκ τῶν καρπῶν τῶν δένδρων.

Εἶτα ὁ φιλόσοφος εἶπε τῷ βασιλεῖ· «Ὁ ἐάσας τὸ βλάπτειν ἑτέρους, διὰ τῆς εἰς αὐτὸν γενομένης βλάβης διδαχθήσεται πράως τὰς δυστυχίας ὑποφέρειν.»

ΤΜΗΜΑ ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ.

Ὁ δὲ βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Καλῶς εἴρηκας, καὶ ἔγνων ταῦτά σου τὰ παραδείγματα. Λοιπὸν ὑποδειγμάτισόν μοι· πῶς χρὴ τοὺς βασιλεῖς εὐνοϊκοὺς συμβούλους προσλαμβάνεσθαι, καὶ τίς ἡ ἐκ τούτων ὠφέλεια.»

Ὁ δὲ φιλόσοφος ὑπολαβὼν εἶπε τοιοῦτον παράδειγμα περί τινος πρωτοσυμβούλου τῶν μυῶν Βασιλέως, συνέσει καὶ ἀγχινοίᾳ κεκοσμημένου· διὸ καὶ οἰκεῖος τῷ βασιλεῖ ἐχρημάτιζεν, οὗ ταῖς ὑποθήκαις καὶ ταῖς παραινέσεσι τὰ μέγιστα ὅ,τε Βασιλεὺς, καὶ οἱ ὑπ᾽ αὐτὸν πάντες ὠφελοῦντο.

Λέγεται γὰρ, ὡς ἐν ἐρήμῳ τινὶ πόλις ἦν ἀσφαλῶς κατωχυρωμένη, ἐν ᾗ ἤρχέ τις μῦς Τρωγλοδύτης καλούμενος. Εἶχε δὲ τρεῖς πρωτοσυμβούλους· ὄνομα τῷ ἑνὶ Τυροφάγος, τῷ δὲ ἑτέρῳ Κρεοβόρος, τῷ τρίτῳ δὲ Ὀθονοφάγος. Τούτων ὁ Τυ-

ροφάγος ἦν λίαν ἐχέφρων καὶ συνετὸς, καὶ δι' οἰκείαν, ὡς ἔφην, σύνεσιν λίαν τῷ Βασιλεῖ ᾠκειωμένος. Συνελθόντες οὖν ποτε ἅμα τῷ αὐτῶν Βασιλεῖ ἐμακάριζον τὸν ἑαυτῶν βίον, καὶ τὴν ἐνοῦσαν αὐτοῖς εὐδαιμονίαν ἐδιηγοῦντο, μηδὲν ἕτερον λέγοντες εἶναι αὐτοῖς (παρεμπόδισμα) τῆς ἡδονῆς, ἢ τὸ πλῆθος τῶν κρειττόνων, καὶ βουλεύεσθαί τι περὶ αὐτῶν κυριώτερον προτρέποντες ἑαυτούς.

Ὁ δὲ Βασιλεὺς Τρωγλοδύτης ὑπολαβὼν εἶπε· «Δεῖ τὸν βασιλέα τὸ οἰκεῖον πρότερον ἐπιτηδεύεσθαι ἀγαθόν· εἶτα καὶ τὸ τῆς ἰδίας ποίμνης. Ἔπειτα φροντίζειν περὶ σωτηρίας τῶν παίδων καὶ τῶν συγγενῶν· καὶ πρὸς δύο σκοποὺς ἀφορᾷν, πρός τε τὴν τοῦ ἀγαθοῦ ἐπίκτησιν, καὶ τὴν τοῦ κακοῦ ἀποδίωξιν. Δεῖ οὖν καὶ ἡμᾶς τὸ ἐπισκοτοῦν τῷ φωτὶ τῆς ἡμετέρας εὐδαιμονίας πάθος ἀφ' ἡμῶν ἀποσοβῆσαι.»

Ὑπολαβόντες οὖν οἵ τε Κρεοβόρος καὶ ὁ Ὀθονοφάγος εἶπον αὐτῷ· «Χαίροις, ὦ Βασιλεῦ, ὡς καλῶς πάνυ ἐσκόπησας, καὶ φιλαγάθως τῆς οἰκείας προενόησας ποίμνης· δεῖ γὰρ πρὸς τὴν κυβέρνησιν ἀνδρὸς φρονίμου, καὶ τύχης δεξιᾶς. Καὶ ἡμεῖς οὖν πάντες σου ἠρτήμεθα, καὶ τῆς σῆς εὐστόχου συνέσεως. Καὶ δεῖ πάντας τοὺς μύας συνδραμεῖν, καὶ τῶν πόνων, καὶ τῶν μόχθων συμμεταλαβεῖν· ὥστε κατορτωθῆναι τὸ μέγιστον τουτὶ ἐπιχείρημα.»

Ταῦτα τῶν δύο πρωτοσυμβούλων εἰπόντων, ὁ Τυροφάγος ἐσιώπα, μηδ' ὅλως φθεγγόμενος. Πρὸς ὃν ὁ Βασιλεὺς ἔφη· «Ἵνα τί σιωπᾷς σὺ, καὶ τὸ δοκοῦν σοι οὐχ ὑποφάνεις ἡμῖν; ἢ οὐκ οἶσθα, ὡς οἱ ἄνθρωποι βουλευτήρια συνιστῶσι, καὶ περὶ τῶν μελλόντων συμβουλεύονται, καὶ περὶ τῶν πρακτέων, καὶ οὐδὲν αὐτοῖς ὄνειδος; Ἢ τίς ὑπόπτωσις ἐκ τοῦ βουλεύεσθαι γίγνεται;» Ταῦτα ἀκούσας ὁ Τυροφάγος εἶπε· «Μή με μέμφου τῆς σιωπῆς, ὦ Βασιλεῦ· καὶ γὰρ δι' οὐδὲν ἕτερον ἐσιώπησα, ἢ διὰ τὸ διαλογίζεσθαι, πῶς ἀνακρινοῦμαί σοι.

αὖθίς φησιν ἡ ἄρκαινα. Κἀκείνη, «Ζώων σάρκας.» — «Καὶ τίς σοι, φησὶν ἡ ἄρκαινα, τὰς σάρκας τῶν ζώων ἐδίδου;» (Κἀκείνη·) «Ἐθήρευον αὐτὰς ἐν τῷ ὄρει.» — «Τί δὲ τὰ ζῶα ταῦτα, ὑπολαβοῦσα ἔφη ἡ ἄρκαινα, οὐκ εἶχον γονεῖς;» Ἡ δὲ, «Καὶ μάλα.» — «Καὶ διατί οὐχ ὁρῶμεν ἐκεῖνα πενθοῦντά φησιν ἡ ἄρκαινα, ὥσπερ σὺ πενθεῖς πικρῶς τὰ ἴδια;

Τέτλαθι δὴ παθοῦσα ἄπαξ, ὅπερ πεποίηκας πολλάκις· πέπονθας δὲ τοῦτο διὰ τὸ μὴ ἐνθυμεῖσθαί σε τὴν ἀντάμειψιν.» Ἀκούσασα δὲ ταῦτα ἡ λέαινα, καὶ γνοῦσα, ὅτι αὐτὴ ἑαυτῇ τοιαῦτα προϋξένησεν ἀτυχήματα, μετάμελος γέγονε σφόδρα, καὶ χαίρειν εἰποῦσα τῇ σαρκοφαγίᾳ, ἐτρέφετο παρ' ὅλην αὐτῆς τὴν ζωὴν ἐκ τῶν καρπῶν τῶν δένδρων.

Εἶτα ὁ φιλόσοφος εἶπε τῷ βασιλεῖ· «Ὁ ἐάσας τὸ βλάπτειν ἑτέρους, διὰ τῆς εἰς αὐτὸν γενομένης βλάβης διδαχθήσεται πράως τὰς δυστυχίας ὑποφέρειν.»

ΤΜΗΜΑ ΔΕΚΑΤΟΝ ΤΕΤΑΡΤΟΝ.

Ὁ δὲ βασιλεὺς τῷ φιλοσόφῳ ἔφη· «Καλῶς εἴρηκας, καὶ ἔγνων ταῦτά σου τὰ παραδείγματα. Λοιπὸν ὑποδειγμάτισόν μοι· πῶς χρὴ τοὺς βασιλεῖς εὐνοϊκοὺς συμβούλους προσλαμβάνεσθαι, καὶ τίς ἡ ἐκ τούτων ὠφέλεια.»

Ὁ δὲ φιλόσοφος ὑπολαβὼν εἶπε τοιοῦτον παράδειγμα περί τινος πρωτοσυμβούλου τῶν μυῶν Βασιλέως, συνέσει καὶ ἀγχινοίᾳ κεκοσμημένου· διὸ καὶ οἰκεῖος τῷ βασιλεῖ ἐχρημάτιζεν, οὗ ταῖς ὑποθήκαις καὶ ταῖς παραινέσεσι τὰ μέγιστα ὅ,τε Βασιλεὺς, καὶ οἱ ὑπ' αὐτὸν πάντες ὠφελοῦντο.

Λέγεται γὰρ, ὡς ἐν ἐρήμῳ τινὶ πόλις ἦν ἀσφαλῶς κατωχυρωμένη, ἐν ᾗ ἤρχέ τις μῦς Τρωγλοδύτης καλούμενος. Εἶχε δὲ τρεῖς πρωτοσυμβούλους· ὄνομα τῷ ἑνὶ Τυροφάγος, τῷ δὲ ἑτέρῳ Κρεοβόρος, τῷ τρίτῳ δὲ Ὀθονοφάγος. Τούτων ὁ Τυ-

ροφάγος ἦν λίαν ἐχέφρων καὶ συνετὸς, καὶ δι' οἰκείαν, ὡς ἔφην, σύνεσιν λίαν τῷ Βασιλεῖ ᾠκειωμένος. Συνελθόντες οὖν ποτε ἅμα τῷ αὐτῶν Βασιλεῖ ἐμακάριζον τὸν ἑαυτῶν βίον, καὶ τὴν ἐνοῦσαν αὐτοῖς εὐδαιμονίαν ἐδιηγοῦντο, μηδὲν ἕτερον λέγοντες εἶναι αὐτοῖς (παρεμπόδισμα) τῆς ἡδονῆς, ἢ τὸ πλῆθος τῶν κρειττόνων, καὶ βουλεύεσθαί τι περὶ αὐτῶν κυριώτερον προτρέποντες ἑαυτούς.

Ὁ δὲ Βασιλεὺς Τρωγλοδύτης ὑπολαβὼν εἶπε· «Δεῖ τὸν βασιλέα τὸ οἰκεῖον πρότερον ἐπιτηδεύεσθαι ἀγαθόν· εἶτα καὶ τὸ τῆς ἰδίας ποίμνης. Ἔπειτα φροντίζειν περὶ σωτηρίας τῶν παίδων καὶ τῶν συγγενῶν· καὶ πρὸς δύο σκοποὺς ἀφορᾷν, πρός τε τὴν τοῦ ἀγαθοῦ ἐπίκτησιν, καὶ τὴν τοῦ κακοῦ ἀποδίωξιν. Δεῖ οὖν καὶ ἡμᾶς τὸ ἐπισκοτοῦν τῷ φωτὶ τῆς ἡμετέρας εὐδαιμονίας πάθος ἀφ' ἡμῶν ἀποσοβῆσαι.»

Ὑπολαβόντες οὖν οἵ τε Κρεοβόρος καὶ ὁ Ὀθονοφάγος εἶπον αὐτῷ· «Χαίροις, ὦ Βασιλεῦ, ὡς καλῶς πάνυ ἐσκόπησας, καὶ φιλαγάθως τῆς οἰκείας προενόησας ποίμνης· δεῖ γὰρ πρὸς τὴν κυβέρνησιν ἀνδρὸς φρονίμου, καὶ τύχης δεξιᾶς. Καὶ ἡμεῖς οὖν πάντες σου ἠρτήμεθα, καὶ τῆς σῆς εὐστόχου συνέσεως. Καὶ δεῖ πάντας τοὺς μύας συνδραμεῖν, καὶ τῶν πόνων, καὶ τῶν μόχθων συμμεταλαβεῖν· ὥστε κατορτωθῆναι τὸ μέγιστον τουτὶ ἐπιχείρημα.»

Ταῦτα τῶν δύο πρωτοσυμβούλων εἰπόντων, ὁ Τυροφάγος ἐσιώπα, μηδ' ὅλως φθεγγόμενος. Πρὸς ὃν ὁ Βασιλεὺς ἔφη· «Ἵνα τί σιωπᾷς σὺ, καὶ τὸ δοκοῦν σοι οὐχ ὑποφάνεις ἡμῖν; ἢ οὐκ οἶσθα, ὡς οἱ ἄνθρωποι βουλευτήρια συνιστῶσι, καὶ περὶ τῶν μελλόντων συμβουλεύονται, καὶ περὶ τῶν πρακτέων, καὶ οὐδὲν αὐτοῖς ὄνειδος; Ἢ τίς ὑπόπτωσις ἐκ τοῦ βουλεύεσθαι γίγνεται;» Ταῦτα ἀκούσας ὁ Τυροφάγος εἶπε· «Μή με μέμφου τῆς σιωπῆς, ὦ Βασιλεῦ· καὶ γὰρ δι' οὐδὲν ἕτερον ἐσιώπησα, ἢ διὰ τὸ διαλογίζεσθαι, πῶς ἀνακρινοῦμαί σοι.

Γίνωσκε οὖν, ὦ κραταιότατε Βασιλεῦ, ὡς τὸ ἔργον τοῦτο δυσχερές ἐστι, καὶ διὰ τὴν τούτου δυσχέρειαν, οὔτε οἱ πρόγονοι ἡμῶν, οὐθ' ἕτεροι τοῦτο ἐπεχείρησαν διαπράξασθαι· ἀλλ', ὡς ἀδύνατον, εἴασαν καὶ παρεῖδον.»

Οὕτω δεῖ τοὺς βασιλεῖς τοιούτους ἔχειν συμβούλους, οἷος ἦν ὁ Τυροφάγος οὗτος μῦς, καὶ πάνυ ὠφεληθήσονται.

ΤΜΗΜΑ ΔΕΚΑΤΟΝ ΠΕΜΠΤΟΝ.

Ὁ δὲ βασιλεὺς τῷ φιλοσόφῳ εἶπεν· «Ἔγνων καὶ τὸ τοιοῦτον παράδειγμα. Λοιπὸν ἔσχατον τοῦτο ἀνάγγειλόν μοι. «Πῶς δεῖ τὸν ἄνθρωπον μὴ ζητεῖν, ὃ οὐ δύναται καταλαβεῖν, ἵνα μὴ καὶ ὅπερ ἔχει ἀπωλέσῃ;»

Ἔσχατον δὲ πάντων ὁ φιλόσοφος οὕτως εἶπε τῷ Βασιλεῖ· «Ἦν ἔν τινι τόπῳ ἀσκητής τις εὐλαβὴς καὶ φοβούμενος τὸν θεόν. Κατέλυσε δὲ παρ' αὐτῷ ξένος ἀνὴρ λίαν μωρός. Ὁ δὲ ἀσκητὴς παρέθηκεν αὐτῷ τράπεζαν, καὶ προσέφερεν αὐτῷ ἄρτους καὶ φοίνικας καὶ ὕδωρ.

Ὁ δὲ ξένος ἐσθίων ἔλεγε τῷ ἀσκητῇ· «Γλυκέα μοι φαίνονται ταῦτα· οὐκ εἰσὶ δὲ ἐν τῇ ἡμετέρᾳ χώρᾳ οἱ φοίνικες οὗτοι. Ἀλλ' οὖν ἔχομεν ἑτέρας ὁπώρας γλυκέας, οἷον ἰσχάδας, καὶ σταφίδας, καὶ ἑτερά τινα, οἷς ἀρκούμεθα. Ἀλλ' οὗτοι ἥρεσάν μοι, καὶ θέλω ἐκ τούτων κτήσασθαι.» Ὁ δὲ ἀσκητὴς ἔφη· «Καλῶς εἶπας· ἀλλ' ἡ ἁπλοστία ἀκόρεστον ποιεῖ τὸν ἄνθρωπον, καὶ οὐκ ἀρκεῖται ἐν οἷς ἔχει, ἀλλ' ἐφίεται τῶν ἀλλοτρίων, καὶ διὰ τοῦτο κοπιᾷ καὶ μοχθεῖ ἀποκτήσασθαι, ἅπερ οὐκ ἔχει, καὶ ἕνεκεν τούτων ἀπόλλυσι, καὶ ἃ ἔχει.»

Ὁ δὲ ξένος τῷ μοναχῷ ἔφη· «Ἤκουσα παρά σου λέξιν τινὰ χαλδαϊκὴν, καὶ θαυμαστή μοι ἐφάνη. Εἰ οὖν βούλει, διδαξόν μοι ταύτην· ἐπιθυμῶ γὰρ αὐτὴν εἰδέναι, καὶ ταχέως

μαθεῖν αὐτὴν δύναμαι.» Καὶ ὁ ἀσκητὴς πρὸς αὐτόν· «Μὴ βουληθῇς καταλιπεῖν τὰ σὰ, καὶ ζητεῖν ἕτερα, ἃ οὐ δύνασαι καταλαβεῖν, καὶ πάθῃς τὸ τοῦ κόρακος.

Λέγεται γὰρ, ὡς κόραξ τις, ἰδὼν πέρδικα περιπατοῦσαν, ἠβουλήθη μαθεῖν περιπατεῖν ὡς ἐκείνη. Γυμνάσας οὖν ἑαυτὸν, οὐκ ἠδυνήθη μαθεῖν αὐτὸ, ἀλλὰ καὶ τὸ ἴδιον ἀπώλεσε. Διὰ τοῦτο κατελείφθη ἠπορημένος, μήτε τὸ ἴδιον ἔχων, μήτε τὸ ζητούμενον παραλαβών. Τοῦτό σοι διεξείην, ἵνα μὴ, ζητῶν λέξιν, ἣν οὐ δύνασαι καταμαθεῖν, ἀπωλέσῃς καὶ τὴν ἰδίαν. Εἴρηται γάρ, ὡς ἄφρων λογίζεται, ὁ καταλιπὼν, ὅπερ ἔχει, καὶ ζητῶν τὰ μὴ αὐτῷ προσήκοντα, καὶ ἀγωνιζόμενος κτήσασθαι. ἃ οὐ δύναται καταλαβεῖν, καὶ ἃ οὐδεὶς τῶν ἑαυτοῦ κατέλαβεν, οὔτε πατὴρ, οὔτε πάππος, καὶ οὐ πρέπον αὐτῷ ἐστι τοῦτο.

Οὕτω δεῖ πάντα ἄνθρωπον μὴ ζητεῖν πρᾶγμα, ὃ οὐ δύναται καταλαβεῖν, ἵνα μὴ, ὅπερ ἔχει, ἀπωλέσῃ.»

Ταῦτα εἰπὼν ὁ σοφὸς ἐσίγησε. Μετὰ δὲ ταῦτα εἶπε τῷ βασιλεῖ· «Βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι! ἐν σοὶ γὰρ πᾶσα ἀρετὴ καὶ δόξα καὶ τιμή. Ἐγὼ δὲ περὶ τῶν σῶν ἐρωτήσεων, καὶ ὑποθέσεων ἀπεκρίθην, καὶ ἡρμήνευσα κατὰ τὴν ἐμὴν γνώμην καὶ γνῶσιν. Καὶ νῦν πρὸς τούτοις ζητῶ τὴν σὴν θεραπείαν καὶ τὴν ἐμοὶ παρὰ σοῦ εὐεργεσίαν.»

Ταῦτα τὰ ιέ. Τμήματα μετέβαλεν ἐκ τῆς Ἰνδικῆς εἰς τὴν Περσίδα διάλεκτον ὁ σοφὸς ἰατρὸς Περζωὲ, μετακομίσας ἐκ τῆς Ἰνδίας τῷ Βασιλεῖ Χοσρόῃ· ἐκ δὲ τῆς Ἀράβων παρ' ἡμῶν εἰς τὴν Ἑλληνίδα, καὶ εἰσὶ παρ' ἡμῖν μέχρι τῆς σήμερον, εἰς ὠφέλειαν τῶν ἀναγινωσκόντων.

ΤΕΛΟΣ.

ΨΙΤΤΑΚΟΥ

ΜΥΘΟΛΟΓΙΑΙ ΝΥΚΤΕΡΙΝΑΙ.

«Προσκυνησας *τὴν θεὰν Σαρασβατὴν, τὴν ἔφορον*
»*πάσης ἐπιστήμης καὶ μαθήσεως, συγγράφω Ψιττακοῦ*
»*Μυθολογίας, εἰς ἡδεῖαν διατριβὴν τῶν νοημόνων ἀν-*
»*θρώπων.*

Ἔστι πόλις, Σκνδρακαλὰ τοὔνομα, ἧς ὁ Βασιλεὺς Βικραμασένας ὠνομάζετο. Ἦν δ' ἐκεῖ καὶ ἔμπορος, Χαριδάτας καλούμενος, οὗ ὁ υἱὸς, ᾧ ὄνομα Μαδάνας, γυναῖκα ἔγημε, ἧ ὄνομα Πραββαβατή. Ἦν δ' αὐτὸς ὁ Μαδάνας ἀμελῶν τοῦ ἐμπορικοῦ ἔργου, ἀνήκοος τῶν λόγων τοῦ πατρὸς καὶ τῆς μητρὸς, ἡδυπαθής τε καὶ φιλήδονος. Πρὸς ὃν, Βραχμάν τις, φίλος πατρικὸς, Τριβικράμας ὀνόματι, ἤνεγκεν ἕνα Σούκαν, (Ψιττακοὶ), καὶ μίαν Σαρικὰν, (Κίσσαν), εἰς νουθεσίαν.

Καί ποτε ὁ Σούκας, ὢν ἐν τῇ κύρτῃ, ἐξεφώνησε πρὸς τὸν Μαδάναν ταῦτα· « Ἐκ τῶν ὀφθαλμῶν τῶν σῶν γονέων,
»λυπουμένων, δάκρυα πολλὰ κατὰ γῆς χέονται· ἐκ δὲ τού-
»του ἔγκλημά σοι γίνεται, καθὼς τῷ Δεβασσαρμᾶνι. » Ἐρωτήσαντος δὲ τοῦ Μαδάνα, οἷός τις εἴη αὐτὸς ὁ Δεβασσαρμὰν, ὁ Σούκας ἀπεκρίνατο· « Ἐν πόλει, ᾗ ὄνομα Πανσαπούρα, Βραχμὰν ἦν, Σατεσσαρμὰν καλούμενος, οὗ ὁ υἱὸς, ᾧ ὄνομα Δεβασσαρμὰν, καί τοι ἦν πεπαιδευμένος, ἀπεδήμησεν ἐπὶ προφάσει παιδείας, ἄνευ τῆς πατρικῆς καὶ μητρικῆς ἀδείας· κατὰ δὲ τὴν ὁδὸν, ὀργισθεὶς, ἀπετέφρωσε θήλυν λάρον τῇ ἑαυτοῦ Βραχμανικῇ δυνάμει. Ἐλθὼν δ' εἰς τινα χώραν, ἔνθα ἦσαν Βραχμᾶνες σοφοὶ, καὶ τέλειοι εἰς

θεωρίαν καὶ ἁγιότητα, προσῆλθεν οἴκῳ Βραχμᾶνος εἰς ἐπαίτησιν· καὶ ἀποτυχών, ὠργίσθη. Ἡ δὲ οἰκοδέσποινα, ᾗ ὄνομα Σατή, ἐπέπληξεν αὐτὸν, εἰποῦσα· « Ἄπελθε· ἡ γὰρ ὀργή σου οὐκ ἔχει χώραν ἐν ἐμοὶ, καθὼς ἐν τῷ θήλει λάρῳ. » Θαυμάσας δ' ὁ Δεβασσαρμὰν, ἤρετο· « Πῶς ἔχεις τοιαύτην γνῶσιν ἀγνώστων συμβεβηκότων; » Ἡ δὲ Σατὴ ἀπεκρίνατο· « Πορεύθητι εἰς τὴν πόλιν Βαρανασὴν, ἔνθα ἐστὶν εἷς κρεωπώλης καλοκἀγαθος, παρ' οὗ μαθήσῃ τὴν αἰτίαν τῆς ἐμῆς γνωστικῆς δυνάμεως. » Ἐλθὼν δ' εἰς τὴν πόλιν Βαρανασὴν πρὸς τὸν κρεωπώλην, ὃς εἶχεν ἡμαγμένας τὰς χεῖρας, ἔστη ἐνώπιον. Δεξιωσάμενος ὁ αὐτὸν ὁ κρεωπώλης, ἤγαγεν οἴκαδε· καὶ σιτίσας πρῶτον εὐλαβῶς τοὺς ἑαυτοῦ γονεῖς, ἔδωκε σιτία καὶ τῷ ξένῳ μετέπειτα, πρὸς ὃν καὶ εἶπεν· « Ἐγὼ οἶδα, ὡς παρὰ τῆς Σατῆς ἀπεστάλθης πρὸς ἐμέ. » Ὁ δὲ, θαυμάσας, ἤρετο· « Πῶς σύ τε κἀκείνη τοιαύτην γνωστικὴν ἔχετε δύναμιν; » Καὶ ὃς ἀπεκρίνατο· « Ὅσις ποιεῖ προθύμως τὸ διατεταγμένον ἔργον τῆς ἑαυτοῦ φυλῆς, καὶ εὐσπλαγχνίαν ἔχει πρὸς πάντα τὰ ἔμψυχα, καὶ ὑπήκοός ἐστι τοῖς ἑαυτοῦ γονεῦσιν, οὗτός ἐστιν ἀγαθὸς, δίκαιος, θεωρητικὸς, καὶ θεόφρων, εἴτε κοσμικὸς εἴη, εἴτε ἐρημικὸς, καὶ μοναστικός. Διὰ ταῦτα τὰ αἴτια ἐγώ τε κἀκείνη ἡ Σατὴ τοιαύτην γνωστικὴν ἔχομεν δύναμιν. Ἄκουσον δὲ καὶ τοῦτο τὸ ἱερὸν λόγιον·

« Οἵτινες οὐ σέβονται τοὺς σεβασμίους, οὐδὲ τιμῶσι »τοὺς τιμῆς ἀξίους, οὗτοι καὶ ζῶντες, κατηγορημένοι εἰσὶ, »καὶ ἀποθανόντες, οὐκ ἀνέρχονται εἰς τὸν οὐρανόν. »

Οὕτω νουθετηθεὶς ὑπὸ τοῦ κρεωπώλου ὁ Δεβασσαρμὰν, ἐπανέκαμψεν οἴκαδε, καὶ ὑπήκοος ὢν τοῖς ἑαυτοῦ γεννήτορσιν, ἐδοξάσθη ἔντε τῇ γῇ, καὶ ἐν τῷ οὐρανῷ. Καὶ σὺ οὖν, ὦ Μαδάνα, μετέρχου τὸ ἐμπορικὸν ἔργον τῆς σεαυτοῦ φυλῆς, καὶ ἔσο ὑπήκοος τοῖς σεαυτοῦ γονεῦσι. » Τοιαῦτα

εἰρηκότος τοῦ Σούκα, ὁ Μαδάνας ὑπήκοος ἦν τοῖς ἑαυτοῦ γονεῦσι· καὶ λαβὼν ἄδειαν παρ' αὐτῶν, καὶ παρὰ τῆς γυναικὸς ἑαυτοῦ, ἐπέβη νηὸς, καὶ ἀπέπλευσεν εἰς ἐμπορίαν. Ἡ δὲ Πραββαβατὴ πενθίμους ἡμέρας διῆγε διὰ τὴν ἀπουσίαν τοῦ οἰκείου ἀνδρός. Ἐρεθισθεῖσα δ' ἔπειτα ὑπὸ γυναικῶν μαστρωπῶν, ἔκλινεν εἰς ἔρωτα ἀλλοτρίων ἀνδρῶν· τοιαῦτα γὰρ αὐτῇ ἔλεγον ἐκεῖναι· « Ἐν τοσούτῳ οἱ οἰκεῖοι ἀγαπητοί εἰσιν, ἐν ὅσῳ ζῶσιν, ἢ πάρεισιν· ἀποθανόντων δὲ, ἢ ἀπόντων, ταχέως ἡ ἀγάπη σβέννυται. Ἀπόλαυε τοιγαροῦν τοῦ καιροῦ τῆς ἐφημέρου νεότητος ἐν τρυφῇ μετ' ἀλλοτρίων ἀνδρῶν. »

Νύξ πρώτη.

Τοιούτοις λόγοις οἰστρηθεῖσα ὡς Πραββαβατὴ, ἐκοσμήθη κατὰ τὴν ἑσπέραν ἐν μιᾷ τῶν ἡμερῶν· ἐν ᾧ δ' ἔμελλε πορεύεσθαι πρὸς τὸν ἐρώμενον, ἡ Σαρικὰ ἐξεφώνησεν, ἐπιπλήξασα· « Μὴ πορευθῇς, μή· ἀνοίκειον γάρ. » Βουλομένης δὲ τῆς Πραββαβατῆς κρατῆσαι, καὶ ἀνελεῖν τὴν Σαρικὰν, αὐτὴ πετασθεῖσα, ἔφυγε. Στᾶσα δ' ὀλίγον ἡ Πραββαβατὴ, καὶ ἀναπνεύσασα, πάλιν ἤρξατο πορεύεσθαι. Ὁ δὲ Σούκας ἐξεφώνησεν· « Αἰσία ἔστω ἡ πορεία σου· ἀλλὰ πῇ πορεύῃ; » Ἡ δὲ, νομίσασα τὸν λόγον τοῦ Σούκα ἀγαθὸν οἰωνὸν, ἀπεκρίνατο, χαίρουσα· « Πορεύομαι γευσομένη ἡδονῆς ἀλλοτρίου ἀνδρός. » — « Ἔστω, εἶπεν ὁ Σούκας, γενέσθω κατὰ τὴν σὴν ἔφεσιν· ἐπίψογον μέν τοι τοῦτο ἀξιοπρεπέσι γυναιξὶ, καὶ δύσπρακτον. Πρῶτον περίσκεψαι, εἰ ἔστι σοι ἀγχίνοια ἀποφυγεῖν, ἐναντίου συμπεσόντος, καὶ ἔπειτα πορεύθητι· ὁ γὰρ ποιῶν τι κατὰ τὴν συμβουλὴν ἄλλων, καταγελᾶται κατὰ τὸ λεγόμενον·

« Ὁ πονηρὸς ἐν δεινῷ συμβάματι ἄλλου θεωρεῖ, καὶ γε»λᾷ, καθὼς ἡ Μασοπαβασινὴ ἐν τῇ ἑλκύσει τῆς κόμης τοῦ »ἐμπόρου. »

Ἐρωτησάσης δὲ τῆς Πραβδαβατῆς μετὰ τῶν μαστρωπῶν γυναικῶν· « Τί ἐστι τοῦτο, ὃ εἶπες ; » ὁ Σούκας ἀπεκρίνατο· « Εἰ ἡ ἐπιθυμία βιάζεταί σε, πορεύθητι πρῶτον πρὸς τὸν ἐρώμενον· εἶτα δ' ἐλθὲ, καὶ ἄκουσον προσεκτικῶς· ἐκτεταμένη γάρ ἐστιν ἡ διήγησις. » — « Εἰπὲ, εἶπεν· ἰδοὺ ἐγὼ κάθημαι καὶ ἀκούω μετὰ προσοχῆς. » Ὁ δὲ Σούκας ἄρχεται τῆς ἀφηγήσεως καὶ ἐξηγήσεως.

« Ἔστι πόλις, Σανδραβατὴ τοὔνομα, ἔνθα ἦν υἱὸς ἐμπόρου, Μοχάνας καλούμενος, ὃς ἠφίετο συνεῖναι ἑτέρου ἐμπόρου γυναικὶ, ᾗ ὄνομα Λαξμή· ἀλλ' αὐτὴ οὐκ ἔστεργε. Καταπείσας δ' ὁ Μοχάνας ἀργυρίοις πολλοῖς μίαν Μασοπαβασινὴν, ἣ ἦν πλήρης πάσης δολιότητος, καὶ ὠνομάζετο φερωνύμως Πουρνὰ, ἐξαπέστειλεν αὐτὴν πρὸς τὴν Λαξμὴν, ὅτε ὁ ἀνὴρ αὐτῆς οὐκ ἦν οἴκοι. Δελεασθεῖσα δ' ἡ Λαξμὴ λόγοις μειλιχίοις, ἔφη· « Ὅ,τι αἰτήσῃς, πληρώσω. » — « Σύνεσο, ἔφη, ἀνδρὶ, ὃν ἐγὼ τιμῶ, καὶ ἀγαπῶ. » — « Τοῦτο, εἶπεν ἡ Λαξμὴ, ἀνοίκειόν ἐστιν μεγαλοπρεπέσι γυναιξί· πληρώσω μέν τοι, ὅ,τι ὑπεσχόμην σοι. » Κατὰ δὲ τὴν ἑσπέραν παραλαβοῦσα τὴν Λαξμὴν ἡ Πουρνὰ, ἡ καὶ Μασοπαβασινὴ, ἤγαγεν αὐτὴν εἰς τὸν οἰκεῖον οἶκον· ἀλλ' ὁ ἐραστὴς Μοχάνας οὐ παρεγένετο δι' οἵαν δή τινα αἰτίαν. Οἰστρουμένη δὲ τῷ ἔρωτι ἡ Λαξμὴ, ἔφη· « Κόμισόν μοι, ὅν τινα ἄλλον ἄνδρα εὕρῃς. » Ἡ δὲ Μασοπαβασινὴ ἐκόμισεν ἐξ ἀγνοίας τὸν ἄνδρα τῆς Λαξμῆς. Νῦν δὲ πῶς ἡ Λαξμὴ ἀνέγκλητος φανήσεται, καὶ εἰς τὸν οἰκεῖον οἶκον, χαίρουσα, ἀφίξεται ; εἴπατέ μοι, σύ τε, ὦ δέσποινα, καὶ αἱ σαὶ φίλαι. « Οὐκ οἴδαμεν, ἀπεκρίνατο ἡ Πραβδαβατή· σὺ εἰπέ. » — « Ἂν μὴ πορευθῇς, εἶπεν ὁ Σούκας, λέγω. » Ἡ δὲ, « Οὐ πορεύομαι, » ἔφη. Ὁ δὲ Σούκας ἐπανέρχεται ἐπὶ τὸ προκείμενον. « Ἰδοῦσα ἡ Λαξμὴ τὸν ἑαυτῆς ἄνδρα παρόντα, ὠργίσθη σφόδρα, καὶ κρατήσασα αὐτὸν ἐκ τῆς κόμης, ἐπέπληττε, λέγουσα· « Σὺ, πονηρὲ καὶ

δόλιε, ἀεὶ λέγεις πρὸς ἐμὲ, ὡς ἐκτὸς ἐμοῦ οὐδεμία σοι ἄλλη ἐρασμία ἐστιν· ἤδη δ' ἐδοκιμάσθης, καὶ ἐγνωρίσθης. » Καὶ ὃς, καθιλαρύνας αὐτὴν, ἐπανήγαγεν οἴκαδε. Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ κατ' ἐκείνην τὴν νύκτα.

Νύξ δευτέρα.

Τὴν δὲ δευτέραν ἡμέραν κατὰ τὴν ἑσπέραν, κοσμηθεῖσα ἡ Πραββαβατὴ, ἠρώτησε τὸν Σούκαν· «Βούλει πορευθῶ;» Πρὸς ἣν ἀπεκρίνατο ὁ Σούκας· «Πορεύθητι κατὰ τὴν οἰκείαν ἔφεσιν, εἰ οἶδας ἀπόκρισιν δοῦναι, ἢ τρόπον ποιῆσαι ἐν δυσκόλῳ ἔργῳ ἢ λόγῳ, καθὼς ἡ Ἰασσοδεβή.» Ἐρωτησάσης δὲ τῆς Πραββαβατῆς, « Ὁποία αὕτη ἡ Ἰασσοδεβή; καὶ ὁποῖον τὸ δύσκολον; » ὁ Σούκας ἀπεκρίνατο· «Εἰ εἴποιμι, θυμός σοι ἔσεται κατ' ἐμοῦ, ἐναντιουμένου τῇ σῇ ἐπιθυμίᾳ.» Ἡ δ' ἔφη· «Ἀκουστέος ὁ λόγος τῶν εὐμενῶν, εἴτε γλυκὺς, εἴτε πικρὸς εἴη. » Ὁ δὲ Σούκας ἄρχεται τῆς ἀφηγήσεως.

« Ἐν Νανδάνᾳ τῇ πόλει Βασιλεὺς ἦν, ὀνόματι Νανδάνας· ὃς εἶχεν υἱὸν, ὃς ἐκαλεῖτο Ῥαζασεκάρας. Τούτου τοῦ βασιλικοῦ υἱοῦ τὴν γυναῖκα, ἧ ὄνομα Σασσηπραββᾶ, ἰδών τις νέος, ὃς ἐκαλεῖτο Βήρας, ἐτρώθη τὴν καρδίαν· ἐκ δὲ τούτου οὔτ' ἔτρωγεν, οὔτ' ἔπινεν. Ἐρωτηθεὶς δ' ὑπὸ τῆς ἑαυτοῦ μητρὸς, ἧ ὄνομα Ἰασσοδεβὴ, ἀνεκάλυψε τὴν αἰτίαν τοῦ πάθους. Δυσκτήτου δ' οὔσης τῆς Βασιλίδος, πῶς ὁ πάσχων Βήρας ζήσεται; εἰπὲ, ὦ Πραββαβατὴ, εἰ οἶδας. »Ἡ δὲ «Οὐκ οἶδα, ἀπεκρίνατο· σὺ εἰπέ.» — «Εἰ οὐ πορεύῃ σήμερον, ἔφη, λέγω. » Καὶ ἡ Πραββαβατὴ, «Τί δαί; ἔφη· οὐ πορεύομαι λέγε· » ὁ δὲ Σούκας ἐπάνεισιν ἐπὶ τὸ προκείμενον. «Ἀκούσασα ἡ Ἰασσοδεβὴ, τοιάδε ἐμηχανήσατο εἰς ζωὴν τοῦ ἑαυτῆς υἱοῦ. Ἡμερώσασα μίαν κύνα βρώμασι καὶ πόμασι, καὶ κοσμήσασα, παρέλαβεν αὐτὴν, καὶ ἦλθε πρὸς τὴν Σασσηπραββᾶν τὴν βασιλίδα· πρὸς ἣν καὶ εἶπε κατ' ἰδίαν· «Ἐγώ τε

καὶ σὺ, καὶ αὕτη ἡ Κύων, ἀδελφαὶ ἦμεν ἐν τῇ προτέρᾳ γενέσει· καὶ ἐπειδὴ ἐγὼ μὲν καὶ σὺ συνετρυφῶμεν ἀλλοτρίοις ἀνδράσι, διὰ τοῦτο ἐγενόμεθα ἄνθρωποι ἐν ταύτῃ τῇ γενέσει· αὕτη δὲ, ἐπειδὴ αἰδὼ ἔχουσα καὶ φόβον, μὴ χράνοι τὴν ἑαυτῆς γενεὰν, σωφροσύνην εἶχε, καὶ ἀλλοτρίων ἀνδρῶν ἀπεῖχε, διὰ τοῦτο ἐγένετο Κύων. Καὶ ἐγὼ μὲν, ἐπειδὴ ἀνυποστόλως καὶ ἀφόβως συνετρύφων ἀλλοτρίοις ἀνδράσι, διὰ τοῦτο μνήμην ἔχω τῆς προτέρας φύσεως καὶ πράξεως· σὺ δὲ, ἐπειδὴ μετὰ συστολῆς καὶ φόβου συνετρύφας, διὰ τοῦτο μνήμην οὐκ ἔχεις τῶν ἐν τῇ προτέρᾳ γενέσει. Ὅθεν εὐσπλαγχνία κινουμένη, ἦλθον συμβουλεύσουσά σοι, ἵνα διδῶς ὅ,τι ἀγαπῶσιν οἱ αἰτοῦντες. Ὅστις γὰρ δίδωσι τὸ ἐφετὸν ἄλλοις, οὗτος ἐπιτυγχάνει πάντων τῶν ἐφετῶν· ἀεί ἄρα λέγεται·

» Οἱ ἐπαῖται ἀπὸ θύρας εἰς θύραν περιέρχονται, ἔχοντες »ἐν χειρὶ ἀγγεῖον· ἐκ δὲ τούτου αἰνίττονται τοῖς ἀνθρώποις »ὡς τοιαύτη ἔσεται ἡ μέλλουσα κατάσασις τοῦ μὴ διδόντος.»

Ἀκούσασα ἡ Σασσηπραββὰ, ἠγκαλίσατο τὴν Ἰασσοδεβὴν, καὶ κλαίουσα, ἔφη· «Σύζευξόν με ταχέως, ὦ ἀγαθὴ, ἀλλοτρίῳ ἀνδρί. » Ἡ δὲ Ἰασσοδεβὴ, ἐπελπίζουσα, καὶ παραθαῤῥύνουσα, ἤγαγεν εἰς τὸν οἰκεῖον οἶκον, καὶ συνέζευξεν αὐτὴν τῷ ἑαυτῆς υἱῷ. Νομίζων δ' ὁ Ῥαζασεκάρας, ὡς ἡ Ἰασσοδεβὴ φίλη ἐστὶ τῆς βασιλίδος, πολλὰ δωρήματα αὐτῇ ἦν δωρούμενος, καὶ τὴν εἴσοδον μὴ κωλύων. Οὕτω μεγάλῃ ἀγχινοίᾳ ἡ Ἰασσοδεβὴ ἐτέλεσε τὸ ποθούμενον. Εἰ τοίνυν καὶ σὺ αὐτὴ τοιαύτην ἀγχίνοιαν ἔχεις, πορεύου πρὸς ἀλλότριον ἄνδρα. Ὑπνωττε, ὦ καλὴ, ἐν τῷ οἰκείῳ οἴκῳ, καὶ πόῤῥω ποίει τὸν παράττοντα ἔρωτα. » Ἀκούσασα ἡ Ῥαββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ τρίτη.

Τῇ δ' ἐπιούσῃ περὶ δύσιν ἡλίου κοσμηθεῖσα ἡ Πραββαβατὴ, εἶπε πρὸς τὸν Σούκαν· «Πορευθῶ; » Ὁ δ' ἔφη· «Τί ἀπορεῖς; πορεύθητι, Κυρία, ἔνθα ἡ σὴ ψυχὴ ἐφίεται, εἰ οἶδας ἀπαλλάξαι σεαυτὴν ἀπὸ τῆς δυσφημίας, καθὼς ὁ Βασιλεύς.» Ηυθομένης δὲ τῆς Πραββαβατῆς, «Τίς αὐτὸς ὁ Βασιλεύς; ἢ πῶς ἀπήλλαξεν ἑαυτὸν ἀπὸ τῆς δυσφημίας; » Ὁ Σούκας ἀπεκρίνατο·

« Ἐν Βισσαλᾷ τῇ πόλει Βασιλεὺς ἦν Σουδαρσσάνας καλούμενος· ἦν δ' ἐκεῖ καὶ ἔμπορος, Βιμάλας ταὔνομα, ὃς εἶχε γυναῖκας δύω, εὐειδεῖς καὶ εὐπρεπεῖς· ἃς ἰδὼν πονηρός τις καὶ διάστροφος, γνώμην ἔθετο σφετερίσαι αὐτὰς, ἀνθ' ὧν καὶ ἐδέετο τῆς θεᾶς Ἀμβρικᾶς τυχεῖν τῆς μορφῆς τοῦ Βιμάλα. Τυχὼν δὲ διὰ τῆς πρὸς τὴν θεὰν δεήσεως τῆς μορφῆς τοῦ Βιμάλα, εἰσῆλθεν εἰς τὴν οἰκίαν αὐτοῦ, ὅτε ἦν ἔξω, καὶ κύριος ἐγένετο τῶν ἐν οἴκῳ πάντων. Δωρεαῖς δὲ μεγάλαις εἰς τὴν ἑαυτοῦ εὔνοιαν εἵλκυσε πάντας τοὺς θεράποντας, καὶ ἀμφοτέρας ὁμοῦ τὰς γυναῖκας, ἀνθ' ὧν καὶ ἔλεγον, ὡς ὁ Βιμάλας ἐξαίφνης μεγαλόδωρος ἐγένετο, γνοὺς, ὡς ἔοικε, τὸ πρόσκαιρον τοῦ Κόσμου. Ἐπανελθὼν δ' ὁ ἀληθὴς Βιμάλας εἰς τὴν ἑαυτοῦ οἰκίαν, ἐκωλύετο ὑπὸ τοῦ θυρωροῦ εἰσελθεῖν· καὶ ἱστάμενος πρὸ τῆς θύρας, ἐβόα· «Ἐφενακίσθην ὑπὸ φένακος καὶ ἀπατεῶνος. » Ἐκ δὲ τῶν βοῶν καὶ ὀδυρμῶν πολλοὶ γνωστοὶ καὶ ἄλλοι συνέδραμον, θεωρίας χάριν καὶ περιεργίας. Ἐλθὼν δ' ὁ Βιμάλας πρὸς τὸν Βασιλέα, προσανεκλαύσατο, εἰπών· « Ἐξεβλήθην, ὦ Βασιλεῦ, ἐκ τῆς ἐμαυτοῦ οἰκίας! ἠπατήθην ὑπὸ πονηροῦ καὶ δολίου! » Ὁ δὲ Βασιλεὺς ἐξαπέστειλε τοὺς οἴσοντας τὸν ἐν οἴκῳ Βιμάλαν· οὗ ἐλθόντος, οἱ θεράποντες, ὡς δωροδοκηθέντες, ἔλεγον, χαριζόμενοι· « Ὦ Βασιλεῦ, ὁ ἐν οἴκῳ ὢν

Βιμάλας, ἀληθής ἐστιν· ὁ δὲ πρὸ τῆς θύρας ἱστάμενος, ἐπείσακτος καὶ πλάνος. » Παῤῥησιασθέντες δ' ἀμφότεροι, οὐδεμίαν διαφορὰν εἶχον τῆς μορφῆς· ἐκ δὲ τούτου οὐ διεκρίνετο, πότερος εἴη ἀληθὴς, ἢ ψευδής. Θόρυβος δ' ἐγένετο ἀνὰ πᾶν τὸ βασιλικὸν συνέδριον· ἦν γὰρ ἀνατροπὴ τῆς ὀρθότητος παντὸς πολιτικοῦ συστήματος, καὶ δυσφημία τῷ Βασιλεῖ, εἰ μὴ ἐγίνετο βεβαίωσις τῆς ἀληθείας. Δεῖ γὰρ τῷ Βασιλεῖ ἀκριβῶς θεωρεῖν, καὶ τοὺς μὲν κακοὺς κολάζειν, τοὺς δ' ἀγαθοὺς τιμᾶν. Νῦν δ' εἰπὲ, ὦ Πραββαβατὴ, ἂν φανείη τὸ ἀληθές;» — « Οὐκ οἶδα, ἀπεκρίνατο· σὺ εἰπέ. » « Ἂν μὴ πορευθῇς, ἔφη ὁ Σούκας, λέγω. » Ἡ δὲ, « Οὐ πορεύομαι, ἔφη· λέγε. » Ὁ δὲ Σούκας ἐπάνεισιν ἐπὶ τὸ προκείμενον. « Συσκεψάμενος ὁ Βασιλεὺς, εὗρηκε τἀληθὲς κατὰ τοῦτον τὸν τρόπον. Χωρίσας τὰς γυναῖκας, ἠρώτησεν ἑκάστην ἰδίᾳ, πόσην φερνὴν, καὶ ὁποῖα κοσμήματα ἔδωκεν ὁ ἀνὴρ ἐν γάμῳ, καὶ ὁποῖον λόγον εἶπε κατὰ πρώτην συνέλευσιν, καὶ τίς ὁ πατὴρ, καὶ ἡ μήτηρ, καὶ ἡ γενεὰ, καὶ ἄλλα τοιαῦτα. Ἑκάστη δ' ἀπεκρίνατο, ὡς εἶχε τὸ πρᾶγμα. Χωρίσας δ' ἔπειτα καὶ τοὺς ἄνδρας, ἠρώτησεν ἕκαστον ἰδίᾳ περὶ τῶν αὐτῶν· ἀμφοτέρων δ' οἱ λόγοι ἀσύμφωνοι ἦσαν ἀλλήλοις. Οὗ τινος δ' οἱ λόγοι συνεφώνησαν τοῖς τῶν γυναικῶν, οὗτος ἐφάνη ὁ ἀληθὴς Βιμάλας, ὃς τιμηθεὶς, ἔλαβε τὰς γυναῖκας· ὁ δ' ἕτερος, ὡς πονηρὸς καὶ πλάνος, παιδευθεὶς, ἐξωρίσθη. » Ἀκούσασα ἡ Πραββαβατὴ ἐκοιμήθη οἴκοι.

Νύξ τετάρτη.

Τῇ ἑξῆς ἡμέρᾳ κατὰ τὴν ἑσπέραν, κοιμηθεῖσα ἡ Πραββαβατὴ, ἤρετο· « Βούλει πορευθῶ; » Ὁ δὲ Σούκας ἀπεκρίνατο· « Μὴ ἐρώτα καταφρονητικῶς· λέγεται γάρ·

« Βραχμὰν, καταφρονήσας, καὶ παρακούσας λόγων γε-

»ρόντων, πέπτωκεν εἰς δεινὰ, γήμας τὴν Βισσακανεάν. »
Ἐρωτησάσης δὲ τῆς Πραββαβατῆς, «Πῶς ἔχει τοῦτο; » ὁ
Σούκας διηγεῖται·

« Ἔστι πόλις, Σομαπραββὰ τοὔνομα, ἔνθα ἦν Βραχμὰν
σοφὸς, Σομασσαρμὰν καλούμενος, ὃς εἶχε θυγατέρα λίαν
εὐπαίδευτον καὶ εὐπρόσωπον, ἣ ὠνομάζετο Βισσακανεὰ, ὅ
ἐστι, Φαρμακοκόρη. Ἐκ δὲ τοῦ φόβου τοῦ ὀνόματος οὐδεὶς
αὐτὴν ἤθελε γῆμαι. Περιερχόμενος δ' ὁ Σομασσαρμὰν εἰς
ἀναζήτησιν γαμβροῦ, παρεγένετο εἰς πόλιν, ἧ ὄνομα Δβιζα-
σθάνα· ἔνθα ἦν Βραχμὰν μωρὸς καὶ πτωχὸς, καλούμενος
Γοβίνδας, ὃς στέρξας, ἔγημε τὴν Βισσακανεὰν, καί τοι ἐκω-
λύετο ὑπὸ φίλων. Ἐπειδὴ δὲ ἡ Βισσακανεὰ ἦν εὔφρων καὶ
εὐειδὴς, ὁ δὲ Γοβίνδας ἄφρων καὶ δυσειδὴς, διὰ τοῦτο
ἐκείνη ἐλυπεῖτο τὴν ἑαυτῆς χαρίεσσαν νεότητα· λέγεται γάρ.

« Καθὼς ὁ ὀλίγος πλοῦτος λύπην προζενεῖ τῷ μεγαλο-
»πρεπεῖ καὶ ἐλευθερίῳ, οὕτω καὶ ὁ ἄχαρις ἀνὴρ τῇ χαριέσ-
»σῃ καὶ μεγαλόφρονι γυναικί. »

Καί ποτε εἶπεν αὕτη ἡ ἀγλαὰ πρὸς τὸν Γοβίνδαν· « Πολὺς
χρόνος διῆλθεν, ἐξ οὗ ἦλθον ἀπὸ τοῦ πατρικοῦ οἴκου· διὸ
βούλομαι πορευθῆναι σὺν σοί. » Ἀναβὰς δ' ὁ Γοβίνδας ἐφ'
ἁμάξης, ἐπορεύετο μετὰ τῆς Βισσακανεᾶς εἰς τὸν πενθερι-
κὸν οἶκον. Κατὰ δὲ τὴν ὁδὸν συνέτυχε Βραχμᾶνι ὁδοιπόρῳ,
ὃς ἦν ὡραῖος, ῥωμαλέος, καὶ λόγιος· οἳ, συμπορευόμενοι,
καὶ συλλαλοῦντες, καὶ συναστειζόμενοι, φιλίαν ἐποιήσαντο
πρὸς ἀλλήλους. Ὁ δὲ Γοβίνδας, ἅτε ὢν ἁπλοῦς καὶ ἄκα-
κος, πιστεύσας τῷ Βισνοῦ, ἀνεβίβασεν αὐτὸν εἰς τὴν ἅμα-
ξαν· καὶ καταβὰς ἐπορεύθη εἰς ἀποσκευὴν τῶν ἐνοχλούν-
των. Ἐν τούτῳ ὁ Βισνοῦς καὶ ἡ Βισσακανεὰ ἠράσθησαν ἀλ-
λήλων· φιλήματά τε ἀμοιβαῖα ἐγένοντο, καὶ ἄλλα τοιαῦτα
ἴδια ἔρωτος. Εἶπε δ' ἡ Βισσακανεὰ τῷ Βισνοῦ καὶ τὸ ἑαυτῆς
ὄνομα, καὶ τὸ τῆς φυλῆς, καὶ τὸ τῆς γενεᾶς, καὶ τῶν

λοιπῶν συγγενῶν. Ἀναστρέψας δ' ὁ Γοβίνδας, βουλόμενος ἀναβῆναι ἐπὶ τὴν ἄμαξαν, ἀπεδιώκετο, καὶ ἀπωθεῖτο, ὡς ξένος, καὶ κλέπτης· δι' ἣν αἰτίαν βοὴ μεγάλη, καὶ φιλονεικία, καὶ ἀλληλομαχία ἐγένετο. Ὧν δ' ὁ Βισνοῦς ῥωμαλέος, καὶ ὑπὸ τῆς γυναικὸς προσέτι βοηθούμενος, κατέβαλε κατα γῆς τὸν Γοβίνδαν· καὶ παραλαβὼν τὴν γυναῖκα, ἀπήρχετο οἴκαδε. Ὁ δὲ Γοβίνδας, παρακολουθῶν, ἔδραμεν εἰς κώμην, οὖσαν παρὰ τῇ ὁδῷ, καὶ ἔκραξε, λέγων· «Κλέπτης ἥρπαξέ μου τὴν γυναῖκα! σώσατέ με, ὦ ἄνθρωποι! βοηθήσατέ μοι!» «Ὁ δὲ πρῶτος τῆς κώμης, ἔστειλε τοὺς οἴσοντας τὸν Βισνοῦν, ὅς, ἐρωτηθείς, ἀπεκρίνατο· «Αὕτη ἐμή ἐστι γυνή, ἣν κατὰ νόμον ἔγημα· οὗτος δὲ, ἰδὼν καθ' ὁδὸν τὴν γυναῖκα, ἠθέλησεν αὐτὴν λαβεῖν βίᾳ. » Ἐρωτηθεὶς δὲ καὶ ὁ Γοβίνδας, τὰ αὐτὰ ἀπεκρίνατο. Χωρισθέντες δὲ, καὶ ἐρωτηθέντες ἀνὰ μέρος ἕκαστος τὸ τῆς γυναικὸς ὄνομα, καὶ τὸ τῆς γενεᾶς, καὶ τὰ τῶν συγγενῶν αὐτῆς, τὰ αὐτὰ ἀπεκρίναντο. Νῦν δὲ πῶς ἂν γένοιτο βεβαίωσις τῆς ἀληθείας; ἐρωτῶ. «Οὐκ οἶδα, ἀπεκρίνατο ἡ Πραββαβατὴ, σὺ εἰπέ.»—«Εἰ οὐ πορεύῃ σήμερον, λέγω, » ἔφη ὁ Σούκας. « Λέγε, ἔφη ἡ Πραββαβατή· οὐ πορεύομαι. » Ὁ δὲ Σούκας λέγει· «Χωρισθέντες δὲ καὶ οἱ τρεῖς, καὶ ἐρωτηθέντες ἕκαστος ἰδίᾳ, πότε ἡ συνέλευσις ἐγένετο, τὰ αὐτὰ ἀπεκρίναντο ὁμοφώνως, ὡς τὴν αὐτὴν ἐκείνην ἡμέραν μετὰ τὸ ἑωθινὸν ἄριστον ἡ συνέλευσις ἐγένετο. Ὅτε δ' αὖ πάλιν ἠρωτήθησαν κατὰ μέρος, ὁποῖον εἴη τὸ ἑωθινὸν ἄριστον, ἐνταῦθα ἡ μὲν ἀπόκρισις τοῦ Γοβίνδα καὶ τῆς γυναικὸς εἶχε συμφωνίαν, ἡ δὲ τοῦ Βισνοῦ διαφωνίαν· οὐ γὰρ ᾔδει. Ἐκ τούτου γνωσθεὶς ὁ Βισνοῦς, ὡς αὐτός ἐστιν ὁ πλάνος καὶ ὁ ἅρπαξ, ἀπεδιώχθη. Ὁ μὲν οὖν κριτὴς συνεβούλευσε τῷ Γοβίνδα ταῦτα· «Ἄφες τοιαύτην γυναῖκα, αἰτίαν κακοῦ· χεῖρόν σοι γάρ τι ἔσεται.» Ὁ δὲ οὐκ ἤκουσεν, ἀλλὰ παραλαβὼν τὴν γυναῖκα, γυναικα-

μανὴς ὢν, ἥψατο τῆς ὁδοῦ. Τελευταῖον δ' ἐρωνεύθη ἐν ὁδῷ ἐξ αἰτίας αὐτῆς τῆς γυναικός. Ἐπαναλαμβάνω οὖν, καὶ λέγω, ὡς ὁ ποιῶν καταῤῥόνησιν συμβουλῆς γερόντων, ἀπόλλυται, καθὼς ὁ Βραχμὰν Γοβίνδας. » Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νύξ πέμπτη.

Κατὰ τὴν δύσιν τοῦ ἡλίου τῆς ἑφεξῆς ἡμέρας, καλλωπισθεῖσα ἡ Πραββαβατὴ, ἔφη· « Πορεύομαι, ὦ Σούκα. » Ὁ δὲ, « Πορεύθητι, εἶπεν, ὦ Κυρία, εἰ οἶδας ἀπόκρισιν δοῦναι ἐν δεινοῖς, καθὼς ἡ Βαλαπανδιτὰ τῷ Βασιλεῖ ἐν τῷ βουλευτηρίῳ. » Πυθομένης τῆς Πραββαβατῆς, « Τίς αὐτὸς ὁ Βασιλεύς ; καὶ τίς αὐτὴ ἡ Βαλαπανδιτά ; » ὁ Σούκας ἀπεκρίνατο·

« Ἐν Οὐζζαγινῇ τῇ πόλει Βασιλεὺς ἦν, Βικραμαδιτέας καλούμενος· ἡ δὲ Βασίλισσα, ἣ ἦν ἐκ μεγάλης γενεᾶς, Καμαλαλὰ ἐκαλεῖτο· ἦν δ' ἐπέραστος λίαν τῷ βασιλεῖ. Καί ποτε ἀριστῶν ὁ βασιλεὺς μετὰ τῆς Βασιλίσσης, ἐγχειρίσαι αὐτῇ ἤθελεν ἄῤῥενας ἰχθύας, πεφρυγμένους. Ἡ δ' ἔφη· « Ἐγὼ, Κύριε, οὐδ' ἀποβλέπειν ἀνέχομαι πρὸς τούτους τοὺς ἄῤῥενας ἰχθύας, πολλῷ μᾶλλον ἅπτεσθαι. » Παραυτίκα δ' οἱ ἰχθύες ἐκεῖνοι τοσοῦτον μέγα ἐξεκάγχασαν, ὥστε πάντας τοὺς ἐν τῇ πόλει ἀκοῦσαι τῆς φωνῆς. Μαθεῖν δὲ βουλόμενος ὁ Βασιλεὺς, τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος, ἠρώτησε τούς τε σοφοὺς, καὶ τοὺς βουλευτὰς, καὶ τοὺς μάντεις, καὶ τοὺς οἰωνοσκόπους· ἀλλὰ πάντες ἀνεφάνησαν ἀγνοοῦντες, καὶ ἀποροῦντες. Τελευταῖον δ' εἶπε πρὸς τὸν Πουροχίταν, ὃς ἦν πρῶτος τῶν Βραχμάνων· « Σὺ ἀνάπτυξον τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος· εἰ δὲ μὴ, ἐξόριστος γενήσῃ. » Ὁ δὲ, αἰτήσας προθεσμίαν πέντε ἡμερῶν, ἀπῆλθεν οἰκαδε περίλυπος· ὃς καὶ ἠρωτήθη ὑπὸ τῆς θυγατρὸς ἑαυτοῦ, ᾗ ὄνομα Βαλαπανδιτά· « Διὰ τί, πάτερ, σύννους καὶ ἄθυμος ;

εἰπέ μοι τὴν αἰτίαν τῆς ἀθυμίας καὶ συννοίας· δεῖ μέν τοι τοῖς φρονίμοις γενναίως φέρειν τὰ προσπίπτοντα δεινά· διὸ καὶ λέγεται·

« Καθὼς ὁ ἥλιος καὶ ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει ἐρυ»θρός ἐστιν, οὕτω καὶ ὁ μεγαλόφρων τὴν αὐτὴν διάθεσιν »ἔχει καὶ ἐν ταῖς εὐτυχίαις καὶ ἐν ταῖς ἀτυχίαις. »

Ὁ δὲ Πουροχίτας διηγήσατο πάντα, τὸν λόγον τῆς Βασιλίσσης, τὸν γέλωτα τῶν ἰχθύων, τὴν ἀπορίαν τοῦ Βασιλέως, τὴν αἰτίαν τοῦ γέλωτος, καὶ τὴν ἐξορίαν. Ἡ δ' ἔφη· «Δεινῶν ἐπιπεσόντων, δεῖ τοῖς φρονίμοις τρόπους ἀπαλλαγῆς »ποιεῖν, ἀλλ' οὐκ ἀθυμεῖν καὶ ῥαθυμεῖν· διὸ καὶ λέγεται·

« Ὅστις θλιβόμενος πάθει κινδυνώδει, πλάνητι ἀποφρά»δι, καὶ βασιλεῖ δυσθύμῳ, οὐ ποιεῖ δίαιταν μὲν εἰς θερα»πείαν τοῦ πάθους, ἐπῳδὴν δὲ εἰς ἀπαλλαγὴν τοῦ ἀπαισίου »πλάνητος, καὶ τρόπον εἰς ἐξιλέωσιν τοῦ Βασιλέως, οὗτος »οὐκ ἔχει παῦσιν τοῦ κακοῦ.

Ὦ πάτερ, ἔφη, ἐν ταύτῃ τῇ περιστάσει μηδαμῶς ἄχθου, ἀλλὰ θάῤῥει· ἐμὲ προσκόμισον τῷ Βασιλεῖ εἰς διερμήνευσιν τῆς αἰτίας τοῦ τῶν ἰχθύων γέλωτος. » Ἐλθὼν δ' ὁ Πουροχίτας πρὸς τὸν Βασιλέα, ἀνήγγειλεν αὐτῷ ταῦτα. Ἡσθεὶς δ' ὁ Βασιλεὺς, ἐκάλεσε τὴν Κόρην· ἡ δὲ, ἐλθοῦσα, εὐλόγησε τὸν Βασιλέα, κἄτα ἔλεξεν ὧδε·

« Αἰσχύνη ἐστὶ, τὸ ἐρωτᾶν τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος· ὁ γὰρ Βασιλεὺς, ὅς ἐστι θεοείκελος, οὐκ ἔστιν ὅμοιος παντὶ ἀνθρώπῳ· πολλῷ μᾶλλον σὺ ὁ Βικραμαδιτέας, ὁ ὢν ἡλιοειδὴς φερωνύμως· ὅθεν καὶ λέγεται·

« Ὁ Βασιλεὺς παρὰ μὲν τοῦ Ἴνδρα κέκτηται τὴν κυριό»τητα, παρὰ δὲ τοῦ Ἀγνῆ τὴν θερμότητα, παρὰ δὲ τοῦ »Ἰάμα τὸν θυμὸν, παρὰ δὲ τοῦ Κουβέρα τὸν πλοῦτον, παρὰ »δὲ τοῦ Ῥάμα καὶ τοῦ Κρισνᾶ τὸν νοῦν καὶ τὴν σταθερό»τητα· οὕτω τὸ σῶμα τοῦ Βασιλέως συνίσταται.

« Διὰ τί ἄρα σὺ αὐτὸς οὐ σκέψιν ποιεῖς, ὦ Βασιλεῦ; σὺ εἶ ὁ τομεὺς πάσης ἀμφιβολίας· διὰ τί σὺ μόνος αὐτὸς οὐ τέμνεις τὸν δεσμὸν καὶ ταύτης τῆς ἀμφιβολίας; Ἀλλ' ἐπειδὴ ἔφεσίς σοί ἐστιν, ἀκοῦσαι παρ' ἄλλου, ἄκουσον, ὦ Βασιλεῦ. Λύτη ἡ σωφρονεστάτη Βασίλισσα οὐχ ἅπτεται, λέγει, οὐδὲ πεφρυγμένων ἰχθύων, ἐπειδὴ ἄρρενές εἰσί· διὰ τοῦτο καὶ ἐγέλασαν οἱ ἰχθύες μεγάλως. Νῦν γοῦν περίσκεψαι ἀκριβῶς τὴν ἔννοιαν τούτου μου τοῦ λόγου. » Καί τοι δὲ ἡ ἔννοια τοῦ λόγου ἦν φανερὰ, ὁ Βασιλεὺς ὅμως οὐκ ἐνόησεν. Ἰδοῦσα δ' ἡ Βαλαπανδιτὰ, ὡς ὁ Βασιλεὺς οὐκ ἐννοεῖ, ἀναστᾶσα, ἀνέστρεψεν οἴκαδε. Τὰ ἐπίλοιπα τῆς διηγήσεως αὔριον διηγήσομαι, ἂν μείνῃς ταύτῃ τῇ νυκτὶ οἴκοι. » Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ ἕκτη.

Τὴν δ' ἀκόλουθον ἡμέραν ἤρετο ἡ Πραββαβατὴ τὸν Σούκαν· « Ἔγνω ὁ Βασιλεὺς τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος; ἢ τί ἐγένετο; » Ὁ δ' ἀπεκρίνατο· « Μὴ νοῶν ὁ Βασιλεὺς τὴν ἔννοιαν τοῦ λόγου τῆς Βαλαπανδιτᾶς, οὐκ ἔσχεν ὕπνον ἐν νυκτί· λέγεται γάρ·

« Πόθεν ὕπνος ἐκείνοις, οἳ κατατρύχονται δανείοις, πά-»θεσιν, ἢ φροντίσι, καὶ ἀπειθεῖς ἔχουσι γυναῖκας, καὶ πολ-»λοὺς ἐχθρούς;

Ὁ μὲν οὖν Βασιλεὺς, κακῶς διαγαγὼν τὴν νύκτα ἐξ αἰτίας τῆς ἀϋπνίας, καλέσας περὶ τὴν ἕω τὴν Βαλαπανδιτὰν, εἶπε· « Τὸ νόημα τοῦ λόγου σου ἄγνωστόν μοι ἐστί· σαφήνισόν μοι οὖν τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος. » Ἡ δ' ἔφη· « Μὴ πολυπραγμόνει, ὦ Βασιλεῦ. »—« Διὰ τί; » ἐπήρετο ὁ Βασιλεύς. « Διότι, ἀπεκρίνατο ἡ Βαλαπανδιτὰ, μεταμέλεια καὶ λύπη σοι γενήσεται, καθὼς τῇ τοῦ ἐμπό-

ρου γυναικὶ, ἣ διϊσχυρίζετο μαθεῖν, πόθεν ἔρχονται οἱ ἄρτοι. » Ἐρωτήσαντος δὲ τοῦ Βασιλέως· «Πῶς ἔχει τοῦτο;» ἡ Βαλαπανδιτὰ διηγεῖται·

« Ἐν Οὐζζαγινῇ τῇ πόλει ἔμπορος ἦν, Σουματὴς καλούμενος· ὃς, ἀπολέσας πάντα τὸν ὃν εἶχε πλοῦτον, ὑπὸ πάντων ἐμισεῖτο· οἱ γὰρ ἄνθρωποι τοῦ πλούτου εἰσὶ φίλοι· διὸ καὶ λέγεται·

« Ἐν τούτῳ τῷ Κόσμῳ τῷ μὲν πλουσίῳ καὶ ὁ ἐχθρὸς »φίλος φαίνεται· τῷ δὲ πτωχῷ καὶ ὁ φίλος ἐχθρὸς γί»νεται.

«Ἀνάγκη δὲ βιαζόμενος, ἔφερεν ἐξ ἀγροῦ φρύγανα, καὶ ἐπώλει ἐν τῇ πόλει, ἐξ ὧν καὶ ἐτρέφετο. Καί ποτε, μὴ εὑρὼν φρύγανα, εἶδεν ἐν ναῷ ξόανον ξύλινον τοῦ θεοῦ Γανέσσα, καὶ διενοήθη κατατεμεῖν εἰς λεπτὰ αὐτὸ τὸ ἐκ ξύλου ἄγαλμα, εἰς ἀπεμπόλησιν· ὀρθῶς ἄρα λέγεται·

« Ὁ μὲν πεινῶν πᾶν ἀνόμημα πράττει· ὁ δ' ἐνδεὴς καὶ »ἄπορος ὤν, ἄσπλαγχνος γίνεται, καὶ φόνον προσέτι »ποιεῖ, μηδαμῶς ἐν νῷ βάλλων τὰ τῶν ἁγίων ἀνδρῶν λόγια.

Ἐν ᾧ δ' ἔμελλε κατοίσειν τὸν πέλεκυν, ἠσθεὶς ὁ θεὸς Γανέσσας, ἔφη· «Μή με κατακόψῃς· ἐγὼ δὲ καθ' ἑκάστην πέντε ἄρτους δίδωμί σοι μεγάλους· οὓς λάμβανε, ἐρχόμενος εἰς τοῦτον τὸν ναόν μου. Μηδενὶ δ' ὅμως εἴπῃς τοῦτο· φύλαττε δὲ μυστικὸν καὶ ἀπόῤῥητον· εἰ γὰρ ἐξείποις, τοὐναντίον ἔσεται, τοὐτέστιν, ἀποτυχία. » Ὁ μὲν οὖν Σουματὴς καθ' ἡμέραν ἐπορεύετο εἰς ἐκεῖνον τὸν ναὸν, καὶ ἐλάμβανε πέντε ἄρτους, συμπεφυρμένους βουτύρῳ καὶ σακχάρει, ἐξ ὧν καὶ ἔτρεφε τὴν ἑαυτοῦ οἰκίαν. Ἡ δὲ γυνὴ αὐτοῦ, ἣ ὄνομα Παδμινὴ, ἀεὶ ἔπεμπε μοίραν αὐτῶν τῶν χαριέντων ἄρτων καὶ πρὸς μίαν φίλην, ἣ ὄνομα Μανδοδαρή. Καί ποτε ἡ φίλη ἠρώτησε τὴν Παδμινὴν περὶ τῶν ἄρτων. Ἡ δ' ἀπεκρίνατο, ὡς οὐκ οἶδε, πόθεν ἢ πῶς ἔρχονται. Πρὸς

ἦν ἔρα ἐκείνη ἡ πονηρά· « Εἰ μὴ εἴποις μοι, πόθεν φιλία; λέγεται γάρ·

« Ἐξ εἰσὶ τὰ σημεῖα τῆς φιλίας· δίδωσι, καὶ λαμβάνει· »λέγει, καὶ ἐρωτᾷ περὶ μυστικῶν· εὐωχεῖται, καὶ εὐωχεῖ.»

« Ἐγὼ πολλάκις, ἔφη, ἠρώτησα· ἀλλ' ὁ ἀνήρ μου ἔχει τοῦτο μυστικόν. » Ἡ δ' ἔφη· « Ματαία ἄρα ἐστὶν ἡ σὴ εὐμορφία καὶ νεανικὴ ἡλικία, εἰ οὐκ οἶδας τὰ μυστικὰ τοῦ οἰκείου ἀνδρός· » Ἀκούσασα ἡ Παδμινὴ, ἠρώτησε τὸν ἑαυτῆς ἄνδρα· « Πῶς εὑρίσκεις τοὺς πέντε ἄρτους; Ὁ δ' ἀπεκρίνατο· « Τῇ τοῦ Θεοῦ χάριτι. « Εἰ μὴ ἐξείποις μοι, ἔφη, ἀσιτία ἀποθνήσκω.» — « Ἀνακαλυφθέντος, ἔφη, τοῦ μυστικοῦ, μεγάλη βλάβη καὶ μεταμέλεια γενήσεται. » Διϊσχυριζομένης δὲ τῆς γυναικὸς, ὁ ἀνὴρ, μωρανθεὶς, ἐξεῖπε πάντα. Ὀρθῶς ἄρα λέγεται·

» Ὃν οἱ θεοὶ ἀπολέσαι βούλονται, τοῦτον μωραίνουσι· »διὰ τοῦτο ἀγνοεῖ τὸ οἰκεῖον ὄφελος.

Ἀκούσασα ἡ Παδμινὴ παρὰ τοῦ ἀνδρὸς τὸν τρόπον καὶ τὸν τόπον τῆς εὑρέσεως τῶν ἄρτων, διηγήσατο τῇ φίλῃ ἐκείνῃ, ἡ ἐξαπέστειλε περὶ τὴν ἕω τὸν ἑαυτῆς ἄνδρα μετὰ πελέκυος εἰς τὸν ναὸν ἐκεῖνον. Ἐπορεύθη δ' ἐν ταὐτῷ, ὡς σύνηθες, καὶ ὁ Σουματὴς εἰς λῆψιν τῶν ἄρτων. Ὁ δὲ θεὸς Γανέσσας ἀμφοτέρους ἔδησεν ἀλύτοις δεσμοῖς. Μὴ τοίνυν πολυπραγμόνει, ὦ Βασιλεῦ· μαθὼν γὰρ, γνωσιμαχήσεις, ὡς καὶ ἡ τοῦ ἐμπόρου γυνή. Ὅ,τι δ' ἔγωγε εἶπον πρότερον, ὡς οἱ ἰχθύες ἐγέλασαν ἐπὶ τῷ λόγῳ τῆς Βασιλίσσης, τοῦτο ἀκριβῶς περίσκεψαι. » Εἰποῦσα ταῦτα ἡ Βαλαπανδιτὰ, οἴκαδε ἀπῆλθε. Τὰ δὲ λοιπὰ αὔριον διηγήσομαι, ἂν μὴ πορευθῇς ἔξω. » Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη οἴκοι.

Νὺξ ἑβδόμη.

Τῇ δ' ἐπιούσῃ, ἑρμένης τῆς Πραββαβατῆς, « Ποῖά ἐστι τὰ ἑξῆς τῆς διηγήσεως ; » ὁ Σούκας ἀπεκρίνατο· « Καλέσας πάλιν τὴν Βαλαπανδιτὰν ὁ Βασιλεὺς, ἔφη· « Διασάφησόν μοι τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος. » Ἡ δ' ἔφη· »Ἡ διασάφησις οὐκ ἔσεταί σοι εἰς τέρψιν καὶ χαρὰν, καθὼς οὐδὲ τῇ πόρνῃ καὶ τῷ Βραχμᾶνι ἡ ἀποκάλυψις τῆς κινα-βάρεως. » Πυθομένου δὲ τοῦ Βασιλέως, πῶς ἔχει τοῦτο, ἡ Βαλαπανδιτὰ ἀπεκρίνατο·

« Ἔστι πόλις, Βατσαναντὰ τοὔνομα· ἔνθα ἦν Βραχμάν τις, Κεσσάβας καλούμενος, ὃς οὐκ ἤθελε τρέφεσθαι τοῖς τοῦ πατρὸς χρήμασι· κατηγορημένον γάρ ἐστι, κατὰ τὸ λεγό-μενον·

« Οἱ μὲν ἄριστοι ζῶσι τοῖς ἐκ τῶν ἰδίων πόνων προσπο-»ρισθεῖσι χρήμασιν, οἱ δὲ μέσοι τοῖς τοῦ πατρὸς, οἱ δ' ἥτ-»τονες τοῖς τοῦ μητραδέλφου, οἱ δ' ἐλάχιστοι τοῖς τοῦ πεν-θεροῦ·» διὸ καὶ ἀνεχώρησεν εἰς χρηματολογίαν, πλανώμενος εἰς πόλεις, εἰς τερμένη, καὶ εἰς νεκρικοὺς τόπους. Ἐλθὼν δέ ποτε εἰς τόπον νεκρικὸν ἐν ἐρήμῳ, εἶδεν ἐκεῖ που ἕνα κρα-νιοφόρον, ἀσκήσει καὶ θεωρίᾳ χρώμενον, καὶ ἔστη πρὸ αὐ-τοῦ εὐλαβῶς. Παυσάμενος δ' ὁ ὅσιος ἀπὸ τῆς θεωρίας, ἐξε-φώνησε ταῦτα· « Τίς ξένος ἐν ταύτῃ τῇ ὥρᾳ βούλεται »λαβεῖν ὅ,τι ἂν αἰτήσῃ ; τίς θέλει διαπλεῦσαι αἰσίως, ὡς »πέλαγος, τοῦτον τὸν κόσμον ; τίς τὸ δυσκατόρθωτον εὐ-»κατόρθωτον βούλεται γενέσθαι ; »

Ὁ δὲ Βραχμὰν, ἀνατείνας τὰς χεῖρας, ἔφη· « Ἐγὼ ὁ παρὰ σοὶ ξένος πλοῦτον αἰτῶ. » Ἀποβλέψας δ' ὁ ὅσιος πρὸς τὸν Βραχμᾶνα, ἐλυπήθη· (ὁ γὰρ μεγαλόδωρος λυπεῖται,

(1) Ἐλυπήθη, διατι οὐκ ᾔτησε βασιλείαν οὐράνιον, ἢ ἐπέγειον.

ὅταν βλέπῃ ἄνθρωπον, μικρὰ αἰτοῦντα) καὶ, « Ὦ Βραχμὰν, ἔφη, λάβε ταύτην τὴν κινάβαριν, ἣ δώσει σοι καθ' ἑκάστην πεντακοσίους χρυσοῦς στατῆρας διὰ μόνης τῆς προσψαύσεως. Μηδενὶ δ' ὅμως ἐγχειρίσῃς αὐτήν· εἰδε, ἐπανελεύσεται πρὸς ἐμέ. » Ταῦτα εἰπὼν, ἐνεχείρισεν αὐτῷ κινάβαριν, ἣ ἦν ὑπεστρωμένη ὡς στρωμνή. Καθ' ἑκάστην δ' ὁ Βραχμὰν, ὅτε ἔθιγε τῆς κιναβάρεως, πεντακοσίους χρυσοῦς Στατῆρας εἶχεν ἐν χειρί. Ἐλθὼν δ' ἔπειτα εἰς Ῥατναβατὴν τὴν πόλιν, κατέλυσεν ἐν οἴκῳ πόρνης· ἧς ἡ μήτηρ, ἀποροῦσα, πόθεν τῷ Βραχμᾶνι τοσαῦτα ἀναλώματα, εἶπεν· « Οὗτος ὁ Βραχμὰν, ὦ θύγατερ, καθ' ἑκάστην ἀφειδῶς πολλὰ καταναλίσκει, οὐδὲν δ' ὅμως ἔργον μετέρχεται· πόθεν πόρος χρημάτων τοσούτων ; » Ἐρωτώμενος δ' ὁ Βραχμὰν ὑπὸ τῆς πόρνης πολλάκις, καὶ κολακευόμενος, εἶπεν, ὡς ἐκ τῆς ἧς ἔχει κιναβάρεως ὁ πλοῦτος ἔρχεται. Ἀκούσασα ἡ πόρνη, ἔκλεψε τὴν κινάβαριν, τοῦ Βραχμᾶνος κοιμωμένου· κἄπειτα ἐξέβαλεν αὐτόν. Ὁ δὲ, μὴ βλέπων τὴν κινάβαριν, ἔδραμε πρὸς τὸν Βασιλέα, κραυγάζων, καὶ λέγων· « Ἐσυλήθην ! ἐσυλήθην ! καὶ διηγήσατο τὰ τῆς κιναβάρεως. Κληθεῖσα δ' ἡ πόρνη, εἶπεν εἰς ἀπολογίαν· « Οὗτος ἐρωτομανής ἐστι καὶ δύστροπος, καὶ διὰ τοῦτο τοιαῦτα ἀνάρμοστα καὶ ψευδῆ λέγει. Δύναταί ποτε χρυσίον γενέσθαι ἐκ κιναβάρεως ; ἕκαστος κρίνει, ὡς ψευδές ἐστι, πολλῷ μᾶλλον ὁ Βασιλεύς. » Ὁ μὲν δὴ Βραχμὰν ἀπεδιώχθη, ὡς ψευδολόγος· ἡ δὲ κινάβαρις ἐπανῆλθε πρὸς τὸν κρανιοφόρον. Καθὼς οὖν τέρψεως καὶ χαρᾶς ἐστερήθησαν ὅτε Βραχμὰν καὶ ἡ πόρνη διὰ τῆς διασαφήσεως, οὕτω καὶ σοὶ αὐτῷ, ὦ Βασιλεῦ, οὐκ ἔσεται τέρψις καὶ χαρά. » Τοιαῦτα εἰποῦσα ἡ Βαλαπανδιτὰ[1], οἴκαδε ἀπῆλθεν. Ἄριον δὲ διηγήσομαι τὰ ἐπίλοιπα, ἂν μὴ ἐξέλθῃς τῆς οἰκίας. Ἀκούσασα ἡ Ηραββαβατὴ, ἐκοιμήθη οἴκοι.

(1) Βαλαπανδιτὰ μεθερμηνεύεται Νηπιοσόφη.

Νὺξ ὀγδόη.

Τῇ δ' ὑστεραίᾳ ἤρετο ἡ Πραββαβατή· « Τί ἐγένετο μετέπειτα, ὦ Σούκα; » Ὁ δ' ἀπεκρίνατο· « Ἂν μὴ πορευθῇς, διηγοῦμαι. » « Οὐ πορεύομαι, » ἔφη. Ὁ δὲ διηγεῖται· « Καλέσας ὁ Βασιλεὺς τὴν Βαλαπανδιτὰν, ἠρώτησεν αὐτὴν πάλιν περὶ τῆς αἰτίας τοῦ τῶν ἰχθύων γέλωτος· ἡ δ' ἔφη· « Μὴ διϊσχυρίζου, ὦ Βασιλεῦ· δηλωθείσης γὰρ τῆς αἰτίας, ἔσεταί σοι τὸ τῆς γυναικὸς τοῦ ἐμπόρου, ἢ οὔτε τῶν ἐν οἴκῳ, οὔτε τῶν ἔξω ἀπήλαυσεν. » Ἐρομένου δὲ τοῦ Βασιλέως, πῶς ἔχει τοῦτο, ἡ Βαλαπανδιτὰ ἀπεκρίνατο·

« Ἐν Τριπούρᾳ[1] τῇ πόλει Βασιλεὺς ἦν, Βικράμας καλούμενος· ἦν δ' ἐκεῖ καὶ ἔμπορος, ὃς ἐκαλεῖτο Σουνδάρας. Ἡ δὲ γυνὴ αὐτοῦ, ᾗ ὄνομα Σουββαγὰ, ἐπειδὴ ἦν ἀσελγὴς, ἐκωλύετο ἐξελθεῖν τῆς οἰκίας, ὅτε ἤθελε· καιρὸν ὅμως εὑρίσκουσα, συνῆν ἐρωμένῳ ἐν γειτονικῷ οἴκῳ. Ὅτε δέ ποτε ἐξήρχετο, παρετηρεῖτο καὶ παρεφυλάττετο· διά τοι τοῦτο ἐν μιᾷ τῶν ἡμερῶν, ἐπιθυμήσασα συνεῖναι τῷ ἐρωμένῳ, εἶπε τῇ θεραπαίνῃ, ἣ ἦν μαστρωπός· « Κάλεσον σήμερον τὸν ἐρώμενον εἰς τὸν γειτονικὸν οἶκον· ὅταν δ' ἐξέλθω, σὺ τότε βάλε πῦρ εἰς τὸν ἡμέτερον οἶκον, ἵνα οἱ ἐν οἴκῳ ἐνασχολούμενοι τῇ κατασβέσει τῆς πυρκαϊᾶς, μὴ ἴδωσι τὴν ἔξοδόν μου, μηδ' ἐρευνῶσι, ποῖ ἐπορεύθην· ἐπὰν δὲ συνευφρανθῶ τῷ ἐρωμένῳ, ἐπανέρχομαι οἴκαδε, λυπουμένη ἐπὶ τῇ πυρπολήσει τοῦ οἴκου. » Ἐπανελθοῦσα δ' ἡ θεράπαινα, καὶ εἰποῦσα, ὡς ἐμήνυσε τῷ ἐρωμένῳ, ἔβαλε πῦρ εἰς τὸν οἶκον, ὅτε ἡ οἰκοδέσποινα ἔμελλεν ἐξελθεῖν. Ὁ μὲν οὖν ἐρώμενος, ἰδὼν τὴν πυρκαϊὰν, ἔδραμεν εἰς θεωρίαν· ἡ δὲ τοῦ ἐμπόρου γυνὴ, ἀναμένουσα ἐν τῷ γειτονικῷ οἴκῳ, καὶ τὸν ἐρώμενον μὴ βλέπουσα, ἐπανέστρεψεν οἴκαδε, ἀσχάλ-

(1) Τριπούρα μεθερμηνεύεται Τρίπολις.

λουσα· καὶ οὕτως οὐκ ἀπήλυσεν οὔτε τῶν ἔξω, δηλονότι τῆς μετὰ τοῦ ἐρωμένου ὁμιλίας, οὔτε τῶν ἐντὸς τοῦ οἴκου κτημάτων, ἃ κατεπυρπολήθησαν. Ταῦτα μὲν ἐς τοσοῦτον· εἰ δ' ἀναγκαίως βούλει γνῶμαι τὴν ἔννοιαν τοῦ λόγου μου, αὔριον σὺ αὐτὸς γνώσῃ. » Ταῦτα εἰποῦσα ἡ Βαλαπανδιτὰ, οἴκαδε ἀπῆλθεν. Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη οἵκοι.

Νὺξ ἐννάτη.

Τῇ δ' ἐπιούσῃ ἠρώτησεν ἡ Πραββαβατὴ τὸν Σούκαν· «Ἔγνω ὁ Βασιλεὺς τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος ; » Ὁ δ' ἀπεκρίνατο· « Οὐκ ἔγνω· διὰ τοῦτο καλέσας τὴν Βαλαπανδιτὰν, εἶπε· « Σὺ, ἔφης χθὲς, ὡς ἐγὼ αὐτὸς γνώσομαι· ἀλλ' οὐδαμῶς ἔγνωκα. » Ἡ δὲ, «Εἰ οὐκ ἐννοεῖς, ἔφη, τὴν ἔννοιαν τοῦ λόγου μου, ἄκουσον, καὶ δός μοι ἀπόκρισιν, πυθομένῃ. «Διὰ τί δέσμιός ἐστιν ὁ πρῶτος τῶν βουλευτῶν καὶ ἄψογος Πουσπαχάσας ; » Καὶ ὁ Βασιλεὺς ἀπεκρίνατο· «Αὐτὸς ὁ Πουσπαχάσας, ὅτε πρώην ἐγέλα ἐν τῷ ἐμῷ βουλευτηρίῳ, ἄνθη πολλὰ ἐκ τοῦ προσώπου αὐτοῦ ἔπιπτον· ἀκουσθὲν δὲ, ἅπαντες οἱ Βασιλεῖς ἄνδρας σπουδαίους ἔπεμψαν εἰς θεωρίαν τοῦ παραδόξου τούτου πράγματος. Ἐλθόντων δ' ἐκείνων εἰς τὸ ἐμὸν βουλευτήριον, αὐτὸς οὐκ ἐγέλασεν, οὐδ' ἄνθη ἔπεσον ἀπὸ τοῦ προσώπου αὐτοῦ· δι' ἣν αἰτίαν δέσμιος ἐγένετο. » Ἡ δὲ Βαλαπανδιτὰ ἐπύθετο· «Ἔγνως ἆρα τὴν αἰτίαν, δι' ἣν οὐκ ἐγέλασεν, ἢ οὔ ;—«Οὐκ ἔγνων, » ἀπεκρίνατο ὁ Βασιλεύς. «Πῶς οὖν, ἔφη, τοιοῦτο πράξας ἄνευ σκέψεως, ἔνοχος φαίνῃ καὶ ἄδικος ; λέγεται γάρ·

« Ὁ Βασιλεὺς, ὁ ὢν ἀπαλλακτικὸς πάντων τῶν δεινῶν, »δικαίως κρίνει, καὶ θεωρεῖ, καὶ δικαίως κυβερνᾷ, καὶ διοικεῖ.» Καθὼς διϊσχυριζόμενος, ἐρωτᾷς ἐμὲ τὴν αἰτίαν τοῦ τῶν ἰχθύων γέλωτος, οὕτως ἐρώτησον καὶ αὐτὸν τὴν αἰτίαν, διότι οὐκ ἐγέλασεν· αὐτὸς γὰρ ἐρεῖ σοι καὶ τὴν αἰτίαν,

διότι αὐτὸς οὐκ ἐγέλασε, καὶ τὴν αἰτίαν, διότι οἱ ἰχθύες ἐγέλασαν. » Ἀκούσας ὁ Βασιλεὺς, ἔλυσεν ἐκ τῶν δεσμῶν τὸν Πουσπαχάσαν, καὶ δωρησάμενος αὐτῷ ἄμφια λαμπρὰ, καὶ κοσμήματα πολύτιμα, καὶ τὸ ὑπατικὸν πρὸς τούτοις ἀξίωμα, ἠρώτησε τὴν αἰτίαν, διότι οὐκ ἐγέλασεν. Ὁ δ' ἔφη· « Εἰ καὶ τὸ ἐν οἴκῳ αἶσχος ἀπόῤῥητόν ἐστι κατὰ τὸ λεγόμενον·

«Ὁ φρόνιμος οὐκ ἂν λέγοι παῤῥησίᾳ τὸ ἐν οἴκῳ αἶσχος, »τὴν ἣν ἔχει ἀθυμίαν, καὶ τὴν ἣν ἔλαβε χρηματικὴν ζη»μίαν, ἀπάτην, ἢ ἀτιμίαν.»

Ἀλλὰ καὶ οὕτω ῥητέον· μεγάλη γάρ ἐστιν ἡ βασιλικὴ προσταγή. Ἐγὼ, ὦ Βασιλεῦ, ἐβεβαιώθην τότε, ὡς ἡ γυνή μου ἐμοιχεύετο ὑπ' ἄλλου, καὶ διὰ τοῦτο τὸ ἄχθος οὐκ ἐγέλασα. » Ἀκούσας ὁ Βασιλεὺς, ἔπληξε τὴν Βασίλισσαν δι' ἑνὸς ἄνθους, ὃ εἶχεν ἐν χειρὶ, καὶ ἔφη, γελῶν· « Ἀκούεις;» Ἡ δὲ ἐκ ταύτης τῆς ἀνθοπληξίας πλαστὴν ἔδειξε λειποθυμίαν. Ἰδὼν δ' ὁ Πουσπαχάσας τὴν Βασίλισσαν, οὕτω διακειμένην, ἀνεγέλασε· καὶ ἄνθη πολλὰ ἐξέφυσαν ἐκ τοῦ προσώπου αὐτοῦ. Ἀναψύξας δ' ὁ Βασιλεὺς τὴν Βασίλισσαν, εἶπε μετὰ θυμοῦ τῷ Πουσπαχάσα· « Διὰ τί σὺ ἐν τῷ ἐμῷ ἄλγει ἀνεγέλασας, καὶ ἄνθη τοσαῦτα ἀνέδωκας;» Ὁ δ' ἀπεκρίνατο· «Ἡ Βασίλισσα χθὲς τῇ νυκτὶ οὐκ ἐλειποθύμησε, πληγὰς λαβοῦσα πολλὰς παρὰ τῶν μαστρωπῶν, παίζουσα· νῦν δὲ λειποθυμεῖ, πληγεῖσα ἄνθει· διὰ τοῦτ' αὐτὸ ἐγέλασα. »—«Εἶδες τοῦτο; ἢ ἤκουσας; » ἐπήρετο ὁ Βασιλεὺς, θυμωθείς. Ὁ δ' ἔφη· «Ἂν μὴ πιστεύῃς, γυμνώσας αὐτὴν, ἰδέ.» Οὕτω ποιήσας ὁ Βασιλεὺς, εἶδε τοὺς μώλωπας, καὶ ἔγνω, ὡς οὕτως ἔχει· καὶ ἀποβλέψας πρὸς τὸν Πουσπαχάσαν, καὶ πρὸς τὴν Βαλαπανδιτὰν, εἶπεν, ἀπορῶν· « Τί τοῦτο;» Ὁ δὲ Πουσπαχάσας ἀπεκρίνατο· «Ὅ,τι εἴρηκεν ἡ Βαλαπανδιτὰ αἰνιγματωδῶς περὶ τοῦ γέλωτος τῶν ἰχθύων, τοῦτο

ἐγὼ ἐδήλωσα. » Τηνικαῦτα ὁ Βασιλεὺς ἀπέλυσε τὴν σύνοδον, καὶ ἐρευνήσας ἐν παντὶ τῷ οἴκῳ, εὗρηκεν ἐν κιβωτῷ τὸν μοιχόν· καὶ αὐτὸν μὲν ἀπέκτεινε, τὴν δὲ Βασίλισσαν ἐξώρισε. Πρόσεχε οὖν, ὦ Κυρία, καὶ μένε ἐν οἴκῳ· πᾶν γὰρ κρυπτὸν, φανερὸν γίνεται. » Ἀκούσασα ἡ Πραβδαβατὴ, ἐκοιμήθη οἶκοι.

Νὺξ δεκάτη.

Τῇ δ' ἑξῆς ἡμέρᾳ κατὰ τὴν ἑσπέραν, κοσμηθεῖσα ἡ Πραβδαβατὴ, ἐπύθετο· « Τί ποιητέον; εἰπὲ, ὦ εὔλαλε Σούκα. » Ὁ δ' ἔφη· « Εἰ ἔστι σοι φίλη συνέριθος τοιαύτη, οἵα ἡ Σρηγκαρὴ, πορεύθητι. » Ἐρωτησάσης δὲ, πῶς ἔχει τοῦτο, ὁ Σούκας ἀπεκρίνατο·

« Ἐν Ῥαζαπούρᾳ τῇ πόλει ἐγκατοικόν τις ἦν, Δασσάξας τοὔνομα, οὗ ἡ γαμετὴ πρὸς ἀλλοτρίους ἄνδρας εἶχε κλίσιν. Καί ποτε, οὔσης ἐν τῷ ἐνδοτέρῳ τοῦ οἴκου μετὰ τοῦ μοιχοῦ, ἐπέστη ὁ ἀνὴρ αὐτῆς, ἄνθη φέρων ἐν χειρί. Νῦν δ' ἐρωτῶ· « Πῶς ἐν τοιούτῳ καιρῷ ἀθώα φανήσεται; » — « Οὐκ οἶδα, » ἀπεκρίνατο ἡ Πραβδαβατή. « Ἄκουσον, » εἶπεν ὁ Σούκας· Φίλη τις, ᾗ ὄνομα Σρηγκαρὴ, ἰδοῦσα τὸν ἄνδρα ἐρχόμενον, ἐγύμνωσε τὴν μοιχαλίδα, καὶ ἐξέβαλεν αὐτὴν ἐκ τοῦ οἰκίσκου. Ὁ δ' ἀνὴρ, ἰδὼν τὴν γυναῖκα, οὕτω γυμνὴν, εἶπε, διαταραχθείς· « Τί τοῦτο; » Ἡ δὲ φίλη, ἡ καὶ μαστρωπὸς ἀπεκρίνατο· « Ἐπειδὴ ἤνεγκας ταῦτα τὰ ἄνθη, ἃ ἐσυλήθησαν ἀπὸ τοῦ κήπου τῆς Θεᾶς, διὰ τοῦτο αὕτη τοιαύτη παράφρων ἐγένετο. Ἀπελθὼν ἐν τάχει, ἄφες ἐκεῖ αὐτὰ, ἵν' αὕτη ὑγιάνῃ. » Ὁ δὲ μωρὸς ἐκεῖνος, πιστεύσας, ἀπῆλθε τρέχων· ἐν δὲ τούτῳ ἀπῆλθε καὶ ὁ μοιχός. » Ἀκούσασα ἡ Πραβδαβατὴ, ἐκοιμήθη οἶκοι.

Νὺξ ἑνδεκάτη.

Κατὰ τὴν ἐπιοῦσαν, περὶ λύχνων ἀφάς, εἶπε τῷ Σούκᾳ ἡ Πραββαβατὴ, οἰστρηθεῖσα τῷ ἔρωτι· « Πορεύομαι, ἂν κρίνῃς εὔλογον. » Ὁ δὲ, « Πορεύθητι ἀφεύκτως, ἔφη, ὅποι ἀγαπᾷς· ἄκουσον δέ. Πορευθεῖσα, ποίησόν τι παράδοξον τέχνασμα, καθὼς ἡ Ραμββικὰ ὑπὲρ τοῦ Βραχμᾶνος.» Ἐρωτησάσης δὲ, πῶς ἔχει τὸ τῆς Ραμββικᾶς, ὁ Σούκας ἀπεκρίνατο·

«Ἔστι κώμη, Δαββιλὰ τοὔνομα, ἔνθα ἦν κωμήτης, Βιλοτσάνας καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Ραμββικὰ, ἦν ἀνδρομανὴς, καὶ ἀσελγής· ἀλλ' οὐδεὶς τῶν τῆς κώμης ἤθελε συνεῖναι αὐτῇ, φοβουμένη τὸν ἄνδρα αὐτῆς. Ἐρχομένη δέ ποτε ἐπὶ φρέαρ εἰς κομιδὴν ὕδατος, εἶδε Βραχμᾶνα ὁδοιπόρον ὡραῖον, καὶ νεῦμα ἐποίησεν αὐτῷ ἐρωτικὸν διὰ τοῦ ὀφθαλμοῦ. Ὁ δὲ, εἰδήμων ὢν τῶν ἐρωτικῶν νευμάτων τῶν γυναικῶν, προσελθὼν αὐτῇ θαῤῥαλέως, εἶπε· « Τί ποιήσω, ὦ καλή; »—« Ἀκολουθῶν μοι, ἔφη, ἐλθὲ εἰς τὸν ἐμὸν οἶκον, καὶ προσκύνησον τὸν ἐμὸν ἄνδρα· καὶ ὅ,τι ἐγὼ εἴπω πρὸς αὐτὸν, συναίνεσον, καὶ συμφώνησον. » Ταῦτα εἰποῦσα, ἦλθεν οἴκαδε· ἠκολούθει δὲ καὶ ὁ ἐρώμενος. Ὁ μὲν οὖν ἀνὴρ τῆς γυναικὸς, ἰδὼν νεανίαν, ὃν οὐδέ ποτε εἶδεν, ἠπόρησεν· ἡ δὲ, ἀφεῖσα τὴν στάμνον, εἶπεν· « Γινώσκεις τοῦτον, ὦ ἄνερ; » Ὁ δ' ἔφη, « Οὔ. »—« Οὗτός ἐστιν, ἔφη, ὁ υἱὸς τῆς μητραδέλφης μου, ὃς ἦν παῖς, ὅτε μετὰ τὸν γάμον ἐξῆλθον τῆς πατρικῆς οἰκίας· ἤδη δ' ἐλήλυθεν, ὀψόμενος ἡμᾶς· παρ' οὗ ἔμαθον πάντα τὰ τῶν οἰκείων καὶ συγγενῶν. » Συνεφώνει δὲ κἀκεῖνος τοῖς τῆς γυναικὸς ῥήμασιν. Ὁ δ' ἀνὴρ, δεξιωσάμενος αὐτὸν, τὸν νομιζόμενον συγγενῆ, εἶπε τῇ ἑαυτοῦ γυναικὶ, δοῦναι αὐτῷ φαγεῖν καὶ πιεῖν, καὶ τὴν προσήκουσαν περιποίησιν ποιῆσαι· καὶ πεσὼν, ἐκοιμήθη. Δοῦσα δ' ἡ Ραμββικὰ κλίνην τῷ Βραχμᾶνι, συνανεκλίθη καὶ αὐτή.

Ὁ δ' ἔφη· «Καὶ σὺ αὐτὴ πρὸ τοῦ οἰκείου ἀνδρὸς ὡμολόγησας, καὶ ἐγὼ αὐτὸς συνωμολόγησα, ὡς ὁμαίμονες ἐσμέν· τοῖς δ' ὁμαίμοσιν οὐ δεῖ μίξιν ποιεῖν. » Ἡ δὲ Ῥαμβδικὰ ἀπεκρίνατο· «Ἡ ἐρωτομανὴς γυνὴ, ἡ ὑπεξούσιος οὖσα πατρὶ καὶ μητρὶ, ἢ ἀνδρὶ, πληροῖ τὴν ἑαυτῆς ἐπιθυμίαν μετ' ἀνδρῶν, ὑποκρινομένων ἀγχιστείαν καὶ συγγένειαν. Λέγεται δὲ καὶ ἐν τῷ νόμῳ.

« Ὅστις οὐ σύνεστι γυναικὶ, ἢ ἔρωτι θλίβεται, καὶ ἐξ »ἰδίας θελήσεως ἔρχεται, οὗτος ἐκ τοῦ ἀναστεναγμοῦ ἐκεί»νης ἀπόλλυται, καὶ εἰς τὸν τάρταρον κατέρχεται.

« Ἱστορεῖται, ὡς ὁ Κρισνᾶς ἥρπασε τὴν Ῥουκμινὴν, θέ»λουσαν, ὅτε ἐτελεῖτο ὁ γάμος αὐτῆς μετὰ τοῦ Σισσουπά»λα, ὃς συγγενὴς ἦν αὐτοῦ· τίς ἄρα τοῦ ἔρωτος καταφρο»νήσειεν ἄν;

« Ὁ Βραχμᾶς, ἐρασθεὶς τῆς ἑαυτοῦ θυγατρὸς, ἔλαβεν »ἐλάφου μορφὴν, ὑπὸ τοῦ Σίβα διωκόμενος· ὃς ὁρᾶται μέχρι »τοῦδε ἐν οὐρανῷ.

« Ὁ Σίβας, ἰδὼν τὴν Παρβατὴν ἐν τῷ γάμῳ, ἔρρευσε »τὸν γόνον· ἐξ ἐκείνου δὲ τοῦ γόνου ἐγένοντο οἱ ἑξηκοντα»κισχίλιοι Βαλακκιλέαι. »

Ἐπειδὴ δ' ὁ Βραχμὰν, οὕτω συμβουλευόμενος, οὐκ ἔνευεν, ἡ Ῥαμβδικὰ ἤρξατο παραυτίκα ἀναβοᾶν· «Μέγα κακόν! δράμετε! βοηθήσατε! » Ὁ δὲ Βραχμὰν, φοβηθεὶς, προσέπεσε τοῖς ποσὶ τῆς γυναικὸς, εἰπών· «Σῶσόν με, Κυρία· ἐγὼ δὲ, ὅ,τι ἂν θέλῃς, ποιήσω σοι. » Ἀκούσας δ' ὁ ἀνὴρ τῆς γυναικὸς τῆς φωνῆς, ἔδραμε μετὰ τῶν ἐν οἴκῳ· ἡ δὲ, ῥίψασα πρότερον γάλα καὶ ὄρυζαν κατὰ γῆς, καὶ πῦρ ἅψασα, ἀπεκρίνατο· « Οὗτος δυσπεψίαν ἔσχε, καὶ στρόφον ἐν κοιλίᾳ· ἀλλ' ἐπειδὴ ἤμεσε, διὰ τοῦτο νῦν καλῶς ἔχει. » Ταῦτα δὲ λέγουσα, ἐδείκνυε τὴν διεσπαρμένην ὄρυζαν καὶ τὸ γάλα, ὡς δῆθεν ἐμετός ἐστιν. Ὁ μὲν οὖν ἀνὴρ τῆς γυναι-

κὸς, νομίσας, ὡς οὕτως ἔχει, πεσὼν ἐκοιμήθη· ἡ δὲ Ῥαμβικὰ ἐπλήρωσε τὴν ἐκυτῆς ἐπιθυμίαν μετὰ τοῦ ἐρωμένου, ὃς καὶ ἔμεινεν ἐν οἴκῳ πολλὰς ἡμέρας, ἀσθένειαν πλαττόμενος· κἄπειτα ἀνεχώρησεν. » Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ δωδεκάτη.

Τῇ δ' ὑστεραίᾳ, δείλης ὀψίας, ἔφη ἡ Πραββαβατή· « Πορεύομαι, ὦ Σούκα. » Ὁ δὲ, « Πορεύθητι, εἶπεν, εἰ οἶδας τοιαῦτα ποιῆσαι ἐν καιρῷ ἐναντίῳ, οἷα ἡ Σοββικά. » Πυθομένης δὲ τῆς Πραββαβατῆς, οἷα ἐποίησεν ἡ Σοββικὰ, ὁ Σούκας ἀπεκρίνατο·

« Ἔστι κώμη, Ναλαγούδα τοὔνομα, ἔνθα ἦν κεραμεὺς, Μαχαδδάνας καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Σοββικὰ, ἀνδρομανὴς ἦν καὶ ἀσελγής. Ἐξελθόντος δέ ποτε τοῦ ἀνδρὸς, ἐμοιχεύετο ἔνδον τοῦ οἴκου. Ἐπανελθόντος δὲ κατὰ τὴν ἑσπέραν, καὶ κρούσαντος τὴν θύραν, εἶπε τῷ μοιχῷ ἀναβῆναι ἐπὶ δένδρου, ὄντος ἐν τῇ αὐλῇ τῆς οἰκίας, καὶ πάλιν ἐμοιχεύετο κατὰ τὴν νύκτα, καταβάντος τοῦ μοιχοῦ ἀπὸ τοῦ δένδρου, ὅτε ὁ ἀνὴρ αὐτῆς ἐκάθευδεν. » Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νὺξ δεκάτη τρίτη.

Βουλομένης πορευθῆναι τῆς Πραββαβατῆς κατὰ τὴν ἑξῆς ἡμέραν, εἶπεν ὁ Σούκας· « Εἰ οἶδας φενάκῃ χρήσασθαι τοιαύτῃ, οἷα ἡ Σοββικὰ, περὶ ἧς χθὲς ἦν ἡ διήγησις, πορεύθητι. » Ἐρομένης δὲ, οἷα πάλιν φενάκῃ ἀχρήσατο, ὁ Σούκας, διηγεῖται·

« Ὁ κεραμεὺς Μαχαδδάνας, περὶ οὗ χθὲς εἴρηκα, ἦλθέ ποτε οἴκαδε, πεινῶν, ὅτε ἡ γυνὴ αὐτοῦ ἡ Σοββικὰ ἤθελε πορευθῆναι εἰς τόπον προαποδειχθέντα, ἔνθα ἦν ὁ ἐρώμενος·

Καὶ προφασιζομένη, ὡς οὐκ ἔστιν ἐν οἴκῳ βούτυρον, ἐξῆλθε δῆθεν εἰς ἀγοράν· ἀλλ' ἀντὶ τοῦ πορευθῆναι εἰς κομιδὴν βουτύρου, ἐπορεύθη πρὸς τὸν ἐρώμενον. Χρονίσασα δὲ, ἤλειψε χοὶ τὰς χεῖρας καὶ τοὺς πόδας καὶ τὸ πρόσωπον, καὶ οὕτως ἦλθεν οἴκαδε, στένουσα, καὶ κλαίουσα· ὁ δὲ κεραμεὺς, πεινῶν καὶ ἀγανακτῶν, ἤρετο· «Διὰ τί ἐβράδυνας; ἢ τί τοῦτο τὸ σχῆμα;» Ἡ δ' ἀπεκρίνατο, ὡς ταχύνουσα, προσέκρουσε, καὶ χαμαὶ ἀναίσθητος ἔπεσε· τὸ δὲ βούτυρον διεσκορπίσθη. Ὁ δὲ καθιλάρυνεν αὐτὴν, ἀποσμήχων τῷ ἑαυτοῦ ἱματίῳ τὸ πρόσωπον αὐτῆς καὶ τὰς χεῖρας. Εἰ τοίνυν οἶδας καὶ σὺ τοιαῦτα ποιεῖν, πορεύθητι πρὸς τὸν ἐρώμενον.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νύξ δεκάτη τετάρτη.

Δύσαντος τοῦ ἡλίου κατὰ τὴν ἑξῆς ἡμέραν, εἶπεν ἡ Πραββαβατὴ πρὸς τὸν Σούκαν· «Πορεύομαι.» Ὁ δ' ἔφη· «Εὖ ἔχει· πορεύθητι, εἰ οἶδας τοιαῦτα λέξαι καὶ πρᾶξαι, οἷα ἡ Δανασρὴ, ἐλθόντος ἀνελπίστως τοῦ ἀνδρὸς αὐτῆς.» Ἐρωτησάσης δὲ τῆς Πραββαβατῆς, πῶς ἔχει τοῦτο, ὁ Σούκας ἀπεκρίνατο·

« Ἐν Παδμαβατῇ τῇ πόλει ἔμπορος ἦν, Δαναπάλας καλούμενος, ὃς ἠγάπα τὴν ἑαυτοῦ γυναῖκα, ᾗ ὄνομα Δανασρὴ, πλεῖον τῆς ἑαυτοῦ ζωῆς. Ἀποδημήσαντος δὲ τοῦ Δαναπάλα εἰς ἐμπορίαν, ἡ Δανασρὴ οὔτ' ἐλούετο, οὔτ' ἤσθιεν, οὔτ' ἐλάλει μετὰ τῶν ἄλλων γυναικῶν, οὔτ' ὅλως φροντίδα εἶχε τοῦ ἑαυτῆς σώματος. Ἐπέστη δ' ἡ ὥρα τοῦ ἔαρος, ἡ Βασιλὶς πασῶν τῶν ὡρῶν, ὅτε τὰ ἄνθη εὐωδίαν παρέχουσιν, οἱ κόκκυγες ᾄδουσι, καὶ οἱ βομβύλιοι βομβοῦσιν, ἐξ ὧν καὶ τῶν ἐγκρατῶν ἡ καρδία γαργαλίζεται. Ἐν ταύτῃ τῇ ὥρᾳ ἱσταμένη ἐπὶ τῆς στέγης τοῦ οἴκου ἡ Δανασρὴ, καὶ θεω-

ροῦσα τὴν ἀγλαΐαν τοῦ Ἔρος, γαργαλισθεῖσα, ματαίαν ἐνόμισε τὴν ἑαυτῆς ὡραιότητα. Φίλη δέ τις, γνοῦσα τὸ πάθος τῆς Δανασρῆς ἐκ τοῦ ἤθους αὐτῆς, ἔφη· «Μὴ ποιῇς, ὦ καλὴ, ματαίαν τὴν οἰκείαν ἀγλαΐαν καὶ νεανικὴν ἡλικίαν· ὁ κόκκυξ οὗτος, ἄλων ταῦτα κηρύττει, ὡς κήρυξ τοῦ Βασιλέως Ἔρωτος·

« Ἀφέτωσαν πάντες οἱ μεγαλόφρονες τὴν μεγαλοφροσύνην, »καὶ ἀσπαζέσθωσαν τὸν Ἔρωτα· ῥέουσα γάρ ἐστιν ἡ νεότης, »καὶ ἡ ζωὴ ἐφήμερος. »

Ἀκούσασα ἡ Δανασρὴ, ἔφη· «Οὐδαμῶς φέρω ἐπὶ πλέον· κόμισόν μοι σύνευνον. » Κληθέντος δὲ τοῦ ἐρωμένου, ἡ Δανασρὴ συνῆν αὐτῷ ὑπερήδιστα· ὃς, γνοὺς τὴν ἣν ἔχει πρὸς αὐτὸν μεγάλην ἀγάπην ἡ Δανασρὴ, ἔτεμε τὸν πλόκαμον αὐτῆς, κοιμωμένης. Ἐν τούτῳ ἦλθεν ἐκ τῆς ἀποδημίας ὁ Δαναπάλας, ὁ νόμιμος ἀνὴρ τῆς Δανασρῆς, καὶ ἔκρουσε τὴν θύραν. Ἐνταῦθα τί πράξει ἡ Δανασρὴ εἰς ἀθώωσιν ; »—« Οὐκ οἶδα » ἀπεκρίνατο ἡ Πραβδαβατή. « Ἄκουε οὖν, ἔφη ὁ Σούκας, καὶ μένε ἐν οἴκῳ. Γνοῦσα ἡ Δανασρὴ, ὡς ὁ ἀνὴρ αὐτῆς ἐφέστηκε, καὶ πρὸ τῆς θύρας ἔστηκεν, ἐξεφώνησεν· « Ἀνάμεινον μικρόν τι, ἕως ἂν πάντα διευθετήσω. » Καὶ λαβοῦσα τὸν ἀποκεκαρμένον πλόκαμον, ἔθετο αὐτὸν πρὸ τῆς θεᾶς· κἄπειτα ἀνοίξασα τὴν θύραν, ἤγαγε τὸν ἄνδρα ἐνώπιον τῆς θεᾶς εἰς προσκύνησιν. Ὁ δὲ, ἰδὼν τὸν πλόκαμον πρὸ τῆς θεᾶς, ἤρετο· « Τί τοῦτο ; » Ἡ δ' ἔφη· « Ἐγὼ τοιαύτην εὐχωλὴν ἐποίησα τῇ θεᾷ· « Ὦ θεὰ, ἔφην, ὅταν ὁ ἐμὸς ἀνὴρ ὑγιὴς ἔλθῃ, κείρασα τὸν ἐμαυτῆς πλόκαμον, ἀναθήσομαί σοι· διά τοι τοῦτο ἤδη ἐν τῇ σῇ ἐπιδημίᾳ οὕτως ἔπραξα, πληρώσασα τὴν ἐμαυτῆς ὑπόσχεσιν. » Ὁ δὲ μωρὸς Δαναπάλας, προσκυνήσας τὴν θεὰν, εὐχαριστίας ὡμολόγησε τῇ ἑαυτοῦ πιστῇ γυναικί. » Ἀκούσασα ἡ Πραβδαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ δεκάτη πέμπτη.

Τῇ ἐπιούσῃ περὶ τὴν δύσιν τοῦ ἡλίου, παρασκευαζομένης τῆς Ηραβδαβατῆς πορευθῆναι, γελάσας ὁ Σούκας, εἶπε· «Πορεύθητι, εἰ οἶδας ποιῆσαι, ὅ,τι ἐποίησεν ἡ Σρηδαβή, ἀφαιρεθέντος τοῦ περιπεζίου.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν Σαλιπούρᾳ τῇ πόλει ἔμπορος ἦν, Σαλιγόπας καλούμενος· οὗ ὁ υἱὸς, ᾧ ὄνομα Γουνακάρας, εἶχε γυναῖκα, ἣ ἐκαλεῖτο Σρηδεβή. Καί τοι δὲ ἡ γυνὴ ἐψέγετο ὑπὸ πάντων, ἀλλ᾽ ὁ ἀνὴρ ἐκ σφοδροῦ φίλτρου οὐδαμῶς ἤκουεν, οὐδ᾽ ἐπίστευε. Καί ποτε συγκοιμωμένης μοιχῷ, ἀφείλετο ἐκ τοῦ ποδὸς αὐτῆς τὸ περιπέζιον ὁ πενθερός· ἡ δὲ, αἰσθομένη, ἀπέπεμψεν εὐθέως τὸν μοιχόν· καὶ ἀφυπνίσασα τὸν ἑαυτῆς ἄνδρα, ὃς ὕπνωττεν ἐν ἑτέρᾳ κλίνῃ, ἤγαγεν αὐτὸν ἐπ᾽ ἐκείνην, ἐφ᾽ ἧς αὐτὴ ἐκοιμᾶτο μετὰ τοῦ μοιχοῦ. Περὶ δὲ τὸν ὄρθρον, ἐξεγερθέντος τοῦ ἀνδρὸς, εἶπεν αὐτῷ ἡ γυνή· «Ὁ πατήρ σου ἀφείλετό μου τὸ περιπέζιον ἐκ τοῦ ποδὸς, κοιμωμένης μετὰ σοῦ· τοιοῦτο δ᾽ ἀνόμημα οὐδέ που ὡράθη.» Ὁ δ᾽ ἔφη· « Περὶ τὴν ἕω λαβών, ἐγχειρίσω σοι τὸ περιπέζιον. »Ἡμέρας δὲ διαλαμψάσης, ὀνειδίσας ὁ υἱὸς τὸν πατέρα, ἔλαβε τὸ περιπέζιον παρ᾽ αὐτοῦ, ὃς καὶ εἶπεν εἰς ἀπολογίαν· « Ἐπειδὴ ἐγὼ εἶδον, ὡς αὕτη ἐκοιμᾶτο μετὰ μοιχοῦ, διὰ τοῦτο ἀφειλόμην τὸ περιπέζιον.» Ἡ δὲ, «Ἐγὼ, ἔφη, ἐκοιμώμην μετὰ τοῦ οἰκείου ἀνδρός· ἐπὶ δὲ τούτου ὅρκον ποιῶ. Ἐνταῦθά ἐστιν, ἔφη, ναὸς θεοῦ Ἰάξα, οὗ διὰ τῶν σκελῶν διεξέρχομαι· δῆλον δ᾽ ἐστιν, ὡς, ὅστις ἐστὶν ἀθῶος, οὗτος διεξέρχεται ἀκωλύτως διὰ τῶν σκελῶν ἐκείνου τοῦ θεοῦ.» Ὁ μὲν οὖν πενθερὸς ἔστερξε τοιαύτῃ συνθήκῃ. Ἡ δὲ μοιχαλὶς, προσελθοῦσα τῷ μοιχῷ κατ᾽ ἰδίαν εἶπεν· «Ὅταν αὔριον μετὰ παντὸς τοῦ λαοῦ πορευθῶ εἰς τὸν

ναὸν τοῦ θεοῦ Ἰάξα, ἐλθὲ ἐξαίφνης, καὶ ἀγκάλισαί με, μανίαν πλασάμενος.» Ὁ δ' ὡμολόγησεν, οὕτω ποιήσειν. Τῇ δ' ἐπιούσῃ συνήχθη ὁ λαὸς περὶ τὸν ναὸν τοῦ θεοῦ Ἰάξα. Ἡ δὲ μοιχαλὶς, λαβοῦσα ἄνθη καὶ λίβανον, ἐπορεύθη πρῶτον εἰς παρακειμένην λίμνην, καὶ ἐλούσατο· καὶ ἐρχομένης εἰς τὸν ναὸν, ἐξαίφνης ὁ μοιχὸς ἐκεῖνος ἠγκαλίσατο αὐτήν· ἀλλ' ἐξώσθη καὶ ἀπεδιώχθη ὑπὸ τοῦ λαοῦ, ὡς μανιώδης, καὶ δαιμονιώδης. Ἡ δὲ, δυσανασχετήσασα, καὶ εἰποῦσα, « Ὦ ! τί τοῦτο ;» πάλιν ἐλούσατο· καὶ ἐλθοῦσα ἐπὶ τὸν ναὸν ἐλάτρευσε τῷ θεῷ θυμίαμα τι καὶ ἄνθεσι, κἄπειτα ἐξεφώνησεν εἰς ἐπήκοον πάντων· «Ὦ Θεὲ, εἴ ἄλλος τις ἐκτὸς τούτου τοῦ δαιμονιώδους ἥψατό μου, μὴ ἔστω μοι διεξέλευσις διὰ τῶν σῶν σκελῶν. » Ταῦτα εἰποῦσα, διεξῆλθεν ἀκωλύτως διὰ τῶν σκελῶν τοῦ θεοῦ, πάντων ὁρώντων. Ὁ μὲν οὖν θεὸς ἐπήνεσε τὴν ἀγχίνοιαν τῆς γυναικός· ὁ δὲ λαὸς ἐτίμησεν αὐτὴν ὡς ἁγνὴν καὶ ἄμωμον, καὶ παρέπεμψεν οἴκαδε μετὰ χαρᾶς. Εἰ οὖν καὶ σὺ αὐτὴ οἶδας τοιαῦτα ποιεῖν, οἷα ἡ Σρηδεβὴ, πορεύθητι.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ·

Νὺξ δεκάτη ἕκτη.

Κατὰ τὴν ἐπιοῦσαν ἑσπέραν εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι, ὦ Σούκα, πρὸς ἀλλότριον ἄνδρα.» Ὁ δὲ, «Καλῶς ἔχει, ἔφη· ποίησον τὸ θυμήρές σοι, εἰ οἶδας τρόπον τοιοῦτον, οἷον ἡ Μουγδδικὰ, ῥίψασα λίθον.» Ἐρομένης δὲ, «Τί ἐστι τοῦτο ; » ὁ Σούκας ἀπεκρίνατο·

«Ἔστι πόλις, Βισσαδὰ τοὔνομα· ἔνθα ἦν ἔμπορος, Ζαναβαλλάββας καλούμενος, οὗ ἡ γυνὴ, ἧ ὄνομα Μουγδδικὰ, μοιχαλὶς οὖσα, ἔξω τῆς οἰκίας ἐκοιμᾶτο ὡς ἐπὶ τὸ πλεῖστον. Ὁ δ' ἀνὴρ, συγκαλέσας τοὺς συγγενεῖς, ἔφη· «Αὕτη ἡ γυνὴ ἔξω τῆς οἰκίας πολλάκις κοιμᾶται κατὰ τὴν νύκτα.» Ἐρω-

τησάντων δὲ τῶν συγγενῶν τὴν αἰτίαν, «Καὶ οὗτος, εἶπεν ἡ γυνὴ, ἔξω ἀεὶ κοιμᾶται.» Οἱ δὲ συγγενεῖς, ἀκούσαντες, ἔφασαν, ὡς ὁπότερος εἰς τὸ ἐξῆς ἔξω κοιμηθήσεται, οὗτος ἔνοχος ἔσεται. Καί τοι δὲ τοιαύτη συμφωνία ἐγένετο, ἡ γυνὴ ὅμως, κοιμωμένου ἔνδον τοῦ ἀνδρὸς αὐτῆς, πάλιν ἐξῆλθεν ἐν νυκτί· ὁ δὲ, ἀναστὰς, ἔκλεισε τὴν θύραν. Ὁμιλήσασα δὲ τῷ ἐρωμένῳ, ἐπανέστρεψεν· ἀλλ' ὁ ἀνὴρ οὐκ ἠνέωγε τὴν θύραν. Πάταγον δὲ ποιήσαντος λίθου, ὃν ἐρρίψεν ἡ γυνὴ εἰς φρέαρ, ὁ ἀνὴρ, εἰκάσας ἐκ τούτου, ὡς αὐτὴ ἑαυτὴν ἔρριψε, καὶ φοβηθεὶς, ἠνέῳξε τὴν θύραν. Ἡ δὲ γυνὴ, ἱσταμένη παρὰ τῇ θύρᾳ, εἰσέρπυσεν εἰς τὸν οἶκον, ὅτε ὁ ἀνὴρ ἐξῆλθεν, ὃς καὶ ἔλεγε μεγαλοφώνως, κλαίων, καὶ ὀδυρόμενος· «Ὦ ἀγαπητή!» Ἡ δὲ, τῆς οἰκίας ἐξελθοῦσα, εἰσήγαγεν αὐτόν· οἳ συμφωνίαν ἐποίησαν, ἵνα μὴ εἰς τὸ ἐξῆς ἔρις καὶ φιλονεικία γένοιτο·» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη οἶκοι.

Νὺξ δεκάτη ἑβδόμη.

Τὴν δ' ἑσπέραν τῆς ἑξῆς ἡμέρας ἔφη πάλιν τῷ Σούκᾳ ἡ Πραββαβατὴ, γελῶσα· «Ἄπειμι εἰς ἔντευξιν ἀλλοτρίου ἀνδρός.» Ὁ δὲ, «Ποίησον, ἔφη, ὅ,τι σοι καταθύμιον· λέγεται μέν τοι·

«Τιθέτω ὁ ἄνθρωπος τὸν πόδα ἐν τόπῳ, ὃν εἶδεν, ὡς »εὐθύς ἐστι· πινέτω ὕδωρ, ὃ διήθησε δι' ὀθονίου, καὶ ἐκά»θηρε· λεγέτω λόγον, ὃν ἔγνω, ὡς ἀληθής ἐστι, καὶ πραττέ»τω, ὃ ἀκριβῶς ἐσκέψατο.

Ποίησον τὸ καταθύμιον, εἰ δύνασαι φέρειν τὸ ἐπισυμβὰν κακὸν, καὶ λέγειν λόγον καταπειστικὸν, καθὼς ὁ Βραχμὰν Γουναδέας.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τὸ τοῦ Βραχμᾶνος, ἀπεκρίνατο·

«Ἐν Βισσαλᾷ τῇ πόλει Βραχμὰν ἦν, Γουναδέας τοὔνομα.

ὃς ἀποδημήσας, εἰς πόλιν ἀφίκετο, Ζαϊαντὴν καλουμένην, ἔνθα σκεψάμενος τρόπον, ὅπως ζήσεται, ἐμηχανήσατο τάδε· Ἐπισάξας βοῦν, καὶ σχῆμα θέμενος ἐμπόρου, ἦλθεν εἰς οἶκον πόρνης, καὶ ἰδὼν παρὰ τῇ θύρᾳ τὴν πορνοβοσκὸν, εἶπε πρὸς αὐτήν· «Ἐγώ εἰμι ἔμπορος, αὔριον δὲ οἱ λοιποί μου βόες ἐλεύσονται μετὰ φορτίων πολυτίμων. Ἦλθον δ' ἔγωγε σήμερον εἰς γνῶσιν τῆς ἀγορᾶς· νῦν δὲ τόπον ζητῶ, ἵνα καταλύσω καὶ ἐγὼ, καὶ ὁ ἐμὸς οὗτος βοῦς.» Ἡ δὲ πορνοβοσκὸς, νομίσασα ἔρμαιον, εἰσήγαγεν αὐτόν· ὃς δήσας τὸν βοῦν, φαγών τε καὶ πιὼν, ἡδυπάθησε μετὰ τῆς πόρνης καθ' ὅλην τὴν νύκτα. Περὶ δὲ τὸν ὄρθρον ἀναστὰς, ἐσύλησε τὴν χρυσῆν ζώνην τῆς πόρνης, καὶ ἀπέδρασε. Μὴ εὑρίσκουσα δ' ἡ πόρνη τὴν ζώνην, εἶδε μόνον τὸν βοῦν· καὶ ὑπονοήσασα, εἶπε πρὸς τὴν πορνοβοσκόν· «Αἴ! τί τοῦτο; ἡ χρυσῆ ζώνη ἐσυλήθη· ὁ δὲ συλήσας, ὁ ἔμπορός ἐστιν.» Ἡ δὲ πορνοβοσκὸς ἔφη· «Ἔχε σιωπὴν, λέγεται γάρ·

«Μὴ δημοσιεύετω ὁ φρόνιμος τὴν χρηματικὴν ζημίαν, »τὰ ἐν οἴκῳ αἴσχη, τὴν ἣν ἔχει ἀθυμίαν, καὶ τὴν ἣν ἔλαβεν »ἀπάτην καὶ ἀτιμίαν,» καὶ εὐθέως ἐξῆλθεν εἰς ἀναζήτησιν. Ὁ δὲ Γουναδέας, ὁ πεπλασμένος ἔμπορος, ἀπολέσας τὴν ζώνην τὴν χρυσῆν ἐν παιδιᾷ κύβων, ἄλλα ἐμηχανήσατο. Ἔχων γραφικὸν κάλαμον ἐν χειρὶ, ὡράθη καθ' ὁδὸν ὑπὸ τῆς πορνοβοσκοῦ· ἣ, κρατήσασα αὐτὸν, καὶ ὀνειδίσασα, ἔφη· «Ἔχω σε, ὦ κάκιστε· πῶς δὲ νῦν ἀπαλλαγήσῃ;» Ὁ δ' ἀπεκρίνατο· «Μὴ ἐνόχλει· καταγράφω γὰρ τοὺς ὅρους τῆς γῆς τῶν οἰκιῶν ἐκ προσταγῆς τοῦ Βασιλέως.» Φοβηθεῖσα δ' ἡ Πορνοβοσκὸς τὸ ὄνομα τοῦ Βασιλέως, ἀφῆκεν αὐτὸν ἀνενόχλητον, καὶ, εἰς θωπείαν καὶ ἐξιλέωσιν, ἐξελοῦσα ἐκ τῆς ἑαυτῆς χειρὸς ψέλλιον χρυσοῦν, ἐδωρήσατο αὐτῷ κατ' ἰδίαν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ δεκάτη ὀγδόη.

Περὶ δύσιν ἡλίου τῆς ἐπιούσης ἡμέρας εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι, ὦ Σούκα.» Ὁ δ' ἔφη· Οὐκ ἔστι σοι ψόγος πορευθῆναι εἰς οἶκον ἀλλότριον, ἂν ἔχῃς ὀξύνοιαν τοιαύτην εἰς ἀπαλλαγὴν καὶ ἀθώωσιν, οἵαν ὁ Σινηπιοκλέπτης.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

Ἐν Σουββασθάνᾳ τῇ πόλει ὀσπριοπώλης ἦν, Δαρίδρας τοὔνομα· οὗ ἐν τῷ οἴκῳ ἐμβὰς κλέπτης ἐν νυκτὶ, ὡς οὐδὲν ἄλλο τι εὗρεν, ἀναλαβὼν μίαν πήραν πλήρη σινήπεως, ἀπιὼν, ᾤχετο. Κατὰ δὲ τὴν ὁδὸν ἐφωράθη ὑπὸ τῶν νυκτοφυλάκων· οἳ, κρεμάσαντες τὴν πήραν ἀπὸ τοῦ τραχήλου αὐτοῦ, ἀπῆγον αὐτὸν, ὡς κατάδικον. Εἰς ὅ,τι δὲ ἐρωτᾶται, πόθεν, ἢ πῶς, τὴν προσήκουσαν ἀπόκρισιν οὐ δίδωσιν, ἀλλ' ἄλλα ἀντ' ἄλλων λέγει. Ἀκούσας ὁ Βασιλεὺς, ἐκάλεσε τὸν Σινηπιοκλέπτην, πρὸς ὃν καὶ εἶπεν· «Ἀκούω, ὡς ἄῤῥητα λέγεις· τί δηλοῖ ταῦτά σου τὰ ῥήματα;» Ὁ δ' ἀπεκρίνατο· «Οἱ ἄνθρωποι τῇ ἑξῆς ἡμέρᾳ τῆς ἑορτῆς Δηπαβαλῆς δέουσι περὶ τὸν καρπὸν τῆς χειρὸς πέντε κόκκους σινήπεος, ὡς φυλακτήρια· ἐγὼ δ' ἔχων μυρίους τοιούτους κόκκους περὶ τὸν λαιμὸν, τί φοβοῦμαι;» Γελάσας δ' ὁ Βασιλεὺς ἐπὶ τῇ κομψότητι τοῦ λόγου, ἀπέλυσεν αὐτόν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη οἴκοι.

Νύξ δεκάτη ἐννάτη.

Ἐλθόντος εἰς δύσιν τοῦ ἡλίου κατὰ τὴν ἑξῆς ἡμέραν, ἤρετο ἡ Πραββαβατή· «Τί ποιήσω, ὦ Σούκα;» Ὁ δὲ, «Ποίησον, ἔφη, ὅ,τι ἀρέσκει σοι, εἰ οἶδας λυτρῶσαι σεαυτὴν ἀπὸ τοῦ ἐμπίπτοντος δεινοῦ, καθὼς ἡ Σαντικὰ ἐλύτρωσε τὸν ἑαυτῆς ἄνδρα.» Ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἔστι πόλις, καλουμένη Κουρουχάδα· ἔνθα ἦν Βασιλεὺς, Γουναπριᾶς (Φιλόκαλος), φερωνύμως καλούμενος. Ἦν δ' ἐκεῖ καὶ ἔμπορος Σετάκας ὀνομαζόμενος, οὗ ἡ γυνὴ, ἧ ὄνομα Σαντικὰ, σώφρων ἦν καὶ σεμνή. Ἑτέρου δέ τινος ἐμπόρου ἡ γυνὴ, ἧ ὄνομα Σβασσανδὰ, μοιχαλὶς ἦν, καὶ ἦρα τοῦ Σετάκα· ἀλλ' αὐτὸς οὐδαμῶς ἀντήρα αὐτῆς. Καί ποτε ὁ Σετάκας κατὰ τὴν ἑσπέραν ἐπορεύθη εἰς προσκύνησιν θεοῦ Ἰάζα, ᾧ ὄνομα Μανοράθας. Ἠκολούθησε δ' αὐτῷ καὶ ἡ Σβασσανδά· ἡ ἐν τῷ ναῷ εἵλκυσεν εἰς τὴν οἰκείαν ἀγάπην τὸν Σετάκαν ταῖς ἑαυτῆς ἴυγξιν. Ὀρθῶς ἄρα λέγεται·

«Ἐν τοσούτῳ ὁ ἄνθρωπος βαδίζει, καὶ τῶν αἰσθήσεων κρα»τεῖ, καὶ αἰδὼ ἔχει, καὶ σεμνός ἐστιν, ἐν ὅσῳ οὐ βάλλουσι »τὰ βλέμματα τῶν εὐοφθάλμων γυναικῶν, ὡς βέλη, βαλλό»μενα διὰ τῶν ὀφρύων, ὡς διὰ τόξων.

Σκοπήσαντες δ' οἱ βασιλικοὶ ὑπηρέται, ὡς ἀνὴρ καὶ γυνή ἐστιν ἐν τῷ ναῷ, ψιθυρίζοντες, καὶ γελῶντες, καὶ ὑποπτεύσαντες, ὡς μοιχοί εἰσιν, ἔκλεισαν αὐτοὺς ἔνδον. Ἡ δὲ Σαντικὰ, μαθοῦσα τὸ γεγονὸς, ἦλθε νύκτωρ εἰς τὸν ναὸν, μετὰ πυρσῶν καὶ σαλπίγγων, καὶ εἶπε πρὸς τοὺς βασιλικοὺς ὑπηρέτας, οἳ ἐκώλυον τὴν εἴσοδον· «Ἐγὼ σήμερον ἐνήστευσα· προσκυνήσασα δὲ τὸν Θεὸν, ἀπελεύσομαι, καὶ βρῶσιν λήψομαι· ἄφετέ με οὖν εἰσελθεῖν, καὶ λάβετε ὀλίγα δῶρα.» Εἰσελθοῦσα ἡ Σαντικὰ κατὰ τοῦτον τὸν τρόπον, ἐνέδυσε τὰ ἑαυτῆς ἄμφια τὴν Σβασσανδάν· ἣ, ἐξελθοῦσα, ἀνεχώρησεν ἀγνώριστος μετὰ τῶν αὐτῶν σαλπίγγων καὶ πυρσῶν, μεθ' ὧν ἦλθεν ἡ Σαντικὰ, ἣ ἔμεινεν ἔνδον τοῦ ναοῦ μετὰ τοῦ ἑαυτῆς ἀνδρός. Περὶ δὲ τὴν ἕω, γνόντες οἱ βασιλικοὶ ὑπηρέται, ὡς ἡ ἐν τῷ ναῷ, νόμιμος ἦν γυνὴ τοῦ Σετάκα, ἀπέλυσαν αὐτοὺς, αἰσχυνθέντες. » Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη οἴκοι.

Νύξ εἰκοστή.

Ὅτε ὁ ἥλιος ἦν περὶ δυσμὰς κατὰ τὴν ὑστεραίαν, ἐξεφώνησεν ὁ Σούκας πρὸς τὴν Πραββαβατήν, βουλομένην πορευθῆναι· «Πορεύθητι, ὦ Δέσποινα, ἔνθα ἡ σὴ καρδία ἔχει ἔφεσιν, εἰ οἶδας ποιῆσαι τοιοῦτο τέχνασμα, οἷον ἡ Καλικὰ ἐποίησεν εἰς ἀπάτην τοῦ οἰκείου ἀνδρός.» Ἐρωτηθεὶς δὲ, τί ἦν, ὃ ἐποίησε, διηγεῖται·

«Πόλις ἐστὶ, Σαγχαπούρα τοὔνομα, ἧς πλησίον ῥεῖ ποταμὸς, ᾧ ὄνομα Σασβατή. Τούτου τοῦ ποταμοῦ περὶ τὸ χεῖλος ᾤκει γεωργὸς πλούσιος, Σούρας καλούμενος, οὗ ἡ γυνὴ, Καλικὰ τὴν κλῆσιν, ἀκόλαστος οὖσα, ἦρα Βραχμᾶνος, ὃς ᾤκει κατὰ θάτερον χεῖλος τοῦ ποταμοῦ ἐν κώμῃ, ἔνθα ἦν καὶ ναὸς τοῦ Θεοῦ Σίβα, καὶ διαπερῶσα τὸν ποταμὸν κατὰ τὴν νύκτα μετὰ φίλης γειτνιαζούσης, συνῆν τῷ ἐρωμένῳ. Μαθὼν δ' ὁ γεωργὸς, ὡς ἡ γυνὴ αὐτοῦ, διαβαίνουσα τὸν ποταμὸν, πορεύεται πρὸς ἐρώμενον, ἠθέλησε βεβαιωθῆναι αὐτοψεί· καὶ προελθὼν εἰς θάτερον χεῖλος τοῦ ποταμοῦ, παρετήρει. Ἡ δὲ Καλικὰ, διαπεράσασα τὸν ποταμὸν, ἐσκόπησε τὸν ἑαυτῆς ἄνδρα· καὶ ἐν ταὐτῷ πληρώσασα ὕδατος τὴν στάμνον, ἣν εἶχεν, ὡς σχεδίαν, ἦλθε, καὶ ἔλουσε τὸν θεὸν Σίβαν· κἄτα εἶπε πρὸς τὴν μαστρωπὸν τοῦτο, ὃ ἦν, ὡς σύνθημα· «Σὺ, ὦ φίλη, εἰπάς μοι, ὡς, ἂν μὴ λούσω τὸν θεὸν, ὁ ἐμὸς ἀνὴρ τεθνήξεται μεταξὺ πέντε ἡμερῶν· εἰ οὖν ἀληθής ἐστιν ὁ σὸς λόγος, μακρόβιος ἔστω ὁ ἐμὸς ἀνήρ.» Ἡ δὲ μαστρωπὸς ἐπηύξατο· «Γένοιτο!» Θεασάμενος δ' ὁ γεωργὸς τοιαῦτα, καὶ ἀκροασάμενος, ἐπανέκαμψεν, αἰσχυνόμενος.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νύξ εἰκοστὴ πρώτη.

Τῇ ἑξῆς ἡμέρᾳ περὶ λύχνων ἀφὰς εἶπε πάλιν ἡ Πραββατὴ, κοσμηθεῖσα· «Πορεύομαι, πληρώσουσα τὴν ἐμαυτῆς ἐπιθυμίαν.»—«Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ ἔχεις ἀρωγὸν νοῦν τοιοῦτον, οἷον εἶχεν ἡ Μανδοδαρή.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, διηγεῖται·

«Ἐν Πρατισθάνα τῇ πόλει Βασιλεύς ἦν, ᾧ ὄνομα Χεμαπράββας. Ἦν δ' ἐκεῖ καὶ ἔμπορος, Σρηβάτσας καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Μανδοδαρὴ, ὁδηγουμένη ὑπὸ γειτονευούσης μαστρωποῦ, συνεγίνετο ἑτέρῳ ἐμπόρῳ. Οὖσα δ' ἔγκυος, ἐπιθυμίαν εἶχε παντοειδοῦς βρώματος· καὶ σφάξασα, ἔφαγε ἕνα ταὼ τοῦ Βασιλέως, ὃς ἦλθεν εἰς τὸν οἶκον αὐτῆς· λίαν δ' ἠγάπα ὁ Βασιλεὺς αὐτὸν τὸν ταὼ, καὶ ἠρίστα, αὐτοῦ παρόντος. Ἐπειδὴ δ' ἐκείνην τὴν ἡμέραν οὐκ ἐφάνη ὁ ταὼς ἐν ὥρᾳ ἀρίστου, διὰ τοῦτο κήρυξ ἀνὰ τὴν πόλιν ἐκήρυττε περὶ τοῦ ἀπολωλότος ταώ. Ἀκούσασα τοῦ κήρυκος ἡ μαστρωπὸς ἐκείνη, ὑπέλαβεν, ὡς ἔγκυός τις ἔφαγε τὸν ταὼ, διὰ τὴν ἣν ἔχει ἐπιθυμίαν παντοειδοῦς βρώματος, καὶ προσελθοῦσα τῇ ἐγκύῳ Μανδοδαρῇ, ἐκολάκευσε, καὶ ἠρώτησεν αὐτήν. Ἡ δ' ἐξωμολογήσατο πάντα τὰ τοῦ ταὼ, πιστεύσασα. Ἀλλ' ἡ μαστρωπὸς, ἐπίβουλος ἐγένετο καὶ προδότις· ὀρθῶς ἄρα λέγεται·

«Οὐ μόνον τῷ ἀνεχεγγύῳ, ἀλλ' οὐδὲ τῷ ἐχεγγύῳ δεῖ πι-»στεύειν· ἐκ γὰρ τοῦ ἐχεγγύου ὄλεθρος παντελὴς γίνεται.

«Μυστικὸν πᾶν ἔργον φυλαττέσθω πρὸς γυναῖκας· ὀλίγον »δ' ἀνακαλυπτέσθω πρὸς ἄνδρας, πρὸς υἱοὺς, καὶ πρὸς φί-«λους. Σκεπτέσθω ἀκριβῶς ὁ φρόνιμος καὶ καλὸν καὶ κακὸν, »καὶ τότε λεγέτω μετὰ μεγάλης προσοχῆς.

«Κρινέτω ὁ ἄνθρωπος, καὶ ἀποφευγέτω τοὺς ἠδεῖς καὶ

»κολακευτικοὺς λόγους· οἱ γὰρ ἔλαφοι, ἡδέσιν ἄσμασι δελεα-
»σθέντες, ὀλλυνται.

«Οἵτινες οὐ γίνονται ἀπατηλοὶ πρὸς ἀπατηλούς, οὗτοι,
»ἄφρονες ὄντες, ὀλλυνται· καθὼς γὰρ οἱ ὄϊστοὶ ὀλλύουσιν,
»εἰσδύντες εἰς σῶμα ἀκαταφράκτων, οὕτω καὶ οἱ πονηροί,
»εἰσδύντες εἰς καρδίαν ἀφυλάκτων.

Μαθοῦσα ἡ μαστρωπὸς τὰ τοῦ ταὼ, ἀνήγγειλε τῷ βου-
λευτῇ· ὁ δὲ βουλευτὴς τῷ Βασιλεῖ. Ἀλλ' ὁ Βασιλεὺς ἀπε-
κρίνατο· «Τοιοῦτον ἔργον ἀνοίκειόν ἐστι γυναικὶ ἐμπόρου κο-
ρυφαίου τῆς πόλεως· ὅθεν μὴ ἀτιμηθήτω, ἐὰν μὴ ἴδῃς αὐτὸς,
καὶ βεβαιωθῇς.» Ὁ μὲν δὴ βουλευτὴς εἶπε τῇ μαστρωπῷ,
ὡς ὁ λόγος αὐτῆς δεῖται μαρτυρίας καὶ βεβαιώσεως. Ἡ δὲ,
θεῖσα τὸν βουλευτὴν ἐν Κιβωτῷ, ἤγαγεν αὐτὴν, καὶ ἀφῆκε
παρὰ τῇ Μανδοδαρῇ, ὡς παρακαταθήκην· κἄπειτα εἶπε·
«Μακαρία σὺ, ὦ Μανδοδαρὴ, γευσαμένη κρέατος ταώ· λέ-
γεται γὰρ ἐν τῷ νόμῳ·

«Καθαρώτερόν ἐστι πάντων τῶν κρεάτων τὸ τῆς ἐλάφου,
»τὸ τῆς δορκάδος, τὸ τῆς τρυγόνος, τὸ τοῦ ὀρτυγος, τὸ
»τοῦ ταὼ, τὸ τοῦ ῥινοκέρωτος, καὶ τὸ τῆς χελώνης.» Ἐρω-
τηθεῖσα δὲ πάλιν ἡ Μανδοδαρὴ, πῶς ἐκράτησε, καὶ πῶς
ἔφαγε τὸν ταὼ, ἐξιστόρει πάντα. Ἡ δὲ μαστρωπὸς ἔκρουε
τὴν κιβωτὸν διὰ τῶν δακτύλων· τοῦτο δ' ἦν, ὥσπερ σή-
μαντρον τῷ ἐν τῇ κιβωτῷ βουλευτῇ εἰς τὸ ἀκούειν· ὀρθῶς
ἄρα λέγεται·

«Οὐδὲν ἀγαθὸν βλέπει τις ἐξ ὁμιλίας κακῶν ἀνθρώπων·
»ὁ γὰρ κακὸς, καί περ φίλος ὤν, δείκνυσι τὴν ἑαυτοῦ κακὴν
»φύσιν.

«Καθὼς ἴδιόν ἐστι τοῦ Μυὸς, οὐ τὸ ἀνορθῶσαι, ἀλλὰ τὸ
»ἀνατρέψαι, οὕτω καὶ τοῦ κακοῦ, οὐ τὸ κατορθῶσαι, ἀλλὰ
»τὸ καταστρέψαι.

«Οὕτω δ' ἔχοντος τοῦ πράγματος, πῶς ἂν ὁ ἔμπορος καὶ

οἱ περὶ αὐτὸν σωθείησαν; ἐρωτῶ.»—«Οὐκ οἶδα, ἀπεκρίνατο ἡ Πραββαβατὴ, πῶς σωθήσεται ἡ οἰκία τοῦ ταλαιπώρου ἐμπόρου.»—«Ἄκουε, εἶπεν ὁ Σούκας, καὶ μένε ἐν οἴκῳ. Ἐν ᾧ ἔκρουε τὴν κιβωτὸν ἡ μαστρωπὸς τοῖς δακτύλοις, ἐν τούτῳ ἀναλογισαμένη, καὶ ὑπονοήσασα ἡ Μανδοδαρὴ, ἔλεξε τελευταῖον τάδε· «Ἐν ὅσῳ ἐγὼ ἔπραττον ταῦτα, παρῆλθεν ἡ νύξ· καὶ ἐξεγερθεῖσα, οὐδὲν εἶδον παρόν. Τοῦτό ἐστι τὸ ὄνειρόν μου, ὦ μῆτερ· σὺ δ' εἰπέ μοι εἴ ἔστι τις ὀνειροκρίτης.» Ἀκούσας ὁ βουλευτὴς, εὐθέως ἐξῆλθε τῆς κιβωτοῦ, καὶ τὴν μὲν Μανδοδαρὴν, τὴν γυναῖκα τοῦ ἐμπόρου ἐπήνεσε, τὴν δὲ μαστρωπὸν ὠνείδισεν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νύξ εἰκοστὴ δευτέρα.

Περὶ τὸ τέλος τῆς ὑσεραίας εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι, ὦ Σούκα.» Ὁ δ' ἔφη. «Καὶ ἐγὼ κλίνω εἰς τὴν σὴν γνώμην· πορεύθητι, πάλιν λέγω, πορεύθητι, εἰ οἶδας πρᾶξαι τοιαῦτα, οἷα ἡ Βαχουκά.» Καὶ ἐρωτηθεὶς, οἷα ἔπραξεν, ἀπεκρίνατο·

«Ἐν Κώμῃ, ᾗ ὄνομα Δαμιλὰ, γεωργὸς ἦν, ὀνομαζόμενος Σοδούκας· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Βαχουκὰ, καθ' ἑκάστην ἔφερε βρῶμα πρὸς αὐτὸν εἰς τὸν ἀγρόν[1]· κατὰ δὲ τὴν ὁδὸν ἐμοιχεύετο ὑφ' ἑτέρου, ᾧ ὄνομα Σουραπάλας. Καί ποτε μετὰ τὴν συνουσίαν καθ' ὁδὸν ἔμεινεν ἡ μοιχαλὶς μετὰ τοῦ μοιχοῦ, ὃς καὶ ἔφαγε τὸ φερόμενον βρῶμα πρὸς τὸν γεωργόν. Ἡ δὲ, ἀντὶ τοῦ βρώματος ἤγαγε πρὸς τὸν ἑαυτῆς ἄνδρα μίαν κάμηλον· ὃς, ἰδὼν, ἤρετο· «Τί τοῦτο;»—«Χθὲς τῇ νυκτὶ, ἔφη, εἶδον ἐν ὕπνῳ, ὡς κάμηλος κατέφαγέ σε, καὶ διὰ τοῦτο ταύτην ἤγαγον· φάγε οὖν αὐτὴν ἐκ τοῦ ἐναντίου θαῤῥαλέως, ἵνα πόῤῥῳ τὸ κακὸν γένηται.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

(1) Τὸ χειρόγρ. φέρει ἀγορὰν, κατὰ παραδρομὴν ἴσως.

Νύξ εἰκοστὴ τρίτη.

Κατὰ τὴν ἑσπέραν τῆς ἐπιούσης αἱ μὲν μαστρωποὶ ἠρέθιζον τὴν Πραββαβατὴν εἰς τὸ πορευθῆναι πρὸς ἀλλότριον ἄνδρα, λέγουσαι ταῦτα· «Ἄνευ τῆς ἡδείας συνουσίας πάντα ταῦτα οὐδέν ἐστιν ὄφελος, ἡ εὐρωστία, ἡ εὐθυμία, ἡ ἄνεσις, καὶ ἡ δόξα.» Ὁ δὲ Σούκας ἀντέλεγεν· «Ἄκουσον τούτου τοῦ σοφοῦ λόγου, Κυρία·

«Εὐπόριστοί εἶσι καὶ πολλοί, οἱ λέγοντες ἀεὶ ἡδέα καὶ »ἀρεστά· δυσεύρετοι δὲ καὶ σπάνιοι, οἱ λέγοντες καὶ ἀκούον»τες πικρὰ μέν, ὠφέλιμα δέ.

«Τί δὲ πολλὰ λέξω σοὶ τῇ ἐχέφρονι; ἀκούσασα ἔν ἔργον μαστρωποῦ, καὶ καλῶς σκεψαμένη, πορεύθητι, εἴ σοι δοκεῖ.» Καὶ ἐρωτηθεὶς, ὁποῖόν τι εἴη, διηγεῖται·

«Ἔστι πόλις, Μαδμαβατὴ τοὔνομα· ἧς αἱ ὁδοὶ ἐστρωμέναι ἦσαν ἐκ πολυτίμων λίθων, ἐξ ὧν ὁ ἥλιος μᾶλλον ἀντέλαμπε, καὶ ἐφαίνετο, ὡς ὁ χιλιοκέφαλος Σέσσας, διαῤῥήξας τὴν γῆν, ἐξῆλθε μετὰ τῶν ἐπὶ τῶν κορυφῶν ἑαυτοῦ ἀδαμάντων. Ἦν δ' ἐν ἐκείνῃ τῇ πόλει Βασιλεὺς, Σουδαρσσάνας καλούμενος· ἦν δὲ φιλόλαος, καὶ πάντῃ ἀμώμητος, καὶ λαμπρὸς, ὡς ὁ ἥλιος. Ἡ δὲ Βασίλισσα ὠνομάζετο Σρηγκαρασουνδαρή· ἦν δ' εὐειδεστέρα πασῶν τῶν ἐν Κόσμῳ. Τοιαύτῃ συνεύνῳ συνευφραινομένου τοῦ Βασιλέως, ἐπέστη ἡ ὥρα τοῦ θέρους, ὅτε θερμός ἐστιν ὁ ἥλιος, θερμὴ ἡ ἡμέρα, καὶ μακρὰ, καὶ δύσφορος, θερμὸς καὶ ὁ ἀὴρ, πάντα θερμά· δι' ἣν αἰτίαν ἱμάτια λευκὰ καὶ λεπτὰ ἐθίζονται, καὶ ὕδωρ διειδὲς, καὶ ψυχρόν· καὶ περὶ μὲν τὴν μεσημβρίαν χρίσμα ἐκ Σανδάνου, περὶ δὲ τὴν ἑσπέραν βάπτισμα ἐν ὕδατι, περὶ τὴν νύκτα ῥιπίδιον, δι' ὧν οἱ ἄνθρωποι καταβάλλουσι τὴν θερμότητα. Ἐν τοιαύτῃ ὥρᾳ τοῦ θέρους ἔμπορός τις, Σάνδρας τοὔνομα, ἀνέβη ἐπὶ τῆς στέγης τοῦ οἴκου σὺν τῇ ἑαυτοῦ γυναικὶ, ᾗ ὄνομα Πραββα-

βατή, ὅτε ὁ μὲν ἥλιος κατεδύετο εἰς τὸν ἑσπέριον ὠκεανόν, ἡ δὲ σελήνη ἀνεδύετο ἐκ τοῦ ἑώου, τὸ σκότος διασκεδαννύουσα, καὶ ἀμβροσίαν διαχέουσα· καὶ ἐν τοιαύτῃ ἀγλαᾷ νυκτὶ συνήδοντο ἀμφότεροι ἐπὶ τῆς στέγης, καὶ συνδιελέγοντο. Εἶχε δ' αὐτὸς ὁ ἔμπορος υἱὸν μονογενῆ, Ῥάμαν τὸ ὄνομα, ὃν αὐτὸς ἐδίδαξε πᾶσαν ἐπιστήμην. Ἐνταῦθα εἶπεν ἡ γυνὴ τῷ ἑαυτῆς ἀνδρί· «Σφόδρα λυποῦμαι, ὅτι ἕνα μόνον ἔχω υἱόν.» Πρὸς ἣν ἔφη ὁ Σάνδρας· «Εἰ καὶ εἷς υἱός, ἀλλ' ἀξιόλογός ἐστι πολλῶν· διὸ καὶ λέγεται·

«Καὶ εἷς ὢν υἱὸς, λυσιτελέστερός ἐστιν, ὅταν ᾖ τοιοῦτος, »φρόνιμος, ἡδὺς ἐλευθέριος, σεμνὸς, φιλομαθὴς, ἐπιστημονι»κὸς καὶ καρτερικός.

«Τί ὄφελος ἐκ πολλῶν γεννηθέντων υἱῶν, οἳ παρέχουσι »λύπας καὶ ἄλγη τοῖς γεννήτορσι; λυσιτελέστερος εἷς μόνος »υἱὸς, ὅς ἐστι τὸ ἔρεισμα καὶ ἀγλάϊσμα τοῦ γένους.»

«Καλέσας δὲ τὴν πονηροτέραν πορνοβοσκὸν, ἔφη· «Χιλίους χρυσοῦς στατῆρας δίδωμί σοι, ἂν διδάξῃς τὸν ἐμὸν υἱὸν τὰς ἑταιρικὰς πλοκὰς καὶ δολιότητας· διπλάσια δ' ὅμως λήψομαι παρὰ σοῦ, εἰ ὁ ἐμὸς υἱὸς ἀπατηθείη ὑπό τινος πόρνης.» Συνθήκης τοιαύτης γεγενημένης, ἐξαπέστειλεν ὁ Σάνδρας τὸν ἑαυτοῦ υἱὸν εἰς τὸν τῆς πόρνης οἶκον· ἔνθα ἐδιδάσκετο τὰς ἑταιρικὰς πανουργίας καὶ μηχανὰς, τὴν ῥαδιουργίαν, τοὺς ψευδεῖς ὅρκους, τοὺς πλαστοὺς λόγους, τὸν πλαστὸν ἀκκισμὸν, τὰ πλαστὰ δάκρυα, τὸν πλαστὸν γέλωτα, τὴν πλαστὴν λύπην καὶ χαρὰν, τὸ ἐπίπλαστον φίλτρον, καὶ τὸ ταπεινὸν αἴτημα. Ταῦτα καὶ ἄλλα τοιαῦτα πολλὰ ἔμαθε ῥαδιουργήματα. Ἐπὶ τούτοις ἡ πορνοβοσκὸς παρέδωκε τῷ πατρὶ τὸν υἱὸν τέλειον εἰς τὴν μάθησιν, ὡς προϋπέσχετο. Ὁ δὲ πατὴρ ἀπέστειλε τὸν υἱὸν εἰς τὴν νῆσον Σβαρναδβίπαν πρὸς ἐμπορίαν· ἔνθα συνῆν πόρνη, ᾗ ὄνομα Καλαβατὴ, περί που ἔτος. Ἀλλ' ἡ πόρνη οὐκ ἠδυνήθη λαβεῖν ὅλον τὸν πλοῦτον

αὐτοῦ πολλοῖς ἑταιρικοῖς τεχνάσμασι καὶ σοφίσμασι, καὶ ἀφηγήσατο πάντα τῇ ἑαυτῆς μητρὶ, τῇ πορνοβοσκῷ. «Πάντως γε οὗτος, ἔφη ἡ πορνοβοσκὸς, πόρνης ἐστὶν υἱός· ἐπειδὴ δὲ οὐχ ἁλίσκεται τοιούτοις δελεάσμασιν, ἄλλοις βιαστικοῖς χρηστέον. Ὅταν αὐτὸς, ὦ θύγατερ, ἔφη, ἀπελθεῖν θέλῃ οἴκαδε, εἰπὲ, ὡς καὶ σὺ ἀπέρχῃ μετ' αὐτοῦ, καὶ ὡς θνήσκεις, ἂν μὴ ἀγάγῃ σε· ἤ, ῥίπτωσε εἰς φρέαρ βαθύ· ὁ δὲ, φοβηθεὶς, δώσει πάνθ' ὅσ' ἔχει.» Ἡ δὲ πόρνη ἔφη· «Τί δ' ὄφελός μοι ἐκ τοῦ πλούτου, ὦ μῆτερ, ὅταν ἐγὼ οὕτω ῥιψοκινδυνεύσω, καὶ ἀποθάνω; ὅθεν καὶ λέγεται·

«Μὴ ἔστω μοι ἐπιθυμία τοιούτου πλούτου, ὃς εἰς κτῆσιν »ἔρχεται διὰ πολλοῦ πόνου, καὶ κινδύνου τῆς ζωῆς, διὰ »παραβάσεως τῶν τοῦ νόμου, καὶ διὰ τῆς πρὸς τοὺς ἐχθροὺς »προσκυνήσεως.»

«Ὦ θύγατερ, ἔφη ἡ πορνοβοσκὸς, μὴ οὕτω λέγε· ἡ γὰρ κτῆσις τοῦ πλούτου ἡ κίνδυνον ζωῆς, ἢ καλὴν ζωὴν δίδωσιν· ὅθεν καὶ λέγεται·

«Ὁ ἄνθρωπος οὐ βλέπει ἀγαθὰ, ἐὰν μὴ ῥιψοκινδυνεύσῃ· ὁ »γὰρ φιλοκίνδυνος ἐν πᾶσιν ἔργοις δοχεῖον ἐξαίρετον τῆς »εὐδαιμονίας γίνεται.

«Μεγάλης δόξης οὐ τυγχάνει ὁ ἄνθρωπος, ἂν μὴ πράξῃ »τὸ δύσπρακτον, ἂν μὴ πλήξῃ τὰ καίρια τοῦ ἐχθροῦ, καὶ ἂν »μὴ κτείνῃ, ὡς ὁ ἰχθυοβόλος.

«Μηδὲ φοβηθῇς, πεσοῦσα εἰς τὸ φρέαρ· ἐγὼ γὰρ, ἔφη, ἐν τῷ ὕδατι ἀναπετάννυμι δίκτυον, ἔνθα ἐρειδομένη, οὐ γίνεταί σοι βυθισμός.» Ἀκούσασα ἡ πόρνη, ἐστερξε· καὶ καταπεσούσης εἰς τὸ φρέαρ, βοὴ ἐγένετο, καὶ κακολογία κατὰ τοῦ ἐραστοῦ Ῥάμα, ὡς ἐξ αἰτίας αὐτοῦ ἐκείνη πέπτωκε, καὶ τέθνηκε. Ὁ δὲ, φοβηθεὶς τὴν παρὰ Βασιλέως ποινὴν, πάνθ' ὅσ' εἶχεν, ἔδωκε τῇ πορνοβοσκῷ εἰς ἐξιλέωσιν, καὶ γυμνὸς καὶ ἄτιμος ἀπέπλευσεν οἴκαδε. Ἰδὼν δ' ὁ πατὴρ τὸν υἱὸν

μόνον καὶ γυμνὸν, ἠρώτησε τὴν αἰτίαν. Ὁ δὲ, αἰσχυνόμενος καὶ ἀχθόμενος, οὐδὲν ἀπεκρίνατο· ἀλλ' ἡ μήτηρ διηγήσατο πάντα. Ἀκούσας ὁ πατὴρ, εἶπε· «Μὴ λυποῦ, υἱέ· τῷ γὰρ ἀνθρώπῳ καὶ εὐτυχίαι καὶ δυστυχίαι γίνονται· ἄκουσον δὲ, ὃ εἶπεν ἀστεῖος ἐλεφαντοκόμος ἐλέφαντι, ὃς ἔπεσεν εἰς τὸν ἐσκαμμένον λάκκον, ὅτε ἐάλω.

«Διὰ τί, ὦ ἐλεφάντων ἀγελάρχα, τοιαύτην σύννοιαν ἔχεις, »καὶ ὑποκλείεις τοὺς ὀφθαλμοὺς, ὡς θεωρητικός; λάβε τὸν »διδόμενόν σοι ἄρτον, καὶ φάγε, συσκεψάμενος, ὡς θεόθεν γί»νονται ἀγαθὰ, ἢ κακά.»

«Ὁ πλοῦτος, ὦ υἱὲ, ῥέων ἐστὶ καὶ φθαρτός· διὰ τοῦτο οἱ μεγαλόφρονες οὔτ' ἄχθονται, πλούτου οἰχομένου, οὔτ' ἀγάλλονται, ἐρχομένου.» Οὕτω παρηγορήσας τὸν υἱὸν, καλέσας τὴν πορνοβοσκὸν εἶπεν· «Ὁ διδαχθεὶς ὑπὸ σοῦ υἱός μου, ἀπολέσας πάντα τὸν πλοῦτον δολοπλοκίᾳ πόρνης, παρεγένετο.» Ἡ δ' ἔφη· «Ἑτοίμασον πλοῖον, καὶ ἐξαπόστειλόν με μετὰ τοῦ υἱοῦ σου· ἐγὼ δὲ πάντα τὸν πλοῦτον λήψομαι παρ' ἐκείνης τῆς πόρνης.» Ὁ δ' ἐξαπέστειλεν εἰς τὴν Σβαναδβίπαν μετὰ τῆς πορνοβοσκοῦ τὸν υἱὸν, ὃς καὶ ἐπορεύθη εἰς τὸν οἶκον ἐκείνης τῆς πόρνης Καλαβατῆς, συμβουλῇ τῆς πορνοβοσκοῦ, ἡ ἐλθοῦσα μετέπειτα, ἔφη, ἐλέγχουσα· «Μετὰ πολὺν χρόνον εὕρηκά σε, ὦ μιαρὲ, ἐν οἴκῳ πόρνης.» Ἐρωτηθεῖσα δ' ὑπὸ τῆς πόρνης· Τίς εἶ; ἢ τίς οὗτος; «Ἐγώ εἰμι, ἀπεκρίνατο, ψάλτρια τοῦ Βασιλέως τῆς Ἀβαντῆς· οὗτος δὲ, ἐμὸς υἱὸς, ὃς ἐσύλησέ μου τὸν πλοῦτον, σὺ δ' ἐσύλησας αὐτὸν παρ' αὐτοῦ· νῦν δὲ πορεύομαι, ἀναγγελοῦσα τῷ Βασιλεῖ.» Φοβηθεῖσα δ' ἡ μήτηρ τῆς πόρνης, προσέπεσε τοῖς ποσὶ τῆς πορνοβοσκοῦ, καὶ εἶπε· «Μηδὲν κακὸν ποιήσῃς ταύτῃ μου τῇ θυγατρί· λαβοῦσα δὲ καὶ τὸν υἱὸν, καὶ πάντα τὸν πλοῦτον, ὃν συνήγειρα ἐκ πολλῶν, ἄπελθε ἐν εἰρήνῃ.» Ἡ δὲ πορνοβοσκὸς, παραλαβοῦσα πάντα τὸν πλοῦτον τῆς Καλα-

βατῆς, ἐπανέστρεψεν οἴκαδε μετὰ τοῦ Ῥάμα, χαίροντος, καὶ εὐωχίαν μεγάλην ἐτέλεσεν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ εἰκοστὴ τετάρτη.

Τῇ δ' ὑστεραίᾳ κατὰ τὴν ἑσπέραν, κοσμηθεῖσα πάλιν ἡ Πραββαβατὴ, ἠρώτησε τὸν Σούκαν· «Πορευθῶ;» Ὁ δ' ἀπεκρίνατο· «Πορεύθητι, εἰ οἶδας ἀπολογίαν δοῦναι, καθὼς ἡ Σαζζανὴ, ληφθεῖσα μετὰ μοιχοῦ, καὶ κρατηθεῖσα ἐκ τῆς κόμης.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει, ἀπεκρίνατο·

«Ἐν Σανδραπούρᾳ τῇ πόλει τέκτων ἦν, Σουραπάλας καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Σαζζανὴ, ἀκόλαστος οὖσα, ἐμοιχεύετο. Ἀκούων δ' ὁ τέκτων παρὰ τῶν ἀνθρώπων, ἐν μιᾷ τῶν ἡμερῶν ἀποδημίαν πλασάμενος, ἀνεχώρησεν ἐξ οἴκου πρωΐ· περὶ δὲ τὴν ἑσπέραν ἀναστρέψας, λαθὼν, ἐκρύβη ὑπὸ τὴν κλίνην. Ὅτε δ' ἦλθεν ὁ μοιχός, ἐξερπύσας ὁ τέκτων κάτωθεν τῆς κλίνης, ἐκράτησεν ἐκ τῆς κόμης τὴν γυναῖκα, ἀναβῆναι θέλουσαν ἐπὶ τῆς κλίνης. Ἡ δὲ, ἀποβλέψασα πρὸς τὸν μοιχὸν, εἶπεν, ἀσχάλλουσα· «Ἐγὼ, ἄνθρωπε, εἶπόν σοι σήμερον, ὅτε ἦλθες, προτείνων, καὶ αἰτῶν ὀφειλόμενα, ὡς ὁ ἀνήρ μου οὐκ ἔστιν ἐνταῦθα, καὶ ὡς ἐλθὼν, δώσει σοι, εἴ τι ἔλαβε παρὰ σοῦ· διὰ τί πάλιν ἦλθες; ἢ ἤκουσας, ὅτι ἦλθε, καὶ διὰ τοῦτο πάλιν ἦλθες; Νῦν δ' ἀμφότεροι παρόντες, θεωρήσατε τὴν ἣν ἔχετε διαφοράν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νύξ εἰκοστὴ πέμπτη.

Ὀψίας γενομένης τῇ ἑξῆς ἡμέρᾳ, ἠρώτησεν ἡ Πραββαβατή. «Τί ποιήσω;» — «Ποίησον, ἔφη ὁ Σούκας, ὅ,τι ἀρέσκει σοι,

εἰ οἶδας ποιῆσαι τοιοῦτον τέχνασμα, οἷον ὁ πολιορκηθεὶς Σηταμβάρας.» Ἐρωτηθεὶς δὲ, οἷον εἴη τὸ τέχνασμα, διηγεῖται·

«Ἐν Σανδραπουρῇ τῇ πόλει ἐτύγχανεν ὢν εἷς Ξαπανάκας Διγαμβάρας, ὃ ἐστιν, ὁλόγυμνος, ὃς ἐτιμᾶτο ὑπὸ πάντων. Ἦλθε δ' εἰς ἐκείνην τὴν πόλιν καὶ ἕτερος Σηταμβάρας, ὅ ἐστι, λευχείμων, ὃς ἦν μέγας τερατουργός· καὶ διὰ τοῦτο εἵλκυσε πρὸς ἑαυτὸν τούς τε Σραβάκας πάντας, καὶ τοὺς λοιπούς. Μὴ φέρων δ' ὁ Διγαμβάρας τὴν πρὸς τὸν Σηταμβάραν τιμὴν τῶν ἀνθρώπων, εἰσήγαγε κατὰ τὴν νύκτα εἰς τὸν οἶκον ἐκείνου μίαν πόρνην, καὶ συγκαλέσας τοὺς ἀνθρώπους, ἔλεγεν εἰς ἔλεγχον καὶ δυσφημίαν· «Ἴδετε, ὁποῖοι παρθένοι, καὶ σώφρονές εἰσιν οὗτοι οἱ Σηταμβάραι! » Ὁ δὲ Σηταμβάρας περὶ τὴν ἕω, ἅψας πῦρ ἐν τῷ οἴκῳ, καὶ γυμνωθεὶς, ἐξῆλθε διὰ τοῦ πυρὸς, κρατῶν χειρὶ τὴν πόρνην. Βλέποντες δ' ὁ λαὸς, ἔλεγον· «Οὗτός ἐστι Διγαμβάρας, τουτέστιν, ὁλόγυμνος, καὶ οὐ Σηταμβάρας, τουτέστι, λευκοφόρος.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νύξ εἰκοστὴ ἕκτη.

Κατὰ τὸ τέλος τῆς ἐπιούσης εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι σήμερον, ὦ Σούκα.» Ὁ δ' ἔφη· «Οὐ γίνεταί σοι μῶμος, πορευθείσῃ, εἰ ἐπίστασαι ἀθάα φννῆναι, καθὼς ἡ Ρατναβατὴ, εὐρεθεῖσα μετὰ δύω μοιχῶν.» Ἐρομένης δὲ, πῶς ἔχει τοῦτο, ὁ Σούκας ἀπεκρίνατο·

«Ἐν Ζαλαουδᾷ τῇ κώμῃ Ξατρὴς ἦν, Ξομαραξᾶς καλούμενος· οὗ ἡ γυνὴ ἐκαλεῖτο Ρατναβατὴ, ᾗ συνεγίνετο εἷς κωμήτης, ᾧ ὄνομα Βαλλαββᾶς, καὶ ὁ υἱὸς αὐτοῦ, ᾧ ὄνομα Δεβασᾶς· ἀμφότεροι δ' ἠγνόουν, ὡς ἀντερασταὶ ἦσαν. Καί ποτε ἦλθον ἐνταὐτῷ ἀμφότεροι, ὅ,τε πατὴρ, καὶ ὁ υἱὸς, εἰς τὸν οἶκον τῆς Ρατναβατῆς ἐπὶ φιλότητι, ἦλθε δ' ἐξαίφνης καὶ

ὁ ἀνὴρ αὐτῆς. Ἡ δὲ, ἰδοῦσα τὸν ἑαυτῆς ἄνδρα, ἐλθόντα, ἀπεδίωξε τὸν ἕτερον μοιχὸν, ὃς ἦν ὁ πατὴρ, ἐπιπλήττουσα, καὶ ὀνειδίζουσα. Ἀπορήσας δ' ὁ ἀνὴρ, ἤρετο· «Τί τοῦτο;» Ἡ δ' ἀπεκρίνατο, γελῶσα· «Οὗτος υἱός ἐστιν ἐκείνου, ὃν ἀπεδίωξα· ἦλθε δ' εἰς τὸν σὸν οἶκον ὡς εἰς καταφύγιον, διά τι παράπτωμα, διὰ τοῦτο οὐ παρέδωκα τοῦτον ταῖς χερσὶν ἐκείνου· ὁ γὰρ καταφεύγων εἰς οἶκον Ξατρῆ, οὐ προδοτέος.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ εἰκοστὴ ἑβδόμη.

Τῇ ἑξῆς ἡμέρα περὶ τὴν δύσιν τοῦ ἡλίου εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι, ὦ Σούκα, εἴσοι δοκεῖ. Ὁ δὲ, «Οὐκ ἐπέχω σου τὴν πορείαν, ἔφη, εἰ ἐπίστασαι ἀποκρύψαι τὸν μοιχὸν ἔμπροσθεν τοῦ οἰκείου ἀνδρὸς, καὶ ἀνέγκλητος φανῆναι, ὡς ἡ Μοχινή.» Ἑρμένης δὲ, πῶς ἔχοι τοῦτο, ἀπεκρίνατο ὁ Σούκας·

«Ἐν Σαγχαπούρᾳ τῇ πόλει ἔμπορος ἦν, Ἀρίας τοὔνομα· οὗ ἡ γυνὴ, ἧ ὄνομα Ῥοχινὴ, ἐμοιχεύετο ὑπ' ἄλλου, ὅτε τῆς οἰκίας ὁ ἀνὴρ ἐξήρχετο. Μαθὼν δὲ τοῦτο ὁ ἀνὴρ, ἐκώλυε τὴν ἔξοδον τῆς γυναικὸς, καὶ εἶχεν ἀεὶ αὐτὴν παρ' ἑαυτῷ. Ἡ δ' ἐμήνυσε τῷ μοιχῷ, ἵν' ἔλθῃ κατὰ τὴν νύκτα πρὸς αὐτὴν, κοιμωμένην ἐπὶ τῆς κλίνης μετὰ τοῦ ἀνδρός. Ὁ δὲ μοιχὸς οὕτω καὶ ἐποίησε. Στρέψας δ' ὁ ἀνὴρ, ἥψατο τοῦ ἀνδρικοῦ μορίου τοῦ μοιχοῦ, καὶ ἔφη· «Κλέπτην ἔχω ἐν χειρί· φέρε λύχνον, ὦ γύναι! Ἡ δ' ἔφη· «Ἐγὼ φοβοῦμαι ἐξελθεῖν· καὶ διὰ τοῦτο ἐγὼ κρατῶ τοῦτον τὸν κλέπτην· σὺ δ' ἐξελθὼν, κόμισον λύχνον.» Ἐξελθόντος δὲ τοῦ ἀνδρὸς εἰς κομιδὴν λύχνου, ἀφεῖσα ἐκείνη τὸν μοιχὸν, ἐκράτησε τὴν γλῶσσαν μόσχου, ἣς ἦν ἐν οἴκῳ, καὶ οὕτως ἀνέκειτο ἐπὶ τῆς κλίνης. Ἐλθὼν δ' ὁ ἀνὴρ μετὰ λύχνου, καὶ ῥοπάλου, καὶ ἰδὼν, ἤρετο· «Τί τοῦτο; πῶς

γλῶσσα;» Ἡ δ' ἔφη· «Οὗτος ὁ μόσχος ἐπείνα, καὶ διὰ τοῦτο προσῆλθε τῇ κλίνῃ· σὺ δ' ἐνόμισας ὅτι κλέπτης ἐστί, κρατήσας τὴν γλῶσσαν τοῦ μόσχου· ἀλλ' ἐκ τοιαύτης τόλμης καὶ ἀνδρείας ὀλεθρόν ποτε εὑρήσεις.» Οὕτως ὀνειδισθεὶς, καὶ αἰσχυνθεὶς ὁ Ἀρίας, ἐκοιμήθη.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ εἰκοστὴ ὀγδόη.

Δύσαντος τοῦ ἡλίου κατὰ τὴν ἐπιοῦσαν, εἶπε πάλιν ἡ Πραββαβατή· «Πορεύομαι, ὦ Σούκα, σήμερον.» Ὁ δὲ, «Πορεύθητι, ἔφη, εἰ οἶδας ἀθωωθῆναι, καθὼς ἡ Δεβικά, συνοῦσα μοιχῷ.» Ἐρωτησάσης δὲ, πῶς ἔχει τοῦτο, ὁ Σούκας ἀπεκρίνατο·

«Ἐν Κουχαδᾷ τῇ κώμῃ γεωργὸς ἦν λίαν ἁπλοῦς, Ζαράσας καλούμενος· οὗ ἡ γυνὴ, ἧ ὄνομα Δεβικὰ, ἀεὶ ὑπὸ Βραχμᾶνος ἐμοιχεύετο κατὰ τὸν ἀγρὸν ἐν ἰδιαιτέρῳ τόπῳ, πλησίον δένδρου. Μαθὼν δ' ὁ γεωργὸς τὴν ῥαδιουργίαν τῆς γυναικὸς, ἀνέβη ἐπ' ἐκεῖνο τὸ δένδρον εἰς κατασκόπησιν καὶ βεβαίωσιν· καὶ ἰδὼν, εἶπε· «Μετὰ πολλὰς ἡμέρας, ὦ κακίστη, εὕρηκά σε μετὰ μοιχοῦ.» «Νῦν δ' εἰπέ μοι, εἶπεν ὁ Σούκας, πῶς ἀνέγκλητος φανήσεται ἡ Δεβικά;»—«Οὐκ οἶδα, ἀπεκρίνατο ἡ Πραββαβατή· σὺ εἰπέ.»—«Εἰ οὐ πορεύῃ, ἔφη, λέγω.» Ἡ δ' ἔφη· «Οὐ πορεύομαι.» Ὁ δὲ Σούκας λέγει· «Ἀκούσασα ἡ Δεβικὰ, ἀπέπεμψε τὸν μοιχόν· ἦν καὶ ἐπέπληττε, καὶ ὠνείδιζεν ὁ γεωργὸς, καταβὰς ἀπὸ τοῦ δένδρου. Ἡ δ' ἔφη· «Ἔστις ἀναβαίνει εἰς τοῦτο τὸ δένδρον, συνουσίαν βλέπει κάτω ἀνδρὸς καὶ γυναικός· τοιαύτην γὰρ φύσιν ἔχει τὸ δένδρον.» Θαυμάσας ὁ γεωργὸς, ἔλεξε πρὸς τὴν γυναῖκα· «Ἀνάβα καὶ σὺ εἰς τὸ δένδρον, καὶ εἰπὲ, τί βλέπεις.» Ἡ δὲ, ἀναβᾶσα, ἔφη· «Μετὰ πολλὰς ἡμέρας, ὦ πονηρὲ, εὕρηκά σε μετὰ μοιχαλίδος.»

Ὁ δὲ μωρὸς γεωργὸς, πιστεύσας, ὡς οὕτως ἔχει, καθιλάρυνε τὴν γυναῖκα, καὶ ἤγαγεν αὐτὴν οἴκαδε.» Ἀκούσασα ἡ Πραβ-βαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ εἰκοστὴ ἐννάτη.

Κατὰ τὴν ἐσπέραν τῆς ἐπιούσης, καλλωπισθείσης τῆς Πραββαβατῆς, καὶ ἑτοιμασθείσης πορευθῆναι, «Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ ἐπίστασαι τοιαῦτα ποιῆσαι εἰς ἀθώωσιν, οἷα ἡ Σουνδαρὴ, εὑρεθεῖσα μετὰ μοιχοῦ.» Ἐρωτηθεὶς δὲ, οἷα ἐποίησεν, ἀπεκρίνατο·

Ἐν Σιγχουλῇ τῇ πόλει ἔμπορός τις ἦν, οὗ ἡ γυνὴ, ᾗ ὄνομα Σουνδαρὴ, συνεγίνετο μοιχῷ, ὃς ἤρχετο εἰς τὸν οἶκον αὐτῆς. Καί ποτε ἦλθεν ὁ ἀνὴρ ἀνελπίστως, ὅτε ὁ μοιχὸς ἦν ἐν οἴκῳ. Ἐνταῦθα ἡ μοιχαλὶς ἐμηχανήσατο τοιαῦτα· Ἰδοῦσα τὸν ἑαυτῆς ἄνδρα ἐρχόμενον, ἐγύμνωσε τὸν μοιχὸν, καὶ ἔθετο αὐτὸν ἐπὶ τῆς Κρεμάθρας· καὶ διαλύσασα τὴν κόμην, ἐξῆλθεν, ἀδημονοῦσα, καὶ λέγουσα· «Ἐν τῷ ἡμετέρῳ οἴκῳ, ἄνερ δαιμόνιον γυμνὸν κάθηται ἐπὶ τῆς κρεμάθρας[1]· πορεύθητι εὐθέως, καὶ κάλεσον τοὺς μάντεις.» Καὶ ταῦτα λέγουσα, ἔλαβε δαλὸν ἐν χειρί. Ὁ μὲν δὴ μωρὸς, ἀνὴρ κύψας, καὶ ἰδὼν γυμνὸν δαίμονα, ἐξῆλθε ταχέως, καλέσων μάντιν· ἡ δὲ ἀπέπεμψε τὸν μοιχὸν, καὶ ἐλθόντος τοῦ ἀνδρὸς μετὰ τοῦ μάντεως, εἶπεν, ὡς αὐτὴ ἐξήλασε τὸ δαιμόνιον διὰ τοῦ δαλοῦ.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

---

(1) Ἐκ σχοινίου πλέγμα ποιοῦσιν, ἐφ' οὗ, κρεμαμένου ἀπὸ τῆς ὀροφῆς τοῦ οἴκου ἢ ἀπὸ πασσάλου, τιθέασιν ἄρτον, ἢ βρώματα.

Νύξ τριακοστή.

Τῇ ἐπιούσῃ, δύσαντος τοῦ ἡλίου, ἠρώτησεν ἡ Πραββαβατή· «Πορευθῶ;» — «Οὐκ ἐπέχω σου τὴν πορείαν, δέσποινα· πορεύθητι, εἰ οἶδας λέγειν εἰς ἀπαλλαγὴν τῶν δεινῶν, οἷα ὁ Μουλαδέβας.» Καὶ ἐρωτηθεὶς τὰ τοῦ Μουλαδέβα, διηγεῖται·

«Ἔν τινι νεκρικῷ τόπῳ δύω δαίμονες διέτριβον, ὧν τὰ ὀνόματα, Καράλας, καὶ Οὐττάλας· αἱ δὲ σύζυγοι αὐτῶν ἐκαλοῦντο, ἡ μὲν Δουμαπραββά, ἡ δὲ Μεγγαπραββά· περὶ ὧν ἔριν εἶχον ἀεὶ καὶ φιλονεικίαν οἱ δαίμονες, ποτέρα εἴη εὐμορφοτέρα. Καί ποτε εὑρόντες ἄνθρωπον, Μουλαδέβαν τοὔνομα, καὶ κρατήσαντες αὐτὸν, ἤροντο· «Ποτέρα τούτων τῶν θηλειῶν χαρίεσσα καὶ ἀγγλαά ἐστιν; εἰ μὴ εἴποις τὴν ἀλήθειαν, καταβροχθήσομέν σε.» Πῶς δ' ἂν οὗτος ἀπαλλαγείη ἀβλαβής; εἰ γὰρ εἴποι τὴν ἀλήθειαν, κρίνας, ὡς ἡ ἑτέρα δαίμων καλλίων ἐστιν, ἡ ἑτέρα ὀργισθήσεται καὶ καταβροχθίσει αὐτόν.» — «Οὐκ οἶδα,» ἀπεκρίνατο ἡ Πραββαβατή. «Ἄκουε οὖν, εἶπεν ὁ Σούκας, καὶ μένε ἐν οἴκῳ. Ὁ Μουλαδέβας ἔσωσεν ἑαυτὸν, δοὺς τοιαύτην ἀπόκρισιν· «Ἥτις ἐστὶν ἀρεστὴ τῷ ἑαυτῆς ἀνδρὶ, αὕτη ἐστὶν ἀγλαὰ καὶ χαρίεσσα ἐν τῷ κόσμῳ, καὶ οὐκ ἄλλη.» Οἱ δὲ δαίμονες ἀπέλυσαν τὸν Μουλαδέβαν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νύξ τριακοστὴ πρώτη.

Κατὰ τὴν δύσιν τοῦ ἡλίου τῆς ἑξῆς ἡμέρας ἤρετο ἡ Πραββαβατή· «Τί λέγεις;» Ὁ δὲ Σούκας ἀπεκρίνατο· «Ἄπιθι, ὅποι ἔχεις ἔφεσιν, καὶ ἡδυπάθει, εἰ ἔχεις ἀρωγὸν νοῦν τοιοῦτον, οἷον ὁ λαγωός.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τὸ τοῦ λαγωοῦ, ἀπεκρίνατο·

«Ἐν ὕλῃ λέων ἦν, Πιγκάλας τοὔνομα· ὃς ἀνήρει ἀνιλεῶς, ὅ,τι

ζῶον εὕρισκε. Συνελθόντα δὲ πάντα τὰ ζῶα, προσῆλθον τῷ λέοντι, πρὸς ὃν καὶ ἔφασαν· «Μὴ ἀναίρει ἀνιλεῶς πᾶν ὅ,τι ζῶον εὑρίσκεις· ἡμεῖς δὲ εἰς βρῶσίν σου ἓν ζῶον καθ' ἑκάστην πέμπομέν σοι.» Στέρξαντος δὲ τοῦ λέοντος τοιαύτῃ συνθήκῃ, τὰ ζῶα ἕν τι τῶν ζώων καθ' ἑκάστην αὐτῷ ἔπεμπον. Ἓν δὲ μιᾷ τῶν ἡμερῶν ἐστάλθη εἰς λαγωὸς, ὃς σκεψάμενος, γνώμην ἔθετο ἀνελεῖν τὸν λέοντα. Ἐπειδὴ δ' ἦλθεν ὀψὲ, καὶ μικρὸς ἦν, ὁ λέων ὠργίσθη. Ὁ δὲ λαγωὸς ἔφη· «Σήμερον, Κύριε, πέντε λαγωοὶ ἐστάλθημεν εἰς βρῶσίν σου· ἀλλ' ἐν μέσῳ τῆς ὁδοῦ, λέων ἕτερος, ἀναπηδήσας ἐκ λάκκου, ἥρπασε τοὺς τέσσαρας· ἐγὼ δ' ἐσώθην μόνος, φυγών.» Ἀκούσας ὁ λέων, «Δεῖξόν μοι, ἔφη, ποῦ ἐστιν ὁ ἐχθρός.» Ὁ δὲ λαγωὸς ἤγαγεν εἰς φρέαρ τὸν λέοντα· ὃς, κύψας, καὶ ἰδὼν τὴν σκιὰν ἑαυτοῦ ἐν τῷ ὕδατι, ἔρριψεν ἑαυτὸν, νομίσας, ὡς ἐκεῖνός ἐστιν ὁ ἐχθρὸς, καὶ οὕτως ἀπώλετο ἐν τοῖς ὕδασιν.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ τριακοστὴ δευτέρα.

Τῇ ἐπιούσῃ, εἰπούσης τῆς Πραββαβατῆς, ὅτι πορεύεται, «Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ οἶδας ἀπολογίαν ποιήσασθαι, καθὼς ἡ Ῥαζινὴ, ἀγαγοῦσα χοῦν ἀντὶ σίτου.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, διηγεῖται·

«Πόλις ἐστὶ, Σαντιπούρα τοὔνομα, ἔνθα ἦν χαλκεὺς Μουχάβας καλούμενος· οὗ ἡ γυνὴ, ἧ ὄνομα Ῥαζινὴ, ἦν εὐειδὴς μὲν, μοιχαλὶς δέ. Καί ποτε πορευθεῖσα εἰς τὴν ἀγορὰν, ἠγόρασε σῖτον, ὃν καὶ ἔθετο ἐν πήρᾳ. Ἰδοῦσα δ' ἐν ταὐτῷ τὸν ἐρώμενον, ἠκολούθησεν αὐτῷ, ἀφεῖσα τὴν πήραν παρὰ τῷ σιτοπώλῃ. Ἐν τούτῳ ὁ σιτοπώλης, ἀφελόμενος τὸ ἥμισυ τοῦ σίτου ἐκ τῆς πήρας, ἔθετο χοῦν. Ἐλθοῦσα δ' ἔπειτα ἡ Ῥαζινὴ, ἔλαβε τὴν πήραν, καὶ ἀπῆλθεν οἴκαδε. Ἡ δὲ πενθερὰ,

βουλομένη σκοπῆσαι τὸν σίτον, εἶδεν, ὡς πλείων χοῦς ἦν· καὶ ἤρετο· «Τί τοῦτο;» Ἡ δ' ἀπεκρίνατο, ὡς πεσούσης ἐκ τῆς μασχάλης τῆς πήρας καθ' ὁδὸν, ὁ σῖτος διεσκορπίσθη· καὶ συναγομένου τοῦ σίτου, ἐμίγη καὶ χοῦς.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἶκοι ἐκοιμήθη.

Νὺξ τριακοστὴ τρίτη.

(*Λείπει ἐν τῷ χειρογράφῳ*)

Νὺξ τριακοστὴ τετάρτη.

Κατὰ τὴν ἑσπέραν τῆς ἑξῆς ἡμέρας ἠρώτησεν ἡ Πραββαβατή· «Πορευθῶ;»—«Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ οἶδας λέξαι καὶ πρᾶξαι, οἷα ὁ Σαμββοῦς.» Καὶ ἐρωτηθεὶς, τί εἴη, ὃ ἔπραξεν, ἀπεκρίνατο·

«Βραχμὰν, Σαμββοῦς τοὔνομα, περὶ πολλοῦ ἐποιεῖτο πλανᾶσθαι, καὶ θεωρεῖν πολλὰς χώρας. Ὁδοιπορῶν δέ ποτε εἶδε νεάνιδα ὡραίαν, ἣ ἐφύλαττε λήϊον· καὶ προσελθὼν, ἠσπάσατο αὐτήν· καὶ μετά τινας ἐρωταποκρίσεις ἔφη· «Ἐρῶ σου, ὦ ἀγλαά· σύνεσο ἐμοὶ, καὶ λάβε ταύτην μου τὴν ἐπωμίδα.» Ἡ δὲ λαβοῦσα τὴν ἐπωμίδα, συνεγένετο αὐτῷ. Μετὰ δὲ τὴν συνουσίαν ὁ Σαμββοῦς ἐπεβάλλετο λαβεῖν ὀπίσω τὴν ἐπωμίδα παρὰ τῆς νεάνιδος· ἀλλ' αὐτὴ ἀντέτεινε, καὶ ἀνεχώρει οἴκαδε εἰς τὴν κώμην. Ὁ δὲ, κόψας πέντε στάχυας ἀπὸ τοῦ λήϊου, ἠκολούθησεν αὐτῇ· καὶ ἐλθὼν εἰς τὴν κώμην, ἔκραξε, λέγων. «Ἀκούσατε, ἄνθρωποι· λίαν παράδοξον ἐγένετο ἐν ταύτῃ τῇ κώμῃ! Ἴδετε, διὰ τούτους τοὺς πέντε στάχυας ἀφῃρέθην τὴν ἐπωμίδα.» Λαβόντες δ' οἱ τῆς κώμης τὴν ἐπωμίδα, ἔδωκαν αὐτὴν αὐτῷ. Ἡ δὲ νεάνις οὐδέν τι εἶπεν ἐξ αἰσχύνης.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἶκοι ἐκοιμήθη.

Νὺξ τριακοστὴ πέμπτη.

Τῇ ὑστεραίᾳ κοσμηθεῖσα ἡ Πραββαβατὴ, εἶπε· «Πορεύομαι, ὦ Σούκα.» Ὁ δὲ, «Πορεύθητι, ὦ Κυρία, ἔφη, εἰ οἶδας ποιῆσαι τοιοῦτο τέχνασμα, οἷον ὁ σησαμοπώλης.» Ἐρωτηθεὶς δὲ, τί εἴη τὸ τέχνασμα, ἀπεκρίνατο·

Πάλαι ἔν τινι κώμῃ σησαμοπώλης ἦν, Σαμβάκας τοὔνομα· ὃς ἐπορεύθη εἰς ἑτέραν κώμην, ἔνθα ἠγόρασε μεγάλην ποσότητα σησάμου παρ' ἐμπόρου, μεθ' οὗ φιλίαν ἐποιήσατο. Μετὰ δὲ ταῦτα φιλίαν ἐποιήσατο καὶ μετὰ τῆς τοῦ ἐμπόρου γυναικὸς, ἣ καὶ ἐχαρίσατο ἕνα δακτύλιον. Βουλόμενος δ' ἔπειτα ὁ σησαμοπώλης λαβεῖν ὀπίσω τὸν δακτύλιον, τοιαῦτα ἐμηχανήσατο. Ἐλθὼν εἰς τὸ ἐργαστήριον τοῦ ἐμπόρου, ἔφη· «Δός μοι ἑτέραν τοσαύτην ποσότητα σησάμου διὰ τὸν ἀρραβῶνα, ὃν ἔδωκα πρότερον.» Ὁ δ' ἤρετο· «Τίς ὡμολόγησε ταῦτα; ἢ τίς ὁ ἀρραβών;» Καὶ ὁ σησαμοπώλης ἀπεκρίνατο· «Ἡ σὴ γυνὴ ἔλαβε τὸν ἐμὸν δακτύλιον, ὡς ἀρραβῶνα.» Θυμωθεὶς δ' ὁ ἔμπορος, ἔστειλε τὸν ἑαυτοῦ υἱὸν, εἰς τὸ λαβεῖν παρὰ τῆς γυναικὸς τὸν δακτύλιον, καὶ εἰπεῖν, ὡς ἐκ τοιαύτης πραγματείας ὁ οἶκος αὔξησιν λήψεται. Λαβὼν δ' ὁ υἱὸς τὸν δακτύλιον, ἐνεχείρισεν αὐτὸν τῷ σησαμοπώλῃ, ὃς καὶ ἀπῆλθεν, ὅθεν ἦλθεν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νὺξ τριακοστὴ ἕκτη.

Περὶ τὸ τέλος τῆς ἀκολούθου ἡμέρας εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι εἰς ἀπόλαυσιν τοῦ ἐφετοῦ.» — «Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ ἐπίστασαι ἀπολογίαν ποιῆσαι, καθὼς ἡ Ναγκινή.» Ἐρωτηθεὶς δὲ, ὅπως ἐγένετο, ἀπεκρίνατο·

«Ἐν κώμῃ, ᾗ ὄνομα Σάϊα, κωμάρχης ἦν, Σουραπάλας

καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Ναγκινὴ, σηρικὸν πέπλον ᾔτησεν. Ὁ δ' ἔφη· «Ἡμεῖς γεωργοί ἐσμεν· καὶ ἐν τῷ ἡμετέρῳ οἴκῳ οὐδεὶς γινώσκει ὄνομα σηρικοῦ ὑφάσματος.» Καί ποτε, ὄντος τοῦ κωμάρχου ἐν συνόδῳ πολλῶν, ἐλθοῦσα ἡ Ναγκικὴ ἡ γυνὴ αὐτοῦ, ἔφη· «Ἄγε φάγε Ῥαβαῤῥήν·» Ἐλθὼν δ' ὁ κωμάρχης οἴκαδε, εἶπε πρὸς τὴν γυναῖκα, ἀσχάλλων· «Διὰ τί σήμερον ἐπὶ συνόδου λόγον ἔλεξας, αἰσχύνης παραίτιον, ἀνέραστον, καὶ δυσάρεστον;» Ἡ δ' ἀπεκρίνατο· «Πῶς δὲ καὶ σὺ οὐκ ἐποίησας τὸ ἐμοὶ ἐραστὸν, καὶ ἀρεστόν;» «Δίδωμί σοι, ἔφη, τὸν σηρικὸν πέπλον, εἰ ἀναίρεσιν καὶ ἀντίῤῥησιν ποιήσεις τοῦ οὗ εἴρηκας.» Τῇ δ' ἐπιούσῃ, λαβοῦσα ἡ γυνὴ τὸν σηρικὸν πέπλον παρὰ τοῦ ἀνδρὸς, ἔφη αὐτῷ· «Σήμερον πάλιν καλέσω σε εἰς ἄριστον δι' ἐκείνου αὐτοῦ τοῦ λόγου· σὺ δ' ἐλθὲ οἴκαδε μετὰ πάσης τῆς συνόδου.» Ἐλθοῦσα δ' ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς, ὃς ἦν ἐν συνόδῳ πολλῶν, ἔλεξε πάλιν· «Ἄγε φάγε Ῥαβαῤῥήν.» Ταῦτα εἰποῦσα, ἀπῆλθεν οἴκαδε. Ὁ δὲ κωμάρχης παρέλαβε πᾶσαν τὴν σύνοδον· καὶ ἐλθόντες, ἠρίστευσαν ἄριστον πολυειδὲς, καὶ πολυποίκιλον. Οἱ δὲ κληθέντες ἔλεγον, ὡς ἡ γυνὴ τοῦ κωμάρχου οὐκ ἔστι μεγάλαυχος καὶ ἀλαζών· λέγουσα γὰρ, ὡς εὐτελὲς καὶ μικροπρεπές ἐστι τὸ ἔδεσμα, μεγαλοπρεπῆ καὶ πολύοψον παρατίθησι τράπεζαν.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

---

(1) Ῥαβαῤῥὴ, εἶδος ἀθάρας· ἔστι δὲ εὐτελὲς ἔδεσμα. Λέγεται μεταφορικῶς καὶ ὁ βόρβορος.

Νὺξ τριακοστὴ ἑβδόμη.

Δύσαντος τοῦ ἡλίου κατὰ τὴν ἐπιοῦσαν, εἶπε τῷ Σούκᾳ ἡ Πραββαβατὴ, ὡς πορευθῆναι βούλεται. Ὁ δ' ἔφη· «Τίς ἐμποδίζει σε τυχεῖν τοῦ ἐρετοῦ; πορεύθητι, εἰ οἶδας πρᾶξαι, ὡς ὁ ἐρωτομανὴς Μεσσάκας.» Καὶ ἐρωτηθεὶς, ὁποῖον εἴη, ὃ ἔπραξεν, ἀπεκρίνατο·

«Πάλαι Βραχμάν τις ὁδοιπόρος, ἐλθὼν εἰς κώμην, Ἀδαρσσάναν τοὔνομα, κατέλυσεν ἐν οἴκῳ ὁσπριοπώλου· οὗ ἡ γυνὴ ἦν ἀσελγὴς καὶ ἐρωτομανής. Ὢν δὲ τοιοῦτος καὶ ὁ Βραχμὰν, ἐνόμισεν, ὅτι καλὸν κατάλυμα εὗρηκε· καὶ δοὺς τῇ γυναικὶ τὸν ἑαυτοῦ δακτύλιον, συνεγένετο αὐτῇ ἐν νυκτί. Ἀπελθόντος δὲ πρωῒ τοῦ ὁσπριοπώλου εἰς τὴν ἀγορὰν, ὁ Βραχμὰν, βουλόμενος λαβεῖν ὀπίσω τὸν ὃν ἔδωκε δακτύλιον, λαβὼν ῥόπαλον, ἦλθε πρὸς τὸν ὁσπριοπώλην, ἐλεεινολογῶν. «Ἡ γυνή σου, ἔφη, ἐτυψέ με ἀνιλεῶς διὰ τούτου τοῦ ῥοπάλου, καὶ βία τὸν ἐμὸν δακτύλιον ἔλαβεν.» Ἐλθὼν δ' ὁ ὁσπριοπώλης οἴκαδε, ἐπέπληξε τὴν γυναῖκα, εἰπών· «Οὐδεὶς ὁδοιπόρος ἐκ τοιαύτης δυσφημίας καταλύσει ἐν τῷ ἡμετέρῳ οἴκῳ εἰς τὸ ἑξῆς.» Καὶ λαβὼν τὸν δακτύλιον, ἔδωκεν αὐτὸν τῷ ξένῳ· ὃς καὶ ἀπῆλθεν, ὅθεν ἦλθεν.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ τριακοστὴ ὀγδόη.

Ἑσπέρας γενομένης κατὰ τὴν ἑξῆς ἡμέραν, «Πορεύομαι, ἔφη ἡ Πραββαβατὴ, πρὸς ἀλλότριον ἄνδρα.»—«Πορεύθητι εἶπεν ὁ Σούκας, εἰ ἐπίστασαι τοιοῦτον τέχνασμα, οἷον ὁ κύριος τῆς τρυτάνης.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο ὁ Σούκας·

Ἔστι πόλις, Κουνδίνα τοὔνομα· ἔνθα ἦν ἔμπορος, Βουδ

δάρας καλούμενος, οὗ ἅπας ἀπώλετο ὁ πλοῦτος· ἔμεινε δὲ παρ' αὐτῷ μία μεγάλη σιδηρᾶ τρυτάνη, ἣν ἀφεὶς ὡς παρακαταθήκην παρ' ἑτέρῳ ἐμπόρῳ, ἀπεδήμησε. Κερδήσας δ' ὀλίγα ἐν τῇ ἀποδημίᾳ, ἐπεδήμησε· καὶ ἐλθὼν πρὸς τὸν ἔμπορον, παρ' ᾧ κατέθετο τὴν σιδηρᾶν τρυτάνην, ἀπήτησεν αὐτὴν παρ' αὐτοῦ. Καὶ ὃς ἔφη, ὡς μῦες κατέφαγον τὴν τρυτάνην. «Ἐνδέχεται, εἶπεν ὁ Βουδδάρας· φθαρτὰ γὰρ τὰ τοῦ κόσμου πράγματα.» Μετὰ δὲ ταῦτα ἰδὼν τὸν τοῦ ἐμπόρου υἱόν, παίζοντα, κρατήσας, ἔκρυψεν αὐτὸν ἐν τῷ ἰδίῳ οἴκῳ. Ὁ μὲν οὖν ἔμπορος, μὴ εὑρίσκων τὸν ἑαυτοῦ υἱόν, ἔκλαιε, καὶ ἐθρήνει πανοικί. Εἷς δέ τις γείτων, εἶπεν αὐτῷ, ὡς ὁ Βουδδάρας ἔχει τὸν παῖδα. Μαθὼν τοῦτο ὁ ἔμπορος, ἦλθεν εἰς τὸν οἶκον τοῦ Βουδδάρα, ἀναζητῶν τὸν παῖδα. Ὁ δ' ἔφη· «Ἐμοῦ βλέποντος, ἁρπάγη ὁ υἱός σου ὑφ' ἱέρακος.» Δραμὼν ὁ ἔμπορος πρὸς τὸν Βασιλέα, προσανεκλαύσατο κατὰ τοῦ Βουδδάρα, ὃς κληθεὶς, καὶ ἐρωτηθεὶς ἀπεκρίνατο· «Ὅπου οἱ μῦες ἑκατοντάλαντον σιδηρᾶν τρυτάνην καταβιβρώσκουσιν, ἐκεῖ ἐλέφαντα ὁ ἱέραξ ἁρπάζει, πολλῷ μᾶλλον παῖδα.» Ὁ δὲ βουλευτὴς τοῦ Βασιλέως νοήσας, ἔφη· «Δὸς, πονηρὲ τὴν τρυτάνην, ἵνα λάβῃς τὸν παῖδα.» Οὕτω δὲ καὶ ἐγένετο.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ τριακοστὴ ἐννάτη.

Τῇ δ' ἐπιούσῃ ἤρετο πάλιν ἡ Πραββαβατή· «Πορευθῶ;» «Εὖ ἔχει, ἀπεκρίνατο ὁ Σούκας, πορεύθητι, εἰ οἶδας ἀναίρεσιν ποιῆσαι τοῦ γεγονότος, ὡς ὁ Σουβουδδής.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

Ἐν πόλει, ἣ ὄνομα Σιβαναγαρὴ, δύω φίλοι ἦσαν ὀνομαστοί· ὧν ὁ μὲν ὠνομάζετο Σουβουδδὴς, ὅ ἐστιν, εὔνους, ὁ δὲ, Κουβουδδὴς, ὅ ἐστι, κακόνους. Καί ποτε ὁ Σουβουδδὴς

ἀπεδήμησεν εἰς ἐμπορίαν· οὗ τῇ γυναικὶ λάθρᾳ συνεγίνετο ὁ Κουβουδδής. Ἐπιδημήσαντος δὲ τοῦ Σουβουδδῆ, ὁ Κουβουδδὴς πλαστὴν ἔδειξε φιλίαν, καὶ ἤρετο· «Τί ξένον ἐν ξένῃ γῇ εἶδες, φίλε;» Ὁ δ' ἀπεκρίνατο· «Ἐν τῇ ὀχθῃ τῆς Σαρασβατῆς εἶδον ὠπώραν ἀγλαὰν ἐπὶ δένδρου Ἄμρας παρὰ καιρόν.»—«Ψευδὲς τοῦτο,» εἴρηκεν ὁ Κουβουδδής. Ὁ δὲ Σουβουδδὴς, «Ἀληθὲς,» ἀπεκρίνατο. «Εἰ μέν ἐστιν ἀληθὲς, ἔφη ὁ Κουβουδδὴς, ἔμβα εἰς τὸν ἐμὸν οἶκον, καὶ λάβε, ὅ,τι ἄραι δύνασαι ἀμφοτέραις ταῖς χερσίν· εἰδὲ ψευδὲς, ἐγὼ εἰς τὸν σὸν οἶκον ἐμβὰς, λαμβάνω, ὅ,τι ἄραι δύναμαι.» Τοιαύτης συνθήκης γεγονυίας, ὁ Κουβουδδὴς, πορευθεὶς νύκτωρ, ἔλαβεν ἐκείνην τὴν ὀπώραν. Κατὰ δὲ τὴν ἡμέραν μὴ οὔσης τῆς ὠπώρας ἐπὶ τοῦ δένδρου, ἡ ζημία ἐπέπεσεν ἐπὶ τὸν Σουβουδδήν· ὃς, γνοὺς, ὡς κακὰ φρονεῖ ὁ Κουβουδδὴς, ἔθετο πᾶν ἀξιόλογον πρᾶγμα καὶ τὴν ἑαυτοῦ γυναῖκα ἐπὶ τύπου ὑψηλοῦ. Ὅτε δ' ἦλθεν ὁ Κουβουδδὴς, εἶπε πρὸς αὐτὸν ὁ Σουβουδδής· «Ὅ,τι ἀρέσκει σοι, λάβε.» Τοῦ δὲ, εἰπόντος, ὡς τὴν γυναῖκα λαβεῖν βούλεται, καὶ ἄραντος ἀμφοτέραις ταῖς χερσὶ παρακειμένην κλίμακα ξυλίνην, εἰς τὸ ἀναβῆναι, ὁ Σουβουδδὴς ἔφη· «Ἆρας τὴν κλίμακα ἀμφοτέραις ταῖς χερσὶ, ταύτην λάβε κατὰ τὴν συνθήκην, καὶ μὴ ἄλλο τι, καὶ ἀναχώρει.» Ὁ δὲ Κουβουδδὴς ἀνεχώρησεν, αἰσχυνόμενος, καὶ ὑπὸ τῶν ἀνθρώπων ὀνειδιζόμενος.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἶκοι ἐκοιμήθη.

Νὺξ τεσσαρακοστή.

Ὀψίας γενομένης κατὰ τὴν ἐπιοῦσαν, ἔφη ἡ Πραββαβατή· «Πορεύομαι, ὦ Σούκα, εἰ κρίνεις εὔλογον.» Ὁ δ' ἀπεκρίνατο· «Οὐκ ἀνοίκειόν ἐστι πορευθῆναι, ὦ δέσποινα, εἰ οἶδας ὑπόκρισιν ποιῆσαι ἐν καιρῷ, καθὼς ὁ ψευδομάντις

Βραχμάν.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν Πανσαπούρᾳ τῇ πόλει Βασιλεὺς ἦν ὀνομαζόμενος Σατρουμαρδάνας[1]· οὗ ἡ θυγάτηρ, ἡ ὄνομα Μαδαναρεκκὰ[2], οἴδημα ἔσχε κατὰ τὸν λαιμόν. Οἱ δὲ ἰατροὶ, πολλὰ ἔμπλαστρα θέντες, καὶ πολλὰ ποιήσαντες, οὐδὲν κατώρθωσαν· τελευταῖον δ' ὡμολόγησαν, ὡς τὸ πάθος ἀνίατόν ἐστι καὶ ἀθεράπευτον. Ἀκούσας δ' ὁ Βασιλεὺς, ἐκήρυξεν ἀνὰ πᾶσαν τὴν περίχωρον ὧδε· «Ὅστις θεραπεύσει τὴν βασιλικὴν κόρην, τοῦτον ὁ Βασιλεὺς πάμπλουτον ποιήσει.» Βραχμᾶνος δέ τινος γυνὴ ἐν κώμῃ, ἀκούσασα τοῦ βασιλικοῦ κηρύγματος, εἶπε τῷ κήρυκι· «Ὁ ἀνήρ μου μάντις καὶ ἐπαοιδός ἐστιν ἄριστος· τοῦτον παράλαβε, ὃς θεραπεύσει τὴν βασιλικὴν κόρην.» Πρὸς δὲ τὸν ἄνδρα εἶπε ταῦτα· «Ὑποκρινόμενος ὡς μάντις εἶ καὶ ἐπαοιδὸς, πορεύθητι μετὰ θάρρους εἰς τὴν πόλιν πρὸς θεραπείαν τῆς βασιλικῆς κόρης· ἐκ δὲ τούτου πολλά σοι ἀγαθὰ γενήσεται.» Ἐλθὼν δ' ὁ Βραχμὰν εἰς τὰ βασίλεια πρὸς τὴν βασιλικὴν κόρην, ἔῤῥανεν ὕδωρ, καὶ ἐφύσησε, καὶ ἄλλα τοιαῦτα ἴδια φαρμακέων ἐτέλεσεν, ὑποψιθυρίζων· καὶ μετὰ ταῦτα ἀνεφθέγξατο μεγαλοφώνως καὶ ἐπιτροχάδην ἔπη πολλὰ δύσφθεγκτα καὶ ἀσήμαντα. Ἐκ δὲ τοιούτων βαρβαροφώνων καὶ ἀλλοκότων ἐπῶν ἐξεκάγχασεν εἰς μέγα ἡ βασιλικὴ κόρη· ἐκ δὲ τοῦ σφοδροῦ καὶ βιαίου καγχάσματος τὸ ἐν τῷ λαιμῷ οἴδημα· τῆς κόρης διεῤῥάγη καὶ οὕτως ἰάθη. Χαρεὶς δ' ὁ Βασιλεὺς, πολλὰ τῷ Βραχμᾶνι ἐδωρήσατο.» Ἀκούσασα ἡ Πραβαβατὴ, οἴκοι ἐκοιμήθη.

---

(1) Σατρουμαρδάνας, Ἐχθροδάμας.

(2) Μαδαναρεκκὰ, Ἐρωτόγραφος.

Νὺξ τεσσαρακοστὴ πρώτη.

Τῇ ἑξῆς ἡμέρᾳ κατὰ τὴν ἑσπέραν εἶπεν αὖ πάλιν ἡ Πραββαβατὴ τῷ Σούκᾳ· «Πορεύομαι·»—«Ὁ κόσμος οὗτος, ἔφη, εἰς ἀπόλαυσίν ἐστιν τῶν ἐφετῶν· πορεύθητι, εἰ οἶδας λέξαι καὶ πρᾶξαι εἰς ἀπαλλαγὴν τῶν δεινῶν, οἷα ἡ Βεαγραμαρή.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τὸ τῆς Βεαγραμαρῆς, ἀπεκρίνατο·

«Ἐν κώμῃ, καλουμένῃ Λεουλᾷ, ᾤκει εἰς Ξατρὴς, οὗ ἡ γυνὴ λίαν ἦν φίλερις, καὶ φιλαίτιος. Καί ποτε ὀργισθεῖσα, παραλαβοῦσα δύω παιδία, ἃ εἶχεν, ἀνεχώρησεν, ἀπελθεῖν βουλομένη εἰς ἑτέραν κώμην, ἔνθα ἦν ὁ πατρικὸς αὐτῆς οἶκος. Πολλὰς δὲ κώμας παραμείψασα, ἀφίκετο εἰς μέγαν δουμὸν, ἔνθα τίγρις, ἀναφανεῖσα, ἐπέδραμεν ἐπ' αὐτήν. « Νῦν δ' εἰπέ μοι, Πῶς αὕτη σωθήσεται;»—«Οὐκ οἶδα·» ἀπεκρίνατο ἡ Πραββαβατή.» Ἄκουε οὖν, εἶπεν ὁ Σούκας, καὶ μένε ἐν οἴκῳ. Ἰδοῦσα ἡ γυνὴ τὴν Τίγριν, ἐπερχομένην, εἶπε πρὸς τοὺς ἑαυτῆς παῖδας· «Ὑμεῖς πρότερον, ὦ παῖδες, ἐφιλονεικεῖτε, καὶ ἠρίζετε, ὡς ἕκαστος μίαν τίγριν χωρὶς διαῤῥήξει, καὶ καταβροχθίσει· νῦν δὲ, διαμεριζόμενοι ταύτην, καταφάγετε ἐκ συμφώνου· εἶτα δ' ἑτέρας εὑρεθήσεται.» Ἀκούσασα ἡ τίγρις, ὑπέλαβεν, ὡς αὕτη ἐστὶν ἡ λεγομένη Βεαγραμαρή[1] καὶ φοβηθεῖσα, ἔφυγεν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

---

(1) Βεαγραμαρή, Τιγριφόνος, ἡ Θηριοφόνος· ὄνομα δ' ἐστὶ δαίμονος μυθευομένης.

Νὺξ τεσσαρακοστὴ δευτέρα.

Περὶ δὲ τὴν ἐπιοῦσαν ἤρετο πάλιν ἡ Πραββαβατή· «Τί λέγεις; πορευθῶ; Ὁ δὲ, «Πορεύθητι, ἀπεκρίνατο, εἰ ἔχεις νοῦν σταθερὸν ἐν δεινοῖς, ὡς ἡ Βεαγραμαρὴ ἐκείνη.»—«Διήγησαι πάλιν, ἔφη, ὅ,τι πάλιν ἐποίησεν ἡ Βεαγραμαρὴ, ἀκοῦσαι γὰρ ἐφίεμαι.» Ὁ δὲ Σούκας διηγεῖται·

Ἰδὼν κυνόλυκος ἐν τῷ δρυμῷ μετὰ φόβου φεύγουσαν ἐκείνην τὴν τίγριν, γελάσας, ἤρετο· «Ἐκ τίνος φόβου φεύγεις, ὦ τίγρι; Ἡ δ' ἀπεκρίνατο· «Φεῦγε καὶ σὺ, ὦ κυνόλυκε, φεῦγε εἴς τινα τόπον ἀπόκρυφον· εἶδον γὰρ τὴν διαθρυλλουμένην ἐκείνην Βεαγραμαρήν· ἐσώθην δὲ, φυγών.» Ὑπολαβὼν δ' ὁ κυνόλυκος, ἔφη· «Αὕτη ἡ Βεαγραμαρὴ ἔκγε τοῦ ἐμοῦ ὀνόματος φοβεῖται· ὅθεν ἂν τύχῃς πάλιν αὐτῆς, μνήσθητι τοῦ ἐμοῦ ὀνόματος.»—«Εἰ οὕτως ἔχει, εἶπεν ἡ τίγρις, μένε μετ' ἐμοῦ.» Καὶ ὁ κυνόλυκος ἔφη· Ἐπειδὴ οὕτως σοι ἔδοξεν, ἔχε με δεδεμένον περὶ τὸν λαιμὸν, καὶ βάδιζε ταχέως.» Ἡ δὲ τίγρις οὕτω καὶ ἐποίησε· καὶ πάλιν κατὰ συγκυρίαν ἦλθεν ἐνώπιον τῆς Βεαγραμαρῆς· ἣ, ἰδοῦσα, ἐνόμισεν, ὡς ὁ κυνόλυκος ἤγαγε τὴν τίγριν, καὶ εἶπεν, ἐπιπλήττουσα, καὶ ἐκδειματοῦσα· «Σὺ, πονηρὲ κυνόλυκε, εἶπες πρότερον, ὡς τρεῖς τίγρεις ἄξεις πρὸς ἐμέ· ἐγὼ δὲ ἐπίστευσά σοι, ἤδη δὲ μίαν μόνην ἤγαγες· ἀλλὰ πῶς νῦν ἀπαλλαγήσῃ ἐξ ἐμοῦ;» Ταῦτα εἰποῦσα, ἔδραμε μετὰ μεγάλης ὁρμῆς κατὰ τῆς τίγριος. Ἡ δ' ἔφευγε πάλιν ἀνὰ κράτος, ἔχουσα δεδεμένον ἐν τῷ λαιμῷ τὸν κυνόλυκον.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ τεσσαρακοστὴ τρίτη.

Τῇ ἐπιούσῃ κατὰ τὴν δύσιν τοῦ ἡλίου, εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι, εἴσοι δοκεῖ.»—«Πορεύθητι, ἔφη ὁ Σούκας, εἰ οἶδας ἀπαλλάξαι σεαυτὴν ἀπὸ περιστάσεως, καθὼς ὁ κυνόλυκος.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τὸ τοῦ κυνολύκου, ἀπεκρίνατο·

«Δεδεμένος ὁ κυνόλυκος περὶ τὸν λαιμὸν ἐκείνης τῆς τίγριος, ὡς χθὲς εἴρηκα, ἔπασχε πολλὰ, περισυρόμενος, καὶ αἵματι περιῤῥεόμενος, ὅτε ἡ τίγρις ἔφευγε, θέουσα εἰς ἀνωφερεῖς καὶ κατωφερεῖς τόπους ἐκ φόβου τῆς Βεαγραμαρῆς. Σκεπτόμενος δὲ, εἰς οἷον δεινὸν πέπτωκε, καὶ βουλόμενος ἀπαλλάξαι ἑαυτὸν, ἐγέλασε καί τοι ἤλγει· καὶ ἐρωτηθεὶς, δι' ἣν αἰτίαν ἐγέλασεν, «Ἐγέλασα, ἀπεκρίνατο, διότι ἔσωσα τὴν ἐμαυτοῦ ζωὴν, διὰ τῆς σῆς χάριτος ἐκ τῆς φοβερᾶς ἐκείνης Βεαγραμαρῆς. Ἀλλ' ἐὰν ἐκείνη ἡ ἐπάρατος παρέπηται, ὁδηγουμένη ὑπὸ τοῦ χορτένου αἵματος ἐκ τοῦ ἐμοῦ σώματος, πῶς ζήσομαι; νῦν δὲ σκέψαι ἀκριβῶς περὶ οὗ λέγω.» Σκεψαμένη ἡ τίγρις, ὡς ὀρθῶς λέγει ὁ κυνόλυκος, ἀπέλυσεν αὐτόν· ὃς καὶ ἀπηλλάγη τοῦ δεινοῦ, ὡς ἠρίετο. Ὀρθῶς ἄρα λέγεται·

«Ὁ νοῦς μέγα ἀγαθόν ἐστι τοῖς ἐφιεμένοις πλούτου, δόξης καὶ ἀνέσεως· οἱ δ' ἄνοες μεγάλου κακοῦ τυγχάνουσιν.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νὺξ τεσσαρακοστὴ τετάρτη.

Κατὰ τὴν ἑσπέραν τῆς ἐπιούσης καλλωπισθεῖσα ἡ Πραββαβατὴ, εἶπε πρὸς τὸν Σοῦκαν. «Πορεύομαι εἰς τὸ ἡδυπαθῆσαι.» Ὁ δ' ἔφη· «Οὗτός ἐστιν ὁ καιρὸς τοῦ ἡδυπαθῆσαι,

εἰ οἶδας μὴ ἀπατηθῆναι, καθὼς ὁ Βραχμὰν Βισνουσαρμάν.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τὸ τοῦ Βραχμᾶνος, ἀπεκρίνατο·

«Ἔστι πόλις, Βιλασσαπούρα καλουμένη· ἔνθα Βασιλεὺς ἦν Ἀρινδάμας τοὔνομα· ἦν δ' ἐκεῖ καὶ Βραχμὰν, ὀνομαζόμενος Βισνουσαρμὰν, ὃς ἦν ἄγαμος καὶ λίαν θηλυμανής· ἐν δὲ συνουσίᾳ οὐδεμίᾳ γυνὴ ἠνείχετο· καὶ διὰ τοῦτο ὄνομα ἐν τῇ πόλει, ὡς οὐδὲ πόρνη δύναται καταβαλεῖν αὐτὸν, πολλῷ μᾶλλον ἄλλη γυνή. Καί ποτε πόρνη, ᾗ ὄνομα Πριὰ, ἔλαβε παρὰ τοῦ Βραχμᾶνος ἑκκαίδεκα δραχμὰς, καὶ ἐκάλεσεν αὐτὸν, βουλομένη ἀκουσθῆναι, ὡς ἡττήθη ὑπ' αὐτῆς αὐτὸς ὁ ἀήττητος Βραχμάν. Ἐλθὼν δὲ κατὰ τὴν ἑσπέραν, καταφρονήσας τῶν κολακειῶν καὶ περιποιήσεων τῆς πόρνης, ὤπυεν αὐτὴν μέχρι τοῦ μεσονυκτίου. Ἡ δὲ πόρνη, βλέπουσα, ὡς ὁ Βραχμὰν ἀήττητός ἐστι, καὶ μὴ δυναμένη ἀνασχέσθαι αὐτοῦ, ἔφη τῇ πορνοβοσκῷ· «Ὁ Βραχμὰν δυσανάσχετός ἐστιν· ὅθεν ἀπόδος αὐτῷ, ὅ,τι ἔδωκεν· ἐμοῦ γὰρ ζώσης, πολλὰ χρήματα ἐπιγίνονται.» Ἡ δὲ πορνοβοσκὸς ἀπεκρίνατο· «Ἐγὼ τοῦτον ἐκβάλλω τοιούτῳ ἀπατηλῷ τρόπῳ· ἀναβᾶσα ἐπὶ τοῦ δένδρου Πιππάλα, ὅ ἐστιν ἐν τῇ αὐλῇ τοῦ οἴκου, κοκκύω, ὡς ἀλέκτωρ· σὺ δὲ, εἰποῦσα, ὡς ὄρθρος ἐγένετο, ἔκβαλε αὐτὸν, ὡς ἡττημένον.» Οὕτω δὲ γεγονότος, ἐξεβλήθη ὁ Βραχμὰν, ὡς ἡττημένος· ἀναβλέψας δ' εἰς τὸν οὐρανὸν, ἐφ' ᾧ σκοπῆσαι τὴν ὥραν, ἔγνω ἐκ τῶν ἀστέρων, ὡς μέσαι νύκτες εἰσί· καὶ ἰδὼν ἐπὶ τοῦ δένδρου τὴν πορνοβοσκὸν, ἔρριψε κατ' αὐτῆς μίαν βῶλον, καὶ κατέρριψεν αὐτήν· καὶ οὕτω νικητὴς φανεὶς κατὰ τῆς πόρνης, ἀνεχώρησεν οἴκαδε, μεσονυκτίου ἔτι ὄντος.» Ἀκούσασα ἡ Πραββαβατὴ, οὐκ ἐξῆλθεν, ἀλλ' ἔμεινε κατ' οἶκον κατ' ἐκείνην τὴν νύκτα.

---

(1) Ἀρινδάμας, Ἐχθροδάμας.

Νύξ τεσσαρακοστὴ πέμπτη.

Κατὰ τὸ πέρας τῆς ἐξῆς ἡμέρας εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι σήμερον, ὦ Σούκα.» Ὁ δὲ, «Πορεύθητι, ἔφη, ἀφεῖσα τὴν οἰκείαν οἰκίαν, εἰ οἶδας τεχνάσασθαι, οἷα ὁ ἀνὴρ τῆς Καραγαρᾶς ἐν τῷ ἐκβαλεῖν τὸ δαιμόνιον.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἔστι πόλις, Βατσομὰν τοὔνομα· ἔνθα ἦν Βραχμὰν, σοφὸς μὲν, πτωχὸς δὲ, Κεσσάβας καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Καραγαρὰ[1], τοσοῦτον ἦν κακὴ πρὸς πάντας, ὥστε καὶ δαιμόνιον, ὃ ὤκει ἐπὶ δένδρου ἐν οἴκῳ, φυγεῖν εἰς ἔρημον διὰ τὸν φόβον αὐτῆς. Ἀλλὰ καὶ ὁ Βραχμὰν, μὴ φέρων τὴν κακίαν τῆς γυναικὸς, ἀπεδήμησε. Κατὰ δὲ τὴν ὁδὸν ἐν ἐρήμῳ εἶδεν αὐτὸν ἐκεῖνο τὸ δαιμόνιον, καὶ ἔφη· «Ἐγὼ σήμερον ξενίαν σοι ποιήσω.» Ἀκούσας δ' ὁ Βραχμὰν, ἐφοβήθη. «Μὴ φοβοῦ, ἔφη τὸ δαιμόνιον· ἐγὼ γὰρ φκουν, ἔφη, πρότερον ἐπὶ τοῦ ἐν τῷ οἴκῳ σου δένδρου· εἶτα δ' ἔφυγον ἐκεῖθεν διὰ τὸν φόβον τῆς Καραγαρᾶς, καὶ κατέφυγον ἐνθάδε· καὶ ἐπειδὴ πάλαι δεσπότης μου ἐχρημάτισας, διὰ τοῦτο βούλομαι ἀγαθόντι σοι ποιῆσαι. Ὅθεν πορεύθητι εἰς Μριγαβατὴν[2] τὴν πόλιν· ἔνθα Βασιλεύς ἐστι, Μαδάνας τοὔνομα· εἰς οὗ τὴν θυγατέρα, ᾗ ὄνομα Μριγαλοσάνα[3], εἰσελεύσομαι, καὶ οὐκ ἐξελεύσομαι δι' ἐπῳδῶν ἄλλων, ἀλλ' ἢ διὰ τῆς σῆς θέας, ὅταν ἔλθῃς.» Τὸ μὲν οὖν δαιμόνιον, ταῦτα εἰπὸν, εἰσῆλθεν εἰς τὴν Βασιλικὴν κόρην. Ὁ δὲ Βραχμὰν ἦλθεν εἰς τὴν βασιλεύουσαν Μριγαβατὴν, καὶ ἀκούσας τοῦ κήρυκος, ἐπορεύθη εἰς τὸν Βασιλικὸν οἶκον· πολλὰ δὲ ἴδια τῶν φαρμακέων ποιήσαντος, καὶ ἐπά-

(1) Καραγαρὰ, Χειροφάρμακος.
(2) Μριγαβατὴ, Ἐλαφόπολις.
(3) Μριγαλοσάνα, Ἐλαφῶπις.

σαντος, τὸ δαιμόνιον οὐκ ἐξῆλθεν ἐκ τῆς κόρης. Ἰδὼν δ' ὁ Βραχμὰν, ὡς οὐκ ἄλλως πως ἐξέρχεται τὸ δαιμόνιον, ἐξεφώνησεν· «Ἐν ὀνόματι τῆς Καραγαρᾶς ἐξελθε!» Τὸ δὲ δαιμόνιον εἶπεν· «Ἰδοὺ ἐξέρχομαι·» καὶ εὐθέως ἐξῆλθεν. Ὁ δὲ Βασιλεὺς ἔδωκε τῷ Βραχμᾶνι τὸ ἥμισυ τῆς ἑαυτοῦ Βασιλείας, καὶ τὴν κόρην εἰς γάμον.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ τεσσαρακοστὴ ἕκτη.

Τῇ ἐπιούσῃ, βουλομένης τῆς Πραββαβατῆς πορευθῆναι, «Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ οἶδας εἰπεῖν, οἷα ὁ ἀνὴρ τῆς Καραγαρᾶς, διϊσχυριζομένου τοῦ δαιμονίου.» Καὶ ἐρωτηθεὶς, ὅπως ἐγένετο, ἀπεκρίνατο·

«Ἐξελθὸν ἐκεῖθεν ἐκεῖνο τὸ δαιμόνιον, ἦλθεν εἰς Καρναβατὴν τὴν πόλιν, καὶ εἰσῆλθεν εἰς τὴν Βασίλισσαν, ἣ ἦν ἀδελφὴ τοῦ πατρὸς τοῦ προειρημένου Μαδάνα, καὶ ὠνομάζετο Σουλοσάνα[1]. Θλιβομένη δὲ λίαν ὑπὸ τοῦ δαίμονος ἡ Βασίλισσα, σκέλετρον ἐγένετο. Ὁ δὲ Βασιλεὺς, ᾧ ὄνομα Σατρούγγνας, μετεπέμψατο παρὰ τοῦ Βασιλέως Μαδάνα τὸν ἐπαοιδὸν Κεσσάβαν· ὃς παρακληθεὶς καὶ ὑπὸ τοῦ Μαδάνα καὶ ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς, παρεγένετο εἰς τὴν Καρναβατὴν πρὸς τὴν δαιμονόληπτον Βασίλισσαν. Ὡς δ' εἶδεν αὐτὸν τὸ δαιμόνιον, εἶπεν ὀνειδιστικῶς καὶ ἀπειλητικῶς. «Ἀρκεῖ, ὅτι ἅπαξ ἔνευσα εἰς τὸ βούλημά σου· νῦν δὲ πρόσεχε, καὶ φύλαττε σεαυτόν.» Ἀκούσας ὁ Βραχμὰν, ἔγνω, ὡς ἐκεῖνο αὐτό ἐστι τὸ δαιμόνιον· καὶ προσελθὼν, εἶπε πρὸς τὸ οὖς τῆς δαιμονολήπτου Βασιλίσσης· «Ἡ Καραγαρὰ ἔρχεται κατόπιν μου· ἐγὼ δ' ἦλθον, μηνύσων σοι τοῦτο.» Ὡς δ' ἤκουσε τὸ δαιμόνιον, ὡς ἡ Καραγαρὰ ἔρχεται, ἐφοβήθη, καὶ ἐξῆλθεν εὐθέως. Ὁ δὲ Βραχ-

(1) Σουλοσάνα, Εὐῶπις.

μὰν, τιμηθεὶς ὑπὸ τοῦ Βασιλέως, ἐπανέζευξεν εἰς τὴν Μριγαβατήν.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ τεσσαρακοστὴ ἑβδόμη.

Ἐλθόντος εἰς δύσιν τοῦ ἡλίου κατὰ τὴν ἑξῆς ἡμέραν, εἶπε πάλιν ἡ Πραββαβατή· «Πορεύομαι.»—«Ὁ κόσμος οὗτος, εἶπε γελῶν ὁ Σούκας, εἰς τρυφήν ἐστιν· ἀλλ' αἰσχύνη πέφυκε. Πορεύθητι μέν τοι, εἰ οἶδας ποιῆσαι διασάφησιν τῶν δυσκόλων, καθὼς ὁ Σανκαταλής·» καὶ ἐρωτηθεὶς τίς εἴη αὐτὸς ὁ Σανκαταλὴς, ἀπεκρίνατο·

«Ἐν Παταλιπούρᾳ[1] τῇ πόλει Παντάνῃ ἦν, Νάνδας ὀνομαζόμενος· ἐκ γὰρ τῆς μεγάλης συνέσεως καὶ ὀρθῆς διοικήσεως τοῦ ἀρχιβουλευτοῦ, ᾧ ὄνομα Σανταλὴς, ἅπαντες οἱ Βασιλεῖς τῆς γῆς, ὑποτελεῖς ἦσαν αὐτῷ τῷ Νάνδᾳ. Ὀρθῶς ἄρα λέγεται·

«Ὅμιλος ἐχθρῶν πολλῶν οὐδεμίαν βλάβην ποιεῖ τῷ κατα»πεφραγμένῳ σώματι ὑπὸ συνέσεως, καθὼς οὐδὲ λάβρος ὑετὸς »τῷ ἔχοντι ἐπὶ κεφαλῆς οὐρανίσκον.

Ἀσπλαγχνος δὲ γενόμενος ὁ Βασιλεὺς Νάνδας, φορολογῶν ἀμέτρως, ἐποίησε τὴν γῆν ἄτυχῆ· καὶ κωλυόμενος ὑπὸ τοῦ συνετοῦ Σανκαταλῆ ἔβαλε αὐτὸν εἰς βαθὺν καὶ ζοφερὸν λάκκον· ὃς καὶ ἔμεινεν ἐκεῖ πολὺν χρόνον, καὶ φήμη διεξῆλθεν, ὡς ἀπέθανεν. Εἷς δέ τις Βασιλεὺς τῆς χώρας Καράλας, βουλόμενος βεβαιωθῆναι, εἰ ἀληθεύει ὁ θάνατος τοῦ συνετοῦ ἀρχιβουλευτοῦ, πέμψας τῷ Νάνδᾳ δύω θηλείας ἵππους ὁμοιοφανεῖς, ἐζήτει, ὁποτέρα εἴη μήτηρ, ἢ θυγάτηρ. Ἐπειδὴ δὲ οὐδεὶς τῶν ἐκεῖ ἱππιατρῶν καὶ ἱπποκόμων, καὶ ἄλλων εἰδημόνων, ἠδύνατο διαγνῶναι, καὶ διακρῖναι, ὁ Βασιλεὺς Νάνδας ταῦτα διενοεῖτο· «Μεγάλη ζημία μοι ἐγένετο ἐκ τῆς σοφρήσεως τοῦ εὔφρονος Σανκαταλῆ· ὀρθῶς ἄρα λέγεται·

(1) Λέγεται καὶ Παταλιπούτρα, καὶ Πουσπαπούρα.

«Μέγα τὸ διάφορον τῆς ἀπολωλείας εὐφόρου γῆς, καὶ »τοῦ ἀπολωλότος εὔφρονος βουλευτοῦ· ἡ μὲν γὰρ εὔφορος »γῆ εὔκτητός ἐστιν· ὁ δ' εὔφρων βουλευτὴς, δύσκτητος.»

Ταῦτα διανοησάμενος, ἠρώτησε τὸν δεσμοφύλακα, εἰ ζώη ὁ Σανκαταλῆς ἐν τῷ λάκκῳ. Ὁ δ' ἀπεκρίνατο, ὡς ζῇ, ὡς δοκεῖ, ἐπειδὴ λαμβάνει τὸ καταφερόμενον αὐτῷ βρῶμα. Ἐξαχθέντος δὲ ἐκ τοῦ λάκκου, εἶπεν αὐτῷ ὁ Βασιλεύς· «Σὺ εἶ ὁ ἐμὸς βουλευτὴς, ὁ ἐμὸς καθηγητὴς, ὁ ἐμὸς φίλος, ὁ ἐμὸς ὁδηγὸς, ὁ ἐμὸς χορηγὸς, τὸ ἐμὸν ἔρεισμα καὶ κυβέρνημα.» Καὶ ὁ βουλευτὴς ἤρετο· «Τί ποιήσω, Κύριε;» Ὁ δ' ἀπεκρίνατο· «Τούτων τῶν θηλειῶν ἵππων ποτέρα ἐστὶ μήτηρ, ἡ θυγάτηρ; διάλυσιν ποίησον ταχέως τούτου τοῦ προβλήματος καὶ τοῦ γρίφου δολοφρόνων καὶ ἀλαζόνων ἀνδρῶν.» Ἀκούσας ὁ βουλευτὴς ἐπέταξεν ἐξαγαγεῖν τὸ ἐφίππιον καὶ τὸν χαλινὸν, καὶ ἀπολῦσαι τὰς ἵππους· ὧν ἀπολυθεισῶν, ἡ μὲν θυγάτηρ ἔδραμεν εἰς τὴν θηλὴν τῆς μητρὸς, ἡ δὲ μήτηρ ἔλειχε τὴν θυγατέρα. Γενομένης δ' ἐκ τούτου διαγνώσεως καὶ διακρίσεως, χαρεὶς ὁ Βασιλεὺς, τότε ὑπατικὸν ἀξίωμα καὶ πολλὰ ὁμοῦ δωρήματα ἔδωκε τῷ Σανκαταλῇ.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ τεσσαρακοστὴ ὀγδόη.

Κατὰ τὴν ἑξῆς ἑσπέραν κοσμηθεῖσα ἡ Πραββαβατὴ, εἶπε πρὸς τὸν Σούκαν· «Πορεύομαι.»—«Πορεύθητι, ἔφη, εἰς ἀπόλαυσιν τοῦ ἐφετοῦ, εἰ σύνεσιν ἔχεις ἐκτελέσαι ἐν δεινοῖς, οἷα ὁ Σανκαταλής.» Καὶ ἐρωτηθεὶς οἷα ἐξετέλεσεν, ἀπεκρίνατο·

«Ὁ Βασιλεὺς τῆς χώρας Βαγκάλας ἔπεμψε τῷ εἰρημένῳ Βασιλεῖ Νάνδᾳ μίαν βακτηρίαν, ἐνειλημένην ὀθονίοις, καὶ ἐζήτει, πότερον τῶν ἄκρων τῆς βακτηρίας εἴη ἡ ῥίζα, ἢ ἡ

κορυφή. Ἀλλ' οὐδεὶς τῶν ἐκεῖ εἰδημόνων ἠδυνήθη διαγνῶναι καί τοι ἐθεώρησαν ἀκριβῶς, καὶ ἐταλάντευσαν ἐπὶ χειρὸς τὴν βακτηρίαν. Ἰδὼν δ' ὁ Βασιλεὺς, ὡς οὐδεὶς διαγνῶναι δύναται, ἔφη τῷ βουλευτῇ Σανκαταλῇ· «Οὐδεὶς ἄλλος ἐκτός σου διαλῦσαι δύναται τὴν ἀπορίαν.» Ὁ δὲ σοφὸς βουλευτὴς ἔρριψε τὴν βακτηρίαν εἰς ὕδωρ, ἧς θάτερον μέρος, ὃ ἦν ἡ ῥίζα, ἐβυθίσθη ὀλίγον εἰς τὸ ὕδωρ, ὡς ὂν παχύτερον, καὶ βαρύτερον· ἐκ δὲ τούτου διελύθη ἡ ἀπορία. Οἱ μὲν οὖν πρέσβεις τοῦ Βασιλέως τῆς Βαγκάλας, ἐλθόντες, ἀνήγγειλαν πάντα. Οἱ δὲ Βασιλεῖς, ἀκούσαντες, ὑπήκοοι ἦσαν, καὶ ὑποτελεῖς τῷ Βασιλεῖ Νάνδᾳ, ὡς πρότερον.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ τεσσαρακοστὴ ἐννάτη.

Κατὰ τὴν δύσιν τοῦ ἡλίου τῆς ἐπιούσης ἠρώτησεν ἡ Πραββαβατὴ, «Πορευθῶ;» Ὁ δὲ Σούκας ἀπεκρίνατο· «Οὐδέν σοι αἴσχος γίνεται πορευθείσῃ, εἰ οἶσθα ἐν δεινοῖς τὴν οἰκείαν ἀσφάλειαν καὶ σωτηρίαν, ὡς ὁ Δαρμαβουδδὴς.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει, ἀπεκρίνατο·

«Ἔστιν ἐπὶ γῆς κωμόπολις, Βαϊλαγκάλα τοὔνομα· ἔνθα δύω ἦσαν φίλοι, καλούμενοι, ὁ μὲν Δαρμαβουδδὴς (Ἀγαθόφρων) ὁ δὲ Δουσταβουδδὴς, (Κακόφρων), οἳ συναπεδήμησαν εἰς κτῆσιν πλούτου. Πλουτήσαντες δὲ, ἐπανέστρεφον οἴκαδε· καὶ πλησίον ὄντες τῆς οἰκείας κώμης, συναινέσαντες, κατώρυξαν τὸν πλοῦτον πρὸς τῇ ῥίζῃ δένδρου Πιππάλα, ἵνα μὴ ἐπιβουλευθεῖεν, ὅταν φανῶσιν, ὡς χρήματα ἤνεγκαν πολλά· καὶ γνώμην ἔθεντο ἐλθεῖν μετέπειτα, καὶ λαβεῖν τὸν κατορωρυγμένον πλοῦτον. Ἄκουσον δὲ, τί πεποίηκεν ὁ Δουσταβουδδὴς, καί τοι οὐκ ἐστὶν εὔλογον διηγήσασθαι· λέγεται γάρ·

«Οὐ λεκτέον, ὅτι κακὸν ὡράθη, ἢ ἠκούσθη· καὶ ἡ ἀφή-

γησις γὰρ κακῶν, κακόν ἐστι μέγα[1]. Ἐλθὼν μετὰ ταῦτα λάθρα ὁ Δουσταβουδδὴς, ἀφείλετο τὸν πλοῦτον. Μετὰ δὲ παρέλευσιν χρόνου, ἐλθόντων ἀμφοτέρων εἰς τὸ λαβεῖν τὸν πλοῦτον, εὑρέθη ὁ τόπος κενός. Γνοὺς δ' ὁ Δαρμαβουδδὴς, ὡς ὁ Δουσταβουδδὴς ἀφείλετο τὸν πλοῦτον, ἐλθὼν πρὸς τὸν Βασιλέα, προσανεκλαύσατο. Κληθεὶς δ' ὁ Βουσταβουδδὴς, εἶπεν, «ὡς ὁ Δαρμαβουδδὴς ἐστιν ὁ κλέπτης· καὶ ὡς τὸ ἱερὸν δένδρον αὔριον μαρτυρήσει περὶ τούτου.» Στέρξαντος δὲ τοῦ Δαρμαβουδδῆ τοιαύτῃ, συνθήκῃ ἐλθὼν ὁ Δουσταβουδδὴς πρὸς τὸν ἑαυτοῦ πατέρα, ἔφη αὐτῷ· «Εἴσελθε εἰς τὸ κοίλωμα ἐκείνου τοῦ δένδρου· καὶ ὅταν ἐγὼ αὔριον καλέσωμαι αὐτὸ εἰς μαρτυρίαν, τότε σὺ ἐκφώνησον, ὡς ὁ Δαρμαβουδδὴς ἐστιν ὁ κλέπτης.» Ἐλθόντων δ' ἐπὶ τὸ δένδρον πρωὶ τῶν τε διαφερομένων, καὶ τῶν κριτῶν, καὶ ἄλλων θεωρῶν, ὁ Δουσταβουδδὴς, στὰς πρὸ τοῦ δένδρου, εὐλαβῶς, εἶπεν· «Ἐπικαλοῦμαί σε, ὦ ἱερὸν δένδρον, εἰπέ· «Πότερός ἐστιν ὁ κλέπτης;»—«Ὁ Δαρμαβουδδὴς,» ἐξεφώνησεν ὁ ἐν τῷ κοιλώματι τοῦ δένδρου πατὴρ τοῦ Δουσταβουδδῆ. Τηνικαῦτα ὁ Δαρμαβουδδὴς, συλλέξας φρύγανα, ἐξῆψε πῦρ ἐπὶ τοῦ κοιλώματος τοῦ δένδρου. Ὁ δὲ ψευδομάρτυς πατὴρ ἐξεπήδησεν ἐξαίφνης ἡμίφλεκτος. Ἐκ δὲ τούτου ἀναφανέντος τοῦ δόλου, ὁ μὲν Δουσταβουδδὴς ἐπαιδεύθη, ὡς κλέπτης καὶ ψεύστης· ὁ δὲ Δαρμαβουδδὴς ἐτιμήθη καὶ ἐδοξάσθη.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ πεντηκοστή.

Κατὰ τὴν ἀρχὴν τῆς νυκτὸς τῆς ἐπιούσης ἤρετο ἡ Πραββαβατή· «Τί φής; πορευθῶ;»—«Πορεύθητι, ἐπεκρίνατο ὁ Σούκας, εἰς ἀπόλαυσιν τοῦ, οὗ ἐπιθυμεῖς, εἰ οἶδας εἰπεῖν

(1) Ἁμαρτίαν ποιεῖ ὁ λέγων τὰς ἁμαρτίας τῶν ἄλλων.

τοιαῦτα, δεινοῦ ἐπιπεσόντος, οἷα ὁ Γαγκίλας.» Καὶ ἐρωτηθεὶς οἷα εἴρηκεν, ἀπεκρίνατο·

«Ἔστι πόλις, Σαματκάρα τοὔνομα· ἐν ᾗ ᾤκουν Βραχμᾶνες, καὶ πᾶσαι αἱ λοιπαὶ φυλαὶ καὶ τάξεις. Καί ποτε Βραχμᾶνες οὐκ ὀλίγοι, σὺν γυναιξὶ καὶ τέκνοις, ἐπορεύοντο ἐφ' ἵππων καὶ ἐφ' ἁμαξῶν εἰς προσκύνησιν ἁγίου τόπου, καὶ εἰς διατριβήν, φέροντες καὶ πάντα τὰ ἐφόδια. Κατὰ δὲ τὴν ὁδὸν λῃσταὶ ἐπέπεσον ἐπ' αὐτούς· οἱ, διασκορπισθέντες, ἔφευγον τῇ δε κἀκεῖσε. Βραχμὰν δέ τις, Γαγκίλας τὸ ὄνομα, χωλὸς ὤν, περιεκυκλώθη ὑπὸ τῶν λῃστῶν· ὃς, ἰδὼν τὸν ἑαυτοῦ ἀδελφόν, φεύγοντα σὺν τοῖς λοιποῖς, καὶ ὄντα ἐν δεινοῖς, ἀνεβόησε τολμηρῶς καὶ θαρραλέως· «Στῆθι, ἀδελφέ, καὶ εἰπέ μοι τὸν ἀριθμὸν τοῦ ἐλεφαντικοῦ καὶ ἱππικοῦ τῶν πολεμίων, ἵν' ἀπολέσω ἁπαξάπαντας δι' ἑνὸς θείου βέλους.» Οἱ δὲ λῃσταί, ἀκούσαντες, ἔφυγον, φοβηθέντες. Ὅστις ἄρα λέγειν ἐπίσταται ἁρμοδίως τῷ καιρῷ, τοῦτον οὐδεὶς δύναται βιάσασθαι καὶ καταβαλεῖν.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ πεντηκοστὴ πρώτη.

Διανύσασα τὴν ἑξῆς ἡμέραν ἡ Πραββαβατὴ, εἶπε κατὰ τὴν ἑσπέραν τῷ Σούκᾳ· «Πορεύομαι.» Ὁ δὲ, «Πορεύθητι, εἶπε, εἰ ἐπίστασαι διάλυσιν ποιῆσαι τῶν δυσκόλων, ὡς ἡ Ζαϊασρή[1].» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τὸ τῆς Ζαϊασρῆς, ἀπεκρίνατο·

«Ἐν Πρατισθάνα τῇ πόλει Βασιλεὺς ἦν, Σατεσσήλας καλούμενος· οὗ ὁ υἱὸς, ᾧ ὄνομα Δουρδάμας, μὴ θέλων τρέφεσθαι τοῖς πατρικοῖς χρήμασιν, ἀλλὰ τοῖς ἐκ τῶν ἰδίων χειρῶν προσπορισθεῖσιν, ἀνεχώρησεν ἐκ τῆς πόλεως μετὰ τριῶν ἑταίρων ὁμογνωμόνων, ὧν ὁ μὲν ἦν υἱὸς Βραχμᾶνος, ὁ δὲ τέκτο-

(1) Εὐνίκη, ἡ Καλλινίκη.

νος, ὁ δὲ ἐμπόρου. Κατὰ δὲ τὴν ὁδὸν, συμβούλιον ποιήσαντες, ἔλεγον πρὸς ἀλλήλος ταῦτα· «Δεῦτε πορευθῶμεν πρὸς τὸν ὠκεανὸν, ὃς ἐστιν ἡ πηγὴ πολυτίμων πραγμάτων, καὶ σέβας δείξωμεν, καὶ θεραπείαν ποιήσωμεν αὐτῷ, ὡς δεῖ· λέγεται γάρ·

«Τοῖς ἐπιστήμοσι, τοῖς μεγαλόφροσι, τοῖς τεχνίταις, καὶ »τοῖς ἥρωσιν ἁρμόδιός ἐστιν ὁ οἶκος τοῦ Βασιλέως, ἢ ἄλλος »τόπος τούτου ἀνώτερος.

«Οἱ ἀγαθοὶ αἴτιοι γίνονται τῆς λυτρώσεως τῶν ἀγαθῶν »ἐκ τῶν δεινῶν, καθὼς οἱ γενναῖοι ἐλέφαντες αἴτιοι γίνονται »τῆς λυτρώσεως τῶν ἐμπαγέντων ἐν τέλματι ἐλεφάντων.»

Τοιαῦτα συσκεψάμενοι, ἦλθον εἰς τὸν Ὠκεανὸν, καὶ ἔμειναν ἐκεῖ, νηστεύσαντες, τρὶς ἑπτὰ ἡμέρας. Ἡσθεὶς δ' ὁ Ὠκεανὸς, ἔδωκε τοῖς τέσσαρσι τέσσαρας ἀδάμαντας πανδώρους. Ἀναστρέψαι δ' οἴκαδε βουλόμενοι, πιστεύσαντες ἐνεχείρισαν τοὺς τέσσαρας ἀδάμαντας τῷ υἱῷ τοῦ ἐμπόρου, εἰς τὸ φυλάττειν αὐτούς. Ὁ δὲ, γνώμην θέμενος σφετερίσαι τοὺς ἀδάμαντας, ἔμεινεν ὀπίσω κατὰ τὴν ὁδὸν, ἐπὶ προφάσει ἐπισκευῆς τῶν ἐνοχλούντων, καὶ ἔκραζεν, εἰπών· «Ἐσυλήθην!» Γνόντες δ' οἱ λοιποὶ, ὡς αὐτὸς πονηρός ἐστι, καὶ ψευδῆ λέγει, ἐλθόντες εἰς Ἰραβατὴν τὴν πόλιν, ἀνήγγειλαν πάντα τῷ ἐκεῖ Βασιλεῖ, ὃς ἐκαλεῖτο Νητισάρας, καὶ ἐδέοντο τυχεῖν τοῦ δικαίου ἄνευ βίας καὶ τιμωρίας πρὸς τὸν ἐγκαλούμενον. Ὁ δ' Ὕπαρχος, ᾧ ὄνομα Βουδδισάρας, ἀκριβῶς ἀνακρίνας, καὶ ἐξετάσας, οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀλήθειαν· οἱ μὲν γὰρ τρεῖς ἔλεγον, ὡς ὁ υἱὸς τοῦ ἐμπόρου ἔχει τοὺς ἀδάμαντας· ὁ δ' ἔλεγεν, ὡς ἐσυλήθη. Δυσανασχετήσας δ' ὁ Ὕπαρχος, ἦλθεν οἴκαδε περίλυπος. Ἡ δὲ θυγάτηρ τοῦ Ὑπάρχου, ᾗ ὄνομα Ζαϊασρὴ, ἰδοῦσα τὸν πατέρα κατηφῆ καὶ σύννουν, ἠρώτησε τὴν αἰτίαν· ὁ δὲ διηγήσατο, ὡς ἔχει τὸ πρᾶγμα. Ἀκούσασα ἡ θυγάτηρ, εἶπε· «Μὴ λυποῦ, πάτερ· πέμψον

πρὸς ἐμὲ καὶ τοὺς τέσσαρας· ἐγὼ δὲ ἀνακαλύψω τοὺς ἀδάμαντας.»—«Ὅτε ἐγὼ, ἔφη, οὐκ ἔγνων, πῶς σὺ γνώσῃ;» Ἡ δ' ἀπεκρίνατο· «Μὴ λέγε ταῦτα, ὦ πάτερ· ἄλλος μὲν γὰρ· ἐννοεῖ τοῦτο, ἄλλος δ' ἐκεῖνο· διὸ καὶ λέγεται·

«Τὰ δύσκολα διαλύονται παρὰ τοῖς ἔχουσι σύνεσιν καὶ »κρίσιν, καθὼς τὸ σκότος διασκεδάζεται παρὰ τοῖς ἔχουσι »φῶς ἐν χειρί.

Μηδεμίαν φροντίδα ἔχε περὶ τούτου· πέμψον δὲ πρὸς ἐμὲ τοὺς ξένους.» Πεμφθέντες δὲ παρὰ τοῦ πατρὸς εἱστιάθησαν ὑπὸ τῆς θυγατρὸς, καὶ ἐκοιμήθησαν ἐν χωριστοῖς οἰκίσκοις. Ἐν δὲ νυκτὶ, κοσμηθεῖσα ἡ θυγάτηρ τοῦ Ὑπάρχου, ἦλθε πρῶτον πρὸς τὸν υἱὸν τοῦ Βασιλέως, καὶ εἶπε πρὸς αὐτόν· «Δός μοι ἑκατὸν χρυσᾶ νομίσματα, καὶ σύνεσό μοι.» Ὁ δ' ἔφη· «Ἐγὼ πᾶσαν τὴν πατρικὴν Βασιλείαν δώσω σοι· νῦν δ' ὅμως οὐδέν τι ἔχω.» Γνοῦσα δ' αὐτὸν, ὡς οὐδὲν ἔχει, ἦλθε πρὸς τὸν υἱὸν τοῦ Βραχμᾶνος, πρὸς ὃν εἶπε τὰ αὐτά. Ὁ δ' ἔφη· «Ὅσην γῆν ἔχει ὁ πατήρ μου, ἢ ἀφιερώθη αὐτῷ ὑπὸ τοῦ Βασιλέως, ταύτην δώσω σοι.» Γνοῦσα δὲ καὶ αὐτὸν, ὡς οὐδὲν ἔχει ἀνὰ χεῖρας, ἦλθε πρὸς τὸν υἱὸν τοῦ Τέκτονος, καὶ εἶπε τὰ αὐτά. Καὶ ὃς ἔφη· «Οὐδὲν ἔχω κατὰ τὸ παρόν· πάντα δ' ὅμως δώσω σοι, ὅσα ἂν κτήσωμαι μετέπειτα.» Γνοῦσα δὲ καὶ τοῦτον ἄπορον, ἦλθε πρὸς τὸν υἱὸν τοῦ ἐμπόρου, πρὸς ὃν καὶ εἶπε τὰ αὐτά. Ὁ δὲ, ἀκούσας, ἔφη, ἐκμανεὶς τῷ ἔρωτι· «Λάβε, Κυρία, τέσσαρας ἀδάμαντας, καὶ σύνεσό μοι·» καὶ ἐκβαλὼν τοὺς τέσσαρας ἐκείνους ἀδάμαντας, οὓς εἶχε δεδεμένους περὶ τὸν μηρὸν, ἔδωκεν αὐτοὺς αὐτῇ. Ἡ δὲ λαβοῦσα, εἶπε, σκηπτομένη, ὡς μετέπειτα ἔρχεται, καὶ σύνεστιν αὐτῷ. Κατὰ δὲ τὴν ἕω ἔδωκε τοὺς ἀδάμαντας τῷ ἑαυτῆς πατρί· ὁ δὲ ἐνεχείρισεν ἕνα ἕκαστον τῶν ἀδαμάντων ἑνὶ ἑκάστῳ τῶν τεσσάρων ἑταίρων, οἳ καὶ ἀνεχώρησαν εὐθέως οἴκαδε.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ πεντηκοστὴ δευτέρα.

Τῇ ἐπιούσῃ πάλιν εἶπεν ἡ Πραββαβατή· «Πορεύομαι ὦ Σούκα.» Ὁ δὲ, «Πορεύθητι, εἶπεν, εἰ οἶδας εἰπεῖν ἐν δεινοῖς τοιαῦτα, οἷα ὁ Βισνοῦς ἐνώπιον τοῦ Βασιλέως.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τὸ τοῦ Βισνοῦ, διηγεῖται·

«Ἐν πόλει Σανεραβατῇ Βασιλεὺς ἦν, Σομίλας τοὔνομα, οὗ ὁ Ὕπαρχος, ᾧ ὄνομα Σουσσήλας, υἱὸν εἶχε, καλούμενον Βισνοῦν, ὃς ἀπεστέλλετο παρὰ τοῦ Βασιλέως εἰς πρεσβείαν περὶ εἰρήνης ἢ πολέμου. Ἐκπεσὼν δὲ τῆς Βασιλικῆς εὐνοίας, ἰδιώτευε· καί τοι δὲ ἐπτώχευεν, ἦν ὅμως φρονηματίας, καὶ ὑπέροφρυς, δι' ὃ ὁ Βασιλεὺς οὐδὲ συνελάλει αὐτῷ. Καί ποτε ὁ Ὕπαρχος εἶπε πρὸς τὸν Βασιλέα· «Ὁ υἱός μου φιλοβασιλεύς ἐστι, καὶ φιλόφρων, καὶ ἔμπειρος τῶν πολιτικῶν πραγμάτων· ὅθεν πεμφθήτω, παρακαλῶ, εἴς τινα πρεσβείαν.» Ὁ δὲ Βασιλεὺς, ἐναντίος ὢν τῇ γνώμῃ τοῦ Ὑπάρχου, ἐνθεὶς τέφραν ἐν πυξίδι, καὶ σφραγίσας αὐτὴν, εἶπε τῷ υἱῷ τοῦ Ὑπάρχου· «Ἐγχείρισον τοῦτο τὸ δῶρον τῷ Βασιλεῖ τῆς χώρας Ἄγκας.» Ἐλθόντος τοῦ Βισνοῦ, καὶ ἀνοιχθείσης τῆς πυξίδος, ἀνεφάνη, ὡς τέφρα ἐστὶ ἀπαισία· ἐφ' ᾧ καὶ ὠργίσθη ὁ Βασιλεύς. Ἰδὼν δ' ὁ Βισνοῦς τὸν Βασιλέα, ὀργισθέντα, εἶπε ταῦτα, ὡς ἔννους· «Ὁ ἐμὸς Βασιλεὺς ἱπποθυσίαν ἐτέλεσεν· ἐκ δὲ τοῦ θυσιαστηρίου ἔπεμψέ σοι ταύτην τὴν τέφραν, ἣ ἁγνιστική ἐστι, σωτηριώδης, καὶ ἀπαλλακτικὴ τῶν ἁμαρτημάτων.» Ἀκούσας ὁ Βασιλεὺς, ἀναστὰς, προσεκύνησε, καὶ ἔλαβε τὴν τέφραν εὐλαβῶς· καὶ χαρεὶς, ἐτίμησε τὸν Βισνοῦν, καὶ ἀπέπεμψεν αὐτὸν μετὰ μεγάλων δώρων. Εἰ μὲν οὖν καὶ σὺ οἶδας δοῦναι τοιαύτην ἀπολογίαν ἐν δεινοῖς, πορεύθητι· εἰ δὲ μὴ μένε ἐν οἴκῳ.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ πεντηκοστὴ τρίτη.

Κατὰ τὴν ἑσπέραν τῆς ἐπιούσης πάλιν ἠρώτησεν ἡ Πραββαβατὴ τὸν Σούκαν, εἰ εὔλογον εἴη πορευθῆναι. Ὁ δ' ἀπεκρίνατο· «Πορεύθητι, εἰ οἶδας τοιαῦτα λέγειν, οἷα ὁ Βραχμὰν Σρηδδάρας.» Καὶ ἐρωτηθεὶς, οἷα ἔλεξεν, ἀπεκρίνατο·

«Ἔν τινι κώμῃ Βραχμὰν, Σρηδδάρας τοὔνομα, ἠγόρασε ζεῦγος σανδαλίων παρὰ σκυτοτόμου· καὶ αἰτηθεὶς τὴν τιμὴν, ἔφη, ὡς μετέπειτα ἀποδώσει· ἀεὶ δ' ἤτει ὁ σκυτοτόμος τὴν τιμήν· ἀλλ' ὁ Βραχμὰν ἔλεγεν· «Ἐγὼ ἄσμενον καὶ πλήρη ποιήσω σε.» Πολλοῦ δὲ χρόνου παρελθόντος, υἱὸς ἐγένετο τῷ Βασιλεῖ, καὶ διὰ τοῦτο χαρὰ ἦν καὶ ἀγαλλίασις. Ἐν τούτῳ εὑρὼν ὁ Βραχμὰν τὸν σκυτοτόμον, ἔφη, δολοφρονῶν· «Σήμερον πληρώσω, ὃ εἶπόν σοι πολλάκις, ὡς ἄσμενον καὶ πλήρη ποιήσω σε.» καὶ παραλαβὼν αὐτὸν, ἦλθεν εἰς τὴν Βασιλικὴν αὐλὴν, καὶ εἶπεν· «Υἱὸς τῷ Βασιλεῖ ἐγεννήθη σήμερον· ἄσμενος καὶ πλήρης εἶ; ἢ οὔ;» Ὁ δ' ἀπεκρίνατο καταφατικῶς· «Ἄσμενός εἰμι καὶ πλήρης.» (Εἰ γὰρ ἔλεγεν ἀποφατικῶς, ἐφοβεῖτο, μὴ τυφθείη, καὶ προπηλακισθείη ὑπὸ τῶν Βασιλικῶν ὑπηρετῶν) «Ἄπιθι οὖν, ἔφη ὁ Βραχμὰν, καὶ μὴ ἐνόχλει μοι εἰς τὸ ἑξῆς· καὶ σὺ γὰρ αὐτὸς ὡμολόγησας, ὡς ἄσμενος καὶ πλήρης εἶ, ὡς ἐγὼ αὐτὸς ὑπεσχόμην.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ πεντηκοστὴ τετάρτη.

Εἰπούσης τῆς Πραββαβατῆς κατὰ τὴν ἑξῆς ἡμέραν, ὅτι πορεύεται, «Πορεύθητι, εἶπεν ὁ Σούκας, εἰ οἶδας ποιῆσαι ἐν δεινοῖς, οἷα ὁ δανειστὴς καὶ τοκιστὴς Σαντίκας.» Καὶ ἐρωτηθεὶς, τί πεποίηκεν, ἀπεκρίνατο·

«Ἐν κώμῃ, ἣ ἐκαλεῖτο Τριπάθα, τοκιστὴς ἦν, Σαντίκας

τὸ ὄνομα· ἦν δ' ὑπὲρ τὸ μέτρον φειδωλὸς καὶ πονηρός. Πορευθεὶς δέ ποτε εἰς ἑτέραν κώμην, συνάζων τόκους καὶ δάνεια, ἐπανέστρεφεν οἴκαδε. Κατὰ δὲ τὴν ὁδὸν συνήντησε λησταῖς· οὓς ἰδὼν, ἔθετο τὸ φερόμενον ἀργύριον πρὸς τῇ ῥίζῃ δένδρου Βάτα[1], λέξας, καὶ γράψας ταῦτα· «Ὦ θεὲ Ἰάξα, τοσοῦτον ἔλαβον ἐκ τοῦ ὀφειλομένου σοι.» Οἱ μὲν οὖν λῃσταὶ, ἰδόντες, καὶ ἀκούσαντες, ὅτι τοῦ Θεοῦ ἐστι τὸ ἀργύριον, προσκυνήσαντες, ἀνεχώρησαν, μηδαμῶς βαλόντες χεῖρα· ὁ δὲ τοκιστὴς, ἀναλαβὼν μετέπειτα τὸ ἀργύριον, παρεγένετο οἴκαδε ἀσφαλῶς.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

Νὺξ πεντηκοστὴ πέμπτη.

Κατὰ τὴν ἐπιοῦσαν ἔφη τῷ Σούκᾳ ἡ Πραββαβατή· «Πορεύομαι σήμερον εἰς ἀπόλαυσιν ἡδονῆς ἀλλοτρίου ἀνδρός·» «Πορεύθητι, ἔφη, εἰ οἶδας εἰπεῖν τοιαῦτα εἰς ἀπολογίαν τῷ οἰκείῳ ἀνδρὶ, γνωσθεῖσα, οἷα ὁ Σουββαράμας τῷ Βασιλεῖ.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν Ἀβαντῇ τῇ πόλει Βασιλεὺς ἦν, Βικραμάρκας τοὔνομα· οὗ ἡ γυνὴ, ἧ ὄνομα Σανδρακλεκκὰ, ἦρα Πανδίτου, ᾧ ὄνομα Σουββαράμας, καὶ συνεγίνετο αὐτῷ, εὐκαιρίας τυγχάνουσα. Καί ποτε κατὰ τὴν νύκτα ἐν καιρῷ ὑετίῳ, βροντῶντος, καὶ ἀστράπτοντος, ἐξελθοῦσα ἡ Βασίλισσα, ἐπορεύετο πρὸς τὸν ἐρώμενον Σουββαράμαν· ἠκολούθησε δ' αὐτῇ καὶ ὁ Βασιλεὺς, γνωσόμενος, ποῖ πορεύεται. Ἰδὼν δὲ τὴν Βασίλισσαν ἐκ τῆς θυρίδος ὁ Σουββαράμας, ἐρχομένην ἐν τοιούτῳ καιρῷ, θαυμάσας, εἶπεν ἐκφώνως ταῦτα· «Ἐγὼ νομίζω, ὡς ψευδές ἐστιν, ὃ λέγεται, ὅτι δειλή ἐστιν ἡ θήλεια.» Ἰδών τε καὶ ἀκούσας

(1) Λέγουσι καὶ πιστεύουσιν, ὡς τὸ δένδρον Βάτα ἐνδιαίτημά ἐστι δαιμόνων.

ὁ Βασιλεὺς, ἐπανέκαμψεν οἴκαδε· καὶ περὶ τὴν ἕω καλέσας τὸν Σουββαράμαν, ἐπύθετο. « Τί δηλοῖ τοῦτο, ὃ εἴρηκας χθὲς τῇ νυκτί; «Ἐγὼ νομίζω, ὡς ψευδές ἐστιν, ὃ λέγεται, ὅτι δειλή ἐστιν ἡ θήλεια.» Ὁ δὲ, ἀγχίνους ὢν, καὶ εὑρεσίλογος, ἀπεκρίνατο εὐθέως· «Θήλειαν ἐνόησα ἀλληγορικῶς τὴν φήμην σου, ὦ Βασιλεῦ, ἣ διῆλθεν ἀφόβως πᾶσαν τὴν ἀπέραντον γῆν, διέβη τὸν δυσδιάβατον ὠκεανὸν, ἀνέβη εἰς τὸν δυσανάβατον οὐρανὸν, καὶ κατέβη εἰς τὸν ὑποχθόνιον κόσμον, ἔνθα φοβεροί εἰσιν ὄφεις καὶ δράκοντες· καὶ διὰ τοῦτο ἐλογισάμην, ὡς ψευδές ἐστιν, ὃ λέγεται, ὅτι δειλή ἐστιν ἡ θήλεια.» Ἀκούσας ὁ Βασιλεὺς, ἔκρινεν, ὡς τοιοῦτος ἀνὴρ σοφὸς, δυσεύρετός ἐστι· πολλαὶ δὲ αἱ γυναῖκες, καὶ εὐπόριστοι· καὶ διὰ τοῦτο ἔδωκεν αὐτῷ αὐτήν.» Ἀκούσασα ἡ Ῥαββαβατὴ, ἐκοιμήθη ἐν οἴκῳ.

Νὺξ πεντηκοστὴ ἕκτη.

Περὶ τὸ τέλος τῆς ἕξης ἡμέρας, ἰδὼν ὁ Σούκας τὴν Ῥαββαβατὴν ἑτοίμην οὖσαν ἀπιέναι, «Ἄπιθι, ἔφη, Κυρία, εἰ οἶδας τοιαῦτα, οἷα ἡ Ῥουβινὴ εἰς ἀπάτην τοῦ οἰκείου ἀνδρός.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν κώμῃ, ἧ ὄνομα Μαγκάλα, Ξατρὴς ἦν, Ῥαχάβας καλούμενος· ὃς, παραλαβών ποτε τὴν ἑαυτοῦ γυναῖκα, ἧ ὄνομα Ῥουβινὴ, ἐπορεύθη εἰς τέμενος Θεοῦ, ἔνθα ἦν πανήγυρις, ἑορτῆς οὔσης. Σκεπάσας δὲ τὴν ἑαυτοῦ γυναῖκα, νεῦμα ποιήσασαν ἐρωτικὸν ἑτέρῳ ἀνδρὶ, ἐπανῆλθεν οἴκαδε· καὶ ζηλοτυπῶν κατέκλεισε τὴν γυναῖκα, μὴ ἐῶν αὐτὴν τῆς οἰκίας ἐξέρχεσθαι. Ἡ δὲ, ἀγανακτήσασα, γνώμην ἔθετο συγγενέσθαι τῷ ἐρωμένῳ πρὸ ὀφθαλμῶν τοῦ ἀνδρὸς ἑαυτῆς. Καιρὸν δ' εὑροῦσα, εἶπε τῷ ἐρωμένῳ· «Ἐλθὲ ταύτῃ τῇ νυκτὶ, καὶ ἀνορύξας τὴν γῆν τῆς αὐλῆς τοῦ οἴκου πρὸς τῇ ῥίζῃ τοῦ δένδρου

τοσοῦτον, ὅσον χωρεῖν τὸ σῶμά σου, ἀνάκεισο, ἀνορθώσας τὸ αἰδοῖον.» Ὁ δ' ὡμολόγησεν οὕτω ποιήσειν. Κατὰ δὲ τὴν νύκτα, ἐλθόντος τοῦ ἐρωμένου, ἡ πονηρὰ γυνὴ, στᾶσα ὑπὸ τὴν σκιὰν τοῦ δένδρου πρὸς τῷ ἀνακειμένῳ μοιχῷ, ἔκραξε λέγουσα τῷ ἑαυτῆς ἀνδρί· «Λάβε τὸ τόξον σὺ ὁ ὀνομαστὸς ἐπὶ τῇ τοξικῇ, καὶ ἄγε τόξευσον τὸ σεληνιαῖον σέλας, ἵνα γνῶ τὴν ἐπιτηδειότητά σου.» Ὁ μὲν οὖν μωρὸς Ῥαχάδας, ἐξελθὼν μετὰ τοῦ τόξου, ἐτόξευε κατὰ τὸ σέλας τῆς σελήνης. Ἡ δὲ, συνοῦσα τῷ ἐρωμένῳ, ἔλεγε· «Τόξευσον, τόξευσον.» Ἐξελθόντος δ' ἔπειτα τοῦ Ῥαχάδα, εἰς τὸ ἐρευνῆσαι καὶ εὑρεῖν τὰ πεπτωκότα βέλη, ἐξῆλθε καὶ ἡ γυνὴ αὐτοῦ· καὶ ἀναβᾶσα ἐφ' ἵππου, ὃν ἤγαγεν ὁ μοιχὸς, φεύγουσα, ἔλεγε· «Πρὸ ὀφθαλμῶν σου, μωρὲ, συνεγενόμην ἑτέρῳ ἀνδρί· νῦν δ' ἄπειμι.» Ὁ δὲ, ἰδὼν αὐτὴν φεύγουσαν, ἐλυπήθη, καὶ ᾐσχύνθη. Τίς ἄρα οὐ κακῶς ἔπαθεν ὑπὸ τῶν γυναικῶν; Ὀρθῶς ἄρα λέγεται·

«Τοῦτο τὸ πᾶν, ὡς δένδρον ἐστίν, οὗ ἡ μὲν ῥίζα ἐστιν, »ἡ γυνὴ, ἡ δὲ γῆ, ἡ βδελυρὰ ἁμαρτία, τὰ δ' ἄνθη καὶ ὁ »καρπὸς, τὰ πάθη. Ἆρα ἀγαθὸν παρέχουσιν αἱ γυναῖκες;

«Ἡ μὲν ἄγνοια αἰτία ἐστι τοῦ κόσμου, τῆς δ' ἀγνοίας αἰτία »ἡ γυνή· ἡ δὲ μετὰ γυναικὸς ὁμιλία αἰτία τῶν δεινῶν. Ἀφεὶς ὁ ἄνθρωπος τὴν μετὰ γυναικὸς ὁμιλίαν, εὐδαίμων (εὔθυμος) ἔσεται.»

Ὑπολαβοῦσα δ' ἡ Πραββαβατὴ, ἔφη· «Πῶς κατηγορεῖς τῆς γυναικὸς, ἡ αἰτία ἐστι τῆς γεννήσεως, τῆς αὐξήσεως καὶ τῆς τέρψεως; διὸ καὶ λέγεται·

«Ἄνευ τῆς γυναικὸς ὁ ἄνθρωπος οὐ νομίζει ἑαυτὸν εὐτυχῆ, »εὔθυμον καὶ εὐδαίμονα· ἡ γὰρ γυνὴ δεξαμενή ἐστιν ἀμβρο»σίας, σωρὸς ἀγαθῶν καὶ πηγὴ πάσης τέρψεως καὶ ἀνέσεως.»

«Ταῦτα, ὅσα εἴρηκας, εἶπεν ὁ Σούκας, ἀναφέρονται εἰς μόνην τὴν ἀγαθὴν καὶ σώφρονα γυναῖκα· ὅθεν καὶ λέγεται·

«Μεγάλη ἐστὶν ἡ διαφορὰ τῶν ἀνδρῶν, τῶν γυναικῶν, τῶν

»ἵππων, τῶν ἐλεφάντων, τῶν ἐκ σιδήρου ὅπλων, τῶν ξύλων, »τῶν λίθων, τῶν ἱματίων, καὶ τῶν ὑδάτων.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἶκοι ἐκοιμήθη.

Νὺξ πεντηκοστὴ ἑβδόμη.

Κατὰ τὴν δύσιν τοῦ ἡλίου τῆς ἐρχομένης ἡμέρας εἶπε πάλιν ἡ Πραββαβατὴ, ὅτι πορεύεται. «Πορεύθητι, ἔφη, ὁ Σούκας, εἰς ἀπόλαυσιν τοῦ ἐφετοῦ, εἰ φρόνησιν ἔχεις μὴ ποιῆσαι ὅ,τι ἐποίησεν ἡ Δουσσιλὰ ἔμπροσθεν τοῦ Θεοῦ Γανέσσα.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἔστι κώμη, Λοχαπούρα[1] καλουμένη· ἔνθα ἦν Βουκόλος Βιράζης ὀνομαζόμενος, οὗ ἡ γυνὴ, ἧ ὄνομα Δουσσιλὰ, ἀσελγὴς ἦν καὶ ἀκόλαστος. Καί ποτε ἐπορεύετο σὺν ἄλλαις βουκολικαῖς γυναιξὶν εἰς γειτνιάζουσαν πόλιν πρὸς ἀπεμπόλησιν ὀρρῶ τε καὶ γάλακτος· καὶ εἰσελθοῦσαι εἰς ναὸν τοῦ θεοῦ Γανέσσα, πλησίον τῆς κώμης, αἱ μὲν ἄλλαι ἄλλην εὐχωλὴν τῷ θεῷ ἐποιήσαντο, αὕτη δὲ ἓν φίλημα, ἂν ταχεῖα καὶ ἐπικερδὴς ἡ ἀπεμπόλησις γένηται. Ἐπαναστρέψασα δὲ, ἔδωκεν ἓν φίλημα τῷ θεῷ Γανέσσᾳ, κατὰ τὴν εὐχωλήν. Ὁ δὲ, ἐλάβετο αὐτῆς ἐκ τῶν χειλέων, καὶ μετεμόρφωσεν εἰς παρδαλὴν κύνα. Ἐλθοῦσαι δ' αἱ λοιπαὶ εἰς τὴν κώμην, διηγήσαντο, γελῶσαι, τῷ ἀνδρὶ αὐτῆς τὸ γεγονός· ὃς, ἐλθὼν, καὶ ἰδὼν αὐτὴν, οὕτως ἔχουσαν, ἔκλινε τὴν κεφαλὴν αὐτοῦ ἔμπροσθεν αὐτῆς, εἰπών· «Ἀξία εἰ προσκυνήσεως[2]!» Ὁ δὲ θεὸς Γανέσσας, ἰδὼν τοῦτο τὸ ἀστεῖον, ἐγέλασε, καὶ ἀφῆκε τὴν γυναῖκα. Προσκυνήσας δ' ὁ Βουκόλος τὸν θεὸν, ἐδεήθη δοῦναι αὐτῇ τὴν προτέραν μορφήν. Ἱσθεὶς δ' ὁ θεὸς, ἔδωκε τὴν

(1) Λοχαπούρα, Σιδηρόπολις.

(2) Εἰρωνικὸν τοῦτο· οἱονεὶ ἔλεγεν ἀποτροπαία εἶ καὶ φευκτέα· καὶ μετὰ θεοῦ γὰρ ἠθέλησας παῖξαι.

προτέραν μορφὴν τῇ γυναικί· ἣν παραλαβὼν ὁ Βουκόλος, ἐπανέκαμψεν οἴκαδε.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐν οἴκῳ ἐκοιμήθη.

Νὺξ πεντηκοστὴ ὀγδόη.

Κατὰ τὴν ἑσπέραν τῆς ἐπιούσης, εἰπούσης τῆς Πραββαβατῆς, ὅτι πορεύεται, «Πορεύθητι, ἔφη ὁ Σούκας, εἰ ἔχεις σύνεσιν διαγνῶναι τὸ ἀμφίβολον, καθὼς ὁ Βασιλικὸς ἐν τῷ βήματι τοῦ Βασιλέως Βήρα.» Ἐρωτηθεὶς δὲ, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἐν πόλει, ᾗ ὄνομα Σαγχαπούρα[1], Βασιλεὺς ἦν, Βήρας καλούμενος· οὗ τὸ βῆμα ἦν πάνυ ὑπερφυές· ἦν γὰρ τὸ ἔδαφος οὕτω τεχνικῶς κατεσκευασμένον, ὥστε ἐφαίνετο, ὥσπερ εἰ εἶχεν ὕδωρ· καὶ διὰ τοῦτο ἀδιάκριτον ἦν τοῖς ὁρῶσιν. Ἀκούσας δὲ καὶ ὁ Βασιλεὺς τῆς χώρας Κασσέπας, ἐξαπέστειλε πρέσβυν εἰδήμονα πρὸς τὸν Βασιλέα Βήραν μετὰ δώρων πολλῶν, πολυτίμων ζιφέων, καὶ γενναίων ἵππων, εἰς τὸ θεωρῆσαι ἐκεῖνο τὸ διάσημον βῆμα. Ἐλθὼν δ' ὁ πρέσβυς, εἶπε πρὸς τοῖς ἄλλοις καὶ τοῦτο τῷ Βασιλεῖ Βήρᾳ· «Δεῖξόν μοι[1], παρακαλῶ, τὸ Βασιλικὸν βῆμα.» Ὁ δὲ Βασιλεὺς ἔφη· «Αὔριον δείξω σοι αὐτό·» καὶ περὶ τὴν ἕω καλέσας τὸν πρέσβυν, ἔδειξεν αὐτῷ αὐτό. Ὁ δὲ, θεωρήσας ἀκριβῶς, καὶ μὴ δυνηθεὶς διαγνῶναι, ἔρριψε τὸν ἑαυτοῦ δακτύλιον, ὑποκρινόμενος, ὡς ἔπεσεν ἐξ ἀπροόπτου· καὶ οὕτως ἔγνω, ὡς τὸ ἔδαφος τοῦ βήματος ἦν ἐκ στερεᾶς ὕλης κατεσκευασμένον, καὶ οὐχ ὑδατῶδες, ὡς ἐδόκει τοῖς πολλοῖς.» Ἀκούσασα ἡ Πραββαβατὴ, οἴκοι ἐκοιμήθη.

---

(1) Σαγχαπούρα, Κογχόπολις.

Νὺξ πεντηκοστὴ ἐννάτη.

Τῇ ὑστεραίᾳ ἤρετο ἡ Πραββαβατὴ, «Πορευθῶ;»—«Πορεύθητι, ἀπεκρίνατο ὁ Σούκας, εἰ οἶδας ἀπολαῦσαι τοῦ ἐρωμένου, καὶ ἐντρυφῆσαι, καθὼς ἡ Τεζουκά.» Καὶ ἐρωτηθεὶς πῶς ἐγένετο, ἀπεκρίνατο·

«Ἔστι πόλις Ῥεδὰ τοὔνομα· ἔνθα ἦν ἔμπορος, Παρσβανάγας καλούμενος· οὗ ἡ γυνὴ, ᾗ ὄνομα Τεζουκὰ, ἦν εὐειδὴς μὲν, μοιχαλὶς δέ. Καί ποτε ἐπορεύθη μετὰ φίλων γυναικῶν εἰς Τέμενος θεοῦ, πανηγύρεως οὔσης, ἔνθα εἶδε νεανίαν εὔμορφον, καὶ ἠράσθη αὐτοῦ. Ὀρθὼς ἄρα λέγεται·

«Ἡ γυνὴ διαφθείρεται ἐν τεμένεσι θεῶν, ἐν γάμοις, ἐν πα-»νηγύρεσιν, ἐν ἀλλοτρίοις οἴκοις, καὶ ἐν τοῖς ἀνακτορίοις.» Καλέσασα δ' αὐτὸν διὰ νεύματος, εἶπεν· «Ἐγὼ ἐρῶ σου· ἀλλ' ὁ ἐμὸς ἀνὴρ δύσκολός ἐστιν· οὐ γὰρ συγχωρεῖ μοι ἐξιέναι τῆς οἰκίας, ὅταν θέλω· ὅθεν ἐγὼ μὲν αὔριον πλάσμα ποιήσομαι, ὡς κακῶς ἔχω, νυγεῖσα ὑπὸ σκορπίου· σὺ δ' ἐλθὲ ἐπὶ τὴν θύραν τῆς ἐμῆς οἰκίας, ὡς ἐπαοιδὸς καὶ ἰατὴρ φαρμάκων.» Τοιαῦτα συνθέμενοι, ἀνεχώρησαν εἰς τὰ ἴδια. Περὶ δὲ τὴν ἕω τῆς ἐπιούσης, ἡ μὲν γυνὴ ἤρξατο θρηνολογεῖν, ὡς λίαν ἀλγεῖ, καὶ θνήσκει, νυγεῖσα ὑπὸ σκορπίου· καὶ παρεκάλει τὸν ἑαυτῆς ἄνδρα ἀγαγεῖν φαρμακέα· ὁ δ' ἐρώμενος, ἐλθὼν ἔστη πρὸ τῆς θύρας, κράζων, ὡς ἐπαοιδός ἐστι καὶ ἰατὴρ φαρμάκων. Ἐξελθὼν δ' ὁ ἀνὴρ τῆς γυναικὸς, εἰσήγαγεν αὐτὸν τὸν πλαστὸν φαρμακέα· πρὸς ὃν καὶ εἶπε· «Χάριν ποίησαι, ἰατρὲ, καὶ ἴασαί μου τὴν γυναῖκα, πάσχουσαν.» Ὁ δὲ, ἰδὼν αὐτὴν, ἔφη αὐτῷ· «Μὴ φοβοῦ, αὕτη γὰρ ζήσεται· καὶ σὺ μὲν μακαριστὸς ἔσῃ ἐπὶ τῇ ἀγαθῇ τύχῃ, ἐγὼ δὲ ὀνομαστὸς ἐπὶ τῇ ἰδίᾳ τέχνῃ.» Τοιαῦτα εἰπὼν, ἐπέθετο τοῖς χείλεσι τῆς γυναικὸς κατάπλασμά τι πικρόν· κατα ἔφη τῷ ἀνδρὶ αὐτῆς· «Τοῦτο ἀπαλλακτικόν ἐστι παντὸς φαρμάκου, καὶ ἀκεσώδυνον·

ὀθεν ἐκμύζα τὰ χείλη τῆς γυναικός.» Ὁ δ' ἔμπορος, ἐκμυζῶν, αἰσθόμενος πικρότητος, ἔφη· «Καὶ σὺ, ὦ ἰατρὲ, ἐκμύζα.» Ὁ δὲ, ἀντὶ τοῦ ἐκμυζᾶν, κατεφίλει τὰ χείλη τῆς γυναικὸς, καὶ κατέδακνεν αὐτά· καὶ αὐτὴ τὰ αὐτοῦ ἀμοιβαίως. Πλασαμένης δὲ τῆς ἀσελγοῦς γυναικὸς ἄνεσιν, ὁ ἔμπορος, ἀψάμενος τῶν ποδῶν τοῦ νομιζομένου ἰατροῦ, χάριτας ὡμολόγησεν, εἰπών· «Καὶ ἐγὼ εἰμὶ σὸς καὶ ὁ ἐμὸς οἶκος.» Ἐξ ἐκείνης δὲ τῆς ἡμέρας ἐσύχναζεν ὁ ἐρώμενος εἰς τὸν οἶκον τοῦ ἐμπόρου θαῤῥαλέως, ὡς εὐεργέτης, καὶ φίλος, καὶ συνεγίνετο τῇ γυναικί, ὅτε εὕρισκε καιρόν. Εἰ οὖν καὶ σὺ οἶδας τοιαῦτα κατεργάζεσθαι, πορεύθητι πρὸς ἐρώμενον.» Ἀκούσασα ἡ Πραβ-βαβατὴ, οἶκοι ἐκοιμήθη.

Νὺξ ἑξηκοστή.

Κατὰ τὴν ἑξῆς ἡμέραν, παρασκευαζομένης πορευθῆναι τῆς Πραββαβατῆς, ἔφη ὁ Σούκας· «Πορεύθητι εἰς ἀπόλαυσιν τοῦ ἐφετοῦ, εἰ οἶδας πρᾶξαι τοιαῦτα, οἷα αἱ γυναῖκες τοῦ Κουχάνα.» Καὶ ἐρωτηθεὶς, πῶς ἔχει τοῦτο, ἀπεκρίνατο·

«Ἔστι κωμόπολις, Γαμβδείρα καλουμένη· ἔνθα ἦν Ξατρὴς, Κουχάνας τὸ ὄνομα, ὃς εἶχε δύω γυναῖκας εὐειδεῖς· ὧν ἡ μὲν ἐκαλεῖτο Σοββικά, ἡ δὲ Ῥεζικά. Ὢν δὲ ζηλότυπος καὶ δύσκολος, ἐδείματο οἰκίαν ἔξω τῆς κώμης, παρ' ὄχθῃ ποταμοῦ, καὶ ἀεὶ ἦν παρατηρῶν τὴν θύραν. Καί ποτε εἶπον τῷ ἀνδρὶ αἱ γυναῖκες ἀγαγεῖν κουρέα εἰς ἐξονύχισιν· ὃς, ἐλθὼν, ἐξωνύχιζεν αὐτὰς, αἳ ἐξέτεινον τὰς χεῖρας καὶ τοὺς πόδας, οὖσαι ὄπισθεν παραπετάσματος. Ἱσταμένου δὲ πόῤῥω τοῦ ἀνδρὸς, αἱ γυναῖκες, δοῦσαι τῷ κουρεῖ τὰ ἑαυτῶν χρυσᾶ ψέλλια, εἶπον· «Λάβε ταῦτα, ὡς δῶρα, καὶ κόμισον πρὸς ἡμᾶς νεανίαν τρόπῳ κρυφίῳ.» Ὁ δὲ Κουρεὺς, ὑποσχόμενος οὕτω ποιήσειν, ἀπῆλθεν οἴκαδε. Τῇ δ' ἐπιούσῃ, ἀμφιεσάμενος

ὁ Κουρεὺς ἄμφια γυναικεῖα νεανίσκον πανοῦργον, ὃς ἦν φίλος, ἤγαγεν αὐτὸν πρὸς τὸν Ξατρὴν ἐκεῖνον καὶ ἔφη· «Ἐπειδὴ ἀποδημῆσαι βούλομαι, ἀφεῖναι ἔκρινα ταύτην τὴν ἐμαυτοῦ γυναῖκα οὐκ ἐν ἄλλῳ τινὶ οἴκῳ, ἀλλ' ἢ ἐν τῷ σῷ, ὅς ἐστιν ὥσπερ σωφρονιστήριον·» Ὁ δὲ, νεύσας, ἔφη· «Ἄφες αὐτήν.» Αὐτὸς δὲ ὁ ἐν σχήματι γυνακὸς νεανίας, εἰσδὺς εἰς τὸν γυναικῶνα τοῦ Ξατρῆ, τῇ μὲν ἡμέρᾳ ἐφαίνετο γυνὴ, τῇ δὲ νυκτὶ ἀνὴρ, καὶ ὤπυεν ἀμφοτέρας τὰς γυναῖκας. Μετὰ δὲ χρόνον τινὰ ἠράσθη αὐτῆς τῆς πεπλασμένης γυναικὸς ὁ Κουχάνας· ἀλλ' ἐπειδὴ αὐτὴ ἀπεποιεῖτο, διὰ τοῦτο αὐτὸς δισταγμὸν ἔσχεν εἰς τὴν θηλυκὴν αὐτῆς φύσιν· καὶ βουλόμενος βεβαιωθῆναι αὐτοψεὶ, εἶπεν· «Αὔριον ἑορτὴν τελέσω τῇ θεᾷ Σανδικᾷ· ὑμεῖς δὲ καὶ αἱ τρεῖς γυναῖκες πρὸ τῆς θεᾶς χορεύσατε γυμναί.» Ὁ δὲ ἐν γυναικείῳ σχήματι νεανίας, δήσας τὸ πόσθιον, καὶ ἑλκύσας αὐτὸ κάτωθεν καὶ ὄπισθεν, ἐσχημάτισεν ἐκεῖνο τὸ ἀπόκρυφον μέρος, ὡς δελφὴν· καὶ κυμβαλίζων, καὶ χορεύων γυμνὸς σὺν ταῖς ἄλλαις γυναιξὶν, οὐκ ἐφάνη ἄρρην, ἀλλὰ θήλεια. Τοιούτοις γυναικείοις τεχνάσμασιν ἠπατήθη ὁ μωρόφρων Κουχάνας. Ὁ δὲ πανοῦργος ἐκεῖνος νεανίας ἐν σχήματι γυναικὸς ἀδεῶς ὤχευεν ἀμφοτέρας τὰς γυναῖκας.» Ἀκούσασα ἡ Πραββαβατὴ, ἐκοιμήθη κατ' οἶκον.

Νὺξ ἑξηκοστὴ πρώτη.

(*Λείπουσιν καὶ αἱ λοιπαὶ ἐν τῷ χειρογράφῳ.*)

ΠΙΝΑΞ

ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Προλεγόμενα τῆς Χιτοπαδάσσας, τοῦ Στεφανίτου καὶ Ἰχνηλάτου καὶ τῶν τοῦ Ψιττακοῦ νυκτερινῶν Μυθολογιῶν . . . . . Σελ. ά.

Χιτοπαδάσσας Προοίμιον 4

— Βιβλ. Α'. Περὶ διαλύσεως φιλίας . . . 7

— — Α'. Περὶ διαλύσεως φιλίας (διάφορον). 75

— — Β'. Περὶ κτήσεως φιλίας 109

— — Γ'. Περὶ πολέμου 139

Στεφανίτης καὶ Ἰχνηλάτης (ἐν παραρτήματι).

Ψιττακοῦ Μυθολογίαι Νυκτεριναί.

ΡΑΓΓΟΥ-ΒΑΝΣΑ

Ἢ

ΓΕΝΕΑΛΟΓΙΑ ΤΟΥ ΡΑΓΓΟΥ,

ΜΕΤΑΦΡΑΣΘΕΙΣΑ ΕΚ ΤΟΥ ΒΡΑΧΜΑΝΙΚΟΥ

ΠΑΡΑ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ,

ΑΘΗΝΑΙΟΥ.

Νῦν πρῶτον Ἑλληνιστὶ ἐκδοθεῖσα,

καὶ

Μετὰ προλεγομένων καὶ παρατηρήσεων αὐξηθεῖσα,

Δαπάνῃ μὲν καὶ μελέτῃ

ΓΕΩΡΓΙΟΥ Κ. ΤΥΠΑΛΔΟΥ,

Ἐφόρου τῆς Δημοσίου καὶ Πανεπιστημιακῆς Βιβλιοθήκης,

Ἐπιστασίᾳ δὲ καὶ διορθώσει

Γ. ΑΠΟΣΤΟΛΙΔΟΥ ΚΟΣΜΗΤΟΥ,

Βιβλιοφύλακος.

ΕΝ ΑΘΗΝΑΙΣ.

Ἐκ τῆς Τυπογραφίας Γ. Χαρτοφύλακος.

1850.

ΤΩι ΜΕΓΑΛΕΙΟΤΑΤΩι

ΒΑΣΙΛΕΙ

ΤΗΣ

ΕΛΛΑΔΟΣ

ΟΘΩΝΙ ΤΩι Α΄.

ΚΗΔΕΜΟΝΙ ΚΑΙ ΠΡΟΣΤΑΤΗ

τῆς

Ἑλληνικῆς Ἐκπαιδεύσεως

ΤΗΝ

ΡΑΓΓΟΥ-ΒΑΝΣΑΝ

Μεταφρασθεῖσαν ἐκ τοῦ Ἰνδικοῦ

παρὰ τοῦ

ΔΗΜΗΤΡΙΟΥ ΓΑΛΑΝΟΥ

Εὐσεβάστως ἀνατίθησιν

Ὁ ΕΚΔΟΤΗΣ.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

Η ἔκδοσις τοῦ τετάρτου τόμου τῆς παρούσης συλλογῆς ἀνεβλήθη πρὸς καιρὸν, ἕνεκα τοῦ ἀλγεινοῦ δυστυχήματος, ὅπερ αἴφνης, ἐπελθὸν οὐ μόνον τὴν ψυχὴν κατέθλιψεν· ἀλλὰ καὶ αὐτὴν τὴν σωματικήν μου εὐεξίαν βαθέως διετάραξεν (1). Ἀλλ' ἤδη, ὑποτασσόμε-

(1) Ὁ πρωτότοκος υἱός μου Κωνσταντῖνος, ἔχων πολλὴν παρ' ἡλικίαν παιδείαν, καὶ πρεσβυτικὴν φρόνησιν, ὅτι νέος ὢν, ὥσπερ γέρων ἦν· οὗτος, λέγω, ἀσθενήσας τὴν πρώτην τοῦ Ἰουλίου τοῦ προπαρελθόντος ἔτους (1848), τὴν δεκάτην ἕκτην τοῦ αὐτοῦ ἀπεβίωσεν. Ἡ συμφορὰ αὕτη, ὡς μαύρη θύελλα ἐκραγεῖσα ἐξάπινα καθ' ἡμῶν, ἀπέσπασε διὰ παντὸς τὸν μηδέποτε ἀπ' ἐμοῦ ἀπομακρυνθέντα φίλτατόν μου υἱόν. Καὶ τὴν μὲν ἐμὴν καρδίαν, πλήρη οὖσαν ἄχθους, διαῤῥήξασα κατεκερμάτισε· τὴν δὲ ψυχὴν εἰς ἰσόβιον πένθος ἐβύθισε, μεταβαλοῦσα ἐν ἀκαρεῖ τὸ μέγιστον πρὸς αὐτὸν φίλτρον, εἰς μέγιστον ἄλγος. Ὁ συμπαθητικὸς ἀναγνώστης ἐπιτρέψει, πέπεισμαι, εἰς ἄθλιον πατέρα, ὅπως χύσῃ ἐπὶ τοῦ ψυχροῦ τάφου τοιούτου, καὶ τοσοῦτον πεφιλημένου υἱοῦ, τὸ πικρὸν τοῦ τελευταίου ἀποχαιρετισμοῦ δάκρυ, πρὸς ἀνακούφισιν τοῦ ἄλγους, ὅπερ ὡς ὄρος μέγα, καταθλίβει τὴν καρδίαν αὐτοῦ, ἐνθυμούμενος μάλιστα τὸν Ἰνδὸν ποιητὴν εἰπόντα, ὅτι « ἡ καρδία τοῦ τέκνου, εἶναι μέρος τῆς καρ- » δίας. Τὰ σπλάγχνα, μέρος· τῶν σπλάγχνων· καὶ τὸ

νος ἀγογγύστως εἰς τὰς ἀποφάσεις τῆς θείας Προνοίας, καὶ τὸν Ὕψιστον εὐλογῶν, τὸν παιδεύοντα καὶ πάλιν ἰώμενον, ἐπιχειρῶ τὴν ἐκτύπωσιν αὐτοῦ (1).

Σὺ οὖν, ὦ ἐκλεκτὴ καὶ ἐρασμία ψυχὴ τοῦ φιλτάτου Κωνσταντίνου μου, χαῖρε, καὶ ἐν τοῖς κόλποις τῆς θείας ὀλβιότητος ἀναπαύου· ἡμεῖς δὲ, μικρὸν εἰσέτι μακρὰν σοῦ ὄντες, ἀείποτε ἐνθυμούμενοι, νοί τε καὶ καρδίᾳ μετὰ σοῦ ἐσόμεθα (2).

» σῶμα ὅλον, μέρος τοῦ ὅλου σώματος τῶν γεννητόρων ». » Ὥστε ὁ θάνατος τοῦ τέκνου, εἶναι θάνατος μέρους οὐσιώδους ἡμῶν αὐτῶν, καὶ τὸ ἐξ αὐτοῦ ἄλγος ὑπερβαίνει πᾶν ἄλγος· ὅτι καὶ ἡ πληγὴ δεινὴ, καὶ μεγάλη σφόδρα.

(1) Καὶ γὰρ τ' εὔκομος Νιόβη (μετὰ τὸν θάνατον τῶν τέκνων αὐτῆς) ἐμνήσατο σίτου. (Ὁμ. Ἰλ. Ῥαψ. Ω. στίχ. 602.)

(2) Ἐξετάζων τὰ διάφορα χειρόγραφα τοῦ υἱοῦ μου, μεταξὺ τῶν ἄλλων εὗρον καὶ τὸ ἑξῆς, ὅπερ, χάριν περιεργείας ἀναφέρω ἐνταῦθα.

Ὑπόθεσις καὶ σκέψεις ἐπὶ τοῦ διαλόγου τοῦ Πλάτωνος.

Ὁ Κρίτων.

« Ὁ Πλάτων παρέστησε τὸν Σωκράτην γλυκύτατα κοιμώ-
» μενον· τὸν δὲ Κρίτωνα καθήμενον πλησίον αὐτοῦ, καὶ με-
» γάλως θαυμάζοντα τὴν ἀταραξίαν ἀνδρὸς εἰς θάνατον
» καταδικασμένου.

« Ὁ Σωκράτης ἐγερθεὶς ἐκ τοῦ ὕπνου, ἀπορεῖ πῶς ἦλθε
» τοσοῦτον πρωῒ τὴν ἡμέραν ἐκείνην εἰς τὴν φυλακὴν καὶ
» τὴν αἰτίαν ἐρωτᾷ. Ὁ Κρίτων θαυμάσας ἔτι μᾶλλον τὴν
» σταθερότητα τοῦ ἀνδρὸς, εἶπεν, ὅτι ἦλθε φέρων λυπηρο-
» τάτην ἀγγελίαν· ὅτι δηλαδὴ ἡ ἱερὰ ναῦς μέλλει νὰ ἔλθῃ
» τὴν ἡμέραν ἐκείνην, μετὰ τὴν ἐπάνοδον τῆς ὁποίας αὐτὸς

Ἡ ἀνθρωπότης φαίνεται ἐπὶ τῆς μεγάλης σκηνῆς τοῦ κόσμου ὡς ὅλον, σύνθετον ἐκ μερῶν, ἤτοι τῶν ἐθνῶν, κατὰ διαδοχὴν ἐν τόπῳ καὶ χρόνῳ ἐμφανιζομένων· ἐξ

» ὀφείλει ν' ἀποθάνῃ. Ἕνεκα τούτου παρεκάλει αὐτὸν θερμῶς
» ν' ἀναχωρήσῃ κρυφίως, ὠφελούμενος ἀπὸ τὴν ὑπ' αὐτοῦ,
» καὶ τῶν φίλων του ἑτοιμασθεῖσαν εὐκαιρίαν. Τὴν γνώμην
» ταύτην ὑποστηρίζει ὁ Κρίτων διὰ πολλῶν ἐπιχειρημάτων.
» Πλὴν οὔτε τὸ μέγεθος τοῦ ἐπικειμένου κινδύνου, οὔτε
» τῶν φίλων αἱ θερμόταται παρακλήσεις ἴσχυσαν νὰ πεί-
» σωσι τὸν Σωκράτην. Οὗτος ἐρωτᾷ ἔπειτα ὑπομειδιῶν τὸν
» Κρίτωνα, ἂν τὸ δραπετεῦσαι εἶναι σύμφωνον μὲ τὴν δι-
» καιοσύνην. Ἐνταῦθα ἐγείρεται σφοδροτάτη συζήτησις, ἂν
» πρέπῃ δηλ. νὰ προτιμήσῃ τις τὸ ἀτομικὸν συμφέρον, ἢ
» τὸ κοινόν· ἂν πρέπῃ νὰ λάβῃ ὡς ὁδηγὸν τοῦ βίου τὴν
» σαλευομένην γνώμην τοῦ ἀνθρώπου, ἢ τὴν ἀμετάβλητον
» δικαιοσύνην· ἂν πρέπῃ ν' ἀποφύγῃ τὸν κίνδυνον, ἢ νὰ
» προτιμήσῃ τὴν πρὸς τοὺς νόμους καὶ τὴν ἀρετὴν εὐπεί-
» θειαν. Ταῦτα δὲ πάντα ἐκθέτει ὁ Σωκράτης μετὰ τοσαύτης
» εὐκρινείας, ὥστ' αὐτὸς ὁ ἴδιος Κρίτων ἀναγκάζεται τελευ-
» ταῖον ν' ἀποδοκιμάσῃ τὴν συμβουλὴν, ἣν πρότερον ἔδω-
» κε, καὶ ὡς ἐναντίαν τοῦ δικαίου καὶ νομίμου νὰ τὴν ἀπορρίψῃ.

Σκέψεις. « Τινὲς συμφωνοῦντες μὲ τὸν Κρίτωνα μέμφονται
» τὸν Σωκράτην, διότι δὲν ἐδραπέτευσεν, ὡς ἀδίκως δηθεν
» καταδικασθείς. Ἀλλ' ἡ ἀδικία δὲν θεραπεύεται διὰ τῆς
» παρανομίας. Ὁ Σωκράτης ἐγκαλεῖται, καὶ δικασθεὶς κατε-
» δικάσθη παρὰ τῶν νόμων. Ὁ καθεὶς ἔχει τὸ δικαίωμα ν'
» ἀπολογηθῇ. Ὁ Σωκράτης ἀπολογηθείς, πάλιν κατεδικάσθη,
» ὥστε δυοῖν θάτερον· ἢ πρέπει νὰ δραπετεύσῃ, ἢ ν' απο-
» θάνῃ. Ἀλλ' ὁ νόμος δὲν συγχωρεῖ τὴν ἐκ τῆς αὐτοδικίας

ὧν, τὸ μὲν προηγεῖται, τὸ δ' ἕπεται, ἀκμάζον δηλ. καὶ παρακμάζον. Ἀλλ' ἡ ἀνθρωπότης διαμένουσα πάντοτε, κληρονομεῖ μετὰ τῆς ζωῆς τοὺς καθολικοὺς νόμους τῆς

» δραπέτευσιν. Ἂν ἕκαστος εἶχε τὸ δικαίωμα τῆς αὐτοδικίας, » δυνάμενος νὰ ἐπικρίνῃ τοὺς νόμους, καὶ ν' ἀνατρέπῃ τὰς » νομικὰς ἀποφάσεις, δὲν ἦτον οὐδεμία χρεία νόμων, δικα- » στῶν, καὶ δικαστηρίων· ἕκαστος ἤθελεν ἀποφασίζῃ τὸν » νόμον, ἐξηγῶν αὐτὸν κατὰ τὸ δοκοῦν. Οὕτω καταστρέ- » φεται καὶ ἡ νομοθεσία, καὶ ἡ δικαιοσύνη· ὑπερισχύει ἡ » αὐτοδικία, ἥτις ἐπιφέρουσα τὴν ἀτιμωρησίαν, ῥίπτει τὴν » κοινωνίαν εἰς τὸ χάος τῆς ἀνομίας, καὶ τὸν ἄνθρωπον εἰς » τὴν ἀρχαίαν θηριώδη κατάστασιν. Ὁ Σωκράτης δικασθεὶς » καὶ καταδικασθεὶς, ἀπολογηθεὶς καὶ πάλιν καταδικασθεὶς » εἶναι εἰς θέσιν ἢ νὰ ὑπομένῃ τὴν ἀπόφασιν τῶν νόμων, » ἢ παρανόμως νὰ δραπετεύσῃ. Τὸ πρῶτον ἦτο σύμφωνον » μὲ τὰς ἀρχὰς καὶ τὴν ἀρετὴν, ἣν ἐν ὅλῳ τῷ βίῳ ἐδίδαξε » καὶ ἠκολούθησε· τὸ δεύτερον ἐκ διαμέτρου ἐναντίον. Ὁ » Σωκράτης διὰ τῆς διδασκαλίας καὶ τοῦ παραδείγματος » ἐπροσπάθει τὴν ἀνόρθωσιν τῆς κοινωνίας διὰ τῶν νόμων· » καὶ τὴν βελτίωσιν τοῦ πολίτου διὰ τῆς ἠθικῆς. Ὁ δὲ » Κρίτων, συμβουλεύων τὴν αὐτοδικίαν, ἤτοι τὴν δραπέτευ- » σιν, καὶ τὴν πρὸς τοὺς νόμους παρακοὴν, εἰσάγει τὴν » παρανομίαν· αὐτὴ δὲ τὴν ἀτιμωρησίαν· καὶ αἱ δύο ὁμοῦ » τὴν διάλυσιν τῆς κοινωνίας. Ὁ Σωκράτης ἄρα ἔπρεπε » ν' ἀποθάνῃ ὑπὲρ τοῦ νόμου καὶ τῆς κοινωνίας, καθὼς ἔπρε- » πε ν' ἀποθάνῃ ὑπὲρ τῆς θρησκευτικῆς ἀληθείας, τὴν » ὁποίαν διὰ τοῦ ἰδίου αὐτοῦ θανάτου καθιέρωσε. Τοιοῦτος » μοὶ φαίνεται ὁ νοῦς τοῦ διαλόγου τούτου ».

Κ. Κ. ΤΥΠΑΛΔΟΣ.

Ὁ ἐμβριθὴς ἀναγνώστης ἐξ ὄνυχος τὸν λέοντα κρῖναι δυ-

γνώσεως. Οὕτως ἡ μὲν Ἑλληνικὴ μεγαλοφυία καὶ καλλιτεχνία προηγήθησαν τοῦ Ῥωμαϊκοῦ πολιτισμοῦ, καὶ ἀμφότεραι ἐμόρφωσαν τὴν σημερινὴν τῆς ἑσπερίας Εὐρώπης πρόοδον.

Πλὴν ὑπῆρξε καὶ πρὸ αὐτῶν ἀρχαιοτέρα τις διανοητικὴ ἀνάπτυξις, ἤτοι ὁ τῶν Ἀσιατικῶν ἐθνῶν πολιτισμός, καὶ ἐξαιρέτως ὁ τῆς Ἰνδίας, ὡς βεβαιοῦσιν αἱ παρὰ τῶν σοφῶν ἀνιχνευτῶν τῆς Ἀνατολῆς γινόμεναι καθ' ἑκάστην ἔρευναι (1). Ἀλλ' ἕνεκα, φαίνεται, τῆς ἀποστάσεως, τῆς δυσκολίας τῶν σχέσεων, τῆς διαφορᾶς τῶν ἠθῶν καὶ ἐθίμων, τῶν προλήψεων καὶ τῆς δεισιδαιμονίας, καὶ πολλῶν φυσικῶν καὶ πολιτικῶν περιστάσεων ἔμεινεν ἐπὶ πολὺν χρόνον ἄγνωστος, οὐ μόνον εἰς τὴν Εὐρώπην, ἀλλὰ καὶ εἰς αὐτὴν, κατὰ μέγα μέρος, τὴν ἀρχαίαν Ἑλλάδα.

Ἡ ἔρευνα ὅμως τῶν ἀρχαιοτήτων τῆς Αἰγύπτου καὶ τῆς Συρίας· ἡ ἀνάγνωσις τῶν ἱερογλυφικῶν καὶ τῶν ἄλλων πεπαλαιωμένων χαρακτήρων διαφόρων τῆς Ἀσίας ἐθνῶν, ἐκίνησαν δραστηρίως τὴν περιέργειαν τῶν σοφῶν τῆς Εὐρώπης. Ἡ δὲ κατάκτησις τῆς Ἰνδίας παρὰ τῶν Εὐρωπαίων, καὶ ἰδίως, τῶν Ἄγγλων· τὰ ἐν Καλκούτᾳ καὶ Βομβάῃ ἐκπαιδευτικὰ καταστήματα· ἡ γνῶσις τῶν Ἀσιατικῶν γλωσσῶν, καὶ ἡ μελέτη ἐν αὐτῇ τῇ Ἰνδίᾳ τῶν Ἰνδικῶν μνημείων, καὶ φιλολογικῶν ἀριστουργη-

---

νάμενος, συγχωρήσει, πέπεισμαι, τὴν βαθεῖαν θλῖψιν πατρὸς τοιούτου υἱοῦ στερηθέντος.

(1) Ἰδὲ προλ. εἰς τὸν Πρόδρομον τῶν Ἰνδικῶν μεταφράσεων σελ. ς'.

μάτων, νέας γνώσεις εἰσήγαγον εἴς τε τὸν ἀρχαῖον Ἑλληνορωμαϊκὸν πολιτισμὸν, καὶ τὴν ἐνεστῶσαν διανοητικὴν πρόοδον, δεικνυούσας, ὅτι ἡ ἐν ἡμῖν λογικὴ οὐσία μία καὶ ἡ αὐτὴ πάντοτε καὶ πανταχοῦ οὖσα, καὶ τὰς αὐτὰς διανοητικὰς δυνάμεις ἔχουσα, τὰ αὐτὰ ἀείποτε ἔσχεν ἀποτελέσματα, καὶ ὅτι ἡ ἀνάπτυξις τοῦ ἀνθρωπίνου νοὸς ἀπὸ τῆς Ἀσίας μετέβη εἰς τὴν Εὐρώπην. Καὶ ἐπὶ τέλους, ὅτι ἡ Ἰνδία ἐστὶ μία ἐκ τῶν ἀρχαίων ἑστιῶν τοῦ πολιτισμοῦ τοῦ ἀνθρωπίνου γένους. Ἡ ἀνακάλυψις ἑπομένως τῆς Ἰνδικῆς φιλολογίας ἐστὶν ἐκ τῶν ἐπισημοτέρων προόδων τῆς παρελθούσης καὶ ἐνεστώσης Ἑκατονταετηρίδος. Τοῦτο γινώσκων κάλλιστα ὁ ἀοίδιμος Γαλανὸς, ἀτρύτους, τῳόντι, κόπους καταβαλὼν, μετέφρασεν ἐκ τῆς ἀρχαίας Σανκρίτης διάφορα κλασικὰ συγγράμματα, ἐξ ὧν τρεῖς μὲν προηγουμένως, τέταρτον δ' ἤδη δημοσιεύοντες τόμον, προτάττομεν ὀλίγας, κατὰ τὸ δυνατὸν, παρατηρήσεις, ὅπως ὁμαλωτέραν τὴν πρὸς τὴν Ἰνδικὴν πορείαν ποιήσωμεν.

Τὸ ἀνὰ χεῖρας ποίημα, καλούμενον Ῥαγκοῦ-Βάνσα ἤτοι γενεαλογία τοῦ Ῥαγκοῦ, περιέχει τὴν ἱστορικὴν διαδοχικὴν σειρὰν εἴκοσι καὶ ἐννέα Βασιλέων. Ὁ γενεαλογικὸς οὗτος πίναξ εἰς δύο διαιρεθῆναι δύναται, μέσον ὅρον τὸν ἥρωα Ῥάμαν ἔχων. Καθότι εἰς τὸν ἥρωα τοῦτον περιστρέφεται τὸ πλεῖστον, καὶ λαμπρότερον μέρος τοῦ ποιήματος, ὡς καὶ τὸ μέγα ἐπικὸν ποίημα τοῦ Βαλμίκη, ὅπερ ἐξ αὐτοῦ Ῥαμαΐανα ἐκλήθη. Περὶ δὲ τῶν τεσσάρων προγόνων τοῦ Ῥάμα, καὶ μάλιστα περὶ τῶν εἴκοσι καὶ τεσσάρων αὐτοῦ ἀπογόνων, ὀλίγα καὶ ἐν συντόμῳ ἀναφέρει ὁ ποιητής. Ἀπεναντίας ἡ τε-

ράστιος σύλληψις τοῦ ἥρωος, ἡ γένεσις, ἡ ἀνατροφή, τὰ παράδοξα συμβεβηκότα, αἱ κατὰ τῶν ἀντιθέων Γιγάντων καὶ δαιμόνων νίκαι καὶ μονομαχίαι, ἡ κατὰ τοῦ πρωτοστάτου αὐτῶν Ῥαβάνα ἐκστρατεία καὶ νίκη, ἡ εἰς τὸν πατρικὸν θρόνον ἐπάνοδος τοῦ ἥρωος μετὰ τῆς ἁρπαχθείσης συζύγου, ἡ ἀποπομπὴ αὐτῆς ὕστερον, καὶ ὁ θάνατος τῆς Σιτᾶς, καὶ αὐτοῦ τοῦ ἰδίου (ὃς ἦν ὁ ἐναντθρωπήσας Βισνοῦς) ταῦτα, λέγω, ἀποτελοῦσι τὸ πλειότερον καὶ περιεργότερον μέρος τοῦ ποιήματος. Ὥστε ἡ Ῥαγκοῦ-Βάνσα ἐστὶ συντομὴ, οὕτως εἰπεῖν, τῆς Ῥαμαϊάνας, ὡς ἡ ἐκδοθεῖσα παρ' ἡμῖν Βαλαβαράτα, τῆς Μαχαβαράτας.

Ἐξ ὅσων ἐδημοσιεύσαμεν μέχρι τοῦδε ὁ ἀναγνώστης λαμβάνει ὁπωσοῦν μικράν τινα γνῶσιν τῆς ἰνδικῆς ποιήσεως. Καθότι ὁ μὲν πρόδρομος τῆς παρούσης συλλογῆς περιέχει διαφόρων ποιητῶν καὶ φιλοσόφων γνωμικὰ, ἠθικὰ, οἰκονομικὰ καὶ πολιτικὰ ἀποφθέγματα, καὶ ἠθικῆς φιλοσοφίας παραγγέλματα· ἡ Γιτὰ ἀναπτύσσει τὰς περὶ πανθεϊσμοῦ καὶ θεοσοφίας Ἰνδῶν ὑψηλὰς θεωρίας· ἡ δὲ Βαλαβαράτα, καὶ ἡ παροῦσα Ῥαγκοῦ-Βάνσα διαλαμβάνουσιν, ἐν συνόψει, τὰ δύο μεγάλα ἐπικὰ ποιήματα τῶν Ἰνδῶν, τὴν Ῥαμαϊάναν, λέγω, καὶ τὴν Μαχαβαράταν.

Πλὴν ἐκτὸς τῶν μέχρι τοῦδε ἐκδοθέντων τεσσάρων τόμων, ὑπάρχουσι καὶ ἕτερα ἀνέκδοτα, ὡς φαίνονται εἰς τὸν ἐκδοθέντα κατάλογον (1). Ταῦτα δὲ πάν-

(1) Ἴδε τὸν κατάλογον τῶν χειρογράφων, δημοσιευθέντα

τα, καίτοι ὑπερβαίνοντα τὰς δυνάμεις λίαν φιλοπόνου ἀνδρὸς (οἷος ἦν ὁ ἀοίδιμος Γαλανὸς), μόλις εἰσὶ τὸ πολλοστημόριον πραγματικῶς τῶν ἐν τῇ Ἰνδίᾳ Σανκριτικῶν φιλοσοφικῶν καὶ ἐπιστημονικῶν, ποιητικῶν καὶ φιλολογικῶν συγγραμμάτων, ἐξ ὧν πολλὰ μὲν μέχρι τοῦδε εἰς διαφόρους Εὐρωπαϊκὰς γλώσσας μετεφράσθησαν, ἢ πρωτοτύπως ἐτυπώθησαν (1). Πλειότερα δ' εἰσέτι εἰσὶν ἀνέκδοτα· πλεῖστα δ' ὅσα ἐξ ὁλοκλήρου ἠφανίσθησαν παρὰ τοῦ πανδαμάτορος χρόνου, καὶ οὐχ ἧττον παρὰ τῶν βαρβάρων κατακτητῶν τῆς Ἰνδικῆς, ἢ τῆς θρησκομανίας τῶν φανατιόντων αἱρεσιαρχῶν. Ἐκ τούτων ἁπάντων συμπεραίνει τις εὐκόλως τὴν ἀρχαιότητα, τὸν βαθμὸν τῆς διανοητικῆς ἀναπτύξεως, τοῦ πολιτισμοῦ, τοῦ μεγαλείου, καὶ τῆς δυνάμεως τοῦ Ἰνδικοῦ ἔθνους, ὅπερ καὶ ὁ Ἡρόδοτος, φαίνεται, βεβαιοῖ εἰπών· « Θρῃϊκὸν γένος »μέγιστον μετάγε Ἰνδούς. » Ἡ ἔρευνα ἑπομένως τῆς πλουσίας αὐτοῦ γλώσσης, φιλοσοφίας, καὶ φιλολο-

---

εἰς τὴν ἀρχὴν τοῦ Προδρόμου τῶν Ἰνδικῶν μεταφράσεων· ἐξ αὐτοῦ συμπεραίνει ὁ ἀναγνώστης, ἐκτὸς τοῦ κόπου, ὁποία ἀπαιτεῖται δαπάνη. Ὥστε ἄνευ τῆς καλοκἀγάθου συνδρομῆς τῶν φιλομούσων ἀνδρῶν ἀδύνατον ἵνα διεκπεραιωθῇ ἅπαν τὸ ἔργον.

(1) Ὅρα τὴν κατὰ τὸ 1837 ἔτος ἐκδοθεῖσαν Σανσκριτικὴν Βιβλιοθήκην Ἀδόλφου τοῦ Ἀδελούγκ, εἰς ἣν ἀναφέρονται τὰ μέχρι ἐκείνης τῆς ἐποχῆς γνωστὰ Ἰνδικὰ πολυάριθμα συγγράμματα, καὶ μεταφράσεις. Ἀλλ' ἔκτοτε μέχρι τοῦδε ηὔξησεν ὁ ἀριθμὸς, καὶ καθεκάστην αὐξάνει, ὡς φαίνεται εἰς τὰς Ἀσιατικὰς ἐφημερίδας, τὰς Ἀσιατικὰς ἐρεύνας, χρηστομαθείας, Ἰνδικοὺς καταλόγους, κ.τ.λ.

γίας ἐξηγήσει τὴν ἀρχὴν τῆς γραμματικῆς, τῆς μυθολογίας, καὶ τὴν πρόοδον τοῦ ἀνθρωπίνου νοός· διαλύσει τὴν ἀπάτην, εἰς ἣν ὑπέπεσον πολλάκις αἱ φιλοσοφικαὶ σχολαὶ τῆς παρελθούσης Ἑκατονταετηρίδος, καὶ σαφέστερον ἐξηγήσει τὴν καθολικὴν ἱστορίαν, καὶ τὴν βραδεῖαν μὲν, σταθερὰν δὲ πορείαν τῆς ἀνθρωπότητος.

Ἡ Ῥαγκοῦ-Βάνσα, ἐπικὸν καὶ γενεαλογικὸν ποίημα τοῦ Καλιδάσα, τοῦ κορυφαίου δραματοποιοῦ τῶν Ἰνδῶν, θεωρεῖται ὡς ἓν τῶν ἀξιολογωτέρων ποιημάτων τῆς Ἰνδικῆς φιλολογίας (1), καὶ παρὰ τῶν δοκιμωτέρων Ἰνδολόγων θαυμάζεται (2). Τὸ μὲν ποίημα διαιρεῖται εἰς δέκα καὶ ἐννέα κεφάλαια, ἢ ῥαψῳδίας· ἄρχεται δὲ ἀπὸ τῆς βασιλείας τοῦ ἡλιογενοῦς Διλήπα, ὃς ἦν πατὴρ τοῦ Ῥαγκοῦ, καὶ οὗτος, τοῦ Ἄζα, ὅστις ἔσχεν υἱὸν τὸν Δασσαράταν, ἐξ οὗ κατάγονται οἱ Δασσαρατίδαι, ὧν πρῶτος ἐστὶν ὁ ἥρως Ῥάμας, οὗτινος τὰ ἄθλα κατέχουσιν, ὡς ἐῤῥέθη, τὸ πλεῖστον μέρος τοῦ παρόντος ποιήματος. Τελειόνει δὲ μέχρι τοῦ τρυφηλοῦ

---

(1) Das Heldengedicht Raghuvansa, geschlecht des Ranghu, oder Rama, hat den berühmten Kâlidassa zum Verfasser, und wird für eins des bewundernswürdigsten Produkte der Indischen Literatur gehalten. (Adel. Bibl. Sanscr. p. 258).

(2) Raghuvansam hodie etiam ab Indis inter praeclarissima antiquitatis monumenta haberi, λέγει ὁ κλεινὸς Κολεβρώκιος, καὶ ἀναφέρει ὁ Στενζλέρος εἰς τὸ προοίμιον τῆς παρ' αὐτοῦ ἐκδοθείσης λατινικῆς μεταφράσεως τῆς Ῥαγκοῦ-Βάνσας.

Ἀγνιβάρνα, διερχόμενος ὁ ποιητὴς ΚΘ' Βασιλέων τὴν διαδοχικὴν σειράν.

Τὸ Σανκριτικὸν χειρόγραφον τῆς Ῥαγκοῦ-Βάνσας εὑρίσκεται εἰς τὴν βιβλιοθήκην τῆς ἐν Λονδίνῳ Ἀσιατικῆς ἑταιρίας (1). Ὁ Περικλεὴς Κολεβρώκιος ἐδημοσίευσε σύντομον ἀνάλυσιν ἐν ταῖς Ἀσιατικαῖς ἐρεύναις κατὰ τὸ 1821 ἔτος (2). Τῷ δὲ 1827 ἐτυπώθη ἐν Καλκούτᾳ τὸ Σανκριτικὸν πρωτότυπον ὑπὸ τὴν ἑξῆς ἐπιγραφήν· « Ῥαγγοῦ-Βάνσα, Σανκριτικὸν ἱστορικὸν ποίημα (3). Ὁ δὲ Ἰνδολόγος Ἀδόλφος Φ. Στένζλερος, μεταφράσας αὐτὸ λατινιστί, ἐδημοσίευσε μετὰ τοῦ κειμένου τῷ 1832 (4).

Ἡ Ῥαγκοῦ-Βάνσα δὲν μετεφράσθη ἐξ ὁλοκλήρου γαλλιστί, ἀλλὰ μόνον δύο ἐπεισόδια· ἤτοι ὁ θάνατος τοῦ Ἰαδιναδάτα, καὶ ὁ θάνατος τῆς Ἰνδουματῆς. Τὰ ἐπεισόδια ταῦτα πλήρη ποιητικῆς καλλονῆς, κινοῦσι δραστη-

---

(1) Adel. Bibl. sanscr. σελ. 258.

(2) Asiat. Researches T. X. p. 426.

(3) The Raghu-Bansa a Sanskrit historical. Poëme. Calcuta 1827.

(4) Raghu-Bansa. Kalidassa carmen Sanskrite et Latine edid. A. J. Stentzler. London 1832. Τὴν ἔκδοσιν ταύτην χρεωστῶ εἰς τὸν ζῆλον τοῦ φιλομούσου Κ. Ζ. Τζιτζίνια, Ἑλληνικοῦ προξένου ἐν Μασσαλίᾳ, ὅστις οὐδέποτε ἔπαυσεν εὐεργετῶν τὴν Βιβλιοθήκην ἡμῶν, καὶ εἰς τὴν φιλογένειαν τοῦ ὁποίου χρεωστοῦμεν τὰ πέντε ἐπιστημονικὰ περιοδικὰ συγγράμματα, ἅτινα λαμβάνει πρὸ τριῶν ἤδη ἐτῶν τὸ ἀνώτατον τοῦτο ἐκπαιδευτικὸν Κατάστημα.

ρίως τὴν συμπάθειαν, καὶ τὴν τραγικὴν εὐαισθησίαν τοῦ ἀναγνώστου ἐγείρουσι. Τὸ πρῶτον ἀναφέρει ἐν παρόδῳ ὁ ποιητὴς, καὶ κατ' ἔκτασιν ἐπροσθέσαμεν ἐν τῷ τέλει τῶν παρόντων προλεγομένων· τὸ δὲ δεύτερον εὑρήσει ὁ ἀναγνώστης ἐν αὐτῷ τῷ κειμένῳ τοῦ ὀγδόου κεφαλαίου.

Ὁ συγγραφεὺς τῆς Ῥαγκοῦ-Βάνσας ἐστὶν, ὡς ἐρρέθη, ὁ ποιητὴς Καλιδάσας, ὅστις ἐκτὸς τῶν τραγῳδιῶν, καὶ τοῦ παρόντος ποιήματος, συνέγραψε καὶ ἕτερα ἐπικὰ ποιήματα, λίαν θαυμαζόμενα παρά τε τῶν Ἰνδῶν, καὶ τῶν Ἰνδολόγων Εὐρωπαίων. Εἰσὶ δὲ καὶ ἕτερά τινα τοιαῦτα ποιήματα· καθότι, ἐκτὸς τῶν δύο πρωτοτύπων μεγάλων ἐπικῶν ποιημάτων, Ῥαμαϊάνας, λέγω, καὶ Μαχαβαράτας, οἱ Παντῖδαι (σοφοὶ τῶν Ἰνδῶν) θεωροῦν ὡς ἐπικὰς ἐπίσης ποιήσεις ἑτέρας ἓξ 1ον· Τὴν Σαμβάδαν ἢ γένεσιν τοῦ Ἄρεως, εἰς 7 ἄσματα, παρὰ τοῦ Καλιδάσα· 2ον τὴν Κιραταργουνιγίαν, ἢ θεῖον ὁπλισμὸν τοῦ Ἀρζούνα, παρὰ τοῦ Βαραβῆ· 3ον τὴν παροῦσαν Ῥαγκοῦ-Βάνσαν· 4ον τὴν Ναλαδιγίαν, ἤτοι τοὺς γάμους τοῦ Νάλα, εἰς 22 ἄσματα παρὰ τοῦ Σχριάρχα(1)· 5ον τὴν Συσχουπάλαν-Βάδαν, ἤτοι τὸν θάνατον τοῦ Συσχουπάλα, φονευθέντος παρὰ τοῦ Κρισνᾶ, εἰς 20 ἄσματα· καὶ 6ον τὴν Μεγαδούταν, ἤτοι τὴν νεφέλην ἐν πρεσβείᾳ παρὰ τοῦ Καλιδάσα (2).

Ἡ Ἰνδικὴ ἄρα ἐποποιία (Ἰτηχάσα) εἰς δύο διαιρεθῆναι δύναται· πρῶτον, εἰς τὰ ἀρχαῖα δύο μεγάλα ἐπι-

(1) Τινὲς λέγουσιν ὅτι ἡ Ναλαδιγία εἶναι ποίημα καὶ τοῦτο τοῦ Καλιδάσα. (Adel. αὐτόθι σελ. 262).

(2) Ἰδὲ τὴν περὶ Ἰνδικῆς ποιήσεως διατριβὴν τοῦ Κολεβρωκίου. Asiat. Resear. T. X. 1808.

κὰ ποιήματα, ἤτοι τὴν Ῥαμαϊάναν, καὶ Μαχαβαράταν, ποιήματα λίαν ἐκτεταμένα, πλήρη ἀρχαϊκῆς καλλονῆς καὶ ἀφελείας τοῦ διανοεῖσθαι καὶ ἐκφράζεσθαι, καὶ λαμπρᾶς αὐθορμήτου ἡρωϊκῆς ποιήσεως, ἅπερ καὶ μυθολογίαν, καὶ φιλολογίαν τοῦ ἔθνους ἐμόρφωσαν. Δεύτερον εἰς ἐπικὰ ποιήματα, σύντομα, μεταγενέστερα, ἐντέχνου καὶ κανονικῆς, οὕτως εἰπεῖν, ποιήσεως, εἰς ἃ ὑπερισχύει ἡ μίμησις, ὁ ῥυθμὸς, καὶ ἡ κομψότης. Τὰ μὲν καλοῦσιν οἱ Πανδῖται Ἀδικαβία· τὰ δὲ Καβία· εἰς τὸ πρῶτον ἀνήκει ἡ Ῥαμαϊάνα τοῦ Βαλμίκῃ, καὶ ἡ Μαχαβαράτα τοῦ Βεάσα· εἰς δὲ τὸ δεύτερον ἡ Ῥαγκοῦ-Βάνσα, καὶ τὰ λοιπὰ πέντε μεταγενέστερα ποιήματα. Ἡ παράδοσις τῶν ἄθλων ἀρχαίας τινὸς μεγάλης ἐθνικῆς ἐπιχειρήσεως, μεταβαίνουσα διὰ τῶν δημοτικῶν ἀσμάτων ἀπὸ γενεᾶς εἰς γενεὰν, φθάνει ἐπὶ τέλους εἰς θεσπέσιον τινὰ ποιητὴν, ὡς τὸν Ὅμηρον, τὸν Φερδευσῆ, τὸν Βαλμίκην, καὶ Βεάσαν, καὶ παράγει ἐν μὲν τῇ Ἑλλάδι τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν· ἐν τῇ Περσίᾳ, τὴν βίβλον τῶν Βασιλέων· καὶ ἐν τῇ Ἰνδίᾳ τὴν Ῥαμαϊάναν καὶ Μαχαβαράταν. Ἡ δὲ ἐποχὴ τῶν Καβίων, ἐστὶν ὁ χρόνος, καθ' ὃν ἡ αὐθόρμητος ποίησις ἐκ τῆς ἀρχαϊκῆς καὶ μεγαλοπρεποῦς ἀφελείας, εἰς τὴν ἐσκεμμένην, ἀκριβῆ καὶ ἔμμετρον μεταβαίνει περίοδον. Ἐν δὲ τῇ Ἰνδίᾳ ἡ Γιτὰ-Γοβίνδα, καὶ αἱ Πουράναι κατέχουσι, φαίνεται, τὴν μεταξὺ Ῥαμαϊάνας, καὶ Ῥαγκοῦ Βάνσας περίοδον.

Τῆς ἀπωτάτης ἀρχαιότητος πρωτότυπα ἐποποιίας κυρίως εἰσὶν ἡ Ἰλιὰς, καὶ ἡ Ῥαμαϊάνα· οὐδὲ διαφέρουσιν ἀλλήλους οἱ δύο οὗτοι θεσπέσιοι ποιηταὶ, εἰμὴ καθόσον διαφέρει ἡ τῶν τόπων καὶ χρόνων, καὶ ἡ τῶν

δύο ἐθνῶν φυσιογνωμία. Ὁ μὲν τὴν ἀρχαίαν Ἑλλάδα, ὁ δὲ τὴν ἀρχαίαν Ἰνδίαν περιγράφει· ἀμφότεροι δὲ μεγάλας ἐπιχειρήσεις, ἐθνικὰς ἐκστρατείας, μάχας ἡρώων, ἡμιθέων, καὶ αὐτῶν τῶν θεῶν ψάλλουσιν. Ἀμφότεροι εἰσήγαγον τὸν ἀνθρωπομορφισμὸν, προσωποποιήσαντες τὰς δυνάμεις τῆς φύσεως. Ἡ ἁρπαγὴ τῆς Ἑλένης παρὰ τοῦ Πάριδος, καὶ ἡ ἁρπαγὴ τῆς Σιτᾶς παρὰ τοῦ Ῥαβάνα κινοῦσι τὴν κοινὴν ἀγανάκτησιν, καὶ γίνεται ἡ πρόφασις μεγάλων ἐπιχειρημάτων, καὶ ταῦτα ἵνα πληρωθῇ ἡ τοῦ Διὸς, καὶ ἡ τοῦ Βράχμα βουλή. Ὁ μῦθος, τὸ σύμβολον, καὶ χαρακτήρ τις ἡρωϊκὸς μορφοῦσιν ἀμφότερα τὰ ποιήματα, καὶ τὴν φαντασίαν τοῦ ἀναγνώστου ἐκπλήττοντα κυριεύουσιν. Ἀλλὰ περὶ τούτου ἀκολούθως.

Νῦν δὲ περὶ τῆς Ῥαγγοῦ Βάνσας, ἥτις, ὡς ἐρρέθη, ἐπιτομή ἐστι τῆς Ῥαμαϊάνας, ὡς ἡ τοῦ Λεσβίου Λέσχου μικρὰ Ἰλιάς· πᾶσα δὲ ἐπιτομὴ μεταγενεστέρα ἐστὶ τοῦ πρωτοτύπου. Αὐθόρμητος, καὶ ἐν τῇ μεγαλοπρεπείᾳ αὐτῆς ἀφελὴς ἐστιν ἡ πρώτη· ἔντεχνος δ' ἡ δευτέρα, ἀκριβὴς καὶ ἐν τῇ μιμήσει αὐτῆς κομψὴ μετὰ ἁβρότητος καὶ ῥυθμοῦ. Ἐν δὲ τῷ συντόμῳ προοιμίῳ, ὅπερ ὡς κομψὰ προπύλαια καλλιτεχνικοῦ ναοῦ προέθετο ὁ Καλιδάσας ἐν τῇ ἀρχῇ τοῦ παρόντος ποιήματος, δεικνύει τὸν μέγαν ποιητὴν, τοῦ ὁποίου ἠκολούθησε τὰ ἴχνη.

« Ποῦ ἡ ἐξ Ἡλίου, λέγει, μεγάλη γενεὰ, καὶ ποῦ
» ἡ ἐμὴ μικρὰ γνῶσις; Μωρός ἐστιν ὁ βουλόμενος
» διαβῆναι ἐπὶ ἀσθενοῦς σχεδίας τὸν μέγαν ὠκεανόν....
» Ἀλλ' ἐξεστί μοι τοῦτο ποιῆσαι· διότι ἄλλος πρὸ ἐμοῦ
» (ὁ Βαλμίκης) ἐξιστόρησε. Καὶ τὸ ἀσθενὲς νῆμα διέρ-

» χεται διὰ μαργαρίτου, καὶ αὐτοῦ τοῦ σκληροῦ λίθου, » ὄντος τετρυπημένου πρότερον δι' ἄλλου ὀξέως ὀρ- » γάνου (1).

Ὥστε ὁ Καλιδάσας, ἠκολούθησε τὸν Βαλμίκην· ἤκμασε δὲ περὶ τὰ μέσα τῆς τελευταίας π. χ. ἑκατονταετηρίδος, σύγχρονος ὢν τοῦ Βασιλέως Βικρσμαδιτία, τελευτήσαντος περὶ τὸ 56 ἢ 57 ἔτος πρὸ τῆς γεννήσεως τοῦ Σωτῆρος (2).

---

(1) Ἴδε τὸ προοίμιον τῆς Ραγκοῦ-Βάνσας.

(2) Ἐνθυμεῖται βεβαίως ὁ ἀναγνώστης, ὅτι εἰς τὰ προλεγόμενα τῆς Γιτᾶς, σελ. ξή. λαβών, πρὸς πλειοτέραν σαφήνειαν, τὴν ἐποχὴν τοῦ Βικραμαδιτία, ὡς ἐγνωσμένον χρονολογικὸν σημεῖον, διέκρινα τέσσαρας φιλολογικὰς περιόδους τῆς Ἰνδίας, δύο π. Χ. καὶ δύο μ. Χ. Ἀλλ' ὁ ἐμβριθὴς τῆς Βόνης κριτικὸς, ὁ σοφὸς Λάσσενος, γράφων πρὸς ἐμὲ τὴν 2 Μαρτίου 1849 λέγει· « Καθόσον ἀφορᾷ τὴν διαίρεσιν τῶν » ἐποχῶν τῆς Ἰνδικῆς φιλολογίας, εἶμαι ἄλλης ἰδέας· κρίνω ὀρ- » θότερον ὅπως διαιρεθῇ εἰς τρεῖς περιόδους ἡ πρὸ τοῦ Βικρα- » μαδιτία φιλολογία. Εἰς τὴν ἀρχαιοτέραν ἀνήκουν οἱ τῶν » Βεδῶν ὕμνοι· εἰς τὴν δευτέραν, ὅσα ἀφορῶσι τὴν ἐξήγησιν » τούτων συγγράμματα, ὡς ἡ Βραμάνα, αἱ Οὐπανισάδαι, οἱ ἀρ- » χαιότεροι γραμματικοὶ, ἡ Πρατισακαΐα, καὶ προσέτι ἡ Νι- » ρούκτα τοῦ Ἰάσκα, ἥτις περιέχει τὴν ἐξήγησιν τῶν λέξεων τῶν » Βεδῶν. Ἡ περίοδος αὕτη λήγει, ὡς ἔγγιστα, περὶ τὰς ἀρχὰς » τῆς δυναστείας τοῦ Νάρδα, ἤτοι, κατ' ἐμὴν γνώμην, περὶ τὰ » 403 π. Χ. Ἡ συλλογὴ τῶν νόμων τοῦ Μανοῦ εἶναι, κατ' » ἐμὲ, ἀρχαιοτέρα τῆς χρονολογίας ταύτης· αἱ δὲ ἐποποιΐαι, » ὡς περιῆλθον εἰς ἡμᾶς, οὐ πολὺ ἀρχαιότεραι. Τοὺς λόγους » πρὸς ὑποστήριξιν τῆς γνώμης μου ταύτης θέλετε εὕρει ἐν

Οἱ λόγιοι τῶν Ἰνδῶν δοξάζουσιν, ὅτι ὁ Βικραμαδιτίας, προστάτης ὢν τῶν μουσῶν, τοὺς λογίους τιμῶν, καὶ τὰ φιλολογικὰ αὐτῶν ἔργα βασιλικῶς βραβεύων, μεγίστην ἔδωκε κίνησιν εἰς ἅπαντας τοὺς κλάδους τῆς ἐπιεπιστήμης· ὥστε καὶ ποιήματα ἐξαίσια καὶ συγγράμματα σπουδαῖα ἐπὶ τῶν ἡμερῶν αὐτοῦ ἐφάνησαν. Ὅθεν ἡ ἐποχὴ αὕτη θεωρεῖται ὡς ἡ ἐπισημοτέρα τῆς φιλολογικῆς Ἰνδίας, ὡς ἡ τοῦ Περικλέους ἐν Ἀθήναις, καὶ ἡ τοῦ Αὐγούστου ἐν Ῥώμῃ.

Μεταξὺ τῶν εἰς τὴν αὐλὴν τοῦ μονάρχου τούτου συναθροισθέντων διαβοήτων ἀνδρῶν ἐστι καὶ ὁ Καλιδάσας(1)

» τῷ πρώτῳ μέρει τῆς Ἰνδικῆς μου ἀρχαιολογίας, τῆς ὁποίας ἓν » ἀντίτυπον ἔπεμψα πρὸς ὑμᾶς διὰ τοῦ ἐν Λειψίᾳ φίλου. Ὡς » πρὸς τὴν φιλολογίαν μετὰ τὸν Βικραμαδιτίαν, εἶναι ἔτι δυ- » σκολώτερος ὁ προσδιορισμὸς τῶν ἐποχῶν. Ἡ δραματικὴ ποίη- » σις ἐξηκολούθησεν ἀκμάζουσα εἰς πολὺ μεταγενεςέρους χρό- » νους... Τὸ κατ' ἐμὲ ἤθελον προσδιορίσει τὰς ἐποχὰς τῆς δευ- » τέρας ταύτης περιόδου κατὰ τοὺς ἐπισήμους φιλοσόφους· » ἀλλὰ καὶ τούτων ἡ ἑκατονταετηρὶς εἶναι ἔτι ἀπροσδιόρι- » στος... Καθόσον ἀφορᾷ τοὺς 9 ἐπισήμους ἄνδρας, οἵτινες ἔζων » εἰς τὴν αὐλὴν τοῦ Βικραμαδιτία, εἶναι πολλὴ ἀμφιβολία κ.τ.λ. » Διὰ τὸν Καλιδάσαν πιςεύω, ὅτι ἀνήκει εἰς αὐτὴν τὴν ἐποχήν. » Εἰς αὐτὸν ἀνήκει ἡ Σακοντάλα, ἡ Βικραμυράνσα ἡ Μεγαδοῦτα, » καὶ πολλὰ πιθανῶς ἡ Ῥαγκοῦ-Βάνσα κ.τ.λ. ». Δημοσιεύων τὴν γνώμην τοῦ διασήμου τούτου ἀνδρὸς, ἀποδίδω τὰ τοῦ Καίσαρος τῷ Καίσαρι καὶ εἰλικρινῶς εὐχαριστῶ τὸν πολυμαθῆ σοφόν.

(1) Ἴδε προλεγόμενα τῆς Βαλαβαρ.

ὅστις τὴν Σακοντάλαν, τὴν Ῥαγγοῦ Βάνσαν, καὶ διάφορα ἄλλα ποιήματα συνέγραψεν.

Ἡ δραματικὴ ποίησις ἀπαιτεῖ τὴν γνῶσιν τῶν συγκινούντων τὴν καρδίαν παθῶν τε καὶ αἰσθημάτων· ἑπομένως παρουσιάζεται καὶ εὐδοκιμεῖ παρ' ἐμβριθοῦς ποιητοῦ, ὡς ὁ Σοφοκλῆς καὶ ὁ Καλιδάσας, εἰς ὥριμον ἐποχὴν, καὶ φιλόκαλον λαὸν, ὡς ἦν ἡ ἐπὶ Περικλέους καὶ Βικραμαδιτία. Καὶ τοιαύτη ἀνήκει εἰς τὴν τραγῳδίαν τοῦ Οἰδίποδος, καὶ τὴν τῆς Σακοντάλας (1), ἥτις καὶ λαμπρότητα ποιήσεως, καὶ ἁβρότητα ἰδεῶν καὶ αἰσθημάτων, καὶ κομψότητα φράσεως καὶ ῥυθμοῦ περιέχει· τὰ πάντα εἰσὶν ἐν ἁρμονίᾳ εἰς τὸ ἀπαράμιλλον τοῦτο δράμα, ὅπερ ἀναγνοὺς ὁ περικλεὴς Γέτης (Gœthe), καὶ θαυμάσας λέγει·

« Ἂν θέλῃς ἄνθη ἔαρος, καρποὺς τοῦ φθινοπώρου,
Πᾶν τὸ εὐφραῖνον, τὸ τερπνὸν, τὸ τέρπον μέχρι κόρου,
Γῆν, οὐρανὸν, μ' ἓν ὄνομα, ἂν θέλῃς νὰ συμπλέξῃς,
Τὴν *Σακοντάλαν*, ὡς εἰπῇς, τὰ πάντα λέγ' ἡ λέξις (2).

Ἐκ τούτων συμπεραίνεται, ὅτι ἡ Σακοντάλα, καὶ ἡ Ῥαγγοῦ-Βάνσα, συγγραφεῖσαι παρὰ τοῦ Καλιδάσα, ἀνήκουσιν εἰς τὴν λαμπρὰν περίοδον τοῦ Βικραμαδιτία· ὁ

---

(1) Ὁ ἐν Παρισίοις Κύριος Σχέσιος ἐδημοσίευσε τὸ κείμενον τῆς Σακοντάλας, καὶ τὴν γαλλικὴν μετάφρασιν. Τ. Ι. εἰς 4ον ἔλαβον δὲ καὶ ταύτην παρὰ τοῦ ἐν Μασσαλίᾳ Ἑλλ. Προξ. Κ. Ζ. Τζιτζίνια, ὃν εὐχαριστοῦμεν δημοσίως.

(2) Adel. Bibl. Sanscr. p. 314. Τὴν διὰ στίχων μετάφρασιν χρεωστοῦμεν εἰς τὴν φιλίαν τοῦ Κ. Ἀλ. Ῥ. Ῥαγκαβῆ.

δὲ ποιητὴς, καίτοι ἀκολουθήσας τὴν Ῥαμαϊάναν τοῦ Βαλμίκη, ἀντὶ μικρᾶς Ῥαμαϊάνας, Ῥαγκοῦ - Βάνσαν ὠνόμασε τὸ αὐθύπαρκτον ἀνὰ χεῖρας ἐπικοϊστορικὸν ποίημα.

Εἶπον ἐπικοϊστορικὸν ποίημα, καθότι εἶναι μεγίστης ἀπορίας ἄξιον, πῶς ἡ καθ' ὅλους σχεδὸν τοὺς κλάδους πλουσιωτάτη Ἰνδικὴ φιλολογία, στερεῖται παντάπασιν ἱστορικῶν συγγραμμάτων. Αἱ πηγαὶ τῆς ἱστορίας, καὶ αἱ τῶν χρονικῶν εὑρίσκονται ἐν τοῖς ἐπικοῖς ποιήμασι, καὶ ταῖς Πουράναις. Αἱ τελευταῖαι αὗται εἰσὶ μᾶλλον πραγματεῖαι Κοσμογονίας, Θεογονίας, Ἡρωογονίας κτλ. Καὶ ἐπειδὴ οἱ πρῶτοι προπάτορες τῶν ἡρώων τούτων ἀνάγονται, οἱ μὲν εἰς τὸν Ἥλιον, ἐξ οὗ οἱ Ἡλιογενεῖς· οἱ δὲ εἰς τὴν Σελήνην, ἐξ ἧς οἱ Σεληνογενεῖς, ἕπεται ὅτι καὶ αὗται τῶν γενεαλογικῶν Πινάκων αἱ πηγαί, οὖσαι μυθώδεις, οὐδεμίαν ἱστορικὴν βεβαιότητα ἔχουσιν. Αἱ γενεαλογίαι τῶν Ἰνδῶν συγκρίνονται, σχεδὸν, ὡς πρὸς τὰς μυθολογικὰς χρονολογίας, καὶ θεογονίας τοῦ Ἡσιόδου, Ὁμήρου, καὶ αὐτοῦ τοῦ Ἀπολλοδώρου· οὐχὶ δὲ καὶ ὡς πρὸς τὰς ἱστορικὰς συγγραφὰς τοῦ Ἡροδότου καὶ Θουκυδίδου.

Ἡ ποικιλοχαρὴς, φαίνεται, τῆς Ἰνδίας φύσις· ἡ ἐναρμόνιος καὶ πλουσία Σανσκρίτα γλῶσσα καὶ μυθολογία, καὶ ἡ εἰς τὸν θεωρητικὸν βίον δραστήριος κλίσις καὶ ἕξις τῶν Ἰνδῶν, ἐξῆψαν τὴν ποιητικὴν αὐτῶν φαντασίαν, ὥστε κατέστη ἡ κυριωτέρα τῆς ψυχῆς αὐτῶν δύναμις, ὑπερέχουσα, καὶ κυβερνῶσα, οὕτως εἰπεῖν, τὰς λοιπὰς αὐτῶν διανοητικὰς δυνάμεις. Εἶναι ἀκατανόητος ὁ βαθμὸς τῆς θεωρίας καὶ τῆς ἀσκήσεως, εἰς ὃν ἔφθασαν οἱ

γυμνοσοφισταί, οἱ ὑλόβιοι, καὶ θεωρητικοὶ τῶν Ἰνδῶν. Ὁ νευρικὸς ὀργασμὸς, καὶ ὁ ποιητικὸς ἑπομένως οἶστρος κατέλαβε τὴν ἱστορικὴν κρίσιν. Οἱ δὲ Περικλεεῖς Ἰῶνες καὶ Κολεμβρώκιος, μεγίστην ἐπ' ἰνδολογίᾳ δόξαν ἔχοντες, βεβαιοῦσιν ὅτι οἱ Ἰνδοὶ οὔτε κλίσιν εἰς τὴν ἱστορίαν, οὐδ' ἱστορικὸν νοῦν ἔσχον ποτέ (1). Ὁ λόγος διευθυνόμενος, οὐχὶ εἰς τὴν διάνοιαν, ἀλλ' εἰς τὴν φαντασίαν, εὐδοκιμεῖ μᾶλλον παρ' Ἰνδοῖς. Ὅθεν καὶ αὐτὸ τὸ λεξικὸν τοῦ Ἀμάρα-Σίγκα, καὶ αὐταὶ αἱ ἁπλούσταται ἐπιγραφαὶ, δι' ὧν παραχωρεῖται παρά τινος ἡγεμῶνος, πρός τινα πολίτην, τμῆμα μικρὸν γῆς, εἰσὶ γεγραμμέναι μετά τινος ποιητικοῦ ῥυθμοῦ, καὶ ἀσιατικοῦ ὄγκου· ὥστε ἡ ἱστορία τῶν Ἰνδῶν εἶναι ποιητικὴ, καὶ ἐνίοτε ἡ ποίησις αὐτῶν ἱστορικὴ, ὡς καὶ ἐν τῇ παρούσῃ Ῥαγκοῦ-Βάνσα, οὐδὲ διακρίνεται ἀκριβῶς ἡ γραμμὴ ἡ διαχωρίζουσα συνήθως τὸν ἐπιστημονικὸν, τοῦ ποιητικοῦ λόγου, ὡς παρατηρεῖται ἔντε τῇ ἀρχαίᾳ Ἑλλάδι, καὶ ἐν τῇ σημερινῇ ἑσπερίᾳ Εὐρώπῃ.

Ἐν τούτοις αἱ γενεαλογικαὶ περιγραφαὶ, ἐξ ὧν γέμουσιν αἱ Πουράναι, καὶ πάντα τὰ ἐπικὰ τῶν Ἰνδῶν ποιήματα, εἰσὶν ἀναγκαῖαι εἰς ἔθνη, ἅτινα διὰ θρησκευτικοῦ καὶ πολιτικοῦ νόμου εἰσὶ διηρημένα εἰς πατριὰς καὶ οἴκους, εἰς φυλὰς καὶ προνομιούχους τάξεις, ὡς ἐν τῇ Ἰνδίᾳ. Αἱ Βέδαι, καὶ αἱ θεσμοθεσίαι τοῦ Μανοῦ ἐξ ἀμνημονεύτων χρόνων διήρεσαν εἰς διαφόρους τάξεις ἅπαν

---

(1) Jones Asiat. researches T. I. p. 430. Καὶ T. IX. p. 398.

τὸ Ἰνδικὸν ἔθνος, καὶ θρησκευτικῶς ἅμα καὶ πολιτικῶς ἐμπόδισαν τὴν ἑτερομιξίαν. « Ἡ τετρακτὺς τῶν φυ-
» λῶν, λέγει ἐν τῇ Γιτᾷ ὁ Κρισνᾶς, (ὃς ἦν ὁ θεὸς Βισ-
» νοῦς) ὑπ' ἐμοῦ ἐγένετο· καὶ ὑπ' ἐμοῦ αἱ ποιότητες καὶ
» τὰ ἔργα ἑκάστης κατὰ μέρος προσδιωρίσθησαν. Πᾶσα
» οὖν ἑτερομιξία θεωρεῖται παράνομος· τὰ γὰρ νόμιμα
» τῆς φυλῆς φθείρονται ὑπὸ τῆς διαφθορᾶς τοῦ γένους.
» Τοῦ δὲ νομίμου φθαρέντος, τὸ ἄνομον ἐπιγίγνεται τῷ
» ὅλῳ γένει· αἱ μὲν γυναῖκες (διὰ τῆς ἑτερομιξίας)
» φθείρονται· τῶν δὲ γυναικῶν φθαρεισῶν, ἑτερογενεῖς
» καὶ νόθοι γίνονται· ἡ δὲ νοθεία, ᾅδου ἐστὶ πρόξενος.
» Οἱ δὲ παραβάται τῶν νόμων καὶ ἐθίμων τοῦ γένους
» καὶ τῆς φυλῆς, αἰωνίως ἐν ᾅδου μένουσιν. Οὕτως
» μανθάνομεν, λέγει, παρὰ τῶν ἱερῶν βιβλίων, ἤτοι τῶν
» Βεδῶν (1). »

Τὰ αὐτὰ διατάσσει καὶ ὁ Μανοῦς ἐν ταῖς θεσμοθεσίαις αὐτοῦ: (2). « Ὁ Βραχμὰν, νυμφευόμενος μετὰ
» Σούδρας γυναικὸς, κολάζεται· τὸ δὲ παιδίον χάνει
» τὴν Βραχμανικὴν χάριν (3) »· « Ἤδη, λέγει πάλιν,
» γινώσκετε τὰ εἴδη τῆς συζυγίας τῶν τεσσάρων τά-
» ξεων. Τὰ μὲν εἰσὶ καλὰ (τὰ ἐκ τῆς αὐτῆς φυλῆς)·
τὰ δὲ (ἑτερογενῆ καὶ ἐπίμικτα) εἰσὶ κακὰ καὶ ἐν τῷ

---

(1) Γιτὰ Κεφ. Α. δίστ. 40—44. Καὶ κεφ. Δ'. δίστ. 13.

(2) Lois de Manou, liv. I. δίστ. 13.

(3) Αὐτόθι βιβ. 3, δίστ. 13—17. Μανάβα Δαρμα-Σάστρα, ἢ πολιτικαὶ καὶ θρησκευτικαὶ θεσμοθεσίαι τοῦ Μανοῦ, μεταφρασθεῖσαι ἐκ τοῦ Σανσριτικοῦ παρὰ Loiseleur Deslongchamps.

» παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι (1) ». Τούτων οὕτως ἐχόντων, ἡ γνῶσις τῆς καταγωγικῆς κλίμακος καθίσταται ἀναγκαία καὶ ἀναπόφευκτος, καθότι πᾶσα βασιλικὴ κόρη, μετὰ βασιλόπαιδος συζευχθῆναι δύναται. Ὅθεν εἰς τὰς Αὐλὰς τῶν βασιλέων ὑπῆρχεν ἐξ ἐπαγγέλματος Κλειδοῦχός τις, γινώσκουσα ἀκριβῶς τὴν γενεαλογικὴν καταγωγὴν ἑκάστου μνηστῆρος, ὡς παρατηρεῖται εἰς τὸν γάμον τῆς Ἰνδουματῆς (2). Ὁ βασιλεὺς Δουχμάντας εἶδε, κατὰ τύχην, τὴν Σακοντάλαν, καὶ ὑπὸ τοῦ ἐξαισίου αὐτῆς κάλλους ἐκπλαγείς, ἠρώτησεν ἐκ ποίας ἦν φυλῆς. « Ὁ πατὴρ αὐτῆς, εἶπον, ἐστὶν ὁ Ὅσιος Καυ-» σίκας, ὃς ὢν Ξατρὺς, καὶ ἐξ οἴκου βασιλικοῦ, ἀσκητικὸν » ὕστερον βίον ἐξελέξατο, καὶ διὰ τῆς ἐγκρατείας ὑπέρτε-» ρος παντὸς ἀσκητοῦ ἐγένετο. Τούτων οὕτως ἐχόντων, » ἐφώνησεν ὁ Βασιλεὺς, δύναμαι σύζυγον αὐτὴν λαβεῖν. » Ὥστε τῆς ἑτερομιξίας οὔσης ἀπηγορευμένης, ἡ γνῶσις τῆς καταγωγῆς ἑκάστου, καὶ ἑκάστης, καθίσταται ἀναγκαία. Ἐκ τούτου αἱ γενεαλογικαὶ σειραὶ, ἃς εἰς πᾶν σχεδὸν Ἰνδικὸν ποίημα ἁπανταᾷ ὁ ἀναγνώστης. Διὸ καὶ ὁ Καλιδάσας, ἐξυμνῆσαι θέλων ἐν συντόμῳ τὸν Ῥάμαν, Ῥαγκοῦ-Βάνσαν, ἢ γενεαλογίαν τοῦ Ῥαγγοῦ ὠνόμασε τὸ παρὸν ποίημα. Τοὺς δὲ προγόνους, καὶ μάλιστα τοὺς ἀπογόνους τοῦ Ῥάμα, λίαν συντόμως ἐξιστόρησε· κα-

(1) Αὐτόθι. δίστ. 20.

(2) Ῥαγγοῦ Βάνσα. Κεφ. Η'. σελ. 73, δίστ. 20. « Ἐν-» ταῦθα ἡ Ῥαβδοῦχος θεραπαινὶς, γινώσκουσα τὰς πράξεις καὶ » τὰς γενεὰς τῶν βασιλέων, ἀγαγοῦσα τὴν Ἰνδουματὴν ἐπὶ » τὸν βασιλέα τῆς Μαγάδδας, ἐφώνησεν· οὗτός ἐστιν κ.τ.λ.

θότι ἀπὸ τοῦ πρώτου Κεφαλαίου μέχρι τοῦ δεκάτου, ἐξιστορεῖ τοὺς προπάτορας τοῦ ἥρωος, ἤτοι τὸν ἡλιογενῆ Διλήπαν, τὸν Ῥαγγοῦν, τὸν Ἄζαν, καὶ τὸν Δασσαράταν. Ἀπὸ δὲ τοῦ δεκάτου, μέχρι τοῦ δεκάτου ἕκτου, διαλαμβάνει τὰ κατὰ Ῥάμαν· ὥστε μόλις ἐν τοῖς τρεῖς ἑπομένοις Κεφαλαίοις, τὰ περὶ τῶν τεσσάρων καὶ εἴκοσι διαδόχων τοῦ Ῥάμα βασιλέων ἀναφέρει. Τὸ πλεῖστον ἑπομένως καὶ κυριώτερον μέρος τοῦ ποιήματος, τὰ περὶ τὸν Ῥάμαν διαπραγματεύεται.

Ἀλλ' ἡ ἀκόλουθος Σύνοψις τοῦ ὅλου ποιήματος, καὶ αἱ μετ' αὐτὴν παρατηρήσεις παρέξουσι καθαρωτέραν γνῶσιν τῆς παρούσης ποιήσεως.

ΠΕΡΙΛΗΨΙΣ ΤΗΣ ΡΑΓΓΟΥ-ΒΑΝΣΑΣ

(ΓΕΝΕΑΛΟΓΙΑΣ ΤΟΥ ΡΑΓΓΟΥ).

Οὐ δύναμαι (α) ἐξιστορῆσαι τὴν ἐξ Ἡλίου καταγομένην μεγάλην γενεὰν τοῦ Ῥαγγοῦ. Νήπιός ἐστιν ὁ θέλων ἐπὶ ἀσθενοῦς σχεδίας τὸν μέγαν διαπλεῦσαι ὠκεανόν. Κατ' εὐτυχίαν ἄλλος ποιητὴς αὐτὴν περιγράψας, εὐκόλυνε τὴν τῶν μεταγενεστέρων πορείαν. Καὶ τὸ εὐλύγιστον νῆμα διέρχεται τὴν ὀπὴν τοῦ σκληροῦ μαργαρίτου, ὃν περ διεπέρασε προηγουμένως σιδηροῦν ὀξὺ ὄργανον.

§. 1. Ὁ Ἡλιογενὴς Μανοῦς, πρῶτος τῶν βασιλέων,

(α) Ὁ Καλιδάσας ἄρχεται δι' ἑνὸς προοιμίου ἐκ δέκα Σλοκῶν ἢ διστίχων.

ἔσχεν υἱὸν καλούμενον Διλήπαν. Οὗτος διαδεχθεὶς τὸν πατρικὸν θρόνον, ἐκυβέρνα τοὺς μὲν λαοὺς διὰ τῆς δικαιοσύνης, τοὺς δὲ θεοὺς ἐθεράπευε διὰ τῆς ὁσιότητος. Ὢν δὲ ἄτεκνος, ἐγκατέλιπε τὴν βασιλείαν εἰς τοὺς ἑαυτοῦ ὑπουργούς· αὐτὸς δὲ μετὰ τῆς βασιλίσσης συζύγου του Σουδαξινᾶς ἐπορεύθη εἰς τὴν μονὴν τοῦ ὁσίου Βασίστα, ὅπως τὴν χάριν αὐτοῦ ὑπὲρ τεκνογονίας δεηθῶσιν. Ὁ δὲ, γνοὺς ἐν θεωρίᾳ τὸ αἴτιον, εἶπε πρὸς τὸν βασιλέα· « Σὺ, ἀπαντήσας ποτὲ τὴν Σουραββὴν (6), » παρῆλθες. Ἡ δὲ κατηράσατό σου ἐπὶ ἀτεκνίᾳ· ἐξιλεω- » θήσεται δὲ, ἐὰν θεραπεύσῃς τὴν ἑαυτῆς θυγατέρα, » δάμαλιν Νανδινήν. Περιποιήθη τι οὖν ταύτην, ἕως » ἂν εὐμενὴς ὑμῖν γένοιτο. » Οἱ δὲ ὑπακούσαντες, κατέλυσαν ἐν καλύβῃ, θεραπεύοντες τὴν δάμαλιν.

§. 2. Τῇ ἐπαύριον ὁ βασιλεὺς, λύσας τὴν δάμαλιν, ἐπορεύθη μετ' αὐτῆς εἰς νομὴν, ἀκολουθῶν αὐτὴν ὡς ἡ σκιὰ τῷ σώματι. Τρὶς ἑπτὰ κατὰ συνέχειαν παρῆλθον ἡμέραι· τὴν δ' εἰκοστὴν δευτέραν ἡ δάμαλις εἰσέδυ εἰς φάραγγα τοῦ ὄρους Ἰμαοῦ, ἔνθα λέων τις ἐπιπεσὼν ἥρπασεν· τοῦ δὲ Διλήπα, θέλοντος τὸ τόξον ἐντεῖναι, ἔμεινεν ἡ χεὶρ αὐτοῦ ἀκίνητος. Τότε ὁ λέων, λαλήσας ἀνθρωπείᾳ φωνῇ, εἶπεν· « Εἰς μάτην ἀγωνίζεσαι, ὦ βα- » σιλεῦ· ὑπηρέτης γὰρ ὢν ἐγὼ τοῦ Σίβα, κατ' ἐμοῦ » ὀργισθέντος, μετέβαλεν εἰς ταύτην τὴν λεόντειον φύ- » σιν. Ἡ δάμαλις ἡδεῖά μοί ἐστι τροφή· σὺ οὖν ἄπελ- » θε. » Ὁ δὲ, « Ἄφες, εἶπε, τὴν δάμαλιν τοῦ ὁσίου·

(6) Πρωτογενῆ θεὰν Δάμαλιν.

» θεράπευσον δὲ τὴν σὴν πεῖναν διὰ τῆς ἐμῆς σαρκός.» Ὁ » δ' ἀπήντησε· «Σὺ ἀπερίσκεπτος εἶ, δοῦναι βουλόμενος » ἀντὶ μιᾶς δαμάλεως, ζωὴν καὶ βασιλείαν· ζῶν δὲ, πο- » λὺν λαὸν, ἐκ πολλῶν δεινῶν διασώσῃς· πολλὰς δὲ » δαμάλεις τῷ ὁσίῳ χαρίσῃς. » Ὁ δὲ βασιλεὺς εἶπεν· « Ἐγώ εἰμι ἐκ τῆς φυλῆς τῶν Ξατρῶν (πολεμιστῶν)· ἀνω- » φελής μοι ἐστὶν ὁ βίος μετὰ ψόγου· ἄτιμος λογίζε- » ται ὁ ὑποχωρῶν ἄνευ ἀγῶνος καὶ τραυμάτων. Μὴ » φροντίζων οὖν περὶ τοῦ φθαρτοῦ τούτου σώματος, » ἀλλὰ περὶ τοῦ ἀϊδίου κλέους, ἄφες τὴν δάμαλιν τοῦ » ὁσίου, καὶ φάγε τὰς ἐμὰς σάρκας. » Καὶ ὁ μὲν λέων, πεισθείς, « Ἔςω, ἔφη, οὕτως· » ὁ δὲ Διλήπας παρέδωκε τὸ ἑαυτοῦ σῶμα εἰς βρῶσιν τῷ λέοντι. Τότε βροχὴ ἀνθέων ἔπεσεν οὐρανόθεν ἐπὶ τὸν βασιλέα, καὶ φωνῆς ἤκουσεν· « Ἀνάςα, λεγούσης, τέκνον· ἥσθην διὰ τὴν πρὸς τὸν ὅσιον » εὐλάβειαν, καὶ τὴν πρὸς ἐμέσου εὐσπλαγχνίαν· αἴ- » τησον οἵαν ἐπιθυμεῖς χάριν. » Ὁ δὲ ἀναστὰς, καὶ τὴν δάμαλιν ἐλευθέραν ἰδὼν, ᾐτήσατο υἱόν. Ἡ δὲ, « Ἔς ω, » ἔφη, ἄμελξον τὸ ἐμὸν γάλα καὶ πίε αὐτό.» Οὕτως λαβὼν ἄδειαν παρὰ τοῦ Βασίστα, ἔπιε τὸ ἐναπολειφθὲν γάλα ἐκ τῆς τροφῆς τοῦ μόσχου, καὶ ἐκ τῆς πρὸς τὸ πῦρ σπονδῆς, καὶ ἀνεχώρησεν εἰς τὰ ἴδια μετὰ τῆς βασιλίσσης, ἐχούσης ἐν γαστρί. Χρόνου δὲ παρελθόντος, ἡ Σουδεξινὰ ἔτεκεν υἱόν, ὃν ἐκάλεσαν Ῥαγγοῦν, ὅπερ κίνησιν δηλεῖ. Μετὰ δὲ τὴν τελετὴν τῆς Βραχμασούτρας, οἱ μὲν Βραχμᾶνες ἐδίδασκον τὸν παῖδα τὰ τῆς Βέδας, ὁ δὲ πατὴρ Διλήπας, τὴν τοξικὴν μετ' ἐπῳδῆς.

§. 3. Ὁ βασιλεὺς λαβὼν τὸν νέον Ῥαγγοῦν συμ-

βοηθὸν τῆς βασιλείας, καὶ ἐπιθυμῶν, μετὰ τὰς 99 Ἱπποθυσίας, τὴν ἑκατοστὴν τελέσαι, φύλακα τοῦ ἱεροῦ Ἵππου αὐτὸν ἀνεδείξατο. Ἀλλ' ὁ θεὸς Ἴνδρας, φθονήσας τὴν τοσαύτην ὁσιότητα τοῦ βασιλέως, ἥρπασε κρυφίως τὸν ἵππον. Ἐν ἀπορίᾳ οὖν πάντων ὄντων, ὁ υἱὸς τοῦ Διλήπα, νιψάμενος τοὺς ὀφθαλμοὺς τῷ τῆς δαμάλεως τοῦ Βασίστα οὔρῳ, ἔγνω τὸν ἀφελόμενον τὸν ἵππον, πρὸς ὃν εἶπεν· « Ὦ Ἴνδρα, πῶς Θεὸς ὤν, ἐμποτ-» δίζεις τὴν θυσίαν τοῦ ἐμοῦ πατρός; εἰ σὺ ἐναντίος » ᾖ τῶν νομίμων, ὄλλυται ὁ νόμος ». Ὁ δὲ Ἴνδρας ἀπεκρίνατο· « Ἐγώ εἰμι Σατακρατοῦς, ἤτοι τελεσιουρ-» γὸς ἑκατὸν θυσιῶν· πῶς ὁ σὸς πατὴρ ἐπιχειρεῖ ὅμοιος » ἐμοὶ γενέσθαι; » Ὁ δὲ μὴ πειθόμενος ἀπήντησεν· « Ἐπιλαβοῦ ὅπλων, » καὶ ῥίψας τὸ βέλος ἔτρωσε τὸν Ἴνδραν κατὰ τὸ στῆθος, ὃς ἀντέτρωσε τὸν Ῥαγγοῦν μεταξὺ τῶν βραχιόνων· ὁ δὲ ἐνέπηξεν ἕτερον εἰς τὴν χεῖρα, καὶ διὰ τοῦ τρίτου διέτεμε τὴν σημαίαν καὶ τὴν χορδὴν τοῦ τόξου τοῦ Ἴνδρα, τῶν θεῶν καὶ τῶν ἡρώων θεωρούντων. Ὁ δὲ θεὸς μέγα ὀργισθεὶς ἔῤῥιψε τὸν κεραυνὸν κατὰ τοῦ Ῥαγγοῦ, ὅστις πεσὼν εἰς τὴν γῆν μετ' ὀλίγον ἠγέρθη. Ὁ Ἴνδρας ἡσθείς, « Αἴτησον, εἶπε, χάριν ἄλλην, » ἐκτὸς τοῦ ἵππου· ὁ ἐμὸς ἀγγελιοφόρος ἀναγγελεῖ τὰ » γεγονότα τῷ σῷ πατρί. » Οὕτως ὁ Διλήπας, ἐπαινέσας τὴν ἀνδρείαν τοῦ υἱοῦ, καὶ τὴν πληγὴν θεραπεύσας, παρέδωκεν αὐτῷ τὴν βασιλείαν· αὐτὸς δὲ εἰς τὴν ἔρημον ἀνεχώρησεν.

§. 4. Ὁ Ῥαγγοῦς, ἀναδεξάμενος τὴν βασιλείαν καὶ καλῶς τὰ πάντα διατάξας, ἐξεστράτευσε μετὰ πολλῆς δυνάμεως, καὶ καθυποτάξας πᾶσαν τὴν χώραν τὴν πρὸς

ἀνατολὰς, ἐπέστη ἐπὶ τὴν ἀκτὴν τοῦ ὠκεανοῦ, κατετρόπωσε τοὺς ἐν Βαγκάλῃ βασιλεῖς, ἔστησε τρόπαια εἰς Περσίαν, καὶ εἰς τὸ βόρειον τῆς Ἰνδίας· ἐταπείνωσε τοὺς περὶ τὸν Ἰμαὸν οἰκοῦντας, καὶ ἐπιστρέψας νικητὴς τῶν τεσσάρων μερῶν τῆς γῆς τῆς Ἰνδίας, ἐτέλεσε τὴν μεγάλην θυσίαν, ἥτις Βισβαζίτα καλεῖται.

§. 5. Μετὰ τὴν βασιλικὴν ταύτην θυσίαν, ὃι ἦν ἐξεκενώθησαν πάντες οἱ θησαυροὶ, ἦλθεν ὁ Βραχμὰν Καούτσας αἰτῆσαι βοήθειαν, ὅτι διδαχθεὶς πᾶν εἶδος μαθήσεως παρὰ τῷ θείῳ Βαραταντοῦ, οὐκ εἶχεν ἀποδοῦναι τὰ δίδακτρα. Φιλοφρόνως μὲν ἐδέχθη αὐτὸν ὁ βασιλεὺς, ἀλλὰ λιτῶς· ἐξ οὗ ἐννοήσας ὁ Βραχμὰν τὴν ἀνέχειαν αὐτοῦ, « Παρὰ καιρὸν, εἶπεν, ἐλήλυθα· ὁ γὰρ ὅσιος » δεκατέσσαρα Κορόρια χρυσίου ζητεῖ, κατ' ἀναλογίαν » τῶν 14 μαθήσεων. Ὅθεν ἀπέρχομαι ». « Μεῖνον, » εἶπεν ὁ βασιλεὺς, ἕως ἂν τρόπον ποιήσωμαι », μελετῶν ὅπως κατὰ τοῦ Κουβέρα ἐκστρατεύσῃ. Ἑτοίμῳ δὲ ὄντι εἰς ἔξοδον, ἀνήγγειλον αὐτῷ οἱ θησαυροφύλακες ὅτι, βροχὴ χρυσίου πεσοῦσα, ἐπλήρωσε τὸ θησαυροφυλάκιον, ἐξ οὗ λαβὼν ὁ βασιλεὺς ἔδωκε τὸ ὁσίῳ Καούτσᾳ. Οὗτος πρὸς εὐγνωμοσύνην ηὐχήθη ὅπως ἔξῃ υἱὸν ὅμοιον αὐτῷ, καὶ ἀνεχώρησεν· ἡ δὲ βασίλισσα ἔτεκεν υἱὸν, ὃν Ἄζαν ὠνόμασαν. Οὗτος παιδευθεὶς πᾶσαν μάθησιν κατέστη περίβλεπτος. Ὁ δὲ βασιλεὺς τῆς Βιδάρβας χώρας ἐκάλεσε τὸν νεανίαν, θελων νυμφεῦσαι αὐτὸν μετὰ τῆς ἀδελφῆς αὐτοῦ, τῆς ὡραίας Ἰνδουματῆς. Ὁ Ῥαγγοῦς ἐξαπέστειλε τὸν υἱὸν μετὰ πολλῆς θεραπείας· οὗτος δὲ ἐλθὼν ἐστρατοπέδευσε παρὰ τῇ ὄχθῃ τῆς Ναρμαδᾶς. ἀλλ' αἴφνης ἄγριός τις ἐλέφας ἀνέδυσεν ἐκ τῶν πο-

ταμίων ὑδάτων, φερόμενος ἐπὶ τὴν ὄχθην ὡς ὄρος μέγα. Ἐπὶ τῇ θέᾳ τούτου ἅπασα ἡ στρατιὰ ἐταράχθη· οἱ δὲ ἵπποι διαῤῥήξαντες τὰ δεσμὰ ἔφευγον, τὰ δὲ ἅρματα ἀνετρέποντο, οἱ ἄξονες διερῥήγνυντο καὶ οἱ στρατιῶται ἦσαν ἐν ἀμηχανίᾳ. Ὁ δὲ βασιλόπαις, ἐντείνας τὸ τόξον, ἔτρωσε τὸν Ἐλέφαντα κατὰ τὸ μέτωπον, ὃς πληγεὶς ἀφῆκε τὴν προτέραν μορφὴν καὶ λαβὼν ἀλλην οὐρανίαν, εἶπεν· « Ἐγώ εἰμι υἱὸς τοῦ Πριγεδαρσάνα, ἀρχηγοῦ τῶν » Γανδαρβῶν, ὄνομα δέ μοι Πριγεβάδας· ὑψίκομπος » δὲ ὢν, φύσιν ἔλαβον ἐλέφαντος ἐξ ἀρᾶς τοῦ ὁσίου » Ματάγκα, ἕως οὗ τρώσῃ ὁ Ἄζας τὸ μέτωπόν μου. » Ἤδη ὑπὸ σοῦ ἐλύθην τῆς ἀρᾶς· λάβε οὖν ὡς ἀμοιβὴν » τὸ βέλος τὸ καλούμενον Σαμμοχανὰμ, ὃ δι' ἐπῳδῆς » ῥίπτεται, καὶ πάλιν δι' ἐπῳδῆς ἐπιστρέφει ». Ὁ δὲ Ἄζας λαβὼν τὸ βέλος ἐπορεύθη εἰς τὴν πόλιν Βιδάρβαν, ἔνθα φιλικῶς ὑπεδέχθη αὐτὸν ὁ Βόζας.

§. 6. Ὁ Ἄζας ἐλθὼν εἰς τὰ βασίλεια εὗρε χορείαν βασιλέων ἐπιθυμούντων τὴν Ἰνδουματήν· καὶ αὕτη μὲν καθημένη ἐπὶ ἀνθρωποφόρου φορείου περιήρχετο τὴν σύνοδον εἰς αἵρεσιν νυμφίου· ἡ δὲ ῥαβδοῦχος ἐφώνει τὰ ὀνόματα, τὰς πράξεις, καὶ τὴν γενεὰν ἑκάστου. Ἀλλ' ἡ περίβλεπτος νέα, βλέπουσα καὶ μικρὸν χαιρετοῦσα παρήρχετο· προσελθοῦσα δὲ παρὰ τῷ υἱῷ τοῦ Ῥαγγοῦ, ἐξελέξατο τὸν Ἄζαν τῇ τῶν ὀφθαλμῶν ἱλαρᾷ βολῇ. Τότε ἡ ῥαβδοῦχος ἐπὶ τὸν τράχηλον αὐτοῦ τὸν ἐρυθροῦν ἔθετο στέφανον.

§. 7. Ὁ μὲν βασιλεὺς τῆς Βιδάρβας, συζεύξας τὴν ἀδελφὴν, ἀπέπεμψε τοὺς βασιλόπαιδας εἰς τὰ ἴδια· οἱ δὲ ἀποτυχόντες βασιλεῖς, συμφωνήσαντες ἁρπάσαι τὴν Ἰνδου-

ματὴν, ἀπέκλεισαν τὴν ὁδόν. Ὁ Ἄζας οὖν, τάξας ἱκανὴν στρατιὰν, καὶ τὸν πατρικὸν σύμβουλον εἰς φυλακὴν τῆς Ἰνδουματῆς, ἐκινήθη κατὰ τῶν ἡνωμένων βασιλέων. Μάχη δεινὴ συνεκροτήθη· ὁ μὲν γὰρ πεζὸς τῷ πεζῷ ἀντεμάχετο, ὁ δὲ ἱππεὺς τῷ ἱππεῖ, ὁ ἁρματηλάτης τῷ ἁρματηλάτῃ καὶ ὁ ἐλεφαντηλάτης τῷ ἐλεφαντηλάτῃ. Ἐν ταύτῃ τῇ συμπλοκῇ ἡ κόνις ἀπέκρυπτε τὸν ἥλιον, καὶ τὰ πτώματα τῶν νεκρῶν τὴν γῆν. Ἀμφιῤῥεποῦς δὲ οὔσης τῆς νίκης, οἱ μὲν βασιλεῖς ἐνώσαντες ἁπάσας τὰς αὐτῶν φάλαγγας προσέβαλον ἀθρόοι· ὁ δὲ Ἄζας, ῥίψας τὸ δοθὲν παρὰ τοῦ Γανδάρβα βέλος, ὑπνωτικὴν ἔχον δύναμιν, ἀπεκοίμισε τοὺς πολεμίους, καὶ γράψας ἐπὶ τῶν ἐχθρικῶν σημαιῶν, « ὁ Ἄζας ἐν πολέμῳ ἀφείλετο τὴν » εὔκλειαν ὑμῶν, ἀλλ' οὐ τὴν ζωὴν », διῆλθε τὴν στρατιὰν τοῦ ἐχθροῦ, καὶ ἔφθασεν εἰς τὰ ἴδια μετὰ τῆς Ἰνδουματῆς. Ὁ δὲ Ῥαγγοῦς, μαθὼν τὰ πάντα καὶ ἐπαινέσας τὴν ἀνδρείαν τοῦ υἱοῦ, παρέδωκεν εἰς αὐτὸν τὴν φροντίδα τῆς βασιλείας καὶ ἀπεσύρθη τῶν πραγμάτων.

§. 8. Ὁ Ἄζας, χειροτονηθεὶς βασιλεὺς καὶ ἑνώσας τὴν Βραχμανικὴν χάριν μετὰ τῆς Ξατρικῆς δυνάμεως, ἦν δυσανταγώνιστος. Ὁ μὲν Ῥαγγοῦς μετὰ ἀσκητικοῦ ἐνδύματος, καθήμενος ἐπὶ τῆς ἱερᾶς πόας Κούσσης, ἐθεώρει τὸ θεῖον φῶς· ὁ δὲ ἐπὶ τοῦ θρόνου διένειμε τὴν δικαιοσύνην καὶ τὴν εὐζωΐαν εἰς τοὺς λαούς. Καὶ ὁ μὲν μετά τινα χρόνον ἐτελεύτησεν· ὁ δὲ Ἄζας, κλαύσας τὸν πατέρα, ἐνησχολεῖτο εἰς τὸ ἑαυτοῦ ἔργον, τὴν εὐδαιμονίαν τῶν ὑπηκόων. Ἐγένετο δὲ εἰς αὐτὸν υἱὸς ἐκ τῆς Ἰνδουματῆς γενναῖος, Δασσαράτας καλούμενος,

ὅς ἐστιν ὁ πατὴρ τοῦ Ῥάμα, τοῦ ὀλετῆρος τοῦ δεκακεφάλου Ῥαβάνα.

Ὄντος δὲ τοῦ βασιλέως μετὰ τῆς βασιλίσσης ἐν κήπῳ πλησίον τοῦ ναοῦ τοῦ Σίβα, εἶδον καταβάντα ἐξ οὐρανοῦ τὸν θεῖον Ναράνδαν, ὑμνῆσαι θέλοντα τὸν θεὸν μετὰ κιθάρας. Σφοδρὸς δὲ πνεύσας ἄνεμος ἀφήρπασε τὸν ἐπὶ τῆς κιθάρας στέφανον, ὄντα ἐξ ἀνθέων οὐρανίων ὑπερφυοῦς εὐωδίας, καὶ ἔρριψεν αὐτὸν ἐπὶ τοῦ λαιμοῦ τῆς βασιλίσσης. Ἡ δὲ, αἰσθανθεῖσα τὴν θείαν ὀσμὴν, ἐλειποθύμησε, συνέπεσε δὲ καὶ ὁ βασιλεύς. Ἀλλ' ὁ μὲν μετ' ὀλίγον ἀνέλαβε τὰς αἰσθήσεις· ἡ δὲ Ἰνδουματὴ ἔμεινεν ἀναίσθητος. Εἰς μάτην ἐπροσπάθησεν ἵνα ἀναλέσῃ αὐτὴν εἰς τὴν ζωήν· ὅθεν ἀπελπισθεὶς ἤρξατο θρηνεῖν. « Διατὶ, εἶπεν, ἐγὼ ἐπανῆλθον εἰς τὴν ζωήν; Διατὶ ἡ » ἐμὴ ψυχὴ πορευθεῖσα κατ' ἀρχὰς ὄπισθεν τῆς συζύ- » γου, ἐπανέστρεψεν ἄνευ ἐκείνης; Ὑπόφερε τοιγαροῦν, » ὦ κακὴ ψυχὴ, τὸ μέγα τοῦτο δεινόν. Ἀπὸ τοῦδε ἡ » καρτερία μου κατέδυσεν, ἡ ἡδυπάθεια ᾠχετο, τὸ ἔαρ » ἄχαρί μοι ἐγένετο, καὶ ἡ κλίνη μου κενή ἐστι διὰ » παντός ».

Ἐν τούτοις ὁ ὅσιος Βασίστας ἔγνω τῷ νῷ τὰ πάντα· ὧν δὲ ἐν θυσίᾳ, ἔπεμψεν εἰς παρηγορίαν τὸν μαθητὴν αὐτοῦ, ὃς εἶπε τῷ βασιλεῖ· « Ὁ ὅσιος, γνωρίζων τά τε » ἐόντα πρὸ τ' ἐόντα, τάτ' ἐσόμενα τῶν ἐν τοῖς τρισὶ Κό- » σμοις, λέγει σοι ὅτι, ὁ Ἴνδρας φοβηθεὶς τὴν μεγίστην » ἄσκησιν τοῦ Τριναβινδοῦ, ἐξαπέστειλεν αὐτῷ τὴν θεὰν » Χαρινὴν εἰς ἀναίρεσιν τῆς θεωρίας αὐτοῦ· ὁ δὲ κατη- » ράσατο αὐτῆς εἰπών· « Ἔσο ἄνθρωπος· « ἡ δὲ εἶ- » πεν. » Ἐγὼ ἦλθον ὑπακούσασα εἰς τὸν Ἴνδραν· ὁ δὲ,

» Μένε ἄνθρωπος, ἔφη, ἕως ἂν ἴδῃς θεῖον » τινὰ στέφανον. Τότε ἐνσαρκωθεῖσα ἡ θεία νύμ- « φη, ἐγεννήθη ἐν τῇ γενεᾷ τῶν βασιλέων Βιδάρβας, » καὶ ἐγένετο γυνήσου· ἥδη δὲ ἰδοῦσα τὸν οὐράνιον » στέφανον ἐτελεύτησε. Μὴ οὖν λυποῦ· ὁ θάνατος αὐτῆς » ἦν ἄφευκτος, ἡ δὲ ζωὴ τυχαία ». Ὁ βασιλεὺς εὐχα- ριστήσας ἀπέπεμψεν αὐτόν· ἀλλ' ἐπειδὴ τὸ πάθος τῆς λύπης διέῤῥηξε τὴν καρδίαν αὐτοῦ, ὡς αἱ ῥίζαι διαῤῥη- γνύουσι τὸν τοῖχον, ἠσθάνθη τὸ τέλος αὐτοῦ, καὶ ἀνέδειξε τὸν Δασσαράταν βασιλέα. Ἀποθανὼν δ' ἐπορεύθη εἰς τὸν παράδεισον τοῦ Ἴνδρα, ἔνθα εὐφραίνετο ἄλυπον βίον μετὰ τῆς ἀγαπητῆς Ἰνδουματῆς.

§. 9. Μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς (α) ἐβασίλευ- σεν ὁ Δασσαράτας τοσοῦτον ἐμφρόνως καὶ δικαίως, ὥστε οἱ ἄνθρωποι δύο ὠνόμαζον εὐεργέτας, τὸν θεὸν Ἴνδραν καὶ τὸν Δασσαράταν. Ἀναρίθμητοι βασιλεῖς προσεκύνουν αὐτὸν τὸν νικητὴν τῆς γῆς, ὅστις συνεζεύχθη μετὰ τῶν θυγατέρων τῶν βασιλέων τῆς Μαγάδδας, τῆς Κοσάλης, καὶ τῆς Κεκαίας χώρας. Συμμαχήσας δέ ποτε τῷ Ἴνδρᾳ κατὰ τῶν ἀντιθέων Τιτάνων, ἠρίστευσε (β), καὶ τὸν Θεὸν προσκυνῶν, παρὰ πάντων αὐτὸς ἐπροσκυνεῖτο. Μετὰ δὲ τὴν ἑορτὴν τοῦ ἔαρος ἐπεθύμησε θηρεῦσαι· εἰσελθὼν οὖν εἰς πυκνὸν δάσος, πλῆρες ζώων θηρευσίμων, ὡς

(α) Ἀπὸ τοῦδε κυρίως ἄρχεται ἡ ὑπόθεσις τῆς Ῥαμαϊάνας.

(β) Ἐν τούτῳ τῷ πολέμῳ λαβὼν βαρεῖαν πληγὴν, ἐθερα- πεύθη παρὰ τῆς δευτέρας αὐτοῦ συζύγου Καουσσαλίας· εὐγνω- μονῶν δὲ πρὸς αὐτὴν, ὑπεσχέθη τὴν ἐκτέλεσιν δύο ὁποιωνδή- ποτε χαρίτων.

ἀγρίων χοίρων, βουβάλων καὶ λεόντων, ἐπλησίασε μέχρι τῆς ὄχθης τοῦ ποταμοῦ, ἔνθα ἀκούσας τοῦ γοργορισμοῦ στάμνου πληρουμένης ὕδατος, καὶ νομίσας ὅτι ἦν φωνὴ ἐλέφαντος, ἀφῆκε τὸ βέλος κατὰ τοῦ μέρους ἐκείνου· ἀλλ' αἴφνης ἀκούσας ὀδυνερᾶς φωνῆς, « Ὦ πάτερ » ἐταράχθη μεγάλως, καὶ προσελθὼν, εἶδε νεανίαν πεπαρμένον τῷ βέλει. Οὗτος ἦν ὁ μονογενὴς υἱὸς δύο ἀμμάτων ἀσκητῶν, πρὸς οὓς ἐξωμολογήθη, ὅτι ἐξ ἀγνοίας ἔπραξε τὸν ἀνόσιον τοῦτον φόνον. Οἱ μὲν πικρῶς ἐθρήνησαν, ὁ δὲ τὸ βέλος ἐξήγαγε· καὶ τὸ μὲν παιδίον ἐξέπνευσεν, ὁ δ' ἀσκητὴς κατηράσατο τοῦ βασιλέως, εἰπών. « Καὶ σὺ, ὡς ἐγὼ, ἐν γεροντικῇ ἡλικίᾳ θάνατον λήψῃ » ἐκ λύπης υἱοῦ. » Οὕτως ὁ βασιλεὺς ἐπέστρεψεν εἰς τ' ἀνάκτορα, ἔχων ἐν τῇ καρδίᾳ τὴν ὀλεθρίαν ταύτην ἀρὰν (γ).

§. 10. Ὁ Δασσαράτας ζήσας ἱκανοὺς χρόνους μετὰ τῶν τριῶν γυναικῶν, οὐκ ἔσχεν υἱόν· ὅθεν οἱ θεῖοι Βραχμᾶνες προσκληθέντες ἤρξαντο θυσίαν ὑπὲρ τεκνογονίας τελέσαι.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ, ἐνοχλούμενοι οἱ θεοὶ ὑπὸ τοῦ Ῥαβάνα (ἀρχηγοῦ τῶν πονηρῶν πνευμάτων Ῥασκάσων), κατέφυγον εἰς τὸν Βισνοῦν, ὃν εὗρον ἐν τῇ Γαλακτικῇ θαλάσσῃ, καθήμενον ἐπὶ τοῦ ὄφεως Σέσσα. Αὐτὸν οὖν προσκυνήσαντες ὕμνησαν ὡς μέγαν Θεὸν, ἀκατάληπτον, ἀμετάβλητον, καὶ ἀίδιον· « Σὲ ὑμνοῦσι πάντα τὰ ἔθνη,

---

(γ) Τὸ ἐπεισόδιον τοῦτο ἀναφέρω πλέον ἐκτεταμένως εἰς τὸ τέλος τῶν παρόντων προλεγομένων.

» καὶ πάντες οἱ λαοὶ τῆς γῆς, ὅτι αἱ δεήσεις τῶν πο-
» λυειδῶν θρησκειῶν πρὸς σὲ κατευθύνονται, ὡς οἱ ῥύακες
» τοῦ Γάγγου εἰσβάλλουσιν εἰς τὸν μέγαν ὠκεανόν ». Οὕτως ὑμνήσαντες οἱ θεοὶ τὴν μεγαλειότητα τοῦ ὑψίστου Βισνοῦ, καθικέτευσαν αὐτὸν, ὅπως ἀπαλλάξῃ αὐτούς τε καὶ τὸν κόσμον ἀπὸ τοῦ ἀντιθέου Ῥαβάνα. « Γινώσκω,
» ἔφη ὁ μέγας Θεὸς, ὅτι κατεπατήθη ἡ ἰσχὺς ὑμῶν ὑπὸ
» τοῦ γίγαντος Ῥαβάνα. Οὗτος γενήσεται παρανάλωμα
» τοῦ ἐμοῦ τροχίσκου· ὅθεν ἐνανθρωπίσας γενήσομαι
» αὐτὸς ἐγὼ υἱὸς τοῦ Δασσαράτα, καὶ τὸν Ῥαβάναν κατα-
» πολεμήσω. Ἐχέτωσαν ἡσυχίαν οἱ μάκαρες θεοί· ἐγὼ
» δ' ἐνσαρκωθήσομαι, καὶ σὺν ἐμοὶ ὁ Ἴνδρας καὶ ἄλλοι
» θεοὶ εἰς φύσιν πιθήκων καὶ ἄρκτων καὶ ἀετῶν, πρὸς ἀφα-
» νισμὸν τοῦ τε Ῥαβάνα καὶ τῶν μετ' αὐτοῦ κακοποιῶν
» δαιμόνων ἢ Ῥασκάσων ».

Ἐν τούτοις οἱ Βραχμᾶνες ἐτέλουν θυσίαν, προσευχόμενοι ὑπὲρ τεκνογονίας τοῦ Δασσαράτα· ἐν δὲ τῷ τέλει ἀνεφάνη ἐκ τοῦ πυρὸς νεανίας ὑπέρλαμπρος, κρατῶν ἀγγεῖον πλῆρες ὀρυζογάλακτος, θείαν ἔχοντος δύναμιν. Ὁ μὲν βασιλεὺς, δεχθεὶς τὸ ἔδεσμα, διεμερίσατο εἰς δύο ἴσα μέρη, καὶ ἔδωκε τῇ Καουσσαλίᾳ, καὶ Καϊκεγῇ, διατάξας αὐτὰς, ἵνα δώσῃ ἑκάστη ἓν μέρος τοῦ ἐδέσματος καὶ τῇ τρίτῃ αὐτοῦ γυναικὶ Σουμάτρᾳ. Αἱ δὲ τρεῖς γυναῖκες ὑπερφυῶς ἐκ τούτου συνέλαβον, ὅτι ὁ Θεὸς εἷς ὢν διεμερίσατο ἑαυτὸν, καὶ ᾤκησεν ἐν τρισὶ γαστράσι τετραειδής. Ἡ μὲν πρώτη ἔτεκεν υἱὸν, ὃν Ῥάμαν ἐκάλεσαν, ἡ δὲ δευτέρα ἔτεκεν ἐπίσης υἱὸν, ὃν ἐκάλεσαν Βαράταν· ἡ δὲ τρίτη, γευθεῖσα ἐκ τοῦ ἐδέσματος καὶ τῶν δύο, ἔτεκεν υἱοὺς διδύμους, οὓς ἐκάλεσαν Λαξμά-

ναν καὶ Σατρούγναν. Αὕτη ἐστὶν ἡ ἀγαθὴ τετρακτὺς τῶν υἱῶν τοῦ βασιλέως Δασσαράτα. Πᾶσα δὲ ἡ κτῆσις, θλιβομένη ὑπὸ τῶν κακοποιῶν δαιμόνων, ἐσκίρτησεν ἐπὶ τῇ ἐμφανίσει τοῦ τετραμόρφου Θεοῦ· τύμπανα θεῖα ἐκρούοντο ἐν οὐρανῷ, καὶ βροχαὶ οὐρανίων ἀνθέων ἔπιπτον εἰς τὸν οἶκον τοῦ Δασσαράτα. Ἡ ἀγαθότης, ἡ μεγαλοφυία, καὶ ἡ μάθησις ηὔξανε σὺν τῇ ἡλικίᾳ τῶν παίδων, ἅπερ ἡ αὐτὴ ἀδελφικὴ ἀγάπη ἤνωνεν· ἀλλ᾽ ὁ μὲν Ῥάμας ἐφίλει τῷ Λαξμάνᾳ μᾶλλον συνδιατρίβειν, ὁ δὲ Βαράτας τῷ Σατρούγνᾳ, ἐξ αἰτίας ἴσως τῆς μερίδος τοῦ ἐδέσματος, ὅπερ ἑκάστη τῶν δύο γυναικῶν τῇ τρίτῃ ἔδωκεν.

§. 11. Ὁ ὅσιος Βισβαμίτρας τελῶν θυσίαν ἐταράττετο παρὰ τῶν πονηρῶν δαιμόνων· ὅθεν ἐλθὼν, ᾔτησε παρὰ τοῦ βασιλέως Δασσαράτα τὸν Ῥάμαν, παῖδα μὲν ἔτι ὄντα, μεγαλόφρονα δὲ, πρὸς καταδίωξιν ἐκείνων καὶ διατήρησιν τῆς θυσίας ταύτης. Ἐλυπήθη μεγάλως ὁ πατὴρ, ἀλλ᾽ ἡ πρὸς τὸν ὅσιον εὐλάβεια ἦν ἀνωτέρα καὶ αὐτοῦ τοῦ πατρικοῦ φίλτρου· ἔδωκεν οὖν ὁ βασιλεὺς τῷ ὁσίῳ τὸν Ῥάμαν καὶ τὸν ἀχώριστον αὐτοῦ ἀδελφὸν Λαξμάναν. Τούτων προσπεσόντων τοῖς ποσὶ τοῦ βασιλέως, ὁ πατὴρ τὰς κεφαλὰς δάκρυσιν ἔβρεξε, καὶ ἀπέστειλεν αὐτοὺς μετὰ τοῦ Βισβαμίτρα. Καθ᾽ ὁδὸν δ᾽ ἀντέστη κατ᾽ αὐτῶν ἡ δαίμων Ταράκα, μαύρη, κρανία ὡς περιδέραιον, καὶ ἐντόσθια ἀνθρώπεια περὶ τὴν ὀσφὺν, ὡς ζώνην, ἔχουσα, καὶ νεκρικὰ ῥάκη φέρουσα. Αὕτη, λέγω, ὡς θύελλα ἐκ νεκρικοῦ τόπου ἐπῆλθε βιαίως ἐναντίον τοῦ Ῥάμα, ὃς ῥίψας εὔστοχον βέλος διεπέρασε τὸ στῆθος τῆς κακοποιοῦ δαίμονος. Καὶ ἡ μὲν πεσοῦσα ἔσεισε

τὴν γῆν· ὁ δὲ ὅσιος ἡσθεὶς ἔδωκε τῷ νικητῇ τὸ μετ' ἐπῳδῆς βέλος, ἀναιρετικὸν τῶν δαιμόνων. Τοὐντεῦθεν ἀφίκοντο εἰς τὸ ἀσκητήριον, ἔνθα ἤρξατο τῆς θυσίας, τῶν δύο ἀδελφῶν φυλαττόντων· ἀλλ' αἴφνης πληθὺς δαιμόνων προσελθοῦσα, ἐζήτει ἐμποδίσαι τὴν θυσίαν. Ὁ δὲ Ῥάμας, ἐπιθυμῶν τοὺς πρωτοστάτας τῶν δαιμόνων καταβαλεῖν, ῥίψας τὸ βέλος, ἔτρωσε τὸν Μαρίτσαν, ὃς ἦν πελώριος, ὡς ὄρος μέγα, καὶ δι' ἑτέρου βέλους διέτεμε τὸν ἕτερον, καλούμενον Σουβαλοῦν. Οὕτω διασκορπισθέντων τῶν λοιπῶν δαιμόνων, ἐτελέσθη ἡ θυσία.

Ἐν τῷ χρόνῳ τούτῳ ὁ βασιλεὺς τῆς Μιτιλᾶς χώρας, μέλλων θυσίαν τελέσαι ἐκάλεσε τὸν ὅσιον Βισβαμίτραν· ὁ δὲ πορευθεὶς ἔλαβε καὶ τοὺς δύο ἀδελφούς. Τελεσθείσης τῆς θυσίας, εἶπεν ὁ ὅσιος τῷ βασιλεῖ, ὅτι ὁ Ῥάμας ἐπεθύμει ἰδεῖν τὸ περιβόητον αὐτοῦ τόξον· ὁ δ' ἐλυπήθη, διανοούμενος τὸ δυσκατόρθωτον, καὶ οὗ ἕνεκα, ἆθλον ἔθετο ὑπὲρ τῆς ὡραίας Σιτᾶς. Ὁ δὲ ὅσιος ἔφη· « Ἡ δύναμις » αὐτοῦ ἐπὶ τοῦ τόξου φανήσεται. » Ὁ οὖν Ῥάμας, κάμψας εὐκόλως τὸ τόξον, ἔθετο τὴν χορδήν· ἐκ δὲ τῆς σφοδρᾶς ἑλκύσεως διαῤῥαγὲν, ἦχον μέγαν ἐποίησεν. Ὁ δὲ βασιλεὺς θαυμάσας ἔδωκεν αὐτῷ τὴν γηγενῆ Σιτὰν, ἀγέννητον οὖσαν ἐκ κοιλίας γυναικὸς (α), τὴν δὲ θυγατέρα αὐτοῦ τῷ Λαξμάνᾳ.

Ἐπαναστρεφόντων εἰς τὰ ἴδια, σφοδρὸς κατὰ τὴν ὁδὸν

(α) Ὁ βασιλεὺς Ζανάκας, μέλλων θύειν ἔσκαψε τὴν γῆν κύκλῳ, ἵνα μή τι μόλυσμα ᾖ. Ἐνταῦθα εὗρε κιβώτιον καὶ ἐντὸς αὐτοῦ κοράσιον, ὅπερ λαβὼν Σιτὰν (γηγενῆ) ὠνόμασεν.

πνεύσας ἄνεμος, κατέθλιβε τὴν στρατιάν. Ὁ Ἥλιος ἀπεκρύβη, ἡ ἀτμοσφαῖρα ἦν πλήρης ἐρυθρῶν νεφελῶν, οἱ δὲ ἱέρακες καὶ οἱ κυνόλυκοι, μέγα βοῶντες, τρόμον ἐπροξένουν. Ἐν τούτοις φῶς αἴφνης ἀνεφάνη ἀπέναντι τῶν ὁδοιπόρων, καὶ ἅμα ἀνὴρ πελώριος, ὃς ἦν ὁ Παρασσουράμας. « Ἐγὼ, εἶπεν ἀπειλητικῶς τῷ Ῥάμᾳ, ἄσπον-» δός εἰμι ἐχθρὸς τῶν Ξατρῶν, οὓς πολλάκις ἐξολοθρεύ-» σας ἡσυχίαν εἶχον· ἤδη δ' ἀκούσας τὰ σὰ κατορθώμα-» τα, ἀνέστην ὡς ὄφις. Λάβε οὖν τοῦτο τὸ τόξον, καὶ εἰ » κάμψῃς αὐτὸ, νικηθήσομαι ὑπὸ σοῦ· εἰ δὲ μὴ, ζητήσεις » παρ' ἐμοῦ ἔλεος.» Ὁ μὲν Ῥάμας ὑπομειδιῶν ἔλαβε τὸ τόξον, καὶ κάμψας αὐτὸ, ἔθετο τὴν χορδήν· ὁ δὲ ταπεινὸς γενόμενος εἶπεν· « Ἀληθῶς σὺ Θεὸς μέγας ὤν » ἦλθες ἐπὶ τῆς γῆς φανείς. Ἐπαινετή ἐστιν ἡ ἧττα » γενομένη παρὰ Θεοῦ. Ἔστω αἴτιον τὸ ὃ μέλλεις τε-» λέσαι θεῖον ἔργον (α).» Ταῦτα εἰπὼν ἐγένετο ἄφαντος. Οἱ δὲ ἐπέστρεψαν εἰς τὴν πρωτεύουσαν Ἀϊοδδεὰν, ἔνθα ὁ βασιλεὺς ἐνηγκαλίσθη μετὰ στοργῆς τὸν νικητὴν αὐτοῦ υἱόν.

§. 12. Ὁ Δασσαράτας, προβεβηκὼς ὢν ἤδη τὴν ἡλικίαν γνώμην ἔλαβε καταλιπεῖν τὴν βασιλείαν τῷ Ῥάμᾳ. Ἡ φήμη αὕτη ἤυφρανε πάντα τὸν λαὸν, ἐκτὸς τῆς Καν-θάρας, ἥτις κατέπεισε τὴν Καϊκεγὴν, εἰς ἣν ὁ βασιλεὺς ὑπεσχέθη ποτὲ δύο ὁποιασδήποτε χάριτας, ὅπως ζητήσῃ· Α΄. τὴν ἐπὶ δεκατεσσάρων ἐτῶν ἐξορίαν τοῦ Ῥάμα, καὶ Β΄. τὴν ἀναγόρευσιν τοῦ υἱοῦ αὐτῆς Βαράτα, εἰς τὸν τόπον

(α) Τὴν τοῦ Ῥαβάνα αἰνίττεται ἀναίρεσιν.

τοῦ Ῥάμα. Ἐλυπήθη ἐγκαρδίως ὁ Δασσαράτας· ἀλλ' ὁ Ῥάμας, συμβουλεύσας τὸν πατέρα ἵνα μὴ ἐπίορκος γένηται, ἐδέχθη χαίρων τὴν διαταγὴν τοῦ βασιλέως, καὶ ἐνδυθεὶς ὁδοιπορικὰ φορέματα ἀνεχώρησε μετὰ τῆς Σιτᾶς, καὶ τοῦ ἀγαπητοῦ ἀδελφοῦ Λαξμάνα εἰς τὴν ἔρημον. Ὁ μὲν οὖν βασιλεὺς ὀδυρόμενος ἐπὶ τῇ στερήσει τοῦ φιλτάτου Ῥάμα, ἐμνήσθη τῆς ἀρᾶς τοῦ ἀσκητοῦ, οὗ τὸν υἱὸν ἐν ἀγνοίᾳ ἐτόξευσε (α), καὶ μετ' ὀλίγον ὑπὸ τοῦ πένθους ἐτελεύτησεν· οἱ δὲ βουλευταὶ ἐκάλεσαν τὸν ἀπόντα Βαράταν. Οὗτος ἐλθὼν καὶ τὰ πάντα μαθὼν, ἠγανάκτησε καὶ κατ' αὐτῆς αὐτοῦ τῆς μητρὸς, καὶ μεταπεμψάμενος ἐκάλει τὸν Ῥάμαν. Ἀλλ' ὁ μὲν, ὑποτασσόμενος εἰς τὴν προσταγὴν τοῦ πατρὸς, οὐκ ἐδέχθη· ὁ δὲ Βαράτας, ἀναλαβὼν τὴν διεύθυνσιν τῆς βασιλείας ἐκυβέρνα, καθήμενος ἐν ἑτέρᾳ πόλει, ὡς ἐπίτροπος τοῦ πρωτοτόκου ἀδελφοῦ Ῥάμα, ὅστις φοβηθεὶς μήπως ἐνοχληθῇ καὶ αὖθις, ἀνεχώρησε μακρύτερα. Καθ' ὁδὸν δαίμων τις, Βιρράδας τοὔνομα, σῶμα ἔχων ὡς ἑσπερινὴ νεφέλη, ἀποκλείσας τὴν ὁδὸν ἥρπασε τὴν Σιτάν· ὁ δὲ Ῥάμας ἀποκτείνας τὸν δαίμονα ἔθαψε βαθέως, ἵνα μή τι μίασμα γένοιτο. Ἐν τούτοις ἡ νεωτέρα ἀδελφὴ τοῦ Ῥαβάνα, (ἀρχηγοῦ τῶν κακοποιῶν δαιμόνων) καλουμένη Σουρπανάκκα, ἔρωτι τρωθεῖσα, ἠθέλησεν ἄνδρα λαβεῖν τὸν Ῥάμαν· ὁ δὲ, « Ἔχω, » εἶπε, γυναῖκα· πορεύθητι πρὸς τὸν νεώτερον ἀδελφόν·» ἡ

(α) *Καὶ σὺ*, εἶπεν ὁ ἀσκητὴς πρὸς τὸν Δασσαράταν, *ἐν γεροντικῇ ἡλικίᾳ θάνατον λήψῃ ἐκ λύπης υἱοῦ*· Ἴδε προλ. Σελ. λδ'.

δ' ἀποτυχοῦσα, ἐπέστρεψε πάλιν πρὸς τὸν Ῥάμαν, ἣν ἰδοῦσα ἡ Σιτὰ ἀπράκτως φερομένην, ἐγέλασεν· ἡ δὲ λαβοῦσα μορφὴν φρικώδη, κατηράσατο τῆς Σιτᾶς. Ὁ δὲ Λαξμάνας, ἐννοήσας ὡς κακοποιὸν δαιμόνιόν ἐστιν, ἀπέτεμε ξίφει τὴν ῥίνα αὐτῆς. Τότε ὑψωθεῖσα ἐν αἰθέρι ἠπείλει αὐτοὺς, καὶ εἰς τὴν πόλιν τῶν Τιτάνων ἐλθοῦσα διηγήσατο τὴν πρὸς αὐτοὺς γενομένην ἀτιμίαν. Ἀγανακτήσαντες οὖν οἱ ἀντίθεοι Τιτᾶνες καὶ συμβούλιον ποιήσαντες, ἐκίνησαν κατὰ τῶν δύο ἡρώων, ὁδηγὸν ἔχοντες τὴν ῥινότμητον δαίμονα· ἀλλ' ὁ Ῥάμας, ῥίψας κατ' αὐτῶν ἀναρίθμητα βέλη, ἐθανάτωσε τοὺς τρεῖς τῶν Τιτάνων ἀρχηγοὺς καὶ κατέκοψε τὴν στρατιὰν αὐτῶν. Τότε ἡ Σουρπανάκκα, δραμοῦσα πρὸς τὸν Ῥαβάναν, διηγήθη τὴν παρὰ τοῦ Ῥάμα φθορὰν τῶν δαιμόνων· ὁ δ' ὀργισθεὶς ἐκινήθη κατὰ τῶν ἡρώων. Θέλων δ' αὐτοὺς ἀπατῆσαι, διέταξε τὸν δαίμονα Μαρίτζαν, ἵνα λάβῃ μορφὴν χρυσῆς ἐλάφου· ταύτην ἰδοῦσα ἡ Σιτὰ, ἐπεθύμησε λαβεῖν· καὶ ἡ μὲν ἀπεμακρύνθη, ὁ δὲ Ῥάμας ἐδίωκεν. Ἐν τούτοις ὁ Ῥαβάνας, ἰδὼν τὴν Σιτὰν μεμονωμένην ἥρπασε, καὶ θανατηφόρως ἔτρωσε τὸν βασιλέα τῶν Γυπῶν, θελήσαντα ἐναντιωθῆναι. Εἰς μάτην ἐφώνησεν ἡ Σιτά· « Ὦ Ῥάμα, » ὦ Λαξμάνα, σῶσόν με! » Οἱ δύο ἀδελφοὶ ζητοῦντες τὴν Σιτὰν εἶδον πεπτωκότα τὸν Γύπα, ὅστις ἀναγγείλας τὴν ἁρπαγὴν τῆς Σιτᾶς παρὰ τοῦ Ῥαβάνα, ἐξέπνευσεν.

Ὁ ἀγαθὸς δαίμων Καββάνδας, εὐεργετηθείς ποτε παρὰ τοῦ Ῥάμα εἶπε πρὸς αὐτὸν σκεπτόμενον περὶ τοῦ τρόπου τῆς καταστροφῆς τοῦ Ῥαβάνα· « Ἐπὶ τοῦ ὄρους Ῥισ- » σεμνήκα εὑρίσκεται ὁ βασιλεὺς τῶν Πιθήκων, ὃν νικήσας ὁ τύραννος Βάλης, ἥρπασε τήν τε σύζυγον καὶ

» τὴν βασιλείαν αὐτοῦ. Βοηθήσας οὖν αὐτὸν, μέγα σοι » ὄφελος ἐν ταύτῃ τῇ περιστάσει ἔσεται». Ὁ μὲν Ῥάμας πεισθεὶς, διευθύνθη ἀμέσως εἰς τὸν πρὸς ὃν ὅρον, καὶ ἀποκτείνας ἐν μάχῃ τὸν ἄδικον Βάλην ἀντεκατέστησε τὸν Σουγρήβαν· ὁ δὲ, πρὸς ἀμοιβὴν, ἐκίνησεν ὑπὲρ τοῦ Ῥάμα μυριάδας Πιθήκων, ἔχων καὶ ἀρχηγὸν τὸν πολυμήχανον Χανουμᾶνα, ὅστις μετ' ὀλίγον ἀνεκάλυψεν ὅτι ἡ Σιτὰ ἁρπαγεῖσα, μετεκομίσθη καὶ ἐφυλάττετο ὑπὸ θηλειῶν δαιμόνων ἐν τῇ νήσῳ Λακάνῃ, ἔνθα εἰσχωρήσας κρυφίως, ἔδωκε μὲν αὐτῇ τὸ δακτυλίδιον τοῦ Ῥάμα, ἔλαβε δὲ παρ' αὐτῆς ἀδάμαντά τινα, ὡς σημεῖον τῆς πίστεως· ἀλλ' ἀνακαλυφθεὶς ἀπέκτεινεν ἐν μονομαχίᾳ τὸν νεώτερον υἱὸν τοῦ Ῥαβάνα, ἐπυρπόλησε τὴν πόλιν, καὶ ἐπανελθὼν ἔδωκε τὸν ἀδάμαντα εἰς τὸν Ῥάμαν. Οὗτος παραυτίκα κινηθεὶς κατὰ τοῦ ἐχθροῦ, ἦλθεν ἐπὶ τὴν ἀκτὴν τοῦ ὠκεανοῦ· ποιήσας δὲ συμμαχίαν μετὰ τοῦ βασιλέως τῶν παραλίων ἐκείνων, ὑπεσχέθη αὐτῷ τὴν Σεϊλανίαν καὶ πᾶσαν τὴν βασιλείαν τῶν Πιθήκων. Γεφυρώσαντες οὖν τὴν θάλασσαν βοηθείᾳ τῶν Τιτάνων, εἰσέβαλον εἰς τὴν χώραν καὶ ἐπολιόρκησαν τὴν πρωτεύουσαν.

Ἐνταῦθα συνεκροτήθη φρικτὸς καὶ μανιώδης πόλεμος μεταξὺ Πιθήκων, Τιτάνων, ἡρώων, θεῶν ἐνσαρκωθέντων, καὶ δαιμόνων. Ἐν ταῖς τεραστίαις μάχαις κορμοὶ δένδρων καὶ τμήματα ὑπερμεγέθη λίθων κατέθλιβον τὴν μίαν ἢ καὶ ἄλλην στρατιάν· οἱ ὄνυχες καὶ οἱ ὀδόντες ὑπερίσχυον ἐνίοτε καὶ αὐτῶν τῶν ὅπλων, καὶ οἱ βράχοι ῥιπτόμενοι συνέτριβον ἵππους, ἐλέφαντας καὶ ἐλεφαντηλάτας. Ὁ μὲν πρεσβύτερος υἱὸς τοῦ Ῥαβάνα ἔτρωσε τὸν Λαξμάναν· ἀλλ' ἀναλαβὼν οὗτος καὶ αὐτὸν ἀπέκτεινε

καὶ μετὰ τοῦ Χανουμᾶνος φθορὰν μεγίστην ἐποίησαν εἰς τὸ στρατόπεδον τῶν ἐχθρῶν. Ὁ δὲ νεώτερος ἀδελφὸς τοῦ Ραβάνα, καταστρέψας μέγα πλῆθος Πιθήκων, ἐζώγρησε τὸν βασιλέα αὐτῶν Σουγρήβαν, καὶ ἐκινήθη ὡς ὄρος μέγα κατ' αὐτοῦ τοῦ Ῥάμα· ἀλλὰ τρωθεὶς θανατηφόρως ὑπ' αὐτοῦ, ἐτελεύτησε μετὰ πολλῶν ἄλλων πελωρίων Τιτάνων. Ἐπὶ τέλους συνηπαντήθησαν οἱ δύο μέγιστοι καὶ ἄσπονδοι ἐχθροί, ὅ,τε Ῥάμας καὶ ὁ Ῥαβάνας. Ἤδη ἐπλησίασεν ἡ τελευταία τοῦ ἑνὸς ὥρα, ἐν αὐτῇ τῇ πρὸ πολλοῦ προσδοκωμένῃ μονομαχίᾳ, ἥτις τρεῖς διήρκεσεν ἡμέρας. Συναπαντηθέντες οὖν, τῶν θεῶν πάντων καὶ τῶν δαιμόνων θεωρούντων, ὁ μὲν Ῥαβάνας πρῶτος ἐνέπηξε τὸ βέλος αὐτοῦ εἰς τὸν δεξιὸν βραχίονα τοῦ Ῥάμα· οὗτος δὲ ῥίψας τὸ βέλος διεπέρασε τὸ στῆθος τοῦ Ῥαβάνα Ἡ μανιώδης ἔρις ηὔξανε· τὰ ὅπλα διερρήγνυον τὰ ὅπλα, καὶ τὰ βέλη τὰ βέλη, καὶ ἐνῷ ἡ γῆ ἐκαλύπτετο ἐκ πτωμάτων, ἡ νίκη ἦν ἀμφίβολος. Ἐπὶ τέλους ὁ Ῥαβάνας ἔρριψε τὴν Σατάγνην, σιδηρᾶ κέντρα ἔχουσαν· ὁ δὲ Ῥάμας, ἀποφυγὼν ἐπιτηδείως τὸν κίνδυνον, ἔρριψε κατὰ τοῦ μισοθέου ἐχθροῦ μετὰ τῆς ἐπῳδῆς τὴν Βραχμάστραν, ἥτις, διαιρεθεῖσα ἐν τῷ αἰθέρι εἰς δέκα πυροειδεῖς ῥομφαίας, ἔτεμεν ἐνταὐτῷ τὰς δέκα κεφαλὰς τοῦ δεκακεφάλου Ῥαβάνα. Καὶ αὐτὸς μὲν ἔμεινε νεκρός· βροχὴ δὲ ἀνθέων καὶ ῥόδων ἐξ οὐρανοῦ ἔπιπτεν ἐπὶ τῆς κεφαλῆς τοῦ Ῥάμα, ὅστις νικητὴς ὢν παρέδωκε τὴν βασιλείαν εἰς τὸν σύμμαχον Βιβασσάναν· αὐτὸς δὲ, παραλαβὼν τὴν Σιτὰν, ἥτις ἦν ἄμωμος καὶ ἄχραντος, τὸν Λεξμάναν καὶ τοὺς συμμάχους, ἐπανέζευξεν ἐπὶ τὴν Αἰοδδεὰν, ἐπὶ τοῦ πολυτίμου φορείου τοῦ κατατροπωθέν-

τος Ῥαβάνα· ἦν δὲ αὐτοκίνητον τὸ φρεῖον τοῦτο, καὶ αἰθεροβατικὸν, καὶ χωρητικὸν ἁπάσης τῆς στρατιᾶς.

§. 13. Ὁ νικητὴς, φερόμενος ἐναέριος ὑπὸ τοῦ θείου φορείου, ὅπερ κατὰ τὴν διάνοιαν καὶ ἐπιθυμίαν τοῦ Ῥάμα ἐκινεῖτο, καὶ βλέπων ἐκ τοῦ ὕψους ἔλεγε τῇ Σιτᾶ· « Ἰδὲ » τὸν μέγαν ὠκεανὸν, ἐν ᾧ μαργαρίται καὶ πολύτιμα » πράγματα γεννῶνται· ἐπ' αὐτοῦ ἀνεπαύετό ποτε ὁ Βισ- » νοῦς, συμπεριλαβὼν τὸ Πᾶν ἐν ἑαυτῷ ἐν τῷ τέλει τοῦ » αἰῶνος· οὗτος πίνει καὶ διατηρεῖ ὅλους τοὺς ποταμοὺς, » ἐν ἑαυτῷ, καταδύοντας καὶ ἀναδύοντας τὰ μεγάλα » κήτη. Ἰδὲ τὰ δένδρα τῶν κοραλλίων. Αἰσθάνεσαι πόσον » εὐώδης ἐστὶν ὁ αἰθέριος ἀὴρ, καὶ περίστραπτος ἡ νε- » φέλη, ἣν ἔθιξεν ἡ σὴ χείρ; Ἰδοὺ, οὗτος ἐστὶν ὁ τόπος » ἔνθα ἀνιχνεύων σε εἶδον ἓν σου περιπέζιον (α). Ἰδοὺ, » ἰδοὺ πόρρωθεν καθορᾶται ἡ οὐρανομήκης κορυφὴ » τοῦ ὄρους Μαλεβᾶνος, ἔνθα αἱ βρονταὶ ἐπροξένουν σοι » τρόμον. Ἰδοὺ ὁ ποταμὸς Πανπᾶν, ὃν διήλθομεν. Ἰδὲ » τὸν τόπον τῆς ἀσκήσεως τοῦ ἐπὶ τῆς γῆς Ἀγας-έα. » Ἰδοὺ μακρόθεν φαίνεται ἡ χαρίεσσα λίμνη τοῦ ὁσίου » Σατακάρνα. Οὗτος ὁ ἄλλος ἀσκητὴς σκληραγωγίαν » ποιεῖ ἐν μέσῳ τεσσάρων πυρῶν. Τοῦτό ἐστι τὸ ἀσκη- » τικὸν καὶ καθαρτικὸν ἄλσος τοῦ πυρολάτρου Σαραβ- » βάγκα. Ἰδὲ τὸ ὄρος Σιτρακούτα, καὶ τὸν παρ' αὐτῷ » ποταμὸν Μαγδακινήν. Τοῦτό ἐστι τὸ ἄλσος καὶ τὸ

(α) Ἡ Σιτὰ, ἀγομένη ὑπὸ τοῦ Ῥαβάνα, διέσπειρε κατὰ τὴν ὁδὸν ἓν ἕκαστον τῶν ἑαυτῆς κοσμημάτων εἰς ἀναγνωρισμόν. Ὁ δὲ Ῥάμας δεικνύει τὸ μέρος, ἔνθα εὗρε τὸ περιπέζιον αὐτῆς.

» ἀσκητήριον τοῦ Ἀτρῆ. Ἰδὲ τὸν τόπον, ἔνθα τὰ ὕδατα
» τοῦ Γάγγου καὶ τοῦ Ἰαμουνᾶ συμμιγνύονται· οἱ λουό-
» μενοι τούτοις οὐ μετενσωματοῦνται μετὰ θάνατον.
» Αὕτη ἐστὶν ἡ Δεβὰ, ἧς πηγή ἐστιν ἡ Βραχμασάρα λί-
» μνη, τῆς ὁποίας τὰ ὕδατα φθάνουσι πλησίον τῆς μη-
» τροπόλεως ἡμῶν Ἀϊοδδεᾶς. Ἰδὲ καὶ τὸν ἐμὸν ἀδελφὸν
» Βαράταν, ἐρχόμενον εἰς προϋπάντησιν ἐμοῦ, μαθόντα
» τὰ περὶ τῆς ἐλεύσεως ἡμῶν παρὰ τοῦ Χανουμᾶνος, καὶ
» ἔχοντα ἔμπροσθεν τὸν ὅσιον Βασσίσταν, τὸν δὲ στρα-
» τὸν προπεμπόμενον. Οὗτος, ἔχων τὴν βασιλείαν οὐκ
» ἠθέλησε γενέσθαι βασιλεὺς, ἀλλ' ἐν τοσούτοις ἔτεσιν
» ἄκρᾳ ἐγκρατείᾳ ἐχρήσατο, καίπερ νέος ὤν. »

Ταῦτα εἰπόντος καθ' ὁδὸν τοῦ Ῥάμα, τὸ φορεῖον, ἅτε θεῖον ὂν καὶ νοητικὸν, ἐννοῆσαν τὴν γνώμην τοῦ Ῥάμα, κατέβη ἀπὸ τοῦ αἰθέρος ἐπὶ τῆς γῆς. Ὁ δὲ Ῥάμας καταβὰς ἀπὸ τοῦ φορείου προσεκύνησε τὸν ὅσιον Βασσίσταν, καὶ δακρυῤῥοῶν ἐνηγκαλίσατο τὸν ἀδελφὸν Βαράταν, καὶ ὡσφράνθη τῆς κορυφῆς αὐτοῦ, ἣ, δυναμένη, οὐκ ἀνεδέξατο τὸ βασιλικὸν στέμμα. Εἶτα ἱλαρῶς ἠσπάσατο τοὺς γηραιοὺς Βουλευτὰς, καὶ ἔδειξε πρὸς αὐτοὺς τὸν βασιλέα τῶν Πιθήκων, τὸν τῶν Ἄρκτων, τὸν ἀδελφὸν τοῦ καταβληθέντος Ῥαβάνα κ.τ.λ. Ὁ Βαράτας ἠσπάσατο τρυφερῶς τὸν Λαξμάναν. Τότε, προσταγῇ τοῦ Ῥάμα, οἱ ἄρχοντες τῶν Πιθήκων ἔλαβον ἀνθρώπειον μορφήν (α).

(α) Ὅτε ὁ Βισνοῦς ἐνσαρκωθεὶς ἔλαβε μορφὴν ἀνθρώπου, τότε καὶ ἄλλοι δευτερεύοντες θεοὶ ἐνσαρκωθέντες, ἔλαβον, ὡς ἐρρέθη, μορφὴν Πιθήκων καὶ Ἄρκτων.

Ὁ δὲ Ῥάμας ἀνέβη καὶ αὖθις ἐπὶ τοῦ αἰθερίου ὀχήματος, ἔχων τὸν Λαξμάναν, τὴν Σιτὰν, ἥτις ὑπὲρ αὐτοῦ κατεφρόνησε τῆς προσκυνήσεως τοῦ Ῥαβάνα, καὶ τὸν Βαράταν, ὅστις κατεφρόνησε τῆς βασιλείας ὑπὲρ τοῦ Ῥάμα, καὶ οὕτως ἔφθασεν ὁ νικητὴς ἥρως πλησίον τῆς πρωτευούσης Ἀϊοδδεᾶς, ὅτε καὶ ἡ τῶν δέκα τεσσάρων ἐτῶν ἐξορία αὐτοῦ συνεπληροῦτο.

§. 14. Ἐνταῦθα ἰδόντες προσεκύνησαν τὰς ἡρωοτόκους αὐτῶν μητέρας· καὶ ἡ μὲν Σιτὰ κύψασα ἠσπάσθη τοὺς πόδας αὐτῶν· οἱ δὲ θεῖοι Βραχμᾶνες ἐλούσαντο τὸν Ῥάμαν, ὃς φθάσας δακρυβρόων εἰς τὴν πατρικὴν ἑστίαν, ἔδωκεν οἰκήματα καὶ πάντα τὰ ἀναγκαῖα τοῖς συμμάχοις. Τέλος δ' ἀπέπεμψε τοὺς ὁσίους Βραχμᾶνας καὶ τοὺς συμμάχους, τιμήσας αὐτοὺς δωρήμασι διὰ τῆς χειρὸς τῆς Σιτᾶς. Ἔπειτα προσέταξε τὸ φορεῖον ἀπελθεῖν πάλιν εἰς τὴν ὑπηρεσίαν τοῦ θεοῦ Κουβέρα, καὶ ἐπανελθεῖν ὅταν αὐτοῦ μνησθῇ. Ταῦτα πάντα οὕτω διατάξας, ἐνησχολήθη εἰς τὴν εὐημερίαν τοῦ λαοῦ, ὃν βλέπων εὐδαιμονοῦντα εὐφραίνετο. Μαθὼν δὲ ὅτι ἡ Σιτά ἐστιν ἔγκυος, ἠρώτησεν αὐτὴν εἴ τινος ἐπιθυμεῖ· ἡ δὲ, ἐλθεῖν, εἶπεν, εἰς τὸ ἄλσος τὸ παρὰ τῇ ὄχθῃ τοῦ Γάγγου. Ἔνευσεν εἰς τὴν ἔφεσιν αὐτῆς· ὢν δὲ ἡγιασμένος καὶ νικητὴς ὅλων τῶν ἐχθρῶν, ὁρῶν τὸν λαὸν εὐδαίμονα, τὴν σύζυγον ἐγκυμονοῦσαν, καὶ ἀπολαύων τὴν ἀγάπην τῶν μητέρων, ἀδελφῶν, συμβούλων καὶ τῶν λαῶν, ἦν μακάριος.

Ἐν τοιαύτῃ εὐημερίᾳ ὢν ὁ Ῥάμας ἠρώτησεν ὠτακουστήν τινα δύστροπον· « Τί λέγουσι καὶ φρονοῦσιν οἱ » ἄνθρωποι περὶ ἐμοῦ ; » Ὦ βασιλεῦ, εἶπεν οὗτος, » πάντα τὰ σὰ ἔργα ἐπαινοῦσι καὶ θαυμάζουσιν, ἐκτὸς

» τοῦ ὅτι ἔλαβες πάλιν τὴν βασίλισσαν Σιτὰν, ἥτις διέτρι-
» ψεν ἐν τῷ οἴκῳ τοῦ κακούργου Ῥαβάνα. »

Ὁ λόγος οὗτος διέῤῥηξε τὴν καρδίαν τοῦ Ῥάμα, καὶ εἶπε καθ' ἑαυτόν· « Παραβλέψω ταύτην τὴν δυσφημίαν; ἢ
» ἀποπέμψω τὴν ἀνέγκλητον γυναῖκα; » Πολλὰ δὲ ταραττόμενος ἐννοί, ἀπεφάσισε τὴν ἀποπομπὴν τῆς Σιτᾶς. Καλέσας οὖν τοὺς ἀδελφοὺς εἶπεν· « Ἡ Σιτὰ, καίτοι ἑτοίμη
» ἐστὶ δοῦναι καρπὸν, καὶ γινώσκων ὅτι ἄμωμος ἦν
» οὐκ ἔζιν ὅμως συζῆσαι μετ' ἐμοῦ, ὅτι ἐν τῷ οἴκῳ τοῦ
» κακούργου Ῥαβάνα διέτριψε. Παραλαβὼν οὖν αὐτὴν, ὦ
» Λαξμάνα, ἐπὶ προφάσει διασκεδάσεως, ἄφες εἰς τὴν
» ἔρημον (α). » Ὁ Λαξμάνας τεθλιμμένος, ὑπήκουσε καὶ ἤγαγε τὴν Σιτὰν, ἀγνοοῦσαν τὸ μέλλον αὐτῇ γενέσθαι δεινὸν, καὶ σταματήσας περὶ τὴν ὄχθην, διεβίβασε τὴν σώφρονα γυναῖκα εἰς τὸ πέραν τοῦ Γάγγου, καὶ δακρυῤῥοῶν εἶπε πρὸς αὐτὴν τὴν ὀλεθρίαν προσταγὴν τοῦ ἀδελφοῦ καὶ βασιλέως.

Ἡ Σιτὰ ἀκούσασα τοῦ λόγου, ἔπεσε κατὰ γῆς, ἐξ ἧς ἐγεννήθη, καὶ ἐλειποθύμησεν· ἡ δὲ ἀνάληψις τῶν αἰσθήσεων ἀλγεινοτέρα ἦν τῆς προτέρας αὐτῆς ἀναισθησίας. Ἐν τοιαύτῃ γὰρ δεινῇ θέσει καὶ τοσαύτῃ ἀδικίᾳ οὐδὲν ἐκακολόγησε κατὰ τοῦ Ῥάμα, ἑαυτὴν δὲ μόνον ἐμέμφετο, ὅτι ἀντέχει καὶ οὐ θνήσκει παραυτίκα. Ὁ μὲν οὖν Λαξμάνας, δείξας τὴν πρὸς τὸ ἀσκητήριον τοῦ Βαλμίκη

(α) Οὗτος ἐστὶν ὁ Ὅμηρος τῆς Ἰνδίας, ὁ συγγράψας τὸ ἐπικὸν ποίημα, ἡ Ῥαμαϊάνα. Τιμᾶται ὡς ὅσιος Βραχμὰν, ὡς φιλόσοφος, καὶ ὡς μέγας ποιητής.

ἄγουσαν ὁδὸν, εἶπε· « Σύγγνωθί μοι, βασίλισσα, διὰ τὸ » σκληρὸν ἔργον, ὅπερ διὰ προσαγῆς τοῦ Ῥάμα ἐκτε- » λῶ, » καὶ πεσὼν προσεκύνει αὐτήν. Ἡ δὲ Σιτὰ, ἀνασήσασα αὐτὸν, ἔφη· « Ζώοις ἐπὶ μήκιστον· σὺ γὰρ εἶ ὑπήκοος » τῷ βασιλεῖ καὶ πρεσβυτέρῳ ἀδελφῷ. Προσκύνησον » τὰς ἐμὰς πενθερὰς καὶ δεήθητι αὐτῶν, ὅπως εὔχων- » ται ὑπὲρ τοῦ γόνου τοῦ υἱοῦ αὐτῶν. Τῷ δὲ Ῥάμᾳ » τάδε εἰπέ· « Ὅτι ὢν ἐκ φύσεως ἀγαθὸς, οὐκ ἔστιν ὁ » αἴτιος τοσαύτης παρανομίας· ἡ ἀληθὴς αἰτία ἐστὶν ἡ » ἐμὴ ἀτυχία. Οὗτος ἐγκατέλιπεν ἐμὲ ἐκ ψιλῆς ἀκοῆς « φήμης κακῆς ἢ ὑπονοίας, καί περ φανεῖσα ἄμωμος ἐν » πυρί. Ἐγὼ μὲν ἠκολούθησα τὸν Ῥάμαν ἐν τῇ ἐρήμῳ » ἐξόριστον ὄντα· νῦν δὲ, ἔχοντα βασιλείαν, ζητήσω κα- » ταφύγιον πάλιν εἰς τὴν ἔρημον. Ταχέως ἐγκατέλιπον » ἂν τὴν ζωὴν, εἰ μὴ ἦν ἐμπόδιον ὁ ἐν ἐμοὶ γόνος ἐκείνου. » Γίγνωσκε, ὡς ἐγὼ μετὰ τὸν τόκον φροντίδα ἕξω ὑπὲρ » τοῦ τεχθησομένου, καὶ ἄσκησιν ἐνταῦτῳ ποιήσω, » ὅπως τύχω τῆς χάριτος, ἵνα καὶ μετὰ θάνατον συζήσω » μετ' αὐτοῦ κ.τ.λ. »

Ἀναχωρήσαντος τοῦ Λαξμάνα, ἡ Σιτὰ, ἰδοῦσα ἑαυτὴν μεμονωμένην, ἤρξατο θρηνεῖν· ὁ δὲ θεῖος Βαλμίκης ἐξελθὼν τοῦ ἀσκητηρίου καὶ ἰδὼν τὴν Σιτὰν, « Μὴ θρήνει, εἶπεν· » ὁ Ῥάμας νικήσας τὸν μισόθεον Ῥαβάναν, ἀτόπως καὶ » ἀπανθρώπως πρὸς σὲ ἐφέρθη· ἀλλὰ μὴ θλίβου. Καὶ ὁ » σὸς πατὴρ, καὶ ὁ σὸς πενθερὸς φίλοι ἐμοὶ ἦσαν, καὶ σὺ » σώφρων καὶ φίλανδρος εἶ γυνὴ, καὶ παρ' ἐμοῦ ἕξεις πα- » τρικὴν φιλοσοργίαν. Ἡσυχίαν οὖν ἄγε ἐν ταύτῃ τῇ ἐρή- » μῳ· διὰ τῆς δεήσεως καὶ ἐργασίας ἄνεσις ἔσεται τῇ σῇ » ψυχῇ καὶ παραμυθία. »

Ὁ μὲν Λαξμάνας ἐπανελθὼν διηγήσατο τῷ Ῥάμᾳ τὰ πάντα· ὁ δὲ εὐθέως ἄφθονα ἔχυσε δάκρυα. Ἀγαπῶν δὲ τὴν Σιτὰν, οὐκ ἠθέλησεν ἑτέραν γῆμαι, ἀλλὰ τὴν εἰκόνα αὐτῆς διηνεκῶς ἐθεώρει.

§. 15. Μετ᾽ οὐ πολὺ δαίμων τις, Λαβάνας τοὔνομα, ταράττων τὰς θυσίας τινῶν ἀναχωρητῶν, ἠνάγκασεν αὐτοὺς βοήθειαν παρὰ τοῦ βασιλέως αἰτῆσαι· ὁ δὲ τὸν ἀδελφὸν αὐτοῦ Σατρούγναν κατ᾽ αὐτῶν μετὰ δυνάμεως ἔπεμψεν, ὃς, νυκτερεύσας εἰς τὸ ἄλσος τοῦ Βαλμίκη, μετὰ χαρᾶς πολλῆς ἤκουσεν ὅτι ἡ Σιτὰ τῇ νυκτὶ ἐκείνῃ διδύμους ἔτεκεν υἱούς. Τῇ δὲ ἐπαύριον, κινήσας ἀπήντησε τὸν ἐχθρὸν Λαβάναν· ἦν δ᾽ ὁ δαίμων πυῤῥόθριξ, μελανοειδὴς, κρεωφάγος, ἔχων καὶ πολλοὺς ἀκολούθους. Οὗτος ἰδὼν τὸν Σατροῦγναν ἀνέσπασε μέγα δένδρον, καὶ ἔῤῥιψεν ἐπ᾽ αὐτόν· ὁ δὲ ἀπέφυγεν εὐτυχῶς. Ἔῤῥιψε καὶ δεύτερον μέγαν λίθον, ἀλλὰ καὶ τοῦτον ἀπέφυγεν. Τότε ὥρμησε κατ᾽ αὐτοῦ ὡς ὄρος, θέλων τοῖς ἰδίοις ὄνυξι κατασπαράξαι αὐτόν· ἀλλ᾽ ὁ Σατρούγνας βαλὼν βέλος ἔτρωσε τὸν Λαβάναν κατὰ τὴν καρδίαν, ὃς πεσὼν νεκρὸς, σεισμὸν τῇ γῇ ἐποίησεν. Εἶτα δὲ διασκορπίσας τὴν στρατιὰν αὐτοῦ, ἐπανέκαμψεν εἰς τὴν πρωτεύουσαν Ἀϊοδδεάν.

Ἐν τούτοις ἡ μὲν Σιτὰ ἀνέτρεφε τοὺς διδύμους αὐτῆς υἱούς· ὁ δὲ Βαλμίκης ἐδίδαξεν εἰς αὐτοὺς τὰς Βέδας καὶ πᾶν εἶδος μαθήσεως, ἔτι δὲ καὶ τὸ θαυμαστὸν αὐτοῦ ποίημα τὴν Ῥαμαϊάναν, ὅπερ ἐστὶν ἡρωϊκὸν ἐπικὸν ποίημα, διαλαμβάνον τὰς ἡρωϊκὰς πράξεις τοῦ Ῥάμα. Τοῦτο ἄδοντες οἱ παῖδες ἐπαρηγόρουν τὴν μητέρα αὐτῶν, ἥτις ἐλυπεῖτο συγχρόνως διὰ τὴν στέρησιν τοιούτου ἥρωος.

Καί ποτε Βραχμάνης, θανόντος παρὰ καιρὸν τοῦ

ἑαυτοῦ υἱοῦ, ἐθρήνει λέγων μεγαλοφώνως, ὅτι ἡ γῆ ἦν εὐτυχεστέρα ἐπὶ τῶν ἡμερῶν τοῦ δικαίου Δασσαράτα· ἀλλ' ἤδη πάσχει δεινῶς. Ὁ δὲ Ῥάμας ἀκούσας ἐλυπήθη, ὑποσχόμενος θεραπείαν· ὅθεν, ἀναμνησθεὶς τοῦ θείου φορείου, ἀνέβη ἐπ' αὐτοῦ ζητῆσαι τὴν αἰτίαν βουλόμενος. Πορευομένου δὲ, φωνὴ ἐν αἰθέρι ἠκούσθη λέγουσα· « Ὦ βασιλεῦ, » τῇ σῇ βασιλείᾳ παράνομός τις πρᾶξις ἐγένετο ». Ὁ Ῥάμας, καταβὰς ἀμέσως συνέλαβε τὴν ἰδέαν τοῦ τελέσαι ἱπποθυσίαν. Ἕνεκα τούτου προσεκάλεσεν ἀμέσως τοὺς βασιλεῖς τῶν ἀνθρώπων, τοὺς ἡγεμόνας, καὶ τοὺς ὁσίους Βραχμᾶνας. Τελεσθείσης δὲ τῆς θυσίας, πᾶσα ἡ ὁμήγυρις εὐφραίνετο, ἔχουσα πλείω τοῦ δέοντος τὰ προσήκοντα. Ὁ δὲ Βαλμίκης ἔπεμψε τοὺς δύο παῖδας τῆς Σιτᾶς, Κούσαν καὶ Λάβαν· οὗτοι δὲ ἔψαλλον τὴν Ῥαμαϊάναν. Πᾶσα ἡ ὁμήγυρις ἀκούσασα τὴν ἀμίμητον ποίησιν τοῦ Βαλμίκη, προφερομένην ἀπὸ τὴν γλυκεῖαν φωνὴν τῶν παίδων, ἐκινήθη εἰς θαυμασμὸν, εἰς συμπάθειαν, εἰς οἶκτον καὶ εἰς δάκρυα. Ὁ ἴδιος Ῥάμας δακρυρροῶν ἐξίστατο, καὶ καλέσας τοὺς παῖδας ἠρώτησε· « Τίς ὁ ποιητὴς καὶ διδά» σκαλος ὑμῶν; « Ὁ Βαλμίκης, » εἶπον. Τότε ὁ Ῥάμας, παραλαβὼν τοὺς ἀδελφοὺς αὐτοῦ, προσῆλθε τῷ θεσπεσίῳ ποιητῇ, θέλων πᾶσαν τὴν βασιλείαν αὐτῷ δωρήσασθαι. Ὁ δὲ, « Οὐκ ἔχω, εἶπε, χρείαν βασιλείας· οὗτοι οἱ παῖδες » υἱοὶ Σοῦ εἰσι καὶ τῆς Σιτᾶς· ἐπανάλαβε αὐτήν τε καὶ » αὐτοὺς, καὶ οὕτω παύσεις παρανομῶν. » Ὁ δὲ βασιλεὺς, « Ὦ πάτερ, ἔφη, αὐτὴ ἀγνὴ μέν ἐστι, καὶ ἐν πυρὶ τοιαύτη » ἐφάνη· ὁ δὲ λαὸς ἀμφιβάλλει, ἕνεκα τῆς μοχθηρίας τοῦ » Ῥαβάνα. Πίστιν οὖν δότω ἡ Σιτὰ τῷ λαῷ· ἐγὼ δὲ εὐ» χαρίστως αὐτὴν δέξομαι. » Οὕτως ὁ βασιλεὺς ἐκάλεσεν

ἐκ νέου τοὺς μεγιστᾶνας καὶ τὸν λαόν· ἦλθε δὲ καὶ ὁ Βαλμίκης μετὰ τῶν δύο παίδων καὶ τῆς Σιτᾶς, πρὸς ἣν εἶπεν ὁ θεσπέσιος ποιητής· « Ὦ θύγατερ, πρὸ τῶν ὀφ-» θαλμῶν τοῦ σοῦ ἀνδρὸς ἀνύποπτον ποίησον τὸν λαὸν, » ὅτι καθαρὰ καὶ ἀμίαντος εἶ. » Ἡ δὲ Σιτὰ ἔλαβεν ἱερὸν ὕδωρ, καὶ πιοῦσα εἶπεν· « Ὦ θεὰ Γῆ, μῆτερ ἐμὴ, εἰ σώ-» φρων καὶ ἀμίαντός εἰμι, καὶ φίλανδρος ἔργῳ, λόγῳ, » καὶ διανοίᾳ, δέξαι με τοιαύτην ἐν τοῖς σαυτοῖς κόλ-» ποις. » Ταῦτα εἰπούσης τῆς ἀμώμου, φῶς ἐξῆλθεν ἐκ τῶν σπλάγχνων τῆς γῆς· αὐτὴ δὲ ἡ θεὰ Γῆ ἀνεφάνη ἐν σχήματι μεγαλοπρεποῦς γυναικὸς, καὶ ἐν ἀγκάλαις τὴν ἄμωμον Σιτὰν, ἀθῶαν δεῖξαι θέλουσα, ἐδέξατο. Ἡ δὲ, τὸ ὄμμα προσηλωμένον ἔχουσα εἰς τὸ πρόσωπον τοῦ Ῥάμα, συνεβυθίσθη μετ' αὐτῆς εἰς τὸ μέγα χάσμα. Ἐβεβαιώθη μὲν ὁ Βασιλεὺς καὶ πᾶς ὁ λαὸς περὶ τῆς ἀθωότητος καὶ τῆς σωφροσύνης τῆς φιλάνδρου Σιτᾶς, ἀλλ' ἐστερήθη αὐτῆς ὁ βασιλεὺς, ὅπερ ὑπερβαλλόντως αὐτὸν ἐλύπησεν. Ὅθεν, τιμήσας τοὺς θείους Βραχμᾶνας καὶ τοὺς συμμάχους βασιλεῖς, αὐτοὺς μὲν εἰς τὰ ἴδια ἀπέπεμψεν, ἔθετο δὲ πᾶσαν τὴν τῆς Σιτᾶς ἀγάπην ἐπὶ τοὺς διδύμους αὐτῆς καὶ αὐτοῦ υἱούς. Διαμερίσας δὲ τὴν ἀπέραντον βασιλείαν, τὴν μὲν Σινδοῦν χώραν ἐδωρήσατο τῷ Βαράτᾳ, ὅστις νικήσας τοὺς Γανδάρβας, ἐχειροτόνησε βασιλεῖς τοὺς υἱοὺς αὐτοῦ. Ὁ δὲ Λαξμάνας ἀνέδειξεν ἐπίσης βασιλεῖς τῆς χώρας Καραπάθας τοὺς δύο αὐτοῦ υἱούς.

Τότε ἐλθὸν τὸ πλήρωμα τῶν ἡμερῶν τοῦ Ῥάμα, εἰσ-ελθὼν ὁ Χρόνος εἰς τὸν κοιτῶνα τοῦ Ῥάμα ἐν σχή-ματι ὁσίου ἀνδρὸς, ἔφη· « Ὅστις ἐλθὼν ἴδῃ ἡμᾶς συν-

» διαλεγομένους, τελευτήσει. » Συναινέσαντος δὲ τοῦ Ῥάμα, ὁ χρόνος, δείξας τὴν ἑαυτοῦ μορφὴν, εἶπεν αὐτῷ· « Τὰ πάντα ἐπληρώθησαν· τὸ σὸν ἔργον ἐτελέσθη· ἐλθὲ »ἤδη εἰς τὸν Οὐρανόν· τοιοῦτον γάρ ἐστι τὸ πρόσταγμα »τοῦ ὑψίστου Βράχμα.» Ἐν τούτῳ ὁ Λαξμάνας εἰσῆλθεν εἰς τὸν κοιτῶνα, καὶ πρῶτος ἀπέθανε. Τελευτήσαντος δὲ τοῦ Λαξμάνα, ὁ Ῥάμας ἦν κεχαυνωμένος· ὅθεν ἀποδείξας βασιλεῖς τοὺς δύο αὐτοῦ υἱοὺς, ἐξῆλθε τῆς πόλεως ἐπὶ τοῦ θείου ὀχήματος, πάντων θρηνούντων. Τότε οἱ Ἰθηκες καὶ οἱ Ἄρκτοι, ὄντες ἀπόῤῥοια θεῶν, ἔτυχον τῆς ἰδίας θείας φύσεως. Οὕτως ὁ ἐνανθρωπίσας θεὸς Βισνοῦς, ἀνελὼν τὸν δεκακέφαλον Ῥαβάναν, κατὰ τὸ αἴτημα τῶν θεῶν, ἔλαβε τὴν ἑαυτοῦ θείαν φύσιν, ἥ ἐστι τὸ ἔρεισμα παντὸς τοῦ κόσμου.

§. 16. Ὁ πρωτότοκος υἱὸς τοῦ Ῥάμα, Κούσσας, ἀπόῤῥοια ὢν τοῦ Βισνοῦ, ηὔξησε τὴν εὐτυχίαν τῶν λαῶν κατασκευῇ γεφυρῶν καὶ λεωφόρων, καὶ προστασίᾳ τῆς γεωργίας, ἐμπορίας κ.τ.λ. Καί ποτε ἐν μεσονυκτίῳ, τῶν θυρῶν κεκλεισμένων, εἶδε γυναῖκα, ἥτις ἔφη αὐτῷ· « Νίκα, » βασιλεῦ· ἐγώ εἰμι ἡ μητρόπολις Ἀϊοδδεὰ, ἥτις ἐγκα» ταλειφθεῖσα παρὰ σοῦ, ἔρημός ἐστιν· ἐλθὲ οὖν πάλιν. » Συναινέσαντος τοῦ Κούσσα, ἡ γυνὴ ἄφαντος ἐγένετο. Τῇ ἐπαύριον ὁ βασιλεὺς, καλέσας τοὺς Βραχμᾶνας, ἐδωρήσατο αὐτοῖς τὴν Κουσσαβατὴν πόλιν· αὐτὸς δὲ μετοίκησεν εἰς τὴν ἀρχαίαν πρωτεύουσαν, ἣν ὁρῶν ἐκ νέου πλήρη κατοίκων, ναῶν, ἱπποστασίων, ἐλεφαντοστασίων, ἀγορῶν καὶ ἐργαστηρίων, ἠγλαίζετο. Ἐν δὲ τῇ ὥρᾳ τοῦ θέρους ὄρεξις ἐγένετο τῷ Κούσσᾳ παιδιὰν ποιῆσαι ἐν τοῖς ὕδασι τῆς Δεβᾶς. Αὐτοῦ δὲ λουομένου ἔπεσεν εἰς τὸν

ποταμὸν τὸ ψέλλιον, ὅπερ ὁ Ἀγαστέας ἔδωκε τῷ Ῥάμα, ὁ δὲ τῷ Κούσσᾳ, ὑπὲρ οὗ ἐλυπήθη, ὅτι δῶρον ἦν πατρικὸν καὶ νίκης πρόξενον. Ἐρευνήσαντες δὲ οἱ κολυμβηταί, εἶπον τῷ βασιλεῖ, ὅτι ὁ ἐν τῷ βυθῷ ὄφις Κουμούδας κατέπιεν αὐτό. Ὁ δὲ Κούσσας ἦλθεν ἐπὶ τῆς ὄχθης, εἰς ὅλεθρον τοῦ ὄφεως· ἀλλ' αἴφνης ἐταράχθη τὸ ὕδωρ. Ὁ δὲ ὄφις, ἐξελθὼν μετὰ κόρης, φερούσης τὸ ψέλλιον, εἶπε· «Λάβε καὶ τὸ ψέλλιον καὶ τὴν κόρην Κουμουδ»βατήν. » Οὕτω, δεχθεὶς ἀμφότερα, φιλίαν ἐποίησε μεταξὺ αὐτοῦ καὶ τῶν ὄφεων.

§. 17. Ἐκ δὲ τοῦ Κούσσα ἡ Κουμουδβατὴ ἔσχεν υἱόν, ὃν Ἀτίτην ὠνόμασαν· οὗτος συνεζεύχθη ἐν καιρῷ κόρῃ βασιλικῇ, καὶ τὴν βασιλείαν ἔλαβε μετὰ τὴν τοῦ πατρὸς ἀποβίωσιν, καὶ εὐτυχῶς ἐκυβέρνα, ἑνώνων τὴν εὐσέβειαν μετὰ τῆς δικαιοσύνης καὶ τῆς ἀνδρείας. Καθότι ἡ πολιτικὴ μόνη ἰδιόν ἐστι τῶν δειλῶν, καὶ ἡ ἀνδρεία μόνη ἰδιόν ἐστι θηρίων· ἔχων οὖν ἀμφότερα, εὐτυχῆ ἐποίει τὸν λαόν. Βασιλεύοντος τούτου οἱ ἐμπορευόμενοι ἐν μὲν τοῖς ποταμοῖς ἦσαν ὡς ἐν λίμναις, ἐν δὲ τοῖς δάσεσιν ὡς ἐν κήποις, ἐν δὲ τοῖς ὄρεσιν ὡς ἐν ἰδίοις οἴκοις.

§. 18. Ὁ Ἀτίτης ἔσχεν υἱὸν καλούμενον Νισσάδαν, ὃν ἐκπαιδεύσας παρεχώρησεν αὐτῷ τὴν βασιλείαν καὶ εἰς οὐρανὸν ἀνῆλθε. Τὸν Νισσάδαν διεδέχθη ὁ υἱὸς αὐτοῦ καλούμενος Νάλας· τοῦτον ὁ υἱὸς αὐτοῦ Νάββας, καὶ τοῦτον ὁ Πουνδαρήκας, καὶ αὐτὸν ὁ υἱὸς Ξεμαδδανβᾶς, καὶ τοῦτον ὁ υἱὸς αὐτοῦ Ἀχηναγοῦς, ὃν διεδέχθη ὁ υἱὸς Παριγέτρας. Τοῦτον διεδέχθη ὁ υἱὸς αὐτοῦ Σίλας, καὶ τοῦτον ὁ υἱὸς Οὐννάβας· αὐτὸν δ' ὁ Βαξμανάβας. Τοῦτον ὁ Σαγχάνας, καὶ αὐτὸν ὁ Βιουσσιτάσβας· αὐτὸν δὲ ὁ

Βισβασέχας, καὶ αὐτὸν ὁ Χιρανενάβας. Αὐτὸν ὁ Καουσσαλέας· τοῦτον ὁ Βραχμίστας, αὐτὸν ὁ Πούτρας, αὐτὸν δὲ ὁ Πουσσέας, τοῦτον ὁ Δρουβασανδὴς, ὅστις ἐν θήρᾳ ἐθανατώθη παρά τινος λέοντος. Οἱ Βουλευταὶ συνελθόντες ἐχειροτόνησαν βασιλέα τὸν ἑξαετῆ μονογενῆ αὐτοῦ υἱὸν Σουδαρσάναν· οὗτος δὲ γενόμενος νεανίας, ἔγημε βασιλικὴν κόρην, καὶ ἔσχεν υἱὸν ὀνόματι Ἀγνιβάρναν.

§. 19. Ὁ Σουδαρσάνας, ἀναγορεύσας τὸν υἱὸν αὐτοῦ βασιλέα, ἀνεχώρησεν εἰς τὸ ἡσυχαστήριον. Κατ' ἀρχὰς ὁ Ἀγνιβάρνας ἐκυβέρνα καλῶς τὴν βασιλείαν· εἶτα παραδοὺς τὴν διοίκησιν τοῖς βουλευταῖς, ἀφιερώθη εἰς τὰς ἡδονάς· ὧν δ' ἐρωτομανὴς διῆγεν ἐν εὐωχίαις μετὰ μουσικῶν ὀργάνων καὶ ἐρωτικῶν γυναικῶν. Καθηδυπαθὼν δὲ ἡμέρας τε καὶ νυκτὸς, οὐδόλως ἐφρόντιζε περὶ τοῦ λαοῦ, ὃς ἐπεθύμει θεάσασθαι αὐτόν. Οἱ βουλευταὶ παρεκάλουν ὅπως δείξῃ ἑαυτὸν τῷ λαῷ, ὁ δὲ μόνον τὸν πόδα ἐκ τῆς θυρίδος ἔδειξεν· ἐν δὲ ταῖς κατ' οἶκον λίμναις ἐλούετο, παίζων μετὰ ἀσέμνων γυναικῶν, εἶτα ἤρχετο εἰς εὐωχίαν καὶ ἐνετρύφα, χορεύων δι' ὅλης τῆς νυκτός. Οὕτω διῆγε φερόμενος ὑπὸ τοῦ ἀσελγοῦς ἔρωτος· μὴ πειθόμενος δὲ τοῖς ἰατροῖς, καί τοι πάσχων, καὶ μὴ θέλων ἐγκαταλιπεῖν τὰς ἡδονὰς, ὑπέπεσεν ἐπὶ τέλους εἰς φθίσιν, καὶ ὠχρὸς ἐγένετο, καὶ βαδίζειν ἄνευ βοηθείας οὐκ ἠδύνατο. Οἱ μὲν αὐλικοὶ ἔκρυπτον τὸ πάθος τοῦ βασιλέως· ἡ δὲ νόσος προβαίνουσα ἔφερε τὸ προσδοκούμενον τέλος. Τότε οἱ βουλευταὶ σκεψάμενοι ἐκήρυξαν βασίλισσαν τὴν σύζυγον αὐτοῦ, ἐγκυμονοῦσαν· αὕτη δὲ, φέρουσα ἐν γαστρὶ, ἐδιοίκησε τὴν βασιλείαν μετὰ τῶν γερόντων βουλευτῶν, νομίμως τε καὶ ἀταράχως ἐπὶ τοῦ θρόνου καθημένη.

Ἐνταῦθα τελειόνει ἡ περίληψις τῆς Ῥαγγοῦ-Βάνσας, τοῦ περιβοήτου ποιητοῦ Καλιδάσα.

Ζητοῦντες ἤδη συγνώμην παρὰ τοῦ ἐπιεικοῦς ἀναγνώστου, προσθέσωμεν ὀλίγα ἔτι τινὰ περὶ τῆς ὕλης τοῦ ποιήματος, πρὸς πλειοτέραν κατάληψιν τοῦ τε χαρακτῆρος τῆς Ἰνδικῆς Ἐποποιίας, καὶ τῆς οὐσιώδους διαφορᾶς αὐτῆς τε, καὶ τῆς Ἑλληνικῆς.

Οἱ Ἰνδοὶ πιστεύουσιν εἰς τὴν ὕπαρξιν ἀγαθῶν πνευμάτων, καὶ πονηρῶν δαιμόνων. Τὰ πρῶτα καλοῦσι Σούρας· τὰ δεύτερα (διὰ τοῦ στερητικοῦ α) Ἀσούρας. Καὶ καθὼς ὑπάρχουσι διάφοροι τάξεις τῶν ἀγαθῶν, οὕτω καὶ οἱ δαίμονες διαιροῦνται εἰς τρεῖς τάξεις.

ά. Εἰς τοὺς καλουμένους Δετίας· οὗτοί εἰσι τέκνα τοῦ Κασυάπα, καὶ τῆς Δετῆς, ἐξ ἧς ἔσχον τὸ μητρογονικὸν ὄνομα, καὶ ὡς πρὸς τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς υἱοὺς Ἑκατόγχειρας (τῆς Ἑλληνικῆς Μυθολογίας) παραβάλλονται (1).

β'. Εἰς τοὺς Δαναβας, υἱοὺς καὶ τούτους τοῦ Κασυάπα, καὶ τῆς Δανοῦς (ἑτέρας αὐτοῦ γυναικὸς), ὡς οἱ δευτερογενεῖς υἱοὶ τοῦ Οὐρανοῦ, Κύκλωπες καλούμενοι (2).

γ'. Εἰς τοὺς Ῥασκάσας ἢ Τιτᾶνας, τῆς αὐτῆς καταγωγῆς, οἵτινες, ἐκτὸς τῆς δυνάμεως, εἰσὶ μᾶλλον κακοποιοί, δυσειδεῖς, πολέμιοι τῶν θεῶν, τῶν ὁσίων,

---

(1) Οὐρανὸς, γήμας Γῆν, ἐτέκνωσε πρῶτον τοὺς Ἑκατόγχειρας, οἳ μεγέθει τε καὶ δυνάμει ἀνυπέρβλητοι καθειστήκεσαν. Ἀπολλ. Βιβλ. βιβ. Ι. κεφ. Ι. ἐκδ. Ἑϋν.

(2) Μετὰ δὲ τούτους δ'αὖ-ῷ τεκνοῖ Γῆ Κύκλωπας. (Αὐτόθι)

καὶ πάσης ἀρετῆς. Τρέφονται μὲν ἐξ αἵματος καὶ ἐκ σαρκὸς ἀνθρωπίνης (1)· εἰσὶ δὲ καὶ τῶν δύο γενῶν, ἄρρενες δηλ. καὶ θήλειαι, ὡς οἱ Τιτᾶνες, καὶ αἱ λεγόμεναι Τιτανίδες (2). Ἐνταῦθα ὁ Ἰνδικὸς μῦθος ταὐτίζεται μετὰ τοῦ Ἑλληνικοῦ· ἡ δὲ φύσις τῶν ἀῤῥένων καὶ θηλείων Ῥασκάσων, τῶν Τιτάνων καὶ Τιτανίδων ἐστὶν ἡ αὐτή· διὸ Τιτανομαχία μὲν ἐκεῖ· Ῥασκασομαχία δ' ἐνταῦθα.

Τὸ τρίτον οὖν τοῦτο εἶδος τῶν Ἰνδικῶν δαιμόνων οἰκεῖ τὰ νεκροταφεῖα, καὶ τοὺς ἀγρίους τόπους· ὃν δ' ἀσεβὲς καὶ κακοποιόν, ἀφήρεσεν ἐκ τῶν ἀγαθῶν πνευμάτων τὸ προνόμιον τῆς ἀτρωσίας, καὶ ὑπερισχύσαν, ἠνόχλει αὐτὰ, καὶ τοὺς θεοσεβεῖς ἄνδρας. Ἔχον οὖν πρωτοστάτην τὸν ὑπέροφρυν Ῥαβάναν, οἰκοῦντα τὴν Λακάνην ἢ Ταπροβάνην, νῦν δὲ Κεϋλάνην νῆσον, διεσκορπίζετο ἐκεῖθεν εἰς τὴν μεσημβρινὴν κυρίως Ἰνδίαν, καὶ ἐμόλυνε ταράττον τὰς θυσίας τῶν ὁσίων, οὐδεμίαν ἡσυχίαν παρέχον αὐτοῖς. Ἡ καταστροφὴ αὐτῶν ἦν ἀναγκαία. Ἀλλ' ἂν οἱ ὅσιοι, τὰ ἀγαθὰ πνεύματα, καὶ οἱ θεοὶ δὲν ἠδύναντο ἵνα καταβάλωσι τοὺς Ῥασκάσας, πολὺ περισσότερον ἦν ἀδύνατον εἰς τὴν ἁπλῆν τοῦ ἀνθρώπου δύναμιν· ἑπομένως εἷς Θεὸς

---

(1) Οἱ θρῆνοι τῶν ἀνθρώπων ἐσυγχέοντο μετὰ τῶν κραυγῶν τῶν θηρίων, καὶ τῶν ἀῤῥένων καὶ θηλείων σαρκοβόρων δαιμόνων, οἵτινες καταβιβρώσκοντες τὰς σάρκας τῶν πεσόντων ἡρώων, ἔπινον ἡδέως τὸ αἷμα αὐτῶν ἐντὸς τοῖς κρανίοις. (Βαλαδ. προλεγ.)

(2) Τεκνοῖ δ' αὖθις ἐκ γῆς παῖδας, τοὺς Τιτᾶνας, καὶ θυγατέρας τὰς κληθείσας Τιτανίδας .... Ἐκ δὲ τῶν σταλαγμῶν, λέγει παρακατιὸν, τοῦ ῥέοντος αἵματος Ἐριννύες ἐγένοντο. (Ἀπολλ. αὐτόθι).

μέγας καὶ ἰσχυρὸς, γινόμενος ἄνθρωπος, ἠδύνατο τόν τε Ῥαβάναν, καὶ τοὺς Ῥασκάσας αὐτοῦ καταβαλεῖν.

Οἱ θεοὶ ὑμνήσαντες τὸν παντοδύναμον Βισνοῦν, ἐζήτησαν τὴν βοήθειαν αὐτοῦ. Συνήνεσεν ὁ Θεός.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ βασιλεὺς Δασσαράτας, ὢν ἄτεκνος, ἐκάλεσε τοὺς θείους Βραχμᾶνας, ὅπως θυσίαν ὑπὲρ τεκνογονίας τοῦ Βασιλέως ποιήσωσιν. Ὁ δὲ Θεὸς Βισνοῦς, δεχθεὶς τὴν παράκλησιν τῶν θεῶν, καὶ τῆς δεήσεως τῶν Βραχμάνων εἰσακούσας, ἐνανθρωπεῖ. Αὕτη ἐστὶν ἡ ἑβδόμη τοῦ Θεοῦ τούτου Θεοφάνεια ἢ Αὐατάρα. Θυόντων οὖν τῶν Βραχμάνων, ἀνεφάνη ἐν μέσῳ τῆς φλογὸς τοῦ θυσιαστηρίου νεανίας ὑπέρκαλος, φιάλην ἐν χειρὶ φέρων. Ταύτην μετ' εὐλαβείας λαβὼν ὁ βασιλεὺς, καὶ τὸ ἐν αὐτῇ θεῖον ἔδεσμα εἰς δύο διαμερίσας, ἔδωκε πρὸς τὰς δύο αὐτοῦ γυναῖκας, ἐπιτάξας ὅπως πίῃ ἑκάστη τὸ ἥμισυ, δώσῃ δὲ τὸ λοιπὸν τῇ τρίτῃ. Οὕτως ἡ μὲν συλλαβοῦσα ἔτεκε τὸν Ῥάμαν· ἡ δὲ, τὸν Βαράταν· ἡ δὲ τρίτη, ἐκ τῆς διπλῆς δόσεως, τὸν Λαξμάναν καὶ Σατρούγναν.

Ἡ τεράστιος αὕτη γέννησις τοῦ πρωτοτόκου Ῥάμα, καὶ ἡ ἀνατροφὴ τοῦ ἥρωος, παρέχουσιν ὕλην ἄφθονον εἰς τὸν ἐποποιὸν, καὶ τοὺς μεταγενεστέρους ποιητάς· καὶ τοῦτο μέχρι τοῦ δεκάτου ἑβδόμου ἔτους τῆς ἡλικίας τοῦ Ῥάμα. Ἀλλ' ἤδη ἤγγικεν ἡ ὥρα· ἡ δὲ δύναμις τοῦ Θεοῦ βαθμηδὸν εἰς τὰς πράξεις αὐτοῦ φανερωθήσεται.

Ὁ ὅσιος Βισβαμίτρας θύων, καὶ παρὰ τῶν Ῥασκάσων ἐνοχλούμενος ἐζήτησε ῥητῶς τὴν βοήθειαν τοῦ Ῥάμα· ὁ δὲ βασιλεὺς, μὴ θέλων ἵνα ἐκθέσῃ τὸν υἱὸν ἐν τοιαύτῃ ἡλικίᾳ, ἀνθίσταται, ὑποσχόμενος πᾶσαν ἄλλην συνδρο-

μήν· ἀλλ' ὁ ὅσιος, ἐπιμένων ἔλαβε τὸν Ῥάμαν σὺν τῷ Λαξμάνᾳ, καὶ ἀνεχώρησε.

Καθ' ὁδὸν ἀνθίσταται κατὰ τῶν ὁδοιπόρων, ὡς μέλαινα συννεφία, ἡ τρομερὰ δαίμων Ταράκα, παμμέλαινα οὖσα, κρανία ὡς ἐλλόβια ἔχουσα, καὶ ἐντόσθια ἀνθρώπινα περὶ τὴν ὀσφὺν, ὡς ζώνην φέρουσα. Ἀλλ' ὁ Ῥάμας, ἀφεὶς ὠκύθεον βέλος, καταβάλλει αὐτὴν, καὶ παρὰ τοῦ Βισβαμίτρα ἔλαβεν, ὡς ἀμοιβὴν, θεῖα ὅπλα, μετ' ἐπῳδῆς ἀναιρετικῆς τῶν δαιμόνων. (Οὕτω καὶ ὁ Ἀχιλλεὺς παρὰ τῆς Θέτιδος). Δι' αὐτῶν οὖν καταπολεμήσας τοὺς ταράσσοντας τὴν θυσίαν δαίμονας, καὶ τοὺς πρωτοστάτας Μαρίτσαν καὶ Σουβαχοῦν, υἱοὺς τῆς δαίμονος Ταράκας, διασκορπίσας, παρέσχεν εἰς τὸν θύτην τὸν ἀπαιτούμενον καιρὸν πρὸς ἐκτέλεσιν τῆς τελεσιουργίας. Ὕστερον ἀναστὰς ὁ ἄγριος Παρασουράμας, ὁ τῶν Ξατρῶν ἐξολοθρευτὴς, προεκάλεσε τὸν Ῥάμαν εἰς νέον ἀγῶνα· ἀλλ' ὁ ἥρως ἐταπείνωσε καὶ τούτου τὴν ὀφρύν. Ὁ δὲ ἡττηθεὶς, ὡμολόγησε τὴν ἐπὶ γῆς τοῦ Θεοῦ παρουσίαν, εἰπών· « Ἀληθῶς ἔγωγε γινώσκω σε ἀρχαῖον Θεόν· » ἐπαινετή ἐστιν ἡ ἥττα, ἡ παρὰ Θεοῦ γενομένη » (1). Ἐπορεύθη δ' ἔπειτα ὁ ἥρως εἰς τὰ βασίλεια τοῦ Ζανάκα, ἔνθα ἦν τὸ τρισμέγιστον τόξον τοῦ Σίβα, ὅπερ οὐδεὶς ποτε ἔκαμψε, καὶ ἕνεκα τούτου ὡς ἆθλον ὑπὲρ τῆς συζυγίας τῆς ὡραίας Σιτᾶς ἐτέθη. Τοῦτο, λέγω, κάμψας συνέθλασε, καὶ τὴν γηγενῆ Σιτὰν ὡς σύζυγον λαβὼν, ἐπέστρεψεν εἰς τὴν Ἀϊοδεάν.

---

(1) Ραγγοῦ-Βάνσα· κεφ. ΙΑ'. δίστ. 85—86.

μέγας καὶ ἰσχυρὸς, γινόμενος ἄνθρωπος, ἠδύνατο τόν τε Ῥαβάναν, καὶ τοὺς Ῥασκάσας αὐτοῦ καταβαλεῖν.

Οἱ θεοὶ ὑμνήσαντες τὸν παντοδύναμον Βισνοῦν, ἐζήτησαν τὴν βοήθειαν αὐτοῦ. Συνήνεσεν ὁ Θεός.

Ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ βασιλεὺς Δασσαράτας, ὢν ἄτεκνος, ἐκάλεσε τοὺς θείους Βραχμᾶνας, ὅπως θυσίαν ὑπὲρ τεκνογονίας τοῦ Βασιλέως ποιήσωσιν. Ὁ δὲ Θεὸς Βισνοῦς, δεχθεὶς τὴν παράκλησιν τῶν θεῶν, καὶ τῆς δεήσεως τῶν Βραχμάνων εἰσακούσας, ἐνανθρωπεῖ. Αὕτη ἐστὶν ἡ ἑβδόμη τοῦ Θεοῦ τούτου Θεοφάνεια ἤ Αὐατάρα. Θυόντων οὖν τῶν Βραχμάνων, ἀνεφάνη ἐν μέσῳ τῆς φλογὸς τοῦ θυσιαστηρίου νεανίας ὑπέρκαλος, φιάλην ἐν χειρὶ φέρων. Ταύτην μετ' εὐλαβείας λαβὼν ὁ βασιλεὺς, καὶ τὸ ἐν αὐτῇ θεῖον ἔδεσμα εἰς δύο διαμερίσας, ἔδωκε πρὸς τὰς δύο αὐτοῦ γυναῖκας, ἐπιτάξας ὅπως πίῃ ἑκάστη τὸ ἥμισυ, δώσῃ δὲ τὸ λοιπὸν τῇ τρίτῃ. Οὕτως ἡ μὲν συλλαβοῦσα ἔτεκε τὸν Ῥάμαν· ἡ δὲ, τὸν Βαράταν· ἡ δὲ τρίτη, ἐκ τῆς διπλῆς δόσεως, τὸν Λαξμάναν καὶ Σατρούγναν.

Ἡ τεράστιος αὕτη γέννησις τοῦ πρωτοτόκου Ῥάμα, καὶ ἡ ἀνατροφὴ τοῦ ἥρωος, παρέχουσιν ὕλην ἄφθονον εἰς τὸν ἐποποιὸν, καὶ τοὺς μεταγενεστέρους ποιητάς· καὶ τοῦτο μέχρι τοῦ δεκάτου ἑβδόμου ἔτους τῆς ἡλικίας τοῦ Ῥάμα. Ἀλλ' ἤδη ἤγγικεν ἡ ὥρα· ἡ δὲ δύναμις τοῦ Θεοῦ βαθμηδὸν εἰς τὰς πράξεις αὐτοῦ φανερωθήσεται.

Ὁ ὅσιος Βισβαμίτρας θύων, καὶ παρὰ τῶν Ῥασκάσων ἐνοχλούμενος ἐζήτησε ῥητῶς τὴν βοήθειαν τοῦ Ῥάμα· ὁ δὲ βασιλεὺς, μὴ θέλων ἵνα ἐκθέσῃ τὸν υἱὸν ἐν τοιαύτῃ ἡλικίᾳ, ἀνθίσταται, ὑποσχόμενος πᾶσαν ἄλλην συνδρο-

μήν· ἀλλ' ὁ ὅσιος, ἐπιμένων ἔλαβε τὸν Ῥάμαν σὺν τῷ Λαξμάνα, καὶ ἀνεχώρησε.

Καθ' ὁδὸν ἀνθίσταται κατὰ τῶν ὁδοιπόρων, ὡς μέλαινα συννεφία, ἡ τρομερὰ δαίμων Τατάκα, παμμέλαινα οὖσα, κρανία ὡς ἐλλόβια ἔχουσα, καὶ ἐντόσθια ἀνθρώπινα περὶ τὴν ὀσφὺν, ὡς ζώνην φέρουσα. Ἀλλ' ὁ Ῥάμας, ἀφεὶς ὠκύθεον βέλος, καταβάλλει αὐτὴν, καὶ παρὰ τοῦ Βισβαμίτρα ἔλαβεν, ὡς ἀμοιβὴν, θεῖα ὅπλα, μετ' ἐπῳδῆς ἀναιρετικῆς τῶν δαιμόνων. (Οὕτω καὶ ὁ Ἀχιλλεὺς παρὰ τῆς Θέτιδος). Δι' αὐτῶν οὖν καταπολεμήσας τοὺς ταράσσοντας τὴν θυσίαν δαίμονας, καὶ τοὺς πρωτοστάτας Μαρίτσαν καὶ Σουβαχοῦν, υἱοὺς τῆς δαίμονος Τατάκας, διασκορπίσας, παρέσχεν εἰς τὸν θύτην τὸν ἀπαιτούμενον καιρὸν πρὸς ἐκτέλεσιν τῆς τελεσιουργίας. Ὕστερον ἀναστὰς ὁ ἄγριος Παρασουράμας, ὁ τῶν Ξατρῶν ἐξολοθρευτὴς, προεκάλεσε τὸν Ῥάμαν εἰς νέον ἀγῶνα· ἀλλ' ὁ ἥρως ἐταπείνωσε καὶ τούτου τὴν ὀφρύν. Ὁ δὲ ἡττηθεὶς, ὡμολόγησε τὴν ἐπὶ γῆς τοῦ Θεοῦ παρουσίαν, εἰπών· « Ἀληθῶς ἔγωγε γινώσκω σε ἀρχαῖον Θεόν· » ἐπαινετή ἐστιν ἡ ἥττα, ἡ παρὰ Θεοῦ γενομένη » (1). Ἐπορεύθη δ' ἔπειτα ὁ ἥρως εἰς τὰ βασίλεια τοῦ Ζανάκα, ἔνθα ἦν τὸ τρισμέγιστον τόξον τοῦ Σίβα, ὅπερ οὐδεὶς ποτε ἔκαμψε, καὶ ἕνεκα τούτου ὡς ἆθλον ὑπὲρ τῆς συζυγίας τῆς ὡραίας Σιτᾶς ἐτέθη. Τοῦτο, λέγω, κάμψας συνέθλασε, καὶ τὴν γηγενῆ Σιτὰν ὡς σύζυγον λαβὼν, ἐπέστρεψεν εἰς τὴν Ἀϊοδδεάν.

---

(1) Ραγγοῦ-Βάνσα· κεφ. ΙΑ'. δίστ. 85—86.

Ἐν τούτοις ὁ Δασσαράτας, προβεβηκὼς ὢν τὴν ἡλικίαν, βουλὴν ἔθετο, ὅπως τὸν Ῥάμαν διάδοχον τῆς βασιλείας ἀναδείξῃ. Τῆς φήμης ταύτης διαδοθείσης, ὁ μὲν λαὸς ἔχαιρεν· ὁ Ῥάμας καὶ ἡ Σιτὰ ἡγιάζοντο ἑτοιμαζόμενοι· ὁ δὲ βασιλεὺς ὑπ' ἀλλοκότων ὀνείρων ἠνοχλεῖτο.

Ἡ Καϊκεγὴ, μήτηρ τοῦ Βαράτα, δευτέρα δὲ σύζυγος τοῦ Δασσαράτα, εἶχε μεθ' ἑαυτῆς τὴν γραίαν αὐτῆς τροφὸν, Μανθάραν καλουμένην, γυναῖκα κακόζηλον καὶ μελάγχολον, ἥτις τὸν μὲν Βαράταν ἠγάπα, τὸν δὲ Ῥάμαν ἐμίσει. Αὕτη οὖν, ἰδοῦσα ἀναπαυομένην τὴν Καϊκεγὴν « Σὺ » ἡσυχίαν ἄγεις, εἶπεν, ἐν ᾧ ὁ λαὸς πανηγυρίζει τὴν τοῦ » Ῥάμα ἀναγόρευσιν ». Ἡ μὲν ἀκούσασα, « Χαίρω » ἀπήντησε, καὶ τὴν τροφὸν ἐφιλοδώρησε. Τὸ δὲ γραΐδιον ἔτι μᾶλλον ἐταράχθη. Μυρίους οὖν μεταχειρίζεται τρόπους, ἵνα διαταράξῃ αὐτήν· πλῆθος ἐπιφέρει δολίων ἐπιχειρημάτων, νῦν μὲν τὴν φιλοδοξίαν καὶ φιλαυτίαν, νῦν δὲ τὴν ἀντιζηλίαν καὶ ἀντιπάθειαν τῆς Καϊκεγῆς ὑποκινοῦσα, καταπείθει, ἐπὶ τέλους αὐτὴν, ὅπως ἀνατρέψῃ τὴν ὑπὲρ τοῦ Ῥάμα ἀπόφασιν τοῦ βασιλέως.

Ἐνθυμηθεῖσα δὲ, ὅτι εἰς τὸν κατὰ τῶν Ἀσούρων πόλεμον ὁ Δασσαράτας, βαρέως πληγωθεὶς καὶ μεγάλας λαβὼν παρὰ τῆς Καϊκεγῆς περιποιήσεις, ὑπεσχέθη αὐτῇ μεθ' ὅρκου δύο ὁποιασδήποτε χάριτας, ἀπήτησε Α'. τὴν δεκατεσσάρων ἐτῶν ἐξορίαν τοῦ Ῥάμα, καὶ Β'. τὴν τοῦ Βαράτα ἀναγόρευσιν. Ὁ βασιλεὺς ταραχθεὶς σφόδρα, μετεχειρίσθη μυρίους τρόπους εἰς ἀνατροπὴν τῆς αἰτήσεως. Ἀλλ' ἡ μὲν Καϊκεγὴ μένει ἀδυσώπητος· ὁ δὲ Ῥάμας, μαθὼν τὴν αἰτίαν τῆς ἀγωνίας τοῦ πατρὸς, καὶ μὴ θέλων ἐπίορκον αὐτὸν ἀναδεῖξαι, κα-

ταπείθει τὸν βασιλέα, καὶ ἐρημικὴν ἐνδυθεὶς στολὴν, ἀναχωρεῖ εἰς τὴν ἔρημον μετὰ τῆς φιλάνδρου Σιτᾶς, καὶ τοῦ ἀχωρίστου ἀδελφοῦ Λαξμάνα.

Ἐν τούτοις ὁ Βαράτας ἦν τότε ἀπὼν, καὶ ἐπανακάμψας, τὴν μὲν μητέρα καὶ τὴν τροφὸν ἐμέμφθη, τὸν δὲ πρωτότοκον ἀδελφὸν μεταπεμψάμενος ἐκάλει. Ἀλλ' ὁ Ῥάμας, ὢν ἀδυσώπητος, ἐπροτίμα πᾶσαν ἐξορίαν, παρὰ τὴν τοῦ πατρὸς ἐπιορκίαν. Οὕτως ὁ μὲν ἔμεινεν εἰς τὴν ἔρημον· ὁ δὲ βασιλεὺς ἐκ τῆς λύπης ἐτελεύτησεν· ὁ δὲ Βαράτας ἐπιτροπικῶς τὴν βασιλείαν ἐκυβέρνησεν.

Οἱ τρεῖς ὁδοιπόροι, διερχόμενοι τὰς ἐρήμους ἐπισκέπτονται τοὺς περιφανεστέρους ἐπὶ ὁσιότητι καὶ μαθήσει ἐρημίτας, καὶ πολλὰ παρ' αὐτῶν διδασκόμενοι μανθάνουσιν. Ἐπὶ τέλους φθάνουσιν εἰς τὸ ἀσκητήριον τοῦ μεγάλου Ἀγαστέα, ὅστις φιλοφρονήσας τὸν ἥρωα, ἐδωρήσατο αὐτῷ τεράστιον τόξον, καὶ ἐσυμβούλευσεν, ἵνα τὴν προθεσμίαν τῆς ἐξορίας περιμείνῃ εἰς τερπνόν τινα τόπον, καλούμενον Π α ν κ α β α τ ή ν.

Μετ' ὀλίγον ἡ δαίμων Συρπανάκα (ἀδελφὴ τοῦ Κόρου καὶ Ῥαβάνα), διαβαίνουσα ἐκεῖθεν εἶδε τὸν Ῥάμαν, καὶ ἐκ τοῦ κάλλους αὐτοῦ τρωθεῖσα, προτείνει τὴν μετ' αὐτῆς ἕνωσιν. Ὁ μὲν ἥρως ἀπέῤῥιψε τὴν ἄσεμνον πρότασιν· ἡ δ' ὀργισθεῖσα κινεῖται κατὰ τῆς Σιτᾶς. Ὁ Ῥάμας, ἀποκρούσας τὴν προσβολὴν τῆς δυσειδοῦς Ῥασκάσας, ἀποκόπτει διὰ τῶν βελῶν τὴν ῥίνα· ἡ δὲ ὑψωθεῖσα πληρεῖ τὸν αἰθέρα δι' ἀγρίων κραυγῶν, καὶ πρὸς τὸν ἀδελφὸν Κόρον διηγεῖται τὴν περιφρόνησιν. Οὗτος ἐξαπέστειλε κατὰ τοῦ Ῥάμα τοὺς ἀνδρειοτέρους Ῥασκάσας μετὰ τῆς ῥινοτμήτου Συρπανάκας· ἀλλὰ καταβληθέντες παρὰ τοῦ

ἥρωος, πίπτουσι νεκροί. Ὁ Κόρος κινεῖ ἐπὶ κεφαλῆς μεγάλης στρατιᾶς Ῥασκάσων· ἀλλ' ὁ Ῥάμας, φονεύσας καὶ τοῦτον καὶ τοὺς ἄλλους ἀρχηγούς, διασκορπίζει τὴν λοιπὴν στρατιάν.

Παρατηρεῖ ὁ ἀναγνώστης κατὰ ποῖον τρόπον τὰ ὑπὲρ ἄνθρωπον ἔργα τοῦ ἥρωος ἀναπτύσσουσιν, οὕτως εἰπεῖν, βαθμηδὸν καὶ κατ' ὀλίγον ὀλίγον, τὴν δύναμιν τοῦ ἀκαταμαχήτου Θεοῦ.

Ἐν τούτοις ἡ Συρπανάκα κατέφυγε τότε πρὸς τὸν ἕτερον ἀδελφὸν Ῥαβάναν, πρωτοστάτην τῶν Ῥασκάσων, οἰκοῦντα τὴν νῆσον Κεϋλάνην, καὶ διὰ δαιμονικῆς εὐγλωττίας κινεῖ τὴν ὀργὴν αὐτοῦ κατὰ τοῦ Ῥάμα, καὶ τὴν ἐρωτικὴν ἐπιθυμίαν ὑπὲρ τῆς Σιτᾶς. Οὗτος, πρὸς ἐκδίκησιν τοῦ φόνου τοῦ ἀδελφοῦ, τοσούτων Ῥασκάσων, καὶ τῆς περιφρονήσεως τῆς ἀδελφῆς, ἀποφασίζει τὴν διὰ δόλου ἁρπαγὴν τῆς Σιτᾶς. Ὥστε ἡ Ἰνδικὴ ἐποποιία, ὡς ἡ Ἑλληνικὴ, στηρίζεται εἰς τὴν ἁρπαγὴν μιᾶς ἐπισήμου γυναικός· τῆς Ἑλένης, λέγω, καὶ τῆς Σιτᾶς. Ὁ δὲ ποιητὴς, τοιοῦτον ἔχον στάδιον, καὶ ἀντιπάλους ἀγαθοποιὸν Θεὸν, καὶ τὸν πρωτοστάτην τῶν κακοποιῶν δαιμόνων, προχωρεῖ μεγαλοπρεπῶς πρὸς τὸν μέγαν σκοπὸν τοῦ ἐπικοῦ δράματος.

Ὁ Ῥαβάνας προσκαλεῖ τὸν ἄγριον Μαρίκην, ὃν εἶχε καταπολεμήσει ποτὲ ὁ νέος Ῥάμας, ὑπερασπιζόμενος τὴν θυσίαν τοῦ Βισβαμίτρα. Οὗτος, γινώσκων ἐκ πείρας τὴν ὑπεράνθρωπον ἀνδρείαν τοῦ Ῥάμα, ἀποτρέπει τὸν Ῥαβάναν· ἀλλ' ὁ πρωτοστάτης διαμένει ἀμετάτρεπτος· διότι, τοιαύτη ἦν ἡ βουλὴ τοῦ Βράχμα. Διὸς δ' ἐτελέετο βουλή. Ὅθεν ὁ μὲν Μαρίκης μεταμορφωθήσεται εἰς χρυ-

σῆν ἔλαφον, ἥτις παίζουσα ἑλκύσει τὴν προσοχὴν τῆς Σιτᾶς. Ὁ Ῥάμας, χαριζόμενος, διώξει τὴν ἔλαφον· ἡ δὲ ἀπομακρυνθήσεται καὶ μετ' αὐτῆς ὁ Ῥάμας. Ἡ ἔλαφος φωνήσει τότε ἀνθρωπείᾳ πεπλασμένῃ φωνῇ. «Λαξμάνα, »Λαξμάνα, σῶσον με!» Ἡ Σιτὰ, ὑποθέττουσα εἰς κίνδυνον τὸν Ῥάμαν, πέμψει εἰς βοήθειαν τὸν Λαξμάναν. Οὕτως ἡ μὲν Σιτὰ εὑρεθήσεται μόνη· ὁ δὲ καιροφυλακτῶν Ῥαβάνας ἁρπάσει αὐτὴν, καὶ ἐπὶ τοῦ αἰθερίου καὶ νοητικοῦ ἅρματος ἐπανακάμψει εἰς τὴν Κεϋλάνην.

Ἡ μὲν ἐπιβουλὴ πληρέστατα εὐδοκήμησεν· ἡ δὲ Σιτὰ ἐν ἀκαρεῖ ἐγένετο ἄφαντος. Οὕτω τελεῖται τὸ μέγα ἀδίκημα, ἕνεκα τοῦ ὁποίου μεγίστη συμβήσεται πάλη μεταξὺ τοῦ Ῥάμα, καὶ Ῥαβάνα· τοῦ ἐνανθρωπήσαντος Βισνοῦ, καὶ τοῦ πρωτοστάτου τῶν δαιμόνων. Σκυθρωπάζει ἐπὶ τούτῳ ἡ φύσις, καὶ τὸ πᾶν ἐξαγγέλλει παράδοξον συμβεβηκός. Ἡ μὲν Σιτὰ θρηνοῦσα ἐπικαλεῖται τὴν βοήθειαν τῶν δύο ἡρώων, τῶν πρωτοστάτιδων θεοτήτων, καὶ πάσης τῆς κτίσεως, πλὴν εἰς μάτην.

Οἱ κλαυθμοὶ τῆς ἁρπαγείσης γυναικὸς ἐξυπνοῦσι τὸν γηραιὸν Καταγοῦν (ὅς ἐστιν ὁ βασιλεὺς τῶν ἀετῶν, καὶ τὸ σύμβολον τοῦ Βισνοῦ, ὡς καὶ τὸ τοῦ Διός)· οὗτος ἀνθίσταται ἐναερίως· ἀλλὰ καταβληθεὶς, αὐτὸς μὲν πίπτει· ὁ δὲ Ῥαβάνας φθάνει εἰς τὴν Κεϋλάνην. Καθ' ὁδὸν ἡ Σιτὰ ῥίπτει ἓν κατόπιν τοῦ ἄλλου πάντα αὐτῆς τὰ κοσμήματα, ὅπως εὕρῃ ἀκολούθως ὁ Ῥάμας τὸ μέρος τῆς διαμονῆς αὐτῆς.

Ἐν τούτοις ὁ ἥρως, ἀνακαλύψας ὑπὸ τὴν χρυσῆν ἔλαφον τὴν παρουσίαν πονηροῦ δαίμονος, ἐννόησε τὴν πλεκτάνην καὶ δρομαίως ἐπιστρέφων ἀπαντᾷ τὸν Λαξμά-

ναν, πρὸς ὃν εἶπεν· « Ὦ Λαξμάνα, πῶς μακρὰν εἶ τῆς » Σιτᾶς; ἡ ἀπατηλὴ φωνὴ, ἧς ἤκουσας, ἦν τῆς ἐλάφου, » ὑπὸ τὴν ὁποίαν εὑρίσκετο κεκρυμμένος Ῥασκάσας, » καὶ οὐχὶ ἡ ἐμή! » Ταῦτα φωνήσας ἔδραμε μετὰ τοῦ ἀδελφοῦ πρὸς τὸ μέρος τῆς κατοικίας. Διέρχονται ἀσθμαίνοντες πᾶσαν γωνίαν· καλοῦσιν ἐπανειλημμένως τὴν Σιτάν· Ἀλλ' οὐδὲ φωνὴ, οὐδ' ἀκρόασις. Τίς τὴν ἀγωνίαν εἴποι; τίς τοὺς θρήνους, τὰς κραυγὰς, Δασσαρατιδῶν τὴν μῆνιν, φθάσασαν μέχρις οὐρανοῦ (1);

Ἐνταῦθα ὁ βαθμὸς, τῳόντι, τῆς ἀμοιβαίας συζυγικῆς ἀγάπης, τῆς πίστεως, καὶ τῆς ἀπελπισίας τῶν δύο χωρισθέντων συζύγων, ἡ ἀβρότης τῶν αἰσθημάτων, τῶν ἰδεῶν, τῶν ἐκφράσεων, κ.τ.λ. ἀποκαθιστῶσι τὴν ἐποποιΐαν παθητικὴν καὶ θελκτικωτάτην.

Τρεῖς κατὰ συνέχειαν ἡμέρας οἱ ἥρωες διερχόμενοι τὸ δάσος ἐφώνουν, εἰς μάτην καλοῦντες τὴν Σιτάν. Τὴν τετάρτην εὑρίσκουσι τινὰ τῶν κοσμημάτων, καὶ τὸν Καταγοῦν κείμενον κατὰ γῆς. Οὗτος διηγεῖται τὴν ἁρπαγὴν τοῦ Ῥαβάνα· καὶ συμβουλεύσας ὅπως ζητήσωσι τὴν συμμαχίαν τοῦ Σουγρίβα, βασιλέως τῶν Πιθήκων (εἰς οὓς μεταμορφωμένοι ἦσαν ὁ Ἴνδρας καὶ οἱ κατώτεροι θεοὶ) ἐξέπνευσεν. Ὁ οὖν Ῥάμας, καταπολεμήσας πρότερον τὸν τύραννον Βαλῆν, ἐχθρὸν τοῦ Σουγρίβα, συνδέει μετὰ τοῦ τελευταίου στενὴν συμμαχίαν, καὶ ἑτοιμάζονται εἰς τὸν κατὰ τοῦ Ῥαβάνα πόλεμον, ἀρχιστράτηγον

(1) Chi narrera le angoscie, i pianti, i gridi.
l' alta querella, che nel ciel penetra?
Ῥαμαϊαν. Γορ. Τ. III. σελ. 18.

τὸν πολύμητιν Χανουμᾶνα ἔχοντες. Οὗτος συναθροίσας μεγάλην στρατιὰν, πορεύεται μόνος εἰς ἀνακάλυψιν τῆς Σιτᾶς, καὶ πυρπολήσας τὴν πόλιν, εὑρίσκει τρόπον, καὶ πρὸς μὲν τὴν Σιτὰν ἐγχειρίζει τὸ δακτυλίδιον τοῦ 'Ράμα· ταύτην δ' ἐνθαρρύνας λαμβάνει παρ' αὐτῆς ἕτερον, ὅπερ δίδει εἰς τὸν 'Ράμαν. Εἶτα κινήσας τὴν στρατιὰν, φθάνει μέχρι τῶν μεσημβρινῶν παραλίων τῆς Ἰνδίας, ἀπέναντι τῆς Κεϋλάνης.

Τοὐντεῦθεν ἄρχονται τὰ μεγάλα κατορθώματα. Γεφυροῦται τὸ μέγα διάστημα τῆς θαλάσσης, τῆς διαχωριζούσης τὴν νῆσον ἐκ τῆς ἠπείρου. Διαβιβάζεται πᾶσα ἡ στρατιά· πολιορκεῖται ἡ Λακάνη· συγκροτοῦνται φονικώταται μάχαι. « Συνεχῶς ἡ ἐπιφάνεια τῆς γῆς καλύ-» πτεται ἐκ πτωμάτων τῶν μαχομένων ἡρώων (1). Τὰ » μὲν δένδρα συνέθλων τοὺς μοχλοὺς τῶν δαιμόνων· οἱ » δὲ λίθοι συνέτριβον τοὺς κοπάνους· οἱ ὄνυχες ὑπερί-» σχυον τῶν ὀξέων ὅπλων· τὰ δὲ ὄρη συνεπίεζον τοὺς » μεγάλους ἐλέφαντας » (2). Κροτοῦσιν ἐν οὐρανῷ τύμπανα ὁσάκις νικῶσιν οἱ περὶ τὸν 'Ράμαν ἥρωες· ἀλαλάζουσιν ἐν αἰθέρι τὰ τελώνια, ὁσάκις ὑπερισχύουσιν οἱ 'Ρασκάσαι. Συναπαντῶνται ἐπὶ τέλους οἱ δύο ἀντίζηλοι· ὁ 'Ράμας καὶ ὁ 'Ραβάνας. Ἐνταῦθα εἷς ἐκ τῶν δύο ἀπο-

(1) Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
Ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
Οἰωνοῖσί τε πᾶσι· Διὸς δ' ἐτελείετο βουλή.
Ἰλιάδ. Α'. στίχ. 3—5.

(2) Ραγγοῦ-Βάνσα. Κεφ. ΙΒ'. δίστ. 70—106. Ἔνθα οἱ χαρακτῆρες τῶν ἡρώων φαίνονται ὅλως Ὁμηρικοί.

λέσει τὴν ζωήν (1). Ἡ τρομερὰ αὕτη μονομαχία διήρκεσε τρεῖς ἡμέρας (2). Πληγώνει πρῶτος ὁ Ῥαβάνας τὸν Ῥάμαν κατὰ τὸν βραχίονα· τὸ δὲ βέλος τοῦ Ῥάμα διέπειρε τὸ στῆθος τοῦ Ῥαβάνα· ἀλλ' ἡ μάχη ἔμενεν ἀμφιῤῥεπής. Ῥίπτει ὁ Ῥαβάνας τὴν Σαταγὴν, ἣ εἶχε κέντρα σιδηρᾶ· ὁ δὲ, ἀποφυγὼν τὴν προσβολὴν, ῥίπτει τὸ θεῖον βέλος, καλούμενον Βραχμάστραν, ὅπερ διαιρεθὲν ἐν αἰθέρι εἰς δέκα φλογίνους ῥομφαίας, ἔκοψε διὰ μιᾶς τὰς δέκα κεφαλὰς τοῦ ἀντιθέου Ῥαβάνα. Οὕτως ἐκπληροῦται τὸ θεῖον ἔργον. Οἱ μὲν ὅσιοι ἐλευθεροῦνται ἐκ τῆς σατανικῆς κακουργίας· ὁ δὲ Ῥάμας, νικητὴς τῶν Ῥασκάσων, ἀναλαμβάνει τὴν Σιτὰν, φανεῖσαν διὰ τοῦ πυρὸς ἄμωμον, καὶ εἰς τὴν Ἀϊοδδεὰν ἐπανέρχεται.

Ἐνταῦθα ἡ ἑνότης τοῦ ποιήματος τελειόνει. Καθότι ὁ Ῥάμας, διπλῆν ἔχων φύσιν, θείαν δηλ. καὶ ἀνθρώπινον, διπλοῦν ἔσχε θρίαμβον. Ὁ μὲν Θεὸς κατέστρεψε τὸν πρωτοστάτην τῶν δαιμόνων, τὸν δεκακέφαλον Ῥαβάναν· ὁ δὲ ἥρως ἀνέλαβε τὴν ἁρπαγεῖσαν σύζυγον, καὶ ἐπιστρέψας εἰς τὰ ἴδια, τὴν βασιλείαν τοῦ πατρὸς διεδέχθη. Ἀλλὰ καὶ οὕτως, ἡ Ἰνδικὴ ἐποποιία ἐξακολουθεῖ.

Καθότι ὁ Ῥάμας, διαμοιράσας τὴν βασιλείαν τοῦ Ῥαβάνα μεταξὺ τῶν συμμάχων, βραβεύει τοὺς φίλους, φι-

---

(1) Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
Ἓν δ' ἐτίθει δύο κῆρε τανηλυγέος θανάτοιο,
Τὴν μὲν, Ἀχιλλῆος· τὴν δ', Ἕκτορος Ἱπποδάμοιο.
Ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ.
Ὤχετο δ' εἰς Ἄϊδαο. . . . . Ὁμηρ. Ἰλ. χ. στ. 209.

(2) Τὸ τοιοῦτον ἀναπολεῖ τὴν τοῦ Ἀχιλλέως κατὰ τοῦ Ἕκτορος δίωξιν. Ἰλιάς. χ. στ. 199.

λοδωρεῖ τοὺς θείους, βραχμᾶνας, καὶ εὐτυχῆ ποιεῖ τὸν λαόν· ἡ δὲ Σιτὰ ἐγκυμονεῖ.

Ὁ οὖν Ῥάμας, ὢν εὐδαίμων, καὶ εὐδαίμονας πάντας ποιήσας, ἐρωτᾷ τινὰ τῶν αὐλικῶν· « τί φρονεῖ ὁ λαὸς » περὶ ἐμοῦ; καὶ τί λέγει; » — Σὲ μακαρίζει, εἶπεν ἐκεῖνος, » κατὰ πάντα· μέμφεται δέ σε, διότι ἔλαβες ἐκ νέου τὴν » Σιτὰν, ἁρπαγεῖσαν παρὰ τοῦ ἀσεβοῦς Ῥαβάνα, καὶ ἐν » τῇ οἰκίᾳ αὐτοῦ διατρίψασαν ». Τὸ τοιοῦτον προσέβαλε τὴν φιλοτιμίαν τοῦ ἥρωος· ὥστε ἀπεφάσισε ἵν' ἀποπέμψῃ τὴν σώφρονα αὐτοῦ σύζυγον. Ὁ Λαξμάνας, κατὰ διαταγὴν τοῦ Βασιλέως, ὁδηγήσας τὴν Σιτὰν πέραν τοῦ Γάγγου, ἀναγγέλλει γονυπετὴς τὴν ἀπόφασιν ταύτην. Ὀδύναι ᾅδου περιεκύκλωσαν τὴν ἀθλίαν γυναῖκα· ἀλλὰ καὶ ἐν τοιαύτῃ ἀπελπισίᾳ, μηδόλως κακολογήσασα, ηὔχετο ὑπὲρ τῆς εὐζωίας τοῦ συζύγου αὐτῆς.

Ὁ θεῖος Βαλμίκης ἤκουσεν ἐκ τοῦ ἀσκητηρίου τῶν θρήνων τῆς Σιτᾶς, καὶ παραμυθήσας, ὡδήγησεν αὐτὴν εἰς καλύβην τινὰ, πλησίον κειμένην, καὶ τὰ μετ' ὀλίγον καιρὸν παρ' αὐτῆς γεννηθέντα δίδυμα τέκνα πατρικῶς ἀνέτρεφε διδάσκων.

Μετὰ δεκαετίαν ὁλόκληρον ὁ Ῥάμας, παρατηρῶν τὰ δυστυχήματα τοῦ λαοῦ, ἕνεκα τῆς πρὸς τὴν ἀθῶαν σύζυγον ἀδικίας, προσεκάλεσε τοὺς Βραχμᾶνας, ὅπως διὰ θυσιῶν ἐξιλεώσῃ τοὺς θεούς. Μετὰ τὴν θυσίαν πανηγυρίζων εἶδεν ἐν τῷ μέσῳ τῆς ὁμηγύρεως δύο χαριτωμένα παιδία, ψάλλοντα τὴν Ῥαμαϊάναν, ἤτοι τὰ ἆθλα αὐτοῦ τοῦ ἰδίου, καὶ ἐκπλαγεὶς ἐκάλεσεν αὐτά. Μαθὼν δὲ τὸ ὄνομα τοῦ θεσπεσίου ποιητοῦ, προσεκάλεσεν αὐτὸν, ὑποσχόμενος τὸ ἥμισυ τῆς βασιλείας. Οὗτος ἀπεκρίθη,

ὅτι οὐδὲν ἕτερον ἐπιθυμεῖ, εἰμὴ τὴν τῆς ἀδικηθείσης Σιτᾶς ἀνάκλησιν. Τότε ὁ Ῥάμας, καλέσας αὐτὴν ἐπρότεινεν, ἵνα ἑαυτὴν ἀθῶαν ἔμπροσθεν πάντων ἀναδείξῃ. Ἡ δέ, λαβοῦσα ἱερὸν ὕδωρ, ἐπεκαλέσθη τῆς μητρὸς αὐτῆς Γῆς. « Ὦ μῆτερ, εἶπεν, ἂν ἤμην, καὶ εἶμαι φίλανδρος, καθαρὰ, καὶ ἄμωμος, δέομαί σου, ἵνα μὲ δεχθῇς ὡς τοιαύτην εἰς τοὺς κόλπους σου.» Τότε ἠνεώχθη χάσμα μέγα, καὶ ἐκ τοῦ χάσματος ἐξῆλθε γυνὴ μεγαλοπρεπὴς, ἥτις ἦν ἡ Γῆ, καὶ λαβοῦσα ἐν ἀγκάλαις τὴν θυγατέρα αὐτῆς Σιτὰν, ἐβυθίσθη πάλιν μετ' αὐτῆς. Καὶ ὁ μὲν λαὸς πεισθεὶς περὶ τῆς ἀθωότητος τῆς γυναικὸς, ἔμεινεν ἐκστατικὸς καὶ ἄφωνος. Ὁ δὲ Ῥάμας, σφόδρα λυπηθεὶς, ἀνέλαβε τὰ τέκνα, εἰς ἃ μετὰ ταῦτα τὴν βασιλείαν μερίσας, καὶ πᾶν τὸ πεπρωμένον ἔργον τελέσας, ἀνέβη εἰς τὸν οὐρανόν.

Τοιοῦτον ἐστὶν ἐν ὀλίγοις τὸ ὑποκείμενον τοῦ ἐπικοῦ ποιήματος τῆς Ῥαμαΐανας τοῦ Βαλμίκη, καὶ κατὰ μέγα μέρος τῆς συντομῆς αὐτοῦ, ἤτοι τῆς Ῥαγγοῦ-Βάνσας τοῦ Καλιδάσα.

Ἐκ τῶν προηγουμένων πληροφορεῖται ἕκαστος, ὅτι ἡ Ἰνδικὴ ἐποποιΐα ἐστὶ πλήρης ποιητικῆς καλλονῆς καὶ χάριτος, τεραστίων περιπετειῶν καὶ συμβεβηκότων, τερπνῶν διηγημάτων καὶ ἐπεισοδίων, ἁβρῶν αἰσθημάτων καὶ ἰδεῶν, καὶ εἰκόνων λαμπρῶν, γιγαντιαίων, καὶ πολλάκις ἀλλοκότων.

Τὸ μὲν ἱστορικὸν μέρος ἀνάγεται, ἴσως, εἰς παναρχαίαν τινὰ ἐκστρατείαν τῶν βορειοτέρων Ἰνδῶν, κατὰ τῶν μεσημβρινῶν τῆς Ἰνδίας τυράννων, καταφύγιον ἐχόντων τὴν Κεϋλάνην· ἡ δὲ ἀλληγορία ἐστὶν, ὡς

ἐρρέθη καὶ ἀλλαχοῦ, ὁ θρίαμβος τῶν ἀγαθῶν, κατὰ τῶν κακῶν καὶ ἀδίκων.

Ἡ Ἰνδικὴ ἐποποιία δεικνύει ἐν γένει βαθμὸν πολιτισμοῦ, καὶ ἡδυπαθείας, λίαν τῆς Ὁμηρικῆς ἐποχῆς τελειότερον. Ὁ μὲν ποιητὴς Βαλμίκης περιγράφων τὴν πρωτεύουσαν Ἀϊοδδεὰν, κτισθεῖσαν παρὰ τοῦ ἡλιογενοῦς Μανοῦ, « Αἱ ἀγυιαὶ, λέγει, καὶ αἱ πλατεῖαι ἦσαν εὐθεῖαι, » εὐρύχωροι, σκιαζόμεναι ἐξ εὐοδῶν δενδροστιχιῶν, πο- » τιζομένων ἐξ ἀφθόνων πηγῶν. Μεγαλοπρεπεῖς ναοὶ, » λαμπραὶ οἰκοδομαὶ, κῆποι καὶ ἀνθῶνες μέγιστοι » καθωραΐζον τὴν πόλιν, τῆς ὁποίας οἱ κάτοικοι, πάντες » δευτερογενεῖς, ἦσαν ἐγκρατεῖς, δίκαιοι, εὐσεβεῖς, φί- » λεργοι, κ.τ.λ.» Πολίχνιον τωόντι φαίνεται τὸ Ἴλιον, ὡς πρὸς τὴν Ἀϊοδδεάν.

Ἐνῷ ὁ Βεάσας, ἀπὸ τοῦ ἑβδόμου μέχρι τοῦ δεκάτου Κεφαλαίου τῆς σοβαρᾶς Μαχαβαράτας, ἤτοι περὶ ἔαρος, περὶ ἀνθολογίας καὶ ὑδροπαιδιᾶς, περὶ τῆς ἀνατολῆς τῆς Σελήνης· καὶ κατ' ἐξοχὴν ἐν τῷ δεκάτῳ Κεφαλαίῳ τῆς Βαλαβαράτας δεικνύει ἐναργέστατα τὸν ὑπέρτατον βαθμὸν τῆς ἡδυπαθείας καὶ φιληδονίας τῶν ἡρώων τῆς Ἰνδικῆς ἐποποιίας, οἵτινες εἰσὶ πάντῃ διάφοροι τῆς ἀπαραμίλλου ἁπλότητος τῶν τοῦ θεσπεσίου Ὁμήρου·

Τῷ δ' αὖτ' ἐν κλισίῃ Ὀδυσεὺς, καὶ δῖος ὑφορβὸς
Ἐντύνοντο ἄριστον ἅμ' ἠοῖ, κειαμένω πῦρ·
Ἐκπεμψάν τε νομῆας ἅμ' ἀγρομένοισι σύεσσιν.
Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι,
Οὐδ' ὕλαον προσιόντα, κ.τ.λ. (1)

(1) Ὀδύσσ. Π. ς. ί—κξ'.

Οὐχ ἧττον ἡ Ἰνδικὴ διαφέρει τῆς Ἑλληνικῆς καὶ ὡς πρὸς τὴν φύσιν τοῦ ἥρωος. Καθότι ὁ μὲν Ἀχιλλεὺς ἐστὶν υἱὸς τοῦ Πηλέως καὶ τῆς Θέτιδος· ὁ δὲ Ῥάμας, αὐτὸς ὁ Βισνοῦς, ὅστις ἐνανθρωπεῖ. Τὸ στάδιον ἄρα τῆς Ἰνδικῆς ἐποποιίας ἐστὶν ὁ οὐρανός, καὶ ἡ γῆ, ὁ αἰθὴρ καὶ ἡ Ἰνδία, ἡ ἐν τῇ Γαλακτικῇ θαλάσσῃ κατοικία τοῦ Βισνοῦ, καὶ τὰ ἀνάκτορα τῆς Ἀϊοδδεᾶς. Ὁ μὲν ἥρως, ὢν ἀνώτερος ἀνθρώπου, ἥρως, καὶ ἡμιθέου, ἐστὶν ἐνταὐτῷ ἄνθρωπος, ἥρως, καὶ Θεὸς μέγας, ἤτοι ἓν τῶν τριῶν προσώπων τῆς Ἰνδικῆς Τριάδος· ἡ δὲ ἡρωὶς, ἀγέννητος ἐκ μητρὸς, θυγάτηρ οὖσα τῆς Γῆς, καὶ εἰς τοὺς κόλπους αὐτῆς βυθιζομένη ἀναπολεῖ τὸν μῦθον τῆς Περσεφόνης καὶ τῆς Δήμητρος. Τοιούτου δ' ὄντος τοῦ ἥρωος, δυσκόλως δύναταί τις ἵνα τὸν χαρακτῆρα τῆς ἐποποιίας ταύτης σαφῶς διορίσῃ.

Καθότι πάντες οἱ ἐν αὐτῇ ἥρωες, εἰσὶ θεοὶ ἐνσαρκωθέντες, ἢ θεῶν ἀπόῤῥοιαι. Ὁ μὲν Ἀχιλλεὺς ἐστὶν ἥρως θεῖος, δῖος Ἀχιλλεὺς, κατὰ τὸν Ὅμηρον· ὁ δὲ Ῥάμας, Θεὸς ἥρως. Ὑπόκειται μὲν οὗτος εἰς τὰς ἀνθρωπίνους ἀδυναμίας· ἀλλ' ὅταν ἔλθῃ τὸ πλήρωμα τοῦ χρόνου, ἐκλείπει πᾶν τὸ ἀνθρώπειον· αἱ δὲ ἀκτῖνες τῆς θεότητος διαλάμπουσιν εἰς πᾶσαν περίστασιν. Ὅθεν ὁ μὲν Ῥάμας ὑποφέρει ὡς ἄνθρωπος, μάχεται δὲ καὶ θριαμβεύει ὡς Θεὸς ἀήττητος (1). Ὁ

(1) « Γινώσκω (εἶπεν ὁ Βισνοῦς) ὡς ἡ μεγαλειότης καὶ ἡ ἰσχὺς ὑμῶν τῶν θεῶν κατεπατήθη ὑπὸ τοῦ γίγαντος Ῥαβάνα· οὗτος ἠδύνας τὸν Βραχμᾶν, ἤτησε παρ' αὐτοῦ ἄτρωτος εἶναι

δὲ Ἀχιλλεὺς ὑποφέρει ὡς ἄνθρωπος, μάχεται ὡς ἥρως, καὶ ὡς ἥρως ἀποθνήσκει.

Ἡ πάλη, ἐν τῇ Ῥαμαϊάνᾳ, παρίσταται μεταξὺ τοῦ ἀγαθοποιοῦ Θεοῦ, καὶ τῶν κακοποιῶν Δαιμόνων. Ὁ Βισνοῦς ὑπὸ τὴν μορφὴν τοῦ Ῥάμα ἐστὶ προστάτης τῆς ὁσιότητος, καὶ ἐξολοθρευτὴς τῶν ἀντιθέων Τιτάνων καὶ τεράτων. Ὅθεν ἐπὶ τῆς Ἰνδικῆς σκηνῆς παρουσιάζονται ὑπερφυσικὰ ὄντα, ὅπλα θεῖα, ἐπῳδαὶ τεραστίου δυνάμεως, καὶ ζῶα, εἰς ἃ ἐνσαρκοῦνται αἱ θεῖαι νύμφαι, καὶ οἱ δευτερεύοντες θεοί. Ἕνεκα τούτου τὸ τεράστιον, τὸ ὑπερφυσικὸν, καὶ τὸ θαῦμα μᾶλλον, ἢ τὸ θαυμαστὸν ἐπικρατεῖ, καὶ τὸ μυθικὸν ὑπερτερεῖ τοῦ ἐπικοῦ. Ὁ ἥρως ἐν τῇ Ἰλιάδι, μαχόμενος βοηθεῖται μακρόθεν παρὰ τῶν θεῶν· ἐν δὲ τῇ Ἰνδικῇ, αὐτὸς ὁ Θεὸς ὑπὸ τὴν μορφὴν τοῦ ἀνθρώπου ἐνεργεῖ. Οἱ μὲν ἥρωες τοῦ Ὁμήρου διὰ τῆς ἐπενεργείας τῶν θεῶν πράττουσιν ἔργα θαυμαστά· οἱ δὲ θεοὶ ἥρωες τῶν Ἰνδῶν ποιοῦσι θαύματα. Ὅθεν τὸ ἀεροβατικὸν καὶ νοητικὸν ἅρμα, δι' οὗ ἐπέστρεψεν ἐναερίως ὁ Ῥάμας εἰς τὴν Ἀϊοδδεὰν μετὰ τῆς στρατιᾶς ἁπάσης ἐστὶ θαῦμα ὑπέρτερον τῶν νόμων καὶ ὅρων τῆς φύσεως. Διὰ τοῦτο αἱ ἐνσαρκώσεις τῶν θεῶν εἰσὶν, ὡς ἐρρέθη καὶ ἀλλαχοῦ (1), ὁ τῆς Ἰνδικῆς ἐποποιίας μέγας

οὐ θνητοῖς ἀνθρώποις (ἐπειδὴ ὡς οὐδὲν αὐτοὺς ἐλογίζετο)· ἀλλ' ἀθανάτοις θεοῖς. Ὅθεν γενόμενος ἐγὼ υἱὸς τοῦ Δασσαράτα ἀποκόψω τὰς δέκα κεφαλὰς τοῦ Ῥαβάνα· οὗτος παρανάλωμα γενήσεται τοῦ ἐμοῦ τροχίσκου. (Ῥαγγοῦ-Βάνσα κεφάλ. Ι'. δίστ. 37—46.)

(1) Προλεγ. Βαλαβ.

μοχλὸς, καὶ ἡ κυριωτέρα καὶ οὐσιωδεστέρα, μεταξὺ Ἑλληνικῆς καὶ Ἰνδικῆς ἐποποιίας διαφορά.

Παρατηρητέον δὲ, ὅτι ὁ ἐνσαρκωθεὶς Θεὸς ἐνεργεῖ ὡς τοιοῦτος ἐπὶ τῆς Γῆς, καὶ ταὐτοχρόνως ἐν τῷ οὐρανῷ. Ἐνίοτε δὲ, πρὶν τελειώσει τὸ ἔργον τῆς πρώτης τοῦ Θεοῦ ἐνσαρκώσεως, νέα ἄλλη ἐνσάρκωσις δι' ἄλλο ἔργον ἑτοιμάζεται. Καὶ ἐπειδὴ αὕτη δὲν τελεῖται μονοειδὴς, ἀλλὰ τετραειδὴς, ὡς ἐν τῇ Ῥαμαϊάνᾳ καὶ Μαχαβαράτᾳ, δῆλον ὅτι ὁ αὐτὸς Θεὸς διαιρούμενος συγχρόνως, πολυειδῶς, πολυτρόπως, καὶ κατὰ διαφόρους τόπους ἐνανθρωπεῖ, κατὰ τὴν ἀκόλαστον παραφορὰν τῆς ἀτάκτως πλανωμένης φαντασίας τῶν Ἰνδῶν ἐποποιῶν.

Ὁ ἄνθρωπος ἐν τῇ Ἑλληνικῇ τραγῳδίᾳ καὶ ἐποποιίᾳ διὰ μόνης τῆς ἑαυτοῦ ἠθικῆς καὶ φυσικῆς δυνάμεως παλαίει ἐναντίον τῆς Εἱμαρμένης, καὶ, ἢ ὡς ἥρως θριαμβεύει, ἢ ὡς ἥρως ἀποθνήσκει, γινόμενος οὕτως τύπος καὶ ὑπογραμμὸς ἠθικῆς τινος τελειότητος. Ἀλλ' ἐν τῇ Ἰνδικῇ ἀφανίζεται ὁ ἄνθρωπος καὶ ὁ ἥρως· καθότι ὁ ἐνεργῶν ἐστὶν αὐτὸς ὁ ἐνσαρκωθεὶς Θεὸς, καὶ ὡς τοιοῦτος θριαμβεύει πάντοτε. Ἐκ τούτου δείκνυται οὐ μόνον ἡ μεταξὺ τῶν δύο ἐποποιιῶν οὐσιώδης διαφορὰ, ἀλλὰ καὶ ἡ σφραγὶς τῆς θεοκρατίας, ὡς παρατηρεῖται εἰς τὴν Ῥαμαϊάναν καὶ Μαχαβαράταν, εἰς τὴν Βαλαβαράταν καὶ τὴν Ῥαγγοῦ-Βάνσαν. Ὁ πανθεϊσμὸς ἐνσαρκωθεὶς, οὕτως εἰπεῖν, ἐν τῇ Ἰνδικῇ ποιήσει, δίδει εἰς τὸν Θεὸν ἄνθρωπον τὴν παντοδυναμίαν τῆς θεότητος· ἀλλὰ διὰ αὐτὸ τοῦτο μηδενίζει τὴν ἀνθρώπινον ἀτομικότητα. Ὡσαύτως καὶ ἐν τῇ Γιτᾷ, ἔνθα

ἡ καθαρὰ διάνοια, μεγαλυνομένη ἐν τῇ θεωρίᾳ καὶ ἀποθεώσει αὐτῆς, μηδενίζει τὴν ὕλην καὶ πᾶσαν αἴσθησιν (1). Ἀπεναντίας ὁ ἀνθρωπομορφισμὸς ἐν Ἑλλάδι, λαβὼν τὸν ἄνθρωπον (τὸ τελειότερον τῶν δημιουργημάτων), καὶ περιβαλὼν εἰς αὐτὸν τὴν ἠθικὴν δύναμιν παρῆξε τὸν καθολικὸν τύπον τῆς καλλονῆς, ὃν γνωρίσαντες ὁ Ὅμηρος, καὶ οἱ μετ' αὐτὸν Ἕλληνες, ἐφήρμοσαν εἰς τὴν τέχνην καὶ τὴν ἐπιστήμην, ὡς φαίνεται εἰς τὰ ἔργα τοῦ Φειδίου, καὶ τοὺς διαλόγους τοῦ Πλάτωνος, καὶ οὕτω διδάσκαλοι καλλιτεχνίας πρὸς πάντας ἐγένοντο. Οἱ δὲ Ἰνδοί, τὸ τεράστιον καὶ ὑπερφυσικὸν προτιμήσαντες, τὸ γιγαντιῶδες πανταχοῦ προήγαγον. Ἕνεκα τούτου ἐκπλήττουσι τὰ ἐν Εὐλόρᾳ ὑπερμεγέθη ἐρείπια· ἀλλ' ἡ θέα μόνη τοῦ ἀπαραμίλλου ἡμῶν Παρθενῶνος θέλγει ἅμα καὶ τέρπει τὸν παρατηρητήν. Ἀγάλλεται μὲν θεωρῶν τις τὴν ἀνδρείαν καὶ τὸ φρόνημα τοῦ Ἀχιλλέως· ἀλλ' ἐκπλήττεται καθορῶν τὴν παντοδυναμίαν τοῦ Θεοῦ ἥρωος Ῥάμα, ὃς νεύματι μόνῳ μυριάδας πολλὰς πολεμίων Τιτάνων καὶ Δαιμόνων ἐν ἀκαρεῖ καταστρέφει (2).

Ἐκτὸς ὅμως τούτου, τοιαύτη παρατηρεῖται εἰς τὰ καθέκαστα ὁμοιότης μεταξὺ Ἑλληνικῆς καὶ Ἰνδικῆς ἐποποιίας, ὥστε τινὲς ὑπέλαβον (καὶ οὐχὶ ἴσως ἄνευ λόγου), ὅτι οἱ Ἰνδοὶ ἐγνώριζον τὴν Ἑλληνικὴν ποίησιν. « Ἱστοροῦνται γὰρ καὶ Ἰνδοὶ εἰς τὴν σφετέραν διάλεκτον καὶ φωνὴν τὰ Ὁμήρου μεταβαλόντες· ὥστε καὶ

---

(1) Ἴδε προλεγόμ. τῆς Γιτᾶς.

(2) Ἀριστ. περὶ Ποιητικῆς.

» τῶν Πριάμου παθημάτων, καὶ τῶν Ἀνδρομάχης καὶ » Ἑκάβης θρήνων καὶ ὀδυρμῶν, καὶ τῆς Ἀχιλλέως » καὶ Ἕκτορος ἀνδρείας οὐκ ἀπείρως ἔχουσιν (1). »

Τινὲς τῶν νεωτέρων παρετήρησαν μάλιστα συμφωνίαν τινὰ τῶν Ὀρφικῶν καὶ Πυθαγορείων ἰδεῶν, ὡς πρὸς τὰς Ἰνδικὰς δοξασίας (2), καὶ τὰς τέσσαρας ἐποχὰς ἢ βασιλείας τοῦ Ὀρφέως, Οὐρανοῦ, λέγω, Κρόνου, Διὸς, καὶ Διονύσου, ὡς πρὸς τὰς τέσσαρας ἡλικίας τῶν Ἰνδῶν παρέβαλον, Σάτγα, Τρέτα, Δβαπάρα, καὶ Κάλη (3). Εἰς ἀμφοτέρας δὲ τὰς μυθολογίας καὶ ποιήσεις παρατηροῦνται Θεομαχίαι, Γιγαντομαχίαι, καὶ Τιτανομαχίαι, καὶ ἐν γένει ἐπενέργεια καὶ σύμπραξις τῶν θεῶν πρὸς τιμωρίαν μὲν τῶν κακῶν, βοήθειαν δὲ τῶν ἀγαθῶν ἀνδρῶν. Καταβαίνουσιν ἐπίσης ἐπὶ τῆς γῆς οἱ θεοὶ

---

(1) Δίων ὁ Χρυσόστ. Λόγ. νγ'. Ὁ δὲ Αἰλιανὸς λέγει « Ὅτι » οἱ Ἰνδοὶ τῇ παρὰ σφίσιν ἐπιχωρίῳ φωνῇ τὰ Ὁμήρου μετα- » γράψαντες ᾄδουσιν οὐ μόνον, ἀλλὰ καὶ οἱ Περσῶν Βασι- » λεῖς. » (Αἰλ. Ποικ. ἱστορ. βιβλ. ιϐ'. κεφ. μή.) Ἐννοεῖ, φαίνεται, ἐνταῦθα ὁ Αἰλιανὸς, τὴν Περσικὴν ἐποποιΐαν, ἣν *Σαχναμὲ* καλοῦσιν, ἤτοι Βασιλέων Συγγραφή. Αὐτὴν δ' οἱ Γάλλοι καλοῦσι Livre des Rois, ἢ Βίβλον τῶν Βασιλέων. Ἴδε Collection Orientale.

(2) Ἴδε τὴν σύγκρισιν τῶν Ἰνδικῶν καὶ Ἑλληνικῶν φιλοσοφημάτων εἰς τὰ προλεγ. τῆς Γιτᾶς.

(3) Christ. Lassen Alterthumskund. I. Liv. II. p. 775. καὶ p. 500. — Creüzer Symb. 3. Id. p. 316.—Μανοῦ Θεσμοθ. Βιβλ. Ι.— Ἴδε καὶ τὴν πολυμαθῆ πραγματείαν τοῦ σοφοῦ Κωνστ. Οἰκονόμου περὶ τῶν Ο. Τ. IV. Βιβλ. IV. Κεφ. II. Σελ. 37.

τοῦ Ὀλύμπου, ξενίζονται, καὶ τὰς πόλεις διερχόμενοι, ὕβριν, λέγει, καὶ εὐνομίην ἀνθρώπων ἐφορῶντες (1). Ἀναφέρουσι καὶ αἱ Θεῖαι Γραφαὶ τὴν ἐπὶ γῆς παρουσίαν Ἀγγέλων εἰς μορφὴν ἀνθρώπων, ξενιζομένων παρὰ τῶν ἐναρέτων ἀνδρῶν, ἐξ οὗ φαίνεται μὲν ἀφ' ἑνὸς ἡ ἀρχὴ τῶν τοιούτων ἰδεῶν καὶ ἐμφανήσεων· ἀφ' ἑτέρου δὲ ἡ οὐσιώδης διαφορὰ μεταξὺ αὐτῶν, καὶ τῶν ἐνανθρωπήσεων τοῦ Θεοῦ Βισνοῦ.

Τὰ ἔθνη, ἀναντιρρήτως, συνεμίγησαν, καὶ ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, καὶ ἐξ αὐτῆς εἰς ἐκείνην πολλάκις μετέβησαν. Ἡ Ἑλλὰς ᾠκίσθη ἐκ τῆς Καυκασίας ἢ Ἰνδογερμανικῆς φυλῆς. Καὶ οἱ Πελασγοὶ ἀπὸ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διέβησαν, καὶ τὴν ὁμοιότητα τοῦ θρησκευτικοῦ μύθου, τῆς γλώσσης, καὶ τῶν ἐθίμων διετήρησαν (2). Αὐτὸς δὲ ὁ Τρωϊκὸς δεκαετὴς πόλεμος

---

(1) Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
(Ὁμ. Ὀδυσσ. Ῥ. ς. 485—487).

(2) Αἱ οἰκοδομαὶ τῶν Πελασγῶν καλοῦνται σήμερον Κυκλώπεια τείχη. Ταῦτα δὲ παρατηροῦνται οὐ μόνον εἰς τὴν Ἐλάσσονα Ἀσίαν· ἀλλὰ καὶ εἰς πολλὰ τῆς Ἑλλάδος μέρη, ὡς Ἀργολίδα, Ἀρκαδίαν, Βοιωτίαν, καὶ Ἤπειρον· ἔτι δὲ καὶ εἰς τὴν Ἰταλίαν. Ὁ δὲ Στράβων ἀριθμεῖ δεκατρεῖς τόπους εἰς τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην, τοὺς ὁποίους ὠνόμαζον οἱ Πελασγοὶ Λαρίσας, (βιβλ. IX. σελ. 440). Πάντες δὲ γινώσκουσι τὰς μετὰ ταῦτα εἰς τὴν Ἑλλάδα ἀποικίας τοῦ Κέκροπος καὶ Δαναοῦ, τοῦ Κάδμου καὶ Πέλοπος, κ.τ.λ.

καὶ αἱ συμβᾶσαι ἐν Ἑλλάδι μετὰ τὰ τρωϊκὰ ταραχαὶ ἠνάγκασαν τινὰς τῶν Ἑλλήνων, ἵνα συστήσωσι τὰς ἐν τῇ Ἀσίᾳ ἀποικίας. Αἱ ἐπιδρομαὶ οὖν αὗται ἤρξαντο ἀπὸ τοὺς ὑπεραρχαίους χρόνους (1), καὶ ἐξηκολούθησαν μέχρι τοῦ Δαρείου καὶ Ξέρξου, τοῦ μέγάλου Ἀλεξάνδρου καὶ τῶν διαδόχων. Ἐκ τούτου ὁ Πανθεϊσμός, ὁ θρησκευτικὸς μῦθος, καὶ ἡ τῶν κυριωτέρων φιλοσοφικῶν δοξασιῶν, τῶν θεσμοθεσιῶν, καὶ τῶν θρησκευτικῶν πεποιθήσεων ὁμοιότης παρατηρεῖται εἰς ἀμφότερα τὰ ἔθνη (2).

Εἶναι δ' ἐπίσης, βέβαιον, ὅτι τὰ ἀρχαιότατα βιβλία τῶν Ἑβραίων ἀναγγέλλουσι τὴν ἐπὶ γῆς ἔλευσιν τοῦ Μεσσίου, πρὸς λύτρωσιν τῶν ἀνθρώπων. Ἡ ἔννοια οὖν αὕτη, διασκορπισθεῖσα εὐκολωτέρως εἰς πᾶσαν τὴν Ἀσίαν, εἰσῆλθεν ἔκπαλαι καὶ εἰς τὴν Ἰνδικήν· ἡ δὲ γόνιμος φαντασία τῶν Ἰνδῶν ἐποποιῶν, λαβοῦσα αὐτὴν, καὶ μετὰ τῆς Ἰνδοελληνικῆς μυθολογίας συζεύξασα, τὸν ἰδιαίτερον χαρακτῆρα τῆς Ἰνδικῆς ἐποποιίας ἐσχημάτισεν, ὃν Θεοηρωϊκὸν ὀνομάζοντες ἴσως, οὐκ ἁμαρτήσομεν. Διὰ τοῦτο τὸ τεράστιον καὶ ὑπερφυσικὸν πανταχοῦ ἐν αὐτῇ ὑπερτερεῖ. Διαφέρει δὲ ἡ Ἑλληνικὴ τῆς Ἰνδικῆς

(1) Τῶν δὲ κοινωνησάντων αὐτῷ (τῷ Ἡρακλεῖ) τῆς ἐκστρατείας ἀπογόνους εἶναι τοὺς *Σίβας*, σύμβολα τοῦ γένους σώζοντας, τό τε δορὰς ἀμπέχεσθαι, καθάπερ τὸν Ἡρακλέα, καὶ τὸ σκυταληφορεῖν, καὶ ἐπικεκαῦσθαι βουσὶ καὶ ἡμιόνοις ῥόπαλον κ.τ.λ. (Στράβ. Ἰνδικὴ βιβλ. ιέ §. 6, 7, 8.) Ὁ δὲ Μαξιμ. Τυρ. λογ. ή. σελ. 139. Ἀλέξανδρος, λέγει, ἦλθεν εἰς τὴν Ἰνδῶν γῆν, ἄβατον οὖσαν τέως στρατιᾷ ξένῃ, ὡς Ἰνδοὶ ἔλεγον, πλήν γε Διονύσου καὶ Ἡρακλέους.

(2) Προλ. Γιτᾶς

ἐποποιίας, καθόσον διαφέρει ὁ ἥρως Ἀχιλλεὺς, τοῦ Θεοῦ ἥρως Ῥάμα, ὅς ἐστιν ὁ ἐνανθρωπήσας Βισνοῦς.

Παραλείποντες ὅμως τὴν οὐσιώδη ταύτην διαφορὰν, εὑρήσομεν τὴν Ἰνδικὴν, οὐχ ἧττον τῆς Ἑλληνικῆς διδακτικὴν, περιέχουσαν πολλὰ ὑψηλῆς ἠθικῆς παραγγέλματα. Ὁ ἐνάρετος π. χ. βίος καὶ ἡ δικαιοσύνη τοῦ Δασσαράτα· ὁ σεβασμὸς αὐτοῦ πρὸς τοὺς Βραχμᾶνας· ἡ πρὸς τὸν ὅρκον ὁσιότης· ἡ πρὸς τοὺς θεοὺς εὐλάβεια· ἡ πρὸς τὴν σύζυγον ἀγάπη· τὸ πρὸς τὰ τέκνα φίλτρον, καὶ ἡ πρὸς ἅπαντας φιλανθρωπία, εἰσὶ βασιλικαὶ τῳόντι ἀρεταὶ, τὰς ὁποίας δύναταί τις ἵνα συγκρίνῃ, ὡς πρὸς τὰς ἡγεμονικὰς ἀρετὰς τῶν Ὁμηρικῶν ἡρώων (1).

Ἀφ' ἑτέρου παρατηρεῖται ἡ ἀπεριόριστος ὑπακοὴ καὶ ἀφοσίωσις τῶν τέκνων πρὸς τὸν πατέρα αὐτῶν. Ἀγαπᾷ ὁ υἱὸς πάντας τοὺς οἰκείους· πρὸ παντὸς δ' ἄλλου σεβόμενος φιλεῖ τὸν ἑαυτοῦ πατέρα. Ὅθεν ὁ ἥρως ἐδέχθη μετ' εὐγνωμοσύνης τὴν τῆς διαδοχῆς ἀναγόρευσιν, καὶ περιχαρὴς ἠσπάσθη τὴν ἐξορίαν, ἵνα μὴ ὁ πατὴρ, ἕνεκα αὐτοῦ, ἀσεβὴς καὶ ἐπίορκος φανῇ.

Πολεμᾷ ὁ Ῥάμας τὴν δαίμονα Τατάκαν· ἀλλὰ δὲν τὴν φονεύει· « ὅτι ἴλεον δεῖ ἔχειν, λέγει, πρὸς τὴν θή»λειαν. Ἠῶς γὰρ ἀνελεῖν θήλειαν; » Οὕτως ὁ ἥρως κηρύττει τὸ δίκαιον τοῦ γυναικείου φύλου, καὶ τοῦ ἀδυ-

---

(1) Ὀδύσσ. Τ. ς. 10—114. Α. ς. 4—5. Ἰλ. 1. ς. 6-7 8—9—46—266—258—512.

Ἴδε γραμματικῶν ἢ ἐγκυκλίων παιδευμάτων βιβλ. Β'. περὶ ἐποποιίας παρὰ τοῦ σοφοῦ Κωνς. Οἰκονόμου.

νάτου· ὅτε δ' ἐκινήθη κατὰ τῆς Σιτᾶς ἡ δαίμων Σουρπανάκα, ἀφεὶς (ἐξ ἀνάγκης) τὸν ἴλεον, ὃν δεῖ ἔχειν πρὸς τὴν θήλειαν, ἐνέτεινε τὸ ἑαυτοῦ τόξον.

Πρωτότυπον φθόνου καὶ κακίας ἐστὶν ἡ γραῦς Κανθάρα· γυναικείας ἀδυναμίας καὶ κενοδοξίας ἡ ὡραία Καϊκεγή· πραότητος καὶ ὑπομονῆς ἡ νουνεχὴς Καουσσαλή· καὶ συζυγικῆς ἀφοσιώσεως ἡ Σιτά, ἥτις ἀδίκως παρὰ τοῦ συζύγου ἀποπεμφθεῖσα, ὑπὲρ τῆς εὐδαιμονίας τοῦ συζύγου ηὔχετο. Ἡ μὲν Ἑλένη ἑκοῦσα ἀναχωρεῖ μετὰ τοῦ Πάριδος, καὶ ἐν φιλότητι μετ' αὐτοῦ διαμένει· ἡ δὲ, βίᾳ ἁρπαγεῖσα, ὀδύρεται, καὶ ἐν τῇ ἀπελπισίᾳ αὐτῆς ἀποστρέφεται καὶ αὐτὴν τὴν ζωήν· καὶ φυλακισθεῖσα παρὰ τοῦ ἅρπαγος, τὴν πρὸς τὸν φίλτατον Ῥάμαν διαφυλάττει ἀκραιφνῆ πίστιν. Ἡ γυνὴ ἐν τῇ Ἰνδικῇ ἐποποιίᾳ ἔχει τελείαν ἀφοσίωσιν πρὸς τὸν ἑαυτῆς σύζυγον. Αὐτὸς, ἀναπληρῶν πάντας τοὺς συγγενικοὺς δεσμοὺς, ἐστὶν ἡ κεφαλὴ τῆς οἰκογενείας· ἀλλ' ὑποτάσσεται πάντοτε σεβόμενος τὸν ἑαυτοῦ πατέρα, καὶ διατηρεῖ τὴν πατρικὴν ἐξουσίαν, ἥτις καθίσταται ἡ βάσις τῆς ἀρχαίας ἐκείνης κοινωνίας. Τὸ πρὸς τὰ τέκνα τοῦ πατρὸς φίλτρον, καὶ ἡ πρὸς τὸν πατέρα τῶν τέκνων ἀφοσίωσις εἰσὶν αἱ πρώτισται ἀρεταὶ ἐν τῇ Ἰνδίᾳ, καὶ ἐν ἁπάσῃ τῇ Ἀσίᾳ, ὡς ἐθέσπισεν ἔκπαλαι ὁ θεόπνευστος Μωϋσῆς, καὶ παρατηρεῖται ἐν ταῖς Βέδαις, ταῖς θεσμοθεσίαις τοῦ Μανοῦ, τοῦ Κονφυκίου κ.τ.λ. (1).

---

(1) Θεία γραφὴ ἔξοδ. κεφ. 20. Ἴδε Les livres Sacrés de l'Orient.

Ἡ δὲ ἀδελφικὴ ἀγάπη φαίνεται καθ' ὅλην αὐτῆς τὴν ἐντέλειαν εἰς τὴν ἀπόφασιν τοῦ τε Λαξμάνα, καὶ τὴν τοῦ Βαράτα. Ὁ πρῶτος ἦν πρόθυμος ἵνα πολεμήσῃ καὶ κατ' αὐτοῦ τοῦ Βραχμᾶ, ὅπως τὸν πρωτότοκον ἀδελφὸν ἐπὶ τοῦ θρόνου καταστήσῃ· ἀλλ' ἐμποδισθεὶς παρὰ τοῦ μεγαλοψύχου Ῥάμα, ἠκολούθησε τὸν ἀδελφὸν εἰς τὴν δεκατεσσάρων ἐτῶν ἐξορίαν, καὶ ἐσυμμερίσθη τούς τε κινδύνους, καὶ τὰς κακουχίας αὐτοῦ.

Ὁ δὲ Βαράτας, μαθὼν μετὰ τὴν ἐπιστροφὴν αὐτοῦ τὰ γεγονότα, πικρῶς ἐπέπληξε τοὺς πρωταιτίους τῆς ἐξορίας τοῦ Ῥάμα· « Ἀγνοεῖτε, λέγει, τὴν ὅσην ἀθυμίαν »ἐπροξενήσατε εἰς τὸν ἐμὸν πατέρα, καὶ πόσον ἠδι»κήσατε τὸν ἐμὸν ἀδελφόν; Ἀγνοεῖτε, ὅτι ἡ πρωτογε»νὴς θεία Δάμαλις (1), ἀναρίθμητα ἔχουσα τέκνα, ἰδοῦσα »ποτὲ δύο αὐτῆς μόσχους ἐπιστρέφοντας ἐξ ἐπιπόνου »γεωργίας, ἰσχνοὺς καὶ ἀδυνάτους, ἔκλαυσε πικρῶς! »Ἂν οὖν ἡ πάνδωρος Δάμαλις ἐθρήνησεν ἐπὶ τῇ ἰσχνό»τητι τῶν τέκνων αὐτῆς, ὁποίαν ἀλγηδόνα αἰσθάνεται »ἤδη ἡ καρδία τῶν γονέων τοῦ Ῥάμα, ἕνεκα τῆς στε»ρήσεως τοῦ υἱοῦ αὐτῶν; »

Ἡ ἐφαρμογὴ ἐνταῦθα τοῦ μύθου ἐστὶ θελκτικὴ, καὶ

---

(1) Ὁ βοῦς καὶ ἡ Δάμαλις, σύμβολα τῆς γεωργίας, ἥτις παράγει εἰς τοὺς ἀνθρώπους τὴν τροφὴν, θεωροῦνται ὡς ἱερὰ παρὰ πᾶσι σχεδὸν τοῖς Ἀσιανοῖς. Ἐν δὲ τῇ Ἰνδίᾳ μυθολογεῖται, ὅτι ἐκ τῆς δίνης τῆς Γαλακτικῆς θαλάσσης ἐξῆλθον δεκατέσσαρα Ῥάτινα, ἤτοι κειμήλια, ἐν οἷς ἐστὶν ἡ Λαξμὴ, ἡ θεὰ τῆς εὐδαιμονίας καὶ πάσης χάριτος· ἡ πάνδωρος Δάμαλις, κ.τ.λ.

ὅλως ὁμηρικὴ, ὡσαύτως καὶ ὁ μῦθος τῆς δαμάλεως Νανδινῆς (1). Ἀλλ' ἡ κατὰ τῆς ἀδικίας ἀποστροφὴ τοῦ Βαράτα, καὶ ὁ πρὸς τὸν πρωτότοκον ἀδελφὸν σεβασμὸς αὐτοῦ ἐστὶ λίαν ἀξιοθαύμαστος. Καθότι ἐν ὅλῳ τῷ διαστήματι τῆς ἀπουσίας τοῦ Ῥάμα, ὁ Βαράτας ἐπιτροπικῶς τὴν βασιλείαν ἐκυβέρνησε, καὶ ὡς ἱερὰν παρακαταθήκην αὐτὴν ἐθεώρησε, ὅϊδων οὕτως παράδειγμα ὑψηλῆς ἠθικῆς, αὐταπαρνήσεως, καὶ ὑποταγῆς τοῦ δευτεροτόκου, πρὸς τὸν πρωτότοκον ἀδελφόν· « Μὴ θέ» λοντος δὲ τοῦ Ῥάμα (ὃς πρεσβύτερος ἦν) ἀναδέξα» σθαι τὴν βασιλείαν, ὁ Βαράτας παράνομον ἑαυτὸν ἐνό» μιζεν, ἂν αὐτὸς αὐτὴν ἀναδέξηται, νεώτερος ὤν (2).» Ἐφάμιλλος ἐπίσης ἐστὶ τῆς Ἑλληνικῆς ἡ Ἰνδικὴ ἐποποιία κατὰ τὸ παθητικὸν καὶ τραγικὸν, εἰς ὃ τὸ Ἰνδικὸν ἔθνος ἔχει ἐκ φύσεως ροπὴν, ὡς ἐκ τῆς ἐπενεργείας ἴσως τοῦ κλίματος, καὶ τοῦ θεωρητικοῦ βίου. Θλιβεροί εἰσιν οἱ θρῆνοι τοῦ Ἄζα ἐπὶ τῷ θανάτῳ τῆς Ἰνδουματῆς· « Τί τῶν ἀγαθῶν, λέγει, οὐκ ἀφείλετό μου ὁ »θάνατος, ὁ σὲ ἀφελόμενος; Σὺ γάρ μοι σύνευνος ἐτύγ»χανες, σὺ σύμβουλος, σὺ ἐρασμία, σὺ φίλη· ἀπὸ τὴν »σήμερον ἡ καρτερία μου κατέδυσεν· ἡ ἡδυπάθεια ὤχε»το, ἡ φιλῳδία ἐμισήθη, τὸ ἔαρ ἀτερπὲς καὶ ἄχαρι »ἐγένετο, ἡ περὶ τὰ κοσμήματα σπουδὴ ἐπαύσατο· ἡ δὲ

(1) Ῥαγγοῦ-Βάνσα κεφ. Ι. δίστ. 65—85 καὶ 70.

(2) Ῥαγγοῦ-Βάνσα κεφ. ΙΒ'. δίς. 16. « Καὶ ἐξάλειψιν, λέ» γει, δέ πως ἐποίει τοῦ ἁμαρτήματος τῆς μητρὸς, δεικνύων » μέγα σέβας πρὸς τὸν πρεσβύτερον ἀδελφὸν, καὶ ἀποστρο» φὴν τῆς Βασιλείας.» (Αὐτόθι. δίστ. 19.)

»κλίνῃ κενὴ διὰ παντὸς ἀπεδείχθη(1)». Ὁ δὲ χωρισμὸς τοῦ Ῥάμα οὐχ ἧττον παθητικός ἐστιν, ἢ ὁ τοῦ Ἕκτορος καὶ τῆς Ἀνδρομάχης.

Ὑπερτέρα δὲ, ἀσυγκρίτῳ λόγῳ, ἐστὶν ἡ Ἑλληνικὴ τῆς Ἰνδικῆς ἐποποιίας κατά τε τὴν φιλοκαλίαν, τὴν καλλιτεχνίαν, τὴν τῶν μερῶν ἀρίστην ἁρμονίαν, τὴν κομψότητα τῶν εἰκόνων, τὴν καλλιέπειαν κ.τ.λ.(2). Ὑπερέχει ἐπίσης κατὰ τὸ εἰκονικὸν καὶ διαγραφικόν. Καθότι μία τις λέξις, ἢ ἐπίθετον ἀρκεῖ πολλάκις, ἵνα διαγράψῃ ἐντελέστατα ὁ θεσπέσιος Ὅμηρος τόπον, πόλιν, ἥρωα, λαὸν, καὶ ἔθνος ὁλόκληρον· ἐν ᾧ ἡ Ἰνδικὴ ἐνασμενίζεται εἰς ἐκτεταμένας περιγραφὰς, αἵτινες στεροῦνται τοῦ ὕψους, καὶ τῆς ἀπαραμίλλου ὁμηρικῆς καλλιεπείας.

Πλὴν καὶ ἐξ αὐτῆς τῆς οὐσιώδους διαφορᾶς, καὶ τοῦ ἡρωϊκοῦ χαρακτῆρος πηγάζει ἡ ἠθικὴ διδασκαλία ἐπικρατεστέρα εἰς τὸν Ὅμηρον, τοῦ ὁποίου ὁ ἥρως εἶναι θεῖος ἄνθρωπος, παρὰ εἰς τὴν Ἰνδικὴν, εἰς ἣν ὁ ἥρως ἐστὶ Θεός. Ἡ ποίησις τοῦ Ὁμήρου ἐστὶν ὅλως ἠθική. «Πᾶσα μὲν ποίησις τῷ Ὁμήρῳ, ἀρετῆς ἐστὶν ἔπαινος, »καὶ πάντα αὐτῷ πρὸς τοῦτο φέρει, ὅτι μὴ πάρερ»γον (3).» Ἐν ᾧ εἰς τὴν Ἰνδίαν ἡ Ῥαμαϊάνα καὶ ἡ Μαχαβαράτα, ἐκτὸς τῆς πρὸς τὴν τρυφηλότητα ῥοπῆς, ἐγέννησαν καὶ θρησκευτικὰς αἱρέσεις, ὅτι εἰς πολλὰ μέρη τὸν Ῥάμαν καὶ Κρισνᾶν, ὡς θεοὺς, μέχρι τοῦδε

(1) Ραγγοῦ-Βάνσα κεφ. ἡ. δίστ. 44—69.
(2) Ἰλ. Ζ'. στίχ. 466—484.
(3) Μ. Βασίλειος πρὸς τοὺς νέους.

λατρεύουσι. Καὶ δικαίῳ τῷ λόγῳ· διότι οἱ ποιηταὶ θεοὺς, καὶ οὐχὶ ἀνθρώπους ἁπλῶς παρέστησαν.

Ὁ δὲ πανθεϊσμὸς καὶ ἡ πολυθεία παρέσυραν πολλάκις τοὺς ποιητὰς, καὶ κυρίως τοὺς Ἰνδοὺς ἐποποιοὺς εἰς παραδόξους ἀντιφάσεις. Ὁ Δηλίπας, ἑτοιμάζων τὴν ἑκατοστὴν ἱπποθυσίαν, τὸν υἱὸν Ῥαγγοῦν φύλακα τοῦ ἱεροῦ ἵππου ἀπέδειξεν· ὁ δὲ Θεὸς Ἴνδρας, φθονήσας, τὸν ἵππον κρυφίως ἀφήρεσεν. Ὁ δὲ Ῥαγγοῦς, ἀπορῶν, λέγει πρὸς τὸν ἀφελόμενον τὸν ἱερὸν ἵππον Θεόν· « Οἱ ἐμπoδίζοντες τὰς θυσίας εἰσὶν ἄξιοι ποινῆς, καὶ ὑπὸ Σοῦ »τιμωροῦνται· ἀλλ' ἂν Σὺ, Θεὸς ὢν, ἐναντίος τῶν νο»μίμων εἶ, ὁ νόμος ὄλλυται. Σὺ παρανομεῖς, καὶ τοὺς «παρανομοῦντας τιμωρεῖς· ἀφ' ἑνὸς μὲν δεικνύεις τὴν »ὁδὸν τοῦ νόμου (τοῦ δικαίου καὶ τῆς ὁσιότητος), καὶ »ἀφ' ἑτέρου ὁδεύεις ὁδὸν ἄνομον, ἄδικον καὶ ἀνόσιον(1)». Οὕτω καὶ οἱ θεοὶ τοῦ Ὀλύμπου τιμωροῦσι τὴν ἀδικίαν καὶ παρανομίαν, ἐνταὐτῷ δ' ἀδικοῦντες παρανομοῦσιν. Εἰς τοιαύτας ἀτόπους ἀντιφάσεις ἐξοκέλλει ἡ πολυθεία, χωρίσασα τὴν ἠθικὴν ἀπὸ τῆς θρησκείας, καὶ τὸ δίκαιον, ἀπὸ τοῦ ὁσίου, ὅπερ ἐστὶν ἐνταυτῷ ἀγαθὸν, καλὸν, δίκαιον, καὶ ὅσιον.

Προσθέσωμεν ἐνταῦθα, χάριν τῶν νέων τῆς Ἑλλάδος ποιητῶν τὸ ἑξῆς ἐπεισόδιον, ἤτοι τὸν θάνατον τοῦ νέου Ἰαναδάττα, ὅπερ ἐν παρόδῳ ἀναφέρει ὁ Καλιδάσας, πεπεισμένοι ὅτι καὶ λωτοὶ, καὶ ἄλλα τοῦ Γάγγου εὐώδη ἄνθη καὶ φυτὰ, ἀνθίσωσι ταχέως ὑπὸ τὸν ποιητικὸν οὐρανὸν τῆς Ἑλλάδος.

---

(1) Ῥαγγοῦ-Βάνσα κεφ. Γ'. δίστ. 44—46.

« Θλιβόμενος ὁ Βασιλεὺς Δασσαράτας ἐπὶ τῇ διαζεύ-»ξει τοῦ Ῥάμα, καὶ ἐνθυμούμενος τὴν ἀρὰν, ἣν ἔλαβε »παρὰ τοῦ ἀσκητοῦ ἐκείνου, οὗ τὸν υἱὸν ἐτόξευσε, »μόνον τὸν θάνατον ἐνόμισεν ἀπαλλαγὴν τοῦ κακοῦ (1). »Ἦν δὲ ἡ ἀρὰ τοῦ ὁσίου τοιαύτη· « Καὶ σὺ, ὥσπερ »ἐγὼ, ἐν γεροντικῇ ἡλικίᾳ θάνατον λήψει »ἐκ τῆς στερήσεως πεφιλημένου υἱοῦ» (2).

Ὁ Δασσαράτας μετὰ τὴν ἀναχώρησιν τοῦ ἀγαπητοῦ αὐτοῦ υἱοῦ Ῥάμα, ἦν ἀπαρηγόρητος. Πολλὰς κατὰ συνέχειαν ἡμέρας καὶ νύκτας ἀνέστιος ἔμεινε δακρυβρόων· περὶ δὲ τὸ μεσονύκτιον τῆς ἕκτης, λέγει πρὸς τὴν ἐν σιωπῇ θρηνοῦσαν Καουσσαλήν· « Ἄκουσον, ὦ γύναι, τὴν »ἐκ παλαιᾶς ἀρᾶς θλιβεράν μου προαίσθησιν· καθότι »πᾶν ὅ,τι καλὸν, ἢ κακὸν πράξῃ τις ἐπὶ τῆς γῆς, τάχιον »ἢ βράδιον ἔξει ἀνυπερθέτως τὸν καρπὸν τῶν ἔργων »αὐτοῦ (3) ».

Κατὰ τὰ πρῶτα ἔτη τῆς ἐμῆς βασιλείας, νέος καὶ ἄγαμος ὢν, καὶ τὴν ὡραίαν φύσιν ἀναζωογονηθεῖσαν ἐκ

---

(1) Ῥαγγοῦ-Βάνσα κεφ. Θ΄. δίστ. 75—79. Καὶ κεφ. ιϐ΄. 10—11.

(2) Ῥαγγοῦ-Βάνσα αὐτ. δις. 79.

(3) Ηκολούθησα εἰς τὴν ἔκθεσιν τοῦ παρόντος ἐπεισοδίου τὸν Σχέζιον. Yajnadatta bada, ou la mort d' Yajnadatta. Paris εἰς τόμ. εἰς 4 1826. —Loiseleur-Deslongchamps, La mort d' Yanadatta, publiée en Sanscrit, avec un épisode du Raghou Vansa sur le même sujet. Paris 1829. — Pietro Giuseppe Maggi. Due Episodii di poemi indiani la morte di Yajnadatta. Milano 1847. κτλ. Καὶ Ramaiana da Gorresio L. II.

τῶν ἐτησίων ὄμβρων, καὶ τῆς τοῦ ἡλίου θερμότητος ἰδὼν, ἐπῆλθέ μοι ὄρεξις κυνηγεσίου· λαβὼν οὖν τὸ τόξον, καὶ τὴν πλήρη βελῶν φαρέτραν, ἐξῆλθον τῆς πόλεως, διευθυνόμενος πρὸς τὸ δάσος τὸ περὶ τὸν ποταμὸν Σαραϊοῦ (1), ἔνθα καὶ θηρία διάφορα, καὶ πτηνὰ παντοῖα, καί τινα οἰκήματα ἀσκητῶν εὑρίσκονται (2). Πλησιάσας δὲ μέχρι τῆς ὄχθης, κεκαλυμένης οὔσης ἐκ θάμνων, ἤκουσα τοῦ γαργαρισμοῦ στάμνου πληρουμένης ὕδατος, καὶ τὸν ἦχον τοῦτον ἐκλαβὼν, ὥς τινος τῶν περὶ τῶν ποταμὸν διαιτωμένων ἐλεφάντων, ἕλκοντος διὰ τῆς προβοσκίδος τὸ ποτάμιον ὕδωρ, ἔρριψα κατὰ τοῦ μέρους ἐκείνου τοῦ ἤχου ὠκύθοον βέλος. Ἀλλ' αἴφνης, ἀντὶ θηρίου, ἀκούσας γοερᾶς ἀνθρωπίνης φωνῆς, λεγούσης· « Οἴμοι, ὦ πάτερ, ἀπόλλυμαι φονευθείς! » ἐξεπλάγην, καὶ ἔντρομος γενόμενος ἔδραμον πρὸς τὸ μέρος, ἔνθα οἰκτρὸν καὶ ἐλεεινὸν εἶδον θέαμα· νεανίαν, λέγω, τινὰ ἐκτάδην κείμενον, πλήρη αἵματος, καὶ τὸ θανατηφόρον βέλος ἐν τῷ στήθει αὐτοῦ

(1) Ὁ μὲν σοφὸς Εὐγένιος Βυρνούφιος, εὑρίσκει τὸ ὄνομα τοῦ ποταμοῦ Σκραϊοῦ, σύμφωνον ὡς πρὸς τὴν προφορὰν καὶ τὴν ἔννοιαν τῆς Ζενδικῆς λέξεως Ἀρωῖοῦ, ὅπερ εἰς ἀμφοτέρας τὰς γλώσσας σημαίνει λίμνην, καὶ συμφωνεῖ ὡς πρὸς τὸν Ἀρείαν ποταμὸν τοῦ Πτολεμαίου (Zeit für die Kunde des Morgenl. VI, 56). Ὁ πολυμαθὴς Λάσσενος βεβαιοῖ, ὅτι ὁ Σαραιοῦ ἐστὶ κυρίως ὁ ποταμὸς Σάραβος τοῦ Πτολεμαίου. Ἴδε Lassen Alterthumskunde. Erst. B. p. 56. καὶ Πτολ. γεωγρ. βιβ. VII. κεφ. 1. σελ. 200. Περὶ δὲ τοῦ Ἀρείᾳ, ἴδε Πτολ. βιβ. VI. κεφ. ιζ'. σελ. 192.

(2) Ῥαγγοῦ-Βάνσα, σελ. 428.

ἐμπεπηγμένον ἔχοντα. Οὗτος, στρέψας πρὸς ἐμὲ τὸ βλέμμα, καὶ τὰς ἐκλειπούσας αὐτὸν δυνάμεις συναθροίσας· « Κατὰ τί εἶπεν, ὦ Ξατρῆ, σὲ ἠδίκησα, ἢ τίνα »ποτὲ ἄλλον ἔβλαψα, τὸ δάσος τοῦτο οἰκῶν, ἀμμάτους »καὶ ἀσθενεῖς γονέας θεραπεύων; ἐξῆλθον τῆς σκήτης, »ὅπως αὐτοφυεῖς ῥίζας συλλέξω, ὕδωρ δ' ἐκ τοῦ ποτα»μοῦ ὑδρήσω. Ὁ πατὴρ καὶ ἡ μήτηρ πεινῶντες καὶ δι»ψῶντες περιμένουσιν ἀνυπομόνως τὴν ἐμὴν ἐπισροφήν· »ἀλλ' ἤδη, τίς αὐτοὺς περιθάλψει; τίς θρέψει, καὶ τίς τὰ »χείλη αὐτῶν δροσίσει; Ἆ! τρεῖς, ὦ ξένε, δι' ἑνὸς βέλους »ἐθέρισας ζωάς· τὴν ἐμὴν, τὴν τοῦ πατρὸς, καὶ τὴν τῆς »μητρός..... Θλίβεσαι, ὦ Ξατρῆ! ἄκων, φαίνεται, καὶ ἐν »ἀγνοίᾳ ἐμὲ ἐτόξευσας. Ἀκολούθησον οὖν ταύτην τὴν »στενωπὸν, καὶ πορεύθητι ταχέως πρὸς τὸν πατέρα, καὶ »τὴν συγνώμην αὐτοῦ αἴτησον· ὅτι ἡ ἀρὰ ὁσίου πατρὸς »πυρπολήσει σε, ὡς ἡ φλὸξ τὰ ξηρὰ φρύγανα· ἀλλ' ἐκ »τοῦ στήθους ἔκβαλον πρότερον τὸ βέλος, ὅπερ δυσφο»ρήτους μοὶ προξενεῖ ἀλγηδόνας. » Ἐγὼ δὲ τότε, κατηφὴς καὶ ὑπὲρ τῆς σωτηρίας τοῦ νεανίου ἐν σιωπῇ δεόμενος, ἀφήρεσα τὸ βέλος. Ἀλλ' ὁ μὲν εὐσεβὴς νεανίας ἐν τῷ ἅμα ἐξέπνευσεν· ἐγὼ δὲ, μείνας ἀκίνητος καὶ ἐν ὀδύναις θανάτου ἱκανὴν ὥραν, συνῆλθον, μικρὸν κατὰ μικρὸν, καὶ πρὸς ζήτησιν τῶν ἀθλίων γονέων τεθλιμμένος ἐπορεύθην.

Πλησιάσας δὲ εἰς τὴν Καλύβην εἶδον μακρόθεν ἔντινι γωνίᾳ δύο ἀμμάτους γηραιοὺς, πλησίον ἀλλήλους καθημένους, καὶ ὡς ἀπτέρους καὶ ἀσθενεῖς νεοσσοὺς τὸν τροφοδότην αὐτῶν ἀνυπομόνως περιμένοντας. Ἡ μὲν θέα αὕτη, καὶ ἡ ἰδέα τοῦ φόνου, ἐτάραττεν ἐκ βά-

θρων τὴν καρδίαν μου· ὁ δὲ ἦχος τῶν βημάτων μου ἔφθασε μέχρι τῶν ὠτίων τοῦ πατρός· ἐμὲ δ' ἀντὶ τοῦ υἱοῦ ἐκλαβών, ἐφώνησεν· « Ὦ τέκνον, ὦ φίλτατέ μοι »Ἰαναδάττα, λίαν ἐβράδυνας· τὰ χείλη ἡμῶν φλογί»ζονται ἐκ δείψης· ἀλλ' ἡ πολυχρόνιος ἀπουσία σου »ἔτι μᾶλλον καταθλίβει ἡμᾶς. Γινώσκεις, ὅτι στερη»μένοι ὄντες ὁράσεως, ὁρῶμεν καὶ κινούμεθα διὰ σοῦ· »ὅτι μόνος σὺ τρέφεις, σὺ παραμυθεῖς ἡμᾶς· μὴ ἀπο»κάμῃς οὖν περιθάλπων. Σύγνωθι, ὦ τέκνον ἄν ποτε σὲ »παρεπικράναμεν· ἀλλ' εἰς τὸ ἑξῆς μὴ διατρίβεις χρο»νοτριβῶν μακρὰν τῆς καλύβης, ὅτι πᾶσα ἡμῶν ἡ »εὐδαιμονία εἰς σὲ στηρίζεται. . . . . Πλὴν διατί δὲν »προχωρεῖς; διατί δὲν πλησιάζεις; διατί δὲν ὁμιλεῖς; πό»θεν ἡ τοιαύτη σου σιωπή; λάλησον, υἱέμου, λάλησον!»

Τότε δακρυῤῥοῶν καὶ τὰς χεῖρας ἑνώσας εἶπον, μετὰ φωνῆς διακεκομμένης, ἐξηγούσης τὸ ἐνδόμυχον τῆς ψυχῆς μου ἄλγος· « Γεννηθεὶς Ξατρῆς, εἶμαι ὁ Δασ»σαράτας· καὶ γονυπετὴς ἱκετεύω ὑμᾶς, ὦ σεβάσμιοι »γηραιοί, μὴ κατ' ἐμοῦ ὀργισθῆτε, ἀθώου ὄντος, καὶ »ἐν ἀγνοίᾳ πταίσαντος. Καθότι κυνηγῶν ἐπλησίασα εἰς »τὴν ὄχθην τοῦ ποταμοῦ, ἣν οὐκ ἔβλεπον ἕνεκα τῆς »πυκνότητος τῶν θάμνων. Ἐνταῦθα ἀκούσας τοῦ γαργα»ρισμοῦ στάμνου πληρουμένης ὕδατος, καὶ ὡς ἦχον ἐλέ»φαντος ἐκλαβών, ἔῤῥιψα βέλος, καὶ ἀντὶ ζώου, ἐπλή»γωσα θανατηφόρως, ὡς μὴ ὤφελε, τὸν υἱὸν ὑμῶν· »καὶ δραμὼν εὗρον αὐτὸν ἐκπνέοντα καὶ ὑπὲρ ὑμῶν »τῶν ἀμμάτων γονέων μᾶλλον, ἢ ὑπὲρ ἑαυτοῦ στενά»ζοντα καὶ λυπούμενον ».

Οἱ δύο οὗτοι γηραιοί, ὡς ἀπὸ κεραυνοῦ πληγέντες,

ἔμειναν ἀκίνητοι καὶ ἐκπεπληγμένοι.... Μετά τινα δὲ σιωπὴν, ὁ ἀνὴρ ἐκ βάθους καρδίας στενάξας εἶπεν· «Ἐξολοθρεῦσαι δυνάμεθα δι ἀρᾶς σέ τε καὶ πᾶσαν τὴν »σὴν γενεάν· ἀλλ ἐπειδὴ ἄκων, καὶ ἐν ἀγνοίᾳ ἐφόνευ- »σας τὸν υἱὸν ἡμῶν, καὶ σὺν ἡμῖν λυπεῖσαι θρῆνῶν, »ὁδήγησον ἡμᾶς πλησίον τοῦ παιδὸς, ὅπως ἐναγκαλι- »σάμενοι, καὶ τῆς κόμης αὐτοῦ ἁψάμενοι ἀσπασθῶμεν »τὸν τελευταῖον ἀσπασμόν ». Τότε ἐγείρας τοὺς γηραιοὺς ὡδήγησα τρέμοντας μέχρι τοῦ τόπου, ἔνθα ἔκειτο ὁ νε- κρός· λαβὼν δὲ τὰς δυσκινήτους χεῖρας αὐτῶν ἔθεσα ἐπὶ τοῦ τεθνεῶντος νεανίου, καὶ πλησίον ἱστάμενος ἐθεώρουν τὴν θλιβερὰν ταύτην σκηνήν.

Οὗτοι πολλὴν ὥραν ἐθρήνησαν ὀδυρόμενοι, καὶ μετὰ τοῦ νεκροῦ, ὡς ζῶντος, διελέγοντο κοπτόμενοι, οἰμό- ζοντες, καὶ τὰ ψυχρὰ τοῦ παιδὸς χείλη ἀκορέστως ἀσπαζόμενοι ἔλεγον· « Ὦ Ἰαναδάττα, ὦ φίλτατον ἡμῶν »τέκνον, διατί κλείσας τοὺς ὀφθαλμοὺς, καὶ τὸ στόμα »οὔτε λαλεῖς, οὔτε ἡμᾶς ὁρᾷς; Αὕτη ἐστὶν ἡ σὴ μή- »τηρ· ἐγὼ δ' ὁ σὸς πατήρ· δὲν γνωρίζεις ἡμᾶς; εἰπὲ »μίαν λέξιν, καὶ εἰς τὰς ἀγκάλας τῶν σῶν ἀθλίων γονέων »ἐλθέ. » Εἶτα δὲ, ἐναγκαλισάμενοι τὸν νεκρὸν, θερμοῖς δάκρυσι κατέβρεχον. Τέλος ἐγερθεὶς ὁ πατὴρ, καὶ τὴν ἡμιθανῆ σύζυγον ἐγείρας « Τ ε τ έ λ ε σ τ α ι, » εἶπε... »Πορεύθητι οὖν, ἀγαθὴ καὶ θεοφιλὴς ψυχὴ, εἰς τὰς »μακαρίους σκηνὰς, ἔνθα οἱ δίκαιοι καὶ οἱ ὅσιοι ἀνα- »παύονται πλησίον τοῦ Βράχμα. » Εἶτα μετ' εὐλαβείας ἡτοίμασαν, βοηθείᾳ ἐμοῦ, τό τε καθάρσιον ὕδωρ, καὶ τὰ φρύγανα τοῦ ἱεροῦ πυρός. Ἀλλ' αἴφνης ἠκούσθη βροντὴ, καὶ ἐπὶ τοῦ αἰθέρος ἐφάνη ὑπέρλαμπρος ἡ τοῦ Ἰανα-

δάττα σκιὰ, ἐπ' οὐρανίου ἅρματος καθημένη, καὶ φωνήσασα « Παύσατε, εἶπε, θρηνοῦντες· οὕτω γὰρ ἦν πε»πρωμένον γενέσθαι, καὶ οὕτως ἐγένετο. Μετ' οὐ πολὺ »ἐντρυφήσομεν ἡνωμένοι πάντες ἐν οὐρανῷ. 'Ο βασι«λεὺς Δασσαράτας ἐστὶν ἀθῶος, καὶ ὄργανον ἐγένετο »τῆς κατ' ἐμοῦ ἀρᾶς, ἣν ἐν τῇ προτεραίᾳ γεννήσει »ἔσχον. » Ταῦτα εἰποῦσα ἡ μὲν σκιὰ ἐγένετο ἄφαντος· ὁ δὲ γηραιὸς ἐρημίτης πρὸ τῆς τελευτῆς αὐτοῦ ῥαίνων δάκρυα, κατηράσατό μου, εἰπών· « Ἐπειδὴ διὰ τῆς »σῆς χειρὸς στερηθεὶς τοῦ φιλτάτου υἱοῦ μου, τὸν βίον »καταλύσω· καὶ σὺ, ὥσπερ ἐγὼ, ἐν γεροντικῇ »ἡλικίᾳ θάνατον λήψει ἐκ τῆς στερήσε»ως πεφιλημένου υἱοῦ. » Οὕτως, ἐκεῖνος μὲν μετ ὀλίγον ἐκ λύπης ἐτελεύτησεν (1)· εἰς ἐμὲ δὲ, ὦ γύναι, σήμερον ἐκπληροῦται ἡ τοῦ τότε ὁσίου πρόῤῥησις· ἕνεκα δὲ τῆς στερήσεως τοῦ φιλτάτου μου 'Ράμα ταχέως τὸν βίον καταλύσω, καθότι αἰσθάνομαι κατ' ὀλίγον ὀλίγον τὰς δυνάμεις μου ἐκλειπούσας. Ὦ υἱὲ, ὦ φίλτατέ μοι 'Ράμα! . . .

Οὕτως ἐτελεύτησεν ὁ δίκαιος καὶ φιλότεκνος βασιλεὺς Δασσαράτας πλησίον τῆς τεθλιμμένης Καϊκεγῆς, τῆς ἀθλίας τοῦ 'Ράμα μητρός· ἡ δὲ ἀρὰ τοῦ ὁσίου ἐτελέσθη. « Καὶ σὺ, ὥσπερ ἐγὼ, ἐν γεροντικῇ ἡλικίᾳ »θάνατον λήψει ἐκ τῆς στερήσεως πεφιλημένου υἱοῦ ».

---

(1) Les deux vieillards se brulent à l' instant même sur un bûcher que leur dresse Dassarata. (Chezy la mort d' Yadjnadatta p. 89).

Τὸ ἐπεισόδιον τοῦτο τῆς 'Ραμαϊάνας, ὅπερ ἐν παρόδῳ ἀναφέρει ὁ Καλιδάσας ἐν τῷ παρόντι ποιήματι, ἐστὶ λίαν παθητικόν, θελκτικώτατον, καὶ πλῆρες τραγικοῦ πάθους, πρὸς ὃ εὐδοκιμεῖ τὸ Ἰνδικὸν ἔθνος, ῥοπὴν καὶ κλίσιν ἔχον πρὸς τὸν ἐρημικὸν καὶ θεωρητικὸν βίον. Ἅπασαι αἱ περιστάσεις συγκινοῦσι καὶ ταράττουσι τὴν καρδίαν τοῦ ἀναγνώστου· ἡ θλῖψις τοῦ βασιλέως ἀπέναντι τοῦ φονευθέντος νεανίου· ἡ θέσις τῶν περιμενόντων ἀμμάτων γονέων, καὶ ἡ τοῦ Δασσαράτα ἔμπροσθεν αὐτῶν· ὁ ἦχος τῶν βημάτων· ἡ ἀπάτη τοῦ πατρός· ἡ σιωπὴ τοῦ ἑνός· τὸ « λάλησον » τοῦ ἑτέρου· ἡ ἐπίθεσις τῶν χειρῶν τῶν γερόντων ἐπὶ τοῦ νεκροῦ· οἱ ὀδυρμοὶ αὐτῶν· ἐν ἑνὶ λόγῳ, ἡ ἀρχὴ, τὸ τέλος, καὶ πᾶσαι ὁμοῦ αἱ περιστάσεις αὐξάνουσι βαθμηδὸν τὴν θλῖψιν, συγκινοῦσι τὴν καρδίαν, καὶ τὸ πάθος μέχρις ἀνωτάτου βαθμοῦ φέρουσι.

Ταῦτα, κατὰ δύναμιν χάριν τῶν νέων, ἔγραψε

ΓΕΩΡΓΙΟΣ Κ. ΤΥΠΑΛΔΟΣ.

ΡΑΓΓΟΥ ΒΑΝΣΑ,

ΤΟΥΤΕΣΤΙ

ΓΕΝΕΑΛΟΓΙΑ ΤΟΥ ΡΑΓΓΟΥ.

1. ΕΙΣ ἐπίτευξιν ὀρθοῦ λόγου, καὶ ὀρθῆς ἐννοίας, ὑμνῶ καὶ προσκυνῶ τὴν θεὰν Περβατὴν, καὶ τὸν θεὸν Σίβαν, οἵ εἰσι γεννήτορες τοῦ Κόσμου, καὶ ἀχώριστοι [1], καθὼς ὁ λόγος, καὶ ἡ ἔννοια.
2. Ποῦ ἡ ἐξ Ἰλίου μεγάλη γενεαλογία; καὶ ποῦ ἡ ἐμὴ μικρὰ καὶ ὀλίγη γνῶσις, ὃς βούλομαι (ἐφιεμαι) διαβῆναι ἐκ μωρίας τὸν δυσδιάβατον ὠκεανὸν ἐπὶ σχεδίας;
3. Ἐγὼ, ὁ ὢν μὲν ἀμβλὺς τὸν νοῦν, ζητῶν δὲ κλέος ποιητοῦ, κατάγελων ἔξω, καθὼς ὁ νάνος καὶ γαλεάγκων, ὃς ἀνατείνει ἐξ ἀνοίας τὴν χεῖρα αὐτοῦ εἰς ὀπώραν, ἣν καταλαβεῖν δύναται ὁ πελώριος [2].
4. Ἀλλ' ἔζι μοι δύναμις ἐφικέσθαι εἰς ἐξιζόρησιν τῆς ἡλιακῆς γενεαλογίας, ἐξιστορηθείσης πρώην ὑπ' ἄλλων σοφῶν ἀνδρῶν, καθὼς καὶ τῷ νήματι δύναμίς ἐστι διελθεῖν διὰ μαργάρου, ἢ λίθου, τετρυπημένων ὑπ' ἄλλου ὀξέως ὀργάνου.
5. Ἐγὼ μὲν οὖν, εἰ καὶ οὐ δεινός εἰμι ἐν λόγοις, συγγράψω περὶ τῶν ἀπογόνων τοῦ Ῥαγγοῦ, ἐκκεντούμενός τε

---

(1) Συννημένοι, συναφεῖς.
(2) Ὑπερμεγέθης.

καὶ ὑποκνιζόμενος ὑπὸ τῶν προτερημάτων αὐτῶν, τῶν ἐλθόντων εἰς τὰ ὦτά μου.

6. Συγγράψω περὶ αὐτῶν, τῶν ὄντων λαμπρῶν ἐκ γενέσεως, τῶν μὴ ἀπεχομένων τοῦ ἔργου πρὶν ἰδεῖν τὸ τέλος, τῶν κυριευόντων τῆς γῆς μέχρι τῶν ὁρίων τοῦ ὠκεανοῦ, τῶν ἁρματηλατούντων μέχρις εἰς τὸν οὐρανὸν,
7. Τῶν θυόντων κατὰ τὸν νόμον, τῶν δωρουμένων κατὰ τὴν ἔφεσιν τῶν αἰτούντων, τῶν κολαζόντων κατὰ τὰ ἁμαρτήματα, τῶν ἐξεγειρομένων τοῦ ὕπνου κατὰ τὸν καιρὸν,
8. Τῶν συλλεγόντων χρήματα εἰς διάδοσιν τοῖς δεομένοις, τῶν μέτρια λεγόντων χάριν τῆς ἀληθείας, τῶν ἐφιεμένων νίκης χάριν εὐκλείας, τῶν γαμούντων χάριν τεκνογονίας·
9. Καὶ ἐν μὲν τῇ παιδικῇ ἡλικίᾳ πονούντων εἰς κτῆσιν παιδείας, ἐν δὲ τῇ νεότητι τρυφώντων, ἐν δὲ τῷ γήρατι ἡσύχως καὶ ὁσίως ζώντων, ἐν δὲ τῷ τέλει τῆς ζωῆς τὸ σῶμα ἀπολειπόντων διὰ θεωρίας καὶ ἀναβιβάσεως τῆς πνοῆς εἰς τὸ βράχμα.
10. Τοῦτο τὸ σύγγραμμα θεωρῆσαι ἄξιοί εἰσιν οἱ σοφοὶ ἄνδρες, οἳ διαγινώσκουσι τὸ ὀρθὸν καὶ τὸ μὴ ὀρθόν· καὶ γὰρ τὸ ὄβρυζον ἢ τὸ κίβδηλον τοῦ χρυσοῦ διαγινώσκεται ἐν τῷ πυρί.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

1. Ὁ ἡλιογενὴς Μανοῦς, ὁ ὑμνούμενος ὑπὸ σοφῶν, ἦν πρῶτος τῶν βασιλέων, καθὼς τὸ Ὂμ πρῶτόν ἐστι καὶ κεφαλὴ τῆς Βέδας.
2. Ἐκ δὲ τῆς λαμπρᾶς γενεᾶς αὐτοῦ τοῦ Μανοῦ, ἐγένετο ὁ λαμπρότερος βασιλεὺς Διλήπας, καθὼς ἡ σελήνη ἐκ τῆς γαλακτικῆς θαλάσσης.

3. Σῶμα δ' εἶχεν οἰκεῖον τοῖς οἰκείοις κατορθώμασιν· εἶχε στέρνος εὐρὺ [1], καὶ στιβαροὺς ὤμους, καὶ ὑπερμεγέθης ἦν, καὶ μακρόχειρ· ἦν αὐτόχρημα Ξατρής.

4. Διὰ δὲ τοῦ ἑαυτοῦ σώματος, τοῦ ὑπερτέρου τῇ δυνάμει, καὶ κρείττονος τῇ ἀγλαΐᾳ καὶ τῷ μεγέθει τῶν ἄλλων πάντων, εἶχεν ὑφ' ἑαυτὸν πᾶσαν τὴν γῆν, καθὼς ἡ Μερόη, τὸ μέγα καὶ ὑψηλὸν ὄρος.

5. Εἶχε κατὰ μὲν τὴν μορφὴν φρόνησιν, κατὰ δὲ τὴν φρόνησιν παιδείαν, κατὰ δὲ τὴν παιδείαν ἐπιχειρήματα· κατὰ δὲ τὰ ἐπιχειρήματα εἶχε καὶ τὰ ἀποτελέσματα.

6. Ἦν τοῖς ὑπὸ χεῖρα καὶ ἀπρόσιτος καὶ εὐπρόσιτος ἐκ τῶν φοβερῶν καὶ ἱλαρῶν αὐτοῦ βασιλικῶν ἠθῶν [2], καθὼς ὁ ὠκεανὸς ἐκ τῶν κητῶν καὶ μαργαριτῶν.

7. Καθὼς ὁ τροχὸς τῆς ἁμάξης οὐκ ἐκτρέπεται τῆς τετριμμένης ὁδοῦ, οὕτω καὶ ὁ λαὸς αὐτοῦ τοῦ δικαίου βασιλέως οὐκ ἐξετρέπετο τῆς ὀρθῆς καὶ εὐθείας οὐδὲ μικρόν τι.

8. Ἐλάμβανε δὲ φόρον παρὰ τῶν ὑπηκόων εἰς πλεῖον κέρδος καὶ ὄφελος αὐτῶν, καθὼς ὁ ἥλιος ἀνιμᾷ ὕδωρ εἰς τὸ δοῦναι βροχὴν χιλιοπλάσιον.

9. Τὸ στράτευμα αὐτοῦ ἦν οὐκ εἰς πόλεμον, ἀλλ' εἰς κόσμον· δύω δὲ μόνα ἦν τὰ ἀποτελεστικὰ τῆς νίκης, ὁ ὀξὺς αὐτοῦ νοῦς εἰς μηχανὰς, καὶ ἡ ἐντεταμένη χορδὴ τοῦ τόξου.

10. Τὰ ἐπιχειρήματα αὐτοῦ, τοῦ ἔχοντος βουλὰς μυστικὰς, καὶ μηδὲν σημεῖον προεκφαίνοντος [3], ἐφαίνοντο ἐν τῇ ἐκτελέσει, καθὼς τὰ ἐν τῇ προτέρᾳ γεννήσει πεπραγμένα φαίνονται ἐν τῇ ἀπολαύσει.

11. Καὶ μὴ ὢν ἐν κινδύνῳ, ἐφύλαττε ἑαυτόν· καὶ μὴ ὢν ἐν

(1) Εὐρύστερνος ἦν.
(2) Δεῖ τῷ βασιλεῖ ἔχειν ἦθος φοβερὸν καὶ ἱλαρόν.
(3) Δεικνύοντος (Π. γρ.).

δεινοῖς, ἐποίει τὰ τοῦ νόμου· καὶ μὴ ὢν πλεονέκτης, συνέλεγε χρήματα· καὶ μὴ ὢν ἡδυπαθὴς, ἡδυπάθει [1].

12. Καὶ γινώσκων τὰ ἀλλότρια κακὰ, ἐσιώπα· καὶ δυνάμενος ἀμύνεσθαι, ἠνείχετο· καὶ δωρούμενος, οὐκ ἤθελεν ἔπαινον. Ταῦτα τὰ ἐναντία ὄντα [2], φιλικῶς εἶχον πρὸς ἄλληλα, καθὼς οἱ ὁμομήτριοι ἀδελφοί.

13. Καὶ νέος ὤν, ὥσπερ γέρων ἦν, ἐς ἄκρον ἐληλυθὼς πάσης παιδείας, μὴ ἑλκόμενος ὑπὸ τῶν ἡδονῶν, καὶ προσκείμενος τοῖς τοῦ νόμου.

14. Πατὴρ ἦν τῶν λαῶν ἐκ τῆς εἰς τὰ ἀγαθὰ ὁδηγίας, ἐκ τῆς τῶν κακῶν ἀπαλλαγῆς, καὶ ἐκ τῆς τροφοδοσίας· οἱ δὲ γεννήτορες αἴτιοι ἦσαν μόνης τῆς γεννήσεως αὐτῶν.

15. Καὶ ἡ χρηματολογία καὶ ἡ τρυφὴ κατὰ νόμον ἦν αὐτῷ τῷ ἔμφρονι· ἐπαίδευε γὰρ τοὺς ἀξίους παιδείας χρηματικῇ ποινῇ εἰς εὐταξίαν, καὶ ἐγάμει εἰς τεκνογονίαν.

16. Ὁ μὲν Διλήπας ἤμελγε τὴν γῆν [3] διὰ θυσίαν πρὸς τοὺς θεούς· ὁ δὲ θεὸς Ἴνδρας ἤμελγε [4] τὸν οὐρανὸν διὰ καρπὸν τῆς γῆς· τῇ δ' ἀμοιβαίᾳ δόσει ἀμφότεροι ἀμφοτέρους ἔτρεφον τοὺς κόσμους.

17. Οἱ λοιποὶ βασιλεῖς οὐκ ἐφικνοῦντο εἰς τὴν φήμην αὐτοῦ τοῦ Διλήπα, τοῦ φυλάττοντος τὸν κόσμον ἐκ τῶν δεινῶν, καὶ παιδεύοντος ἀξίως· ἡ γὰρ κλοπὴ γραφεῖσα ἀπὸ τῶν ἀλλοτρίων κτημάτων, ἔμενεν ἐπὶ τῆς φωνῆς τῆς λέξεως [5].

---

(1) Καὶ μὴ ὢν φιλήδονος, ἐτρύφα (Π. γρ.).

(2) Τὸ γινώσκειν, καὶ τὸ σιωπᾶν, τὸ δύνασθαι, καὶ τὸ ἀνέχεσθαι, τὸ δωρεῖσθαι, καὶ τὸ μὴ θέλειν ἔπαινον.

(3) Ἐλάμβανε φόρον.

(4) Ἔβρεχε.

(5) Τοὐτέστιν ὄνομα ἦν μόνον κλοπῆς καὶ οὐχὶ ἔργον.

18. Ὁ μὲν ἀγαθὸς καὶ ἀθῶος, εἰ καὶ ἐχθρὸς, φίλος ἦν αὐτῷ, καθὼς ἡ πικρὰ βοτάνη τῷ ἐμπαθεῖ· ὁ δὲ κακὸς καὶ ἔνοχος, εἰ καὶ φίλος, ἀπεκόπτετο, καὶ ἀπεχωρίζετο, καθὼς ὁ ὀφιόδηκτος δάκτυλος ἀποκόπτεται ἀπὸ τῆς χειρός.

19. Πάντως γε ὁ ποιητὴς Βραχμᾶς ἐποίησεν αὐτὸν ἐξ ἧς ὕλης ἐποίησε τὰ στοιχεῖα[1]· πάντα γὰρ τὰ ἰδιώματα αὐτοῦ ἦσαν εἰς ὠφέλειαν ἄλλων, καθὼς καὶ τὰ τῶν στοιχείων[2].

20. Ἐκυβέρνα δὲ μόνος αὐτὸς, ὥσπερ μίαν πόλιν, ἅπασαν τὴν γῆν, ἧς τεῖχος μὲν ἦν ὁ αἰγιαλὸς, τάφρος δὲ ὁ ὠκεανός.

21. Γυνὴ δ' ἦν αὐτῷ, ὥσπερ θεία νύμφη, θυγάτηρ Βασιλέως τῆς χώρας Μαγάδδας, ἧ ὄνομα ἦν ἀγλαὸν καὶ εὔφημον Σουδαξινὰ, ὅ ἐστι, Περιδεξία, λίαν ἀγαθὴ καὶ σώφρων.

22. Καί τοι δὲ πολλὰς εἶχε γυναῖκας, ταύτην ὅμως μᾶλλον ἠγάπα τὴν Σουδαξινὰν, καθὼς καὶ τὴν Λαξμήν· διότι ἦν καὶ ἀγαθὴ τὴν γνώμην, καὶ ἀγλαὰ τὴν μορφήν.

23. Ἐπιθυμῶν δὲ τυχεῖν παιδὸς ἐκ ταύτης τῆς ὁμόφρονος καὶ ὁμοψύχου γυναικὸς, πολὺν χρόνον διήνυσε κεναῖς ἐλπίσι.

24. Βουλόμενος οὖν ποιῆσαι τρόπον παιδοποιΐας, ἀφείλετο ἐκ τῶν οἰκείων ὤμων τὸ βαρὺ φορτίον τῆς βασιλείας, καὶ ἔθετο αὐτὸ ἐπὶ τῶν βουλευτῶν.

25. Λατρεύσαντες δὲ, ὅ,τε Διλήπας, καὶ ἡ Σουδαξινὰ, καὶ

---

(1) Ἐκ τῶν λεπτῶν καὶ διαφανῶν πρώτων στοιχείων, τῶν καθαρῶν καὶ ἀμίκτων, ἅ εἰσιν αἱ ἰδέαι τῶν στοιχείων.

(2) Τοῦ μὲν αἰθέρος ἴδιον ἡ φωνὴ, τοῦ δὲ ἀέρος ἡ θίξις, τοῦ δὲ πυρὸς τὸ σχῆμα, τοῦ δ' ὕδατος ἡ γεῦσις, τῆς δὲ γῆς ἡ ὀσμή.

θεραπεύσαντες καθαρᾷ καρδίᾳ τὸν Ποιητὴν Βραχμᾶν εἰς ἐπίτευξιν παιδὸς, ἥψαντο τῆς ὁδοῦ, τῆς εἰς τὴν Μονὴν τοῦ πνευματικοῦ πατρὸς Βασσίστα,

26. Ὀχούμενοι ἐπὶ λαμπροῦ ἅρματος, δοῦπον ποιοῦντος, ἡδὺν τῇ ἀκοῇ, ὡσπερεὶ ὁ Ἀϊραβάτας[1] καὶ ἡ ἀστραπὴ ἐπὶ νέφους βροντῶντος.

27. Ἵνα δὲ μὴ δι' ὄχλου γένοιντο τῇ τοῦ ὁσίου Μονῇ, ὀλίγους ἦγον ἀκολούθους καὶ ἀμφιπόλους· ἐκ τῆς ὑψίστης ὅμως δόξης αὐτῶν ἐφαίνοντο, ὅτι ὅλον στρατὸν ἦγον.

28. Ἡδύνοντο δὲ κατὰ τὴν πορείαν τῇ αὔρᾳ, τῇ πνεούσῃ δροσερὸν καὶ ἡδὺ ἐκ τῆς ὀσμῆς τοῦ χυμοῦ τῶν πιτύων, καὶ τῶν λοιπῶν ἀνθέων, καὶ ἠρέμα σαλευούσῃ τὰ δένδρα.

29. Δεξιοῦ δὲ τοῦ ἀέρος[2] ὄντος, καὶ ἠρέμα πνέοντος οὐκ ἠνωχλοῦντο οὐδ' ἐχραίνοντο ἐκ τῆς κόνιος, τῆς ἐξανισταμένης ἐκ τῶν ποδῶν τῶν ἵππων.

30. Προσδεχόμενοι εὐμενῶς τὸ διδόμενον πρόσφατον βούτυρον παρὰ τῶν ἐγκρίτων βουκόλων, ἠρώτων αὐτοὺς τὰ ὀνόματα τῶν κατὰ τὴν ὁδὸν δένδρων.

31. Ὡσφραίνοντο δὲ καὶ τῆς ἐκ τῶν λωτῶν ὀσμῆς, ἥτις καὶ ψυχρὰ ἦν ἐκ τῶν κυμαινόντων λιμνίων ὑδάτων, καὶ εὐώδης, καθὼς καὶ ἡ ἐκ τοῦ στόματος αὐτῶν πνοή.

32. Τῶν δὲ ταώνων ἡδομένων τῷ δούπῳ τοῦ ἅρματος, καὶ ἀμιλλωμένων[3], ἠκροῶντο τῆς θυμήρους φωνῆς αὐτῶν, τῆς οὔσης εὐρύθμου, κατὰ τὴν ἀνιοῦσαν καὶ κατιοῦσαν τῆς μουσικῆς.

33. Ἐθεώρουν τοὺς ἄρρενας καὶ θήλεις ἐλάφους, τοὺς προσ-

---

(1) Ὁ ἐλέφας τοῦ Ἴνδρα.

(2) Δεξιός ἐστιν οἰωνὸς, ὅτε ὁ ἀὴρ πνέει ὄπισθεν τοῦ ἀνθρώπου, πορευομένου εἰς ἔργον ἀναγκαῖον.

(3) Ὅτε βροντᾷ, τότε ὁ ταὼς ἥδεται, καὶ ἀντιφωνεῖ ἀμιλλώμενος.

πελάζοντας τῷ ἅρματι, καὶ ἐνατενίζοντας, καὶ ἐνόμιζον, ὁ μὲν Διλήπας, ὅτι ἡ Σουδαξινὰ ἔχει ὄμματα θηλείας ἐλάφου, ἡ δὲ Σουδαξινά, ὅτι ὁ Διλήπας ἔχει ὄμματα ἄρρενος ἐλάφου.

34. Ἀνέτεινον δὲ τὰ ὄμματα καὶ εἰς τὸν αἰθέρα ἐκ τῆς ἡδείας κλαγγῆς τῶν γεράνων, αἳ ἐπέτοντο ἰλαδὸν, καὶ ἐποίουν ὥσπερ σειρὰν ἐκ φύλλων [1], τιθεμένην ἐπὶ τῶν θυρῶν.

35. Ἐν δὲ ταῖς κώμαις, αἳ ἐδωρήθησαν παρ' αὐτῶν τοῖς θύταις, καὶ πολλὰ θυσιαστήρια εἶχον, τιμὰς εἰλικρινεῖς καὶ εὐλογίας διακαεῖς ἐλάμβανον.

36. Ἀγλαΐα δέ τις ἦν αὐτοῖς, οἳ συνεπορεύοντο, λευκὴν στολὴν ἔχοντες, καθὼς τῇ παμφαεῖ σελήνῃ καὶ τῇ Σιτρᾷ ἐν τῷ ἔαρι [2].

37. Δεικνύων δ' ὁ βασιλεὺς τῇ βασιλίσσῃ πάντα τὰ καθ' ὁδὸν ὑποπίπτοντα τῇ ὁράσει διάφορα πράγματα, οὐδαμῶς ἥσθετο τῆς διανυθείσης μακρᾶς ὁδοῦ.

38. Ἀφίκετο δὲ τελευταῖον αὐτὸς ὁ πανεύφημος κατὰ τὴν ἑσπέραν μετὰ πολλοῦ καμάτου τῶν ἵππων εἰς τὸ ἀσκητήριον τοῦ Μεγάλου ὁσίου,

39. Ἔνθα πολλοὶ ἀναχωρηταὶ Βραχμᾶνες ἀνέστρεφον ἐκ τῆς ὕλης, ὀπώρας φέροντες καὶ *Κούσσαν*, καὶ ξύλα πρόσφορα τῷ πυρὶ τῆς θυσίας.

40. Καὶ ἄλλαι μὲν τῶν ἐλάφων ἵσταντο πρὸ τῶν θυρῶν τῶν καλυβῶν, ὥσπερ παῖδες, περιμένουσαι τὸ ἀνάλογον μέρος τῆς *Νηβάρας* [3].

---

(1) Εἰρεσιώνην.

(2) Ἐν μηνὶ Μαρτίῳ συνανατέλλει τῇ παμφαεῖ σελήνῃ ἡ Σιτρὰ, ἥ ἐστιν ἀστήρ.

(3) Ἀγρία ὄρυζα αὐτοφυὴς, ἣ ἐχρῶντο εἰς τροφὴν οἱ ὑλόβιοι Βραχμᾶνες.

41. Ἄλλαι δὲ μηρυκισμὸν ἐποίουν, καθήμεναι, ἐν ταῖς τῶν καλυβῶν αὐλαῖς, ἐν αἷς ἦν σεσωρευμένη [1] *Νηβάρα* κατὰ τὴν δύσιν τοῦ ἡλίου.

42. Αἱ δὲ θυγατέρες τῶν ὁσίων ἐπότιζον τὰ φυτὰ [2], εἰς ὧν τὰς ἀμάρας καθίπταντο τὰ πετεινὰ ἀφόβως, καὶ ὕδωρ ἔπινον.

43. Ἐκ δὲ τῆς εὐώδους ἀναθυμιάσεως, τῆς ἀναδιδομένης ἀπὸ τοῦ προσφερομένου βουτύρου τῷ ἀσβέστῳ πυρὶ, ἐκαθαίροντο οἱ προσφοιτῶντες ξένοι.

44. Ἐλθὼν οὖν ὁ βασιλεὺς εἰς ταύτην τὴν Μονὴν, προσέταξε τῷ ἁρματηλάτῃ ἀναπαῦσαι τοὺς ἵππους· καταβὰς δ' ἔπειτα ἀπὸ τοῦ ἅρματος, κατεβίβασε καὶ τὴν ἑαυτοῦ γυναῖκα.

45. Οἱ δὲ αἰδέσιμοι καὶ ἐγκρατεῖς Βραχμᾶνες ἐτίμησαν ἀξίως αὐτὸν τὸν ἀξιότιμον καὶ δίκαιον βασιλέα μετὰ τῆς βασιλίσσης.

46. Μετὰ δὲ τὴν ἑσπερινὴν εὐχὴν καὶ τὴν εἰς τὸ πῦρ σπονδὴν, ἦλθεν εἰς ὄψιν τοῦ ὁσίου Βασίστα, ὅστις ἐκάθητο μετὰ τῆς Ἀρουνδατῆς, καθὼς ὁ Ἀγνὴς μετὰ τῆς Σβαχᾶς [3].

47. Ἤψαντο δὲ ὅ,τε βασιλεὺς καὶ ἡ βασίλισσα τῶν ποδῶν τοῦ Βασίστα καὶ τῆς Ἀρουνδατῆς· οἱ δὲ ἐδεξιώσαντο αὐτοὺς μετὰ χαρᾶς καὶ εὐλογίας.

48. Ἐπεὶ δὲ ἀνάπαυσιν ἔλαβεν ὁ βασιλεὺς τοῦ ἐκ τῆς ὁδοιπορίας πόνου τῇ δεξιώσει καὶ φιλοφροσύνῃ, ἠρώτησεν ὁ ὅσιος, εἰ καλῶς ἔχει ἡ αὐτοῦ βασιλεία.

49. Ὁ δὲ βασιλεὺς, ὁ ὢν καὶ πτολίπορθος, καὶ ἄριστος τῶν λογίων (λίαν ἐλλόγιμος), λόγον ἔλεξε πλήρη φρονή-

---

(1) Κατὰ μὲν τὴν ἡμέραν ἔθεντο αὐτὴν τὴν ἀγρίαν ὄρυζαν ἐν τῷ ἡλίῳ· κατὰ δὲ τὴν δύσιν ἐσώρευσαν.

(2) Τὸ κείμενον ἐκφράζεται ὑποχριστικῶς, δενδρύφια.

(3) Σβαχὰ, γυνὴ τοῦ Πυρός.

σεως τῷ Βασσίστᾳ, ὃς ἦν ἔμπειρος τῆς Ἀτάμβας Βέδης [1].

50. «Καλῶς ἔχει τὰ τῆς ἐμῆς βασιλείας, Πάτερ ὅσιε· σὺ γὰρ
» ἀπαλλάττεις τὰ δεινὰ τὰ ἐκ Θεοῦ [2] καὶ ἐξ ἀνθρώπων.

51. «Ἡ δύναμις σοῦ τοῦ θεοπρόπου ἰσχυροτέρα ἐςὶ τοῦ ἐμοῦ
» βέλους· τὸ μὲν γὰρ βέλος βάλλει τὸν φαινόμενον ἐχ-
» θρόν· ἡ δὲ δύναμις τῆς σῆς ἐπωδῆς βάλλει μακρόθεν
» καὶ τὸν ἀφανῆ.

52. «Ἡ εἰς τὸ πῦρ λοιβή σου [3] κατὰ τὸν νόμον, ὦ θυηπόλε,
» βροχὴ γίνεται τοῖς καρποῖς τῆς γῆς, τοῖς ξηραινομέ-
» νοις τῇ ἀνομβρίᾳ.

53. «Ἡ βραχμανική σου χάρις αἰτία ἐστὶν, ὅτι οἱ λαοί μου
» ζῶσι μέχρι ἑκατὸν ἐτῶν ἄνευ κινδύνων, παθῶν καὶ δει-
» νῶν.

54. «Πῶς ἄρα οὐκ ἂν εἴη ςερεὰ καὶ ἀμετάπτωτος ἡ εὐτυχία
» ἐμοῦ τοῦ εὐδαίμονος, οὗ τοσοῦτον φροντίζεις σὺ ὁ πνευ-
» ματικὸς Πατὴρ, ὁ υἱὸς τοῦ Βραχμᾶ;

55. «Ἀλλὰ καὶ οὕτως, ἡ μεγάλη καὶ ὀλβία γῆ, ἧς βασιλεύω,
» οὐδαμῶς ἀρέσκει μοι, μὴ σχόντι ἀξιόλογον υἱὸν ἐκ ταύ-
» της τῆς γαμετῆς.

56. «Τὸ παρ' ἐμοῦ διδόμενον ὕδωρ πίνουσιν οἱ προπάτορές
» μου χλιαρὸν ἐκ τοῦ οὗ ἐκφέρουσι θερμοῦ ἀναστεναγ-
» μοῦ, ἐπειδὴ γινώσκουσιν, ὡς οὐ τεύξονται μετὰ τὸν
» θάνατόν μου.

57. «Οἱ κατοιχόμενοι πρόγονοί μου οὐκ ἐσθίουσι κατὰ κό-

---

(1) Αὕτη διαλαμβάνει καὶ ἐπῳδὰς καὶ μαντείας εἰς ὄλεθρον τῶν ἐχθρῶν.

(2) Τὰ ἐκ Θεοῦ δεινὰ ταῦτά εἰσιν, ἡ πυρκαϊὰ, ἡ πολυομβρία, ἡ ἀνομβρία, ὁ λιμὸς, ὁ λοιμὸς καὶ ἡ νόσος· τὰ δὲ ἐξ ἀνθρώπων ταῦτα, ἡ ἀδικία, ἡ κλοπὴ, ἡ ἐχθρῶν καταδρομὴ, ἡ ἁρπαγὴ καὶ ἡ τυραννία.

(3) Ἡ Βέδα καὶ ὁ Νομοθέτης Μανοῦς λέγει, ὡς ἡ εἰς τὸ πῦρ λοιβὴ προσέρχεται τῷ Ἡλίῳ, ὁ δὲ Ἥλιος ἀντιδίδωσι βροχὴν, ἐκ δὲ τῆς βροχῆς φύει καρποὺς ἡ γῆ, ἐκ δὲ τῶν καρπῶν τῆς γῆς ζῶσι πάντα τὰ ἔμψυχα.

» ρον ἐν τῷ περιδείπνῳ, ἀλλ' ὑφαιρούμενοι, φυλάτ-
» τουσι μοῖραν, ἐπειδὴ προβλέπουσιν ἔλλειψιν μετὰ τὸν
» ἐμὸν θάνατον.

58. «Ἐγὼ καὶ ἠγλαϊσμένος εἰμὶ διὰ τὴν ἐκτέλεσιν τῶν πρὸς
» τοὺς θεοὺς θυσιῶν, καὶ ἐσκοτισμένος διὰ τὴν ἀτεκνίαν,
» καθὼς τὸ ὄρος Λοκαλόκα [1], ὅ ἐστι καὶ φωτεινὸν καὶ σκο-
» τεινόν.

59. «Ἡ ἐξ ἀγαθῶν ἔργων ἀρετὴ πρόξενός ἐστιν ἀνέσεως ἐν τῷ
» μέλλοντι βίῳ· ὁ δὲ νόμιμος καὶ γνήσιος υἱὸς εἰς ἄνεσίν
» ἐστι κἂν τούτῳ κἂν τῷ μέλλοντι βίῳ.

60. «Βλέπων ἐμὲ ἄγονον καὶ ἄτεκνον, ὡς δένδρον ἄκαρπον, ὃ
» ποτίζεις, καὶ κομεῖς, πῶς οὐ λυπῇ, πάτερ ὅσιε;

61. «Γίνωσκε, ὦ θεσπέσιε, ὡς τὸ πρὸς τοὺς γονεῖς μου
» τελευταῖον χρέος [2] ἀνύποιστον θλῖψιν προξενεῖ, καθὼς ὁ
» δεσμὸς τοῦ ἐλέφαντος, τοῦ μὴ δυναμένου ἐμβαπτι-
« σθῆναι τοῖς ὕδασι.

62. «Ἄξιος ἄρα εἰ τρόπον ποιῆσαι, ὅπως λυτρωθήσομαι τού-
» του τοῦ χρέους· ἐπὶ σοὶ γάρ ἐστιν ἡ ἐκπλήρωσις παντὸς
» δυσπορίστου αἰτήματος τῶν ἀπογόνων τοῦ Ἰξβακοῦ.»

63. Οὕτω παρακληθεὶς ὑπὸ τοῦ Βασιλέως ὁ ὅσιος, θεωρῶν
τῷ νοΐ, ἀκίνητα ἔσχεν ἐν ἀκαρεῖ τὰ ὄμματα, καθὼς ἡ
δεξαμενὴ τὰ ὕδατα, ἔνθα οἱ ἰχθύες ἡσυχάζουσι.

64. Καθαρὸς δ' ὢν τὴν καρδίαν, ἔγνω διὰ τῆς θεωρίας τὴν
αἰτίαν τῆς ἀγονίας τοῦ βασιλέως, καὶ ἔλεξε πρὸς αὐτόν·

---

(1) Μυθευόμενον ὄρος μέγα καὶ ὑψηλὸν πέριξ τῆς γῆς, οὗ τὸ μὲν ἐντὸς φωτεινόν ἐστιν, ὡς καταλαμπόμενον ὑπὸ τοῦ ἡλίου, τὸ δ' ἐκτὸς σκοτεινόν, ὡς μὴ διήκοντος τοῦ ἡλίου.

(2) Τέσσαρα χρέη ἀπαραίτητά ἐστι τῷ ἀνθρώπῳ, τὸ μὲν πρὸς τοὺς θεούς, ὅ ἐστι, τὸ τελεῖν θυσίας καὶ τὸ εὔχεσθαι, τὸ δὲ πρὸς τοὺς ἁγίους Βραχμᾶνας, ὅ ἐστιν ἡ ἀνάγνωσις τῶν Βεδῶν, τὸ δὲ πρὸς τοὺς ξένους, ὅ ἐστιν ἡ ξενία, τὸ δὲ πρὸς τοὺς προπάτορας, ὅ ἐστι τὸ ποιεῖν τὰ ὅσια καὶ νομιζόμενα αὐτοῖς, τὰ νεκρώσιμα μνημόσυνα.

65. «Πάλαι ἀναστρέφοντός σου εἰς γῆν ἐξ οὐρανοῦ, ἔνθα συν-
» διέτριβες τῷ Ἴνδρᾳ, ἣν κατὰ τὴν ὁδὸν ἡ Σουραββὴ
» ὑπὸ τὴν σκιὰν τοῦ δένδρου Καλπαταροῦ.

66. «Ἐνθυμούμενος δὲ ταύτην τὴν βασίλισσαν, λελουμένην
» μετὰ τὰ καταμήνια, καὶ φοβούμενος τὴν παράβασιν
» τοῦ νόμου, παρῆλθες τὴν Σουραββὴν ἐν τάχει, μὴ γρέ-
» ψας τὸ δεξιὸν μέρος πρὸς αὐτὴν, ὡς νενόμισται.

67. «Ἡ δὲ κατηράσατό σου, εἰποῦσα· *Ἐπειδὴ κατεφρόνη-*
» *σάς μου, διὰ τοῦτο οὐκ ἔσταί σοι τέκνον· τότε δ' ἔ-*
» *σταί σοι, ὅταν θεραπεύσῃς τὴν ἐμὴν θυγατέρα.*

68. «Ταύτης δὲ τῆς ἀρᾶς οὔτε σὺ ἤκουσας, ὦ βασιλεῦ, οὔτε
» ὁ ἡνίοχος, δοῦπον ποιοῦντος τοῦ ἐλέφαντος τοῦ Ἴνδρα
» ἐν τοῖς νάμασι τοῦ οὐρανίου Γάγγου.

69. «Ἴσθι, ὡς ἐξ ἐκείνης τῆς καταφρονήσεως δεσμὸς ἐπεγέ-
» νετο τῆς ἧς ἐπεθύμεις τεκνογονίας· ἡ γὰρ παράβασις
» τῆς τιμῆς τοῦ τιμῆς ἀξίου, ἀπείργει τὸ ἐφετόν.

70. «Νῦν δ' ἐκείνη ἡ βοῦς διατρίβει ἐν τοῖς ὑποχθονίοις, εἰς
» τὸ διδόναι τὰ τῇ θυσίᾳ πρόσφορα τῷ Βαρούνᾳ, ὃς
» θύει θυσίαν πολυχρόνιον· πάρεισι δ' ἐν τῇ θύρᾳ ὄφεις
» καὶ δράκοντες.

71. «Ἀντὶ δὲ τῆς Σουραββῆς θεράπευσον τὴν θυγατέρα αὐτῆς
» μετὰ τῆς σεαυτοῦ γυναικὸς, καθαρὸς ὢν· ἡ δὲ, χαρεῖ-
» σα, δώσει σοι τὸ ποθούμενον ».

72. Ταῦτα λέγοντος τοῦ θύτου, ἐπανάστρεψεν ἀπὸ τοῦ
ἄλσους, ἔνθα ἐνέμετο, ἡ ἄμωμος καὶ πολυγάλακτος δά-
μαλις, ἧ ὄνομα ἦν Νανδινή.

73. Χρῶμα δ' εἶχε καὶ ἀπαλότητα, ὡς τὸ νεόφυτον φύλλον
τοῦ δένδρου [1], καὶ λευκὸν σημεῖον ἐπὶ τοῦ μετώπου εἰς
σχῆμα τριταίας σελήνης κατὰ τὴν ἑσπέραν.

---

(1) Τὸ νεόφυτον φύλλον τοῦ δένδρου ἐρυθρόν ἐστι καὶ ἁπαλόν.

74. Ὅτε δὲ εἶδε τὸν ἑαυτῆς μόσχον αὕτη ἡ ἔχουσα οὔθατα, ὥσπερ στάμνους, ἔῤῥεε γάλα κατὰ γῆς χλιαρὸν καὶ ἁγνιστικώτερον τοῦ μετὰ τὴν θυσίαν λουτροῦ.

75. Ἡ δὲ ἐξανισταμένη κόνις ἐκ τῶν ποδῶν τῆς δαμάλεως ἁγνὸν ἐποίησε τὸ σῶμα τοῦ βασιλέως, ἐγγὺς ὄντος, καθὼς τὸ ἐν ἁγιαστικῷ ὕδατι λουτρόν.

76. Ἰδὼν δ' αὐτὸς ὁ κρυφιογνώστης αὐτὴν τὴν δάμαλιν, ἧς ἡ θέα ἀγαθοπάροχος ἦν, εἶπε πάλιν πρὸς τὸν βασιλέα, οὗ τὸ αἴτημα ἀλυσιτελὲς οὐκ ἐγένετο·

77. «Ταχεῖαν ἴσθι τὴν ἐκτέλεσιν τοῦ ἐφετοῦ σοι[1], ὦ βασιλεῦ·
» αὕτη γὰρ ἡ ἀγαθὴ παρέστη, λεγομένου τοῦ ὀνόματος
» αὐτῆς.

78. «Ἰλοδίαιτος δ' ὤν[2], ἄξιος εἶ εὐμενῆ ποιήσασθαι, καὶ πε-
» ριποιήσασθαι ταύτην τὴν δάμαλιν διὰ τῆς συνεχοῦς θε-
» ραπείας, καθὼς τὴν μάθησιν διὰ τῆς συνεχοῦς μελέτης.

79. «Πορευομένης ταύτης, πορεύου· ἱσταμένης, ἵστασο· καθη-
» μένης, κάθησο· καὶ πινούσης, πῖνε.

80. «Ἡ δὲ γυνή σου, εὐλάβειαν ἔχουσα, καὶ ἀγνεύουσα, περὶ
» μὲν τὴν ἔω προπεμπέτω ταύτην τὴν σεβαστὴν μέχρι
» τῶν ὁρίων τοῦ ἀσκητηρίου· περὶ δὲ τὴν ἑσπέραν προϋ-
» παντάτω.

81. «Πρόσκεισο οὖν τῇ θεραπείᾳ αὐτῆς, ἕως ἂν εὐμενισθῇ·
» εὖ πράττε· εἶης, ὡς ὁ πατήρ σου, κολοφὼν πάντων τῶν
» εὐτέκνων.»

82. Ταύτην τὴν εὐχὴν τοῦ πνευματικοῦ πατρὸς ἐδέξατο ἄσμενος ὁ ἔμφρων βασιλεὺς μετὰ τῆς ἑαυτοῦ γυναικὸς, καὶ ὑπεφώνησε ταπεινῶς· « Γένοιτο »!

83. Κατὰ δὲ τὴν νύκτα ἀπέμπεψεν αὐτὸν τὸν ὑπερένδοξον

---

(1) Τοὐτέστιν, ἀγαθὸς οἰωνός ἐστι.

(2) Ζῶν ἐν τῇ ὕλῃ, καὶ ἐσθίων τὰ τῆς ὕλης.

βασιλέα εἰς κοίτην ὁ υἱὸς τοῦ Βραχμᾶ, ὁ ἡδυεπὴς καὶ ἀληθοεπὴς Βασσίστας.

84. Καί τοι δὲ δύναμιν εἶχε τερατουργικὴν, παρεσκευάσατο ὅμως τὰ πρὸς δεῖπνον καὶ ὕπνον τοῦ βασιλέως κατὰ τὸν ἀγροικικὸν καὶ ἐρημικὸν βίον, εἰς τὸ ἐθίσαι αὐτὸν εἰς σκληραγωγίαν.

85. Καταλύσας δ' ὁ βασιλεὺς μετὰ τῆς βασιλίσσης ἐν καλύβῃ, ἣ ἐπεδείχθη ὑπὸ τοῦ ὁσίου, κατακληθεὶς ἐπὶ ψιάθου, διήνυσε τὴν νύκτα, καὶ ἐξηγέρθη κατὰ τὸν ὄρθρον ἐκ τῆς ἀναγνώσεως [1] καὶ μελέτης τῶν μαθητῶν τοῦ διδασκάλου Βασσίστα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Περὶ δὲ τὴν ἕω ἔλυσεν ὁ βασιλεὺς τὴν δάμαλιν, εἰς τὸ πορευθῆναι εἰς νομὴν μετ' αὐτῆς, ἣ ἐχρίσθη κατὰ τὸ μέτωπον ὑπὸ τῆς βασιλίσσης Σανδάνῳ εὐώδει, καὶ ἄνθεσιν ἐστεφανώθη· ὁ δὲ μόσχος, πιὼν γάλα, ἐδέθη.

2. Καθὼς δὲ ἡ ἐντολὴ τοῦ νόμου παρακολουθεῖ τῇ ἐννοίᾳ τῆς Βέδας, οὕτω καὶ ἡ βασίλισσα, ἡ οὖσα πανεύφημος, καὶ πασῶν τῶν σεμνῶν γυναικῶν κορωνὶς, παρηκολούθει τῇ τῆς δαμάλεως ὁδῷ, ἧς ὁ χοῦς ἠγιάσθη ἐκ τῶν ἰχνῶν αὐτῆς τῆς δαμάλεως.

3. Ἀποπέμψας δ' εἰς τὸ ἀσκητήριον ὁ εὔσπλαγχνος καὶ εὔφημος βασιλεὺς τὴν προπέμψασαν βασίλισσαν, διεφύλαττε τὴν βοῦν, ὥσπερ γῆν [2], βοὸς σχῆμα ἔχου-

---

(1) Οὐκ ἐξηγέρθη, ὡς ἔθος, ὑπὸ τῶν ὑμνολόγων, ἀλλ' ὑπὸ τῶν μαθητῶν, ἀναγινωσκόντων.

(2) Χρέος ἐστὶ τῷ βασιλεῖ διαφυλάττειν τὴν γῆν, ἧς βασιλεύει, καὶ φροντίζειν αὐτῆς, ἡ δὲ βοῦς ἔμβλημά ἐστι τῆς παμφόρου γῆς, καὶ διὰ τοῦτο τιμᾶται καὶ λατρεύεται, ὡς θεά.

σαν, καὶ τέσσαρα οὔθατα ἀντὶ τῶν τεσσάρων θαλασσῶν [1].

4. Ὧν δ' αὐτὸς θεράπων τῆς δαμάλεως διὰ κακοπάθειαν τοῦ ἑαυτοῦ σώματος, οὐδένα τῶν ἑαυτοῦ θεραπόντων ἔλαβεν εἰς θεραπείαν· ἀλλ' οὐδὲ φρουρᾶς τοῦ σώματος αὐτοῦ ἦν χρεία παρ' ἄλλου· ὁ γὰρ ἀπόγονος τοῦ Μανοῦ μόνῃ τῇ οἰκείᾳ δυνάμει φρουρεῖται καὶ διαφυλάττεται.

5. Ἐποίει δὲ θεραπείαν ἐπιμελῶς αὐτὸς ὁ Αὐτοκράτωρ αὐτῇ τῇ βοΐ, ἡ ἐπορεύετο ἢ ἐβούλετο, δράγμασι πόας ἡδείας, καὶ κνήσμασι, καὶ ἀποσοβήσεσι τῶν οἴστρων.

6. Ἠκολούθει δὲ αὐτῇ ὁ βασιλεὺς, ὥσπερ ἡ σκιὰ τῷ σώματι· ἱσταμένης γὰρ, ἵστατο· πορευομένης, ἐπορεύετο· καθημένης, ἐκάθητο· καὶ πινούσης, ἔπινε.

7. Καθὼς δὲ ὁ ἐλέφας, εἰ καὶ οὐ ῥέει ὁ μανικὸς αὐτοῦ ἱδρὼς, ἔχει ὅμως ἐν ἑαυτῷ τὴν μανικὴν δύναμιν, οὕτω καὶ ὁ βασιλεὺς, εἰ καὶ παράσημα οὐκ εἶχεν, εἶχεν ὅμως βασιλικὸν ἦθος.

8. Τόξον δ' ἔχων ἐντεταμένον, καὶ τὴν κόμην ἀναδεδεμένην [2] φλοιῷ φυτοῦ, περιήρχετο τὸ ἄλσος, ὥσπερ ἀνιχνεύων θηρία ἄγρια προφάσει φρουρᾶς δαμάλεως.

9. Ἐπειδὴ δὲ ἀπέβαλε τοὺς παρισταμένους ὑπηρέτας, τὰ παριστάμενα δένδρα τῆς ὕλης ἐπλήρουν τὸ τῶν ὑπηρετῶν ἔργον [3], ὥσπερ προσφωνοῦντα αὐτῷ διὰ τῶν φωνῶν τῶν ἐπικαθημένων ᾠδικῶν ὀρνίθων.

10. Καθὼς τὰ κοράσια τῆς πόλεως ἔῤῥιπτον πεφρυγμένην ὄρυζαν ἐπὶ τῆς κεφαλῆς τοῦ βασιλέως, ἐξιόντος, οὕτω

---

(1) Τέσσαρες αἱ θάλασσαι, ἡ ἑώα, ἡ ἑσπερία, ἡ βορεία, καὶ ἡ νοτία, ὧν ἐν τῷ μέσῳ κεῖται ἡ γῆ, ὡς νῆσος.

(2) Ἔθος ἦν πάλαι τῷ Βασιλεῖ, μὴ κείρειν τὰς τρίχας τῆς κεφαλῆς.

(3) Ἔθος ἐστι τοῖς βασιλικοῖς ὑπηρέταις προσφωνεῖν τῷ βασιλεῖ πορευομένῳ. Ζῆθι, βασιλεῦ! Νίκα βασιλεῦ!

καὶ τὰ δένδρα τῆς ὕλης ἔρριπτον ἄνθη ἐπ' αὐτὸν τὸν σεβαστὸν καὶ λαμπρὸν, σαλευόμενα ὑπὸ τοῦ πνέοντος ἀνέμου.

11. Καί τοι δὲ τοξοφόρος ἦν, αἱ ἔλαφοι ὅμως, βλέπουσαι τὸ ἀγλαὸν σῶμα αὐτοῦ ἔγνωσαν ἐκ τῆς ἑαυτῶν ἀφόβου καρδίας, ὅτι πλῆρες ἦν οἰκτιρμοῦ, καὶ διὰ τοῦτο ἐνητένιζον ἡδέως καὶ ἀκορέστως.

12. Ἦκουε δὲ ἐν συνηρεφέσι τόποις τὸ ἑαυτοῦ μέγα ὄνομα, ᾀδόμενον ὑπὸ τῶν νυμφῶν τῆς ὕλης ὑπὸ μέλος τῶν ἐμπνεομένων ὑπὸ τοῦ ἀνέμου διατρήτων καλάμων καὶ ἠχούντων, ὥσπερ αὐλῶν.

13. Ὁ δ' ἀὴρ, πνέων ψυχρὸς ἐκ τῶν ἀπὸ τοῦ ὄρους ῥεόντων ὑδάτων, καὶ εὐώδης ἐκ τῶν ἀνθέων, ἐθεράπευεν αὐτὸν τὸν ἄξιον θεραπείας, κάμνοντα ὑπὸ τοῦ ἡλίου, ὡς μὴ ἔχοντα οὐρανίσκον.

14. Τούτου τοῦ βασιλέως ἐλθόντος εἰς τὸ ἄλσος, τὸ τοῦ ἄλσους πῦρ ἄνευ βροχῆς ἐσβέσθη· τῶν δὲ καρπῶν καὶ ἀνθέων πολλαπλασιασμὸς ἐγένετο· καὶ οὐδὲν τῶν σαρκοφάγων θηρίων ἀνήρει ζῶόν τι ποηφάγον.

15. Κατὰ δὲ τὴν ἑσπέραν ὁ μὲν ἐρυθρὸς ἥλιος ἔκλινεν εἰς δύσιν, ἡ δ' ἐρυθρὰ δάμαλις ἔστρεφεν οἴκαδε· καθαρὰ δ' ἐποίησαν τὰ ἐν μέσῳ πάντα διὰ τῆς ἑαυτῶν στροφῆς.

16. Ἠκολούθει δ' ὁ βασιλεὺς τῇ δαμάλει, τῇ διδούσῃ τὰ ἀνήκοντα εἰς τοὺς θεοὺς, εἰς τοὺς ἀποιχομένους, καὶ εἰς τοὺς ξένους· ἡ δὲ δάμαλις ἠγλαΐζετο σὺν τῷ βασιλεῖ, καθὼς ἡ πίστις σὺν τῷ νόμῳ.

17. Ἐπορεύετο ὁ βασιλεὺς, θεωρῶν ἅπαν τὸ ἄλσος, ἐπικεκαλυμμένον πλήθει ἀγρίων χοίρων, ἐξερχομένων ἀγεληδὸν ἐκ τῶν τελμάτων, καὶ πλήθει ταώνων, ἱπταμένων ἐπὶ τὰ δένδρα εἰς κοίτην, καὶ ἐλάφων, κατακειμένων ἐπὶ τῆς χλοερᾶς γῆς.

18. Καὶ ἡ μὲν δάμαλις κάμνουσα ἐκ τῆς βαρύτητος τῶν πολυγαλάκτων οὐθάτων, ὁ δὲ βασιλεὺς ἐκ τοῦ καμάτου τοῦ σώματος, ἀμφότεροι ἐκόσμουν τὴν εἰς τὸ ἀσκητήριον ὁδὸν ἀγλαᾷ καὶ σχολαίᾳ βαδίσει.

19. Ἐλθοῦσα δ' ἡ Σουδαζινὰ εἰς ὑπάντησιν, ἔπινεν ἀσκαρδαμικτὶ διὰ τῶν διψώντων ὀφθαλμῶν τὸν ἑαυτῆς ἄνδρα, ἀναστρέφοντα ἐκ τῆς ὕλης, καὶ τῇ δαμάλει ἀκολουθοῦντα.

20. Ἡ δὲ ἐρυθρὰ δάμαλις, ἔχουσα ἔμπροσθεν μὲν τὴν βασίλισσαν, ἣ ἦλθεν εἰς ὑπάντησιν, ὄπισθεν δὲ τὸν βασιλέα, ὅστις παρηκολούθει, ἠγλαΐζετο ἐν μέσῳ αὐτῶν, καθὼς ἡ ἐρυθρὰ ἑσπέρα μέσον τῆς ἡμέρας καὶ τῆς νυκτός.

21. Ἔχουσα δὲ ἐν χειρὶ ἡ Σουδαζινὰ ἀγγεῖον[1] τῶν προσηκόντων τῇ λατρείᾳ, λατρείαν ἐποίησε τῷ εὑρεῖ μετώπῳ τῆς δαμάλεως, ὥσπερ ὀργάνῳ τῆς τοῦ ποθουμένου ἐκτελέσεως· κἄπειτα προσκυνήσασα, ἐκ δεξιῶν περιῆλθεν αὐτήν.

22. Ὁ δὲ βασιλεὺς καὶ ἡ βασίλισσα ἐχάρησαν, ὅτι ἡ δάμαλις, καίπερ ἀδημονοῦσα ἰδεῖν τὸν ἑαυτῆς μόσχον, ἔσχε, καὶ ἐδέξατο τὴν λατρείαν· ἴδιον γὰρ τῶν καλοκἀγάθων δεικνῦναι πρὸς τοὺς εὐλαβεῖς σημεῖα αἴσια τοῦ προσδοκωμένου ἀγαθοῦ.

23. Ἐλθὼν δ' οἴκαδε ὁ τῶν ἐχθρῶν ὀλέτωρ Διλήπας, ἥψατο τῶν ποδῶν τοῦ Βασσίστα καὶ τῆς Ἀρουνδατῆς· καὶ τὴν ἑσπερινὴν εὐχὴν τελέσας, μετὰ τὸ ἀμέλξαι τὴν βοῦν, ἐθεράπευσεν αὐτὴν πάλιν καθημένην.

24. Θεὶς δὲ σιτία καὶ λύχνον παρ' αὐτῇ, καθημένῃ, ἐκάθισε καὶ αὐτὸς μετὰ τῆς ἑαυτοῦ γυναικός· καὶ κοιμηθείσης τῆς βοὸς, ἐκοιμήθη· καὶ ἐξεγερθείσης περὶ τὸν ὄρθρον, ἐξηγέρθη.

---

(1) Ἀγγεῖον ἐν ᾧ ἦν Σάνδανον καὶ ἄνθη.

25. Τοιαύτην σκληραγωγίαν ποιοῦντος τοῦ εὐφήμου καὶ φιλοπτώχου βασιλέως μετὰ τῆς βασιλίσσης διὰ τεκνογονίαν, τρὶς ἑπτὰ ἡμέραι παρῆλθον.

26. Τῇ δὲ εἰκοστῇ δευτέρᾳ ἐφιεμένη ἡ δάμαλις γνῶναι τὴν γνώμην τοῦ βασιλέως, εἰσέδυ εἰς φάραγγα τοῦ ὄρους Ἰμαοῦ, ἔνθα ἦν πόα, θάλλουσα ἐκ τοῦ καταῤῥέοντος Γάγγου.

27. Ἐνταῦθα λέων τις ἐπιπεσὼν, ἥρπασε τὴν δάμαλιν, μὴ ἰδόντος τοῦ βασιλέως, ὃς ἐθεώρει τὴν ἀγλαΐαν τοῦ ὄρους καὶ οὐ προσεῖχε τῇ φρουρᾷ, νομίζων, ὡς οὐδὲν τῶν θηρίων οὐδὲ ψιλὴν ἔννοιαν βίας ἕξει κατὰ τῆς βοός.

28. Τὸ δὲ θρηνητικὸν μύκημα τῆς βοὸς, ὃ ἀντήχησεν ἐπὶ πλέον ἐν τοῖς σπηλαίοις, ἔστρεψε τὴν εἰς θεωρίαν τοῦ ὄρους τεταμένην ὅρασιν τοῦ οἰκτίρμονος βασιλέως.

29. Εἶδε δ' ὁ τοξοφόρος βασιλεὺς τὸν λέοντα ἐπικείμενον ἐπὶ τῆς ἐρυθρᾶς δαμάλεως, ὡς δένδρον Λώδδραν [1] ἀνθοφόρον ἐπὶ γῆς ἐρυθρᾶς ἐν ὄρει.

30. Καὶ ἰδὼν, ἀγανακτήσας διὰ τὸ τόλμημα, ἠθέλησεν ἐξαγαγεῖν βέλος ἐκ τῆς φαρέτρης εἰς ὄλεθρον τοῦ ὀλέθρου λέοντος αὐτὸς ὁ ὀλέτωρ τῶν ἐχθρῶν.

31. Ἡ δὲ δεξιὰ χεὶρ αὐτοῦ ἔμεινεν ἀκίνητος, προσκολληθέντων τῶν δακτύλων τῇ τοῦ βέλους γλυφίδι, ἣ ἐλαμπρύνθη τοῖς ὄνυξι.

32. Χαλεπαίνων δὲ λίαν, διότι ἀκίνητον εἶχε τὴν χεῖρα, καὶ οὐκ ἠδύνατο ἀμύνασθαι τὸν ἐχθρὸν, πλησίον ὄντα, ἐθλίβετο τὴν ψυχὴν, καθὼς ὁ ὄφις, ὁ ἔχων ἀνενέργητον τὴν ἑαυτοῦ δύναμιν ἐκ τῆς ἐπῳδῆς καὶ τῆς βοτάνης τοῦ ὀφιούχου.

---

(1) Λώδδρα, κοινῶς Λώδδα. Κιρροχροά ἐστι τὰ ἄνθη τούτου τοῦ δένδρου, καθὼς καὶ ὁ λέων.

33. Ὁ δὲ κρατῶν τὴν δάμαλιν λέων, ἐλάλησεν ἀνθρωπείᾳ φωνῇ αὐτῷ τῷ βασιλεῖ, τῷ ὑπερασπιστῇ τῶν ἀγαθῶν, καὶ ἐν τοῖς ἀπογόνοις τοῦ Μανοῦ ἀρίστῳ, καὶ εἰς πλείω θαυμασμὸν ἤγαγεν αὐτὸν διὰ τὴν ἀνθρωπείαν φωνήν, ἢ διὰ τὸ ἀνενέργητον τῆς χειρός.

34. «Ἅλις τοῦ πόνου σου, ὦ βασιλεῦ· εἰ γὰρ καὶ βάλοις τὸ » βέλος ἐπ᾽ ἐμὲ, ἀνεμώλιον ὅμως ἔσεται· ἡ γὰρ δύναμις » τοῦ ἀνέμου, ἡ ἐκριζοῦσα δένδρα, οὐ κατισχύει ὄρους » μεγάλου.

35. «Ἴσθι, ὡς ἐγώ εἰμι ἀγαπητὸς ὑπηρέτης τοῦ Σίβα, Κουμβο- » βοδάρας [1] τοὔνομα· ἐπὶ τοῦ ἐμοῦ γὰρ νώτου τίθησι » τὸν πόδα ὁ Σίβας, ὅταν θέλῃ ἐποχεῖσθαι ἐπὶ τοῦ λευ- » κοῦ ταύρου.

36. «Βλέπεις τοῦτο τὸ προκείμενον δένδρον Δεβαδαροῦ; αὐτὸ » ἠγαπήθη, ὡς υἱὸς, ὑπὸ τοῦ Σίβα, καὶ ὕδωρ ἔπιεν ἀπὸ » τῶν χειρῶν τῆς Παρβατῆς, χεόμενον ἐκ χρυσῶν στά- » μνων, ὡς γάλα ἐκ μαστῶν.

37. «Καί ποτε ἐξελεπίσθη τὸ δένδρον τοῦτο ὑπ᾽ ἀγρίου » ἐλέφαντος, προσρίβοντος τὸν ἑαυτοῦ κρόταφον· ἰδοῦσα » δ᾽ αὐτὸ ἡ Παρβατὴ, ἐλυπήθη, καθὼς λυπεῖται ἐπὶ τῷ » υἱῷ Σκάνδα [2], ὅταν τιτρώσκηται τοῖς ὅπλοις τῶν » Γιγάντων.

38. «Ἐξ ἐκείνου δὲ τοῦ χρόνου ὡρίσθην ἐν ταύτῃ τῇ φάραγγι » ὑπὸ τοῦ Σίβα, ὃς καὶ μετέβαλέ με εἰς φύσιν λέοντος » ζωοφάγου διὰ φόβον τῶν ἀγρίων ἐλεφάντων.

39. «Αὕτη ἡ δάμαλις, ἡ πεμφθεῖσα παρὰ τοῦ Θεοῦ ἐν καὶ- » ρῷ, ἀρκετή ἐστι εἰς κόρον ἐμοῦ τοῦ πεινῶντος· τὸ δ᾽

---

(1) Σταμνόκοιλος, ἢ Πιθογάστωρ.

(2) Ὁ Σκάνδας στρατηγός ἐστι τῶν θείων δυνάμεων, καὶ οὐρανίων ταγμάτων κατὰ τῶν Γιγάντων καὶ Τιτάνων.

» αἷμα αὐτῆς πόμα μοι ἐστὶ γλυκὺ, καθὼς ἡ ἀμβροσία
» τῆς Σελήνης τῷ δαίμονι Ῥαχοῦ [1].

40. «Ὅ,τι ἄξιον ὂν φυλακῆς οὐκ ἔστι δυνατὸν φυλάττεσθαι
» ὅπλοις, τοῦτο οὐκ ἀμαυροῖ (οὐ μειοῖ) τὴν φήμην τῶν
» ὁπλοφόρων· ἀφεὶς οὖν τὴν αἰσχύνην, ἄπελθε· σὺ γὰρ ἔδει-
» ξας τὴν πρὸς τὸν διδάσκαλον ὑπακοὴν τοῦ μαθητοῦ.»

41. Ὁ δὲ βασιλεὺς τῶν ἀνθρώπων, οὗ τὰ ὅπλα ἀνενέργητα
ἐφάνη ἐκ τῆς ἐνεργείας τοῦ Σίβα, ἀκούσας τοῦ βαθέος
λόγου τοῦ βασιλέως τῶν θηρίων, οὐκ ἔψεγεν ἑαυτὸν, ὡς
ἀνάξιον.

42. Ἀπεκρίνατο δὲ πρὸς αὐτὸν αὐτὸς, ὃς ἀμηχανῶν καὶ
ἀπορῶν ἐκ τῆς τότε πρῶτον ἐμποδισθείσης βολῆς τοῦ
βέλους, καθὼς ὁ Ἴνδρας, ἐφιέμενος βαλεῖν τὸν κεραυνὸν,
ἐν ἀμηχανίᾳ ἦν καὶ ἀπορίᾳ ἐκ τῆς προσβλέψεως τοῦ
Σίβα [2].

43. «Ὅ,τι ἐγὼ, ὃς ἀνενέργητός εἰμι τὴν χεῖρα, βούλομαι
» εἰπεῖν, πάνυ καταγέλαστον ἐστιν [3]· ἀλλὰ καὶ οὕτω,
» λέξω· σὺ γὰρ, ὡς θεὸς, οἶδας τὰ ἐντὸς πάντων τῶν
» πνοὴν ἐχόντων.

44. «Καὶ ὁ Σίβας, ὁ αἴτιος γενέσεως, ὑπάρξεως καὶ φθορᾶς
» τῶν ὄντων, μὴ καταφρονηθήτω, καὶ αὕτη ἡ δάμαλις τοῦ

---

(1) Μυθολογοῦσιν, ὡς δαίμων τις, Ῥαχοῦς τοὔνομα, καταφαγεῖν βούλεται τὴν Σελήνην, καὶ διὰ τοῦτο ἔκλειψις γίνεται.

(2) Μυθολογεῖται, ὡς οἱ θεοὶ πάντες, πορευθέντες ποτε εἰς Καῖλάσαν, (ἔστι δ' ὄρος ἀργυροῦν ὑπερύψηλον, ἐνδιαίτημα τοῦ Σίβα) οὐχ εὗρον τὸν Σίβαν ἐν οἴκῳ. Ἰδόντες δέ τινα, ἱστάμενον παρὰ τῇ θύρᾳ (ὃς ἦν αὐτὸς ὁ Σίβας, μεταμορφωθείς) ἠρώτησαν αὐτὸν, ποῦ εἴη ὁ Σίβας. Ὁ δ' οὐδὲν ἀπεκρίνατο. Ἀγανακτήσας δ' ὁ Ἴνδρας, ἦρε τὴν χεῖρα εἰς τὸ πατάξαι αὐτὸν τῷ κεραυνῷ. Ἀναβλέψαντος δ' ἐκείνου, ἡ χεὶρ τοῦ Ἴνδρα ἔμεινεν ἀκίνητος. Τότε ἔγνωσαν οἱ θεοὶ, ὡς αὐτός ἐστιν ὁ Σίβας, πλασάμενος ἑαυτόν.

(3) Τὸ διδόναι δηλ: τὴν ψυχὴν ὑπὲρ βοὸς, ζώου ἀλόγου, ὅ ἐστιν ἴδιον μωροῦ.

» σπένδοντος τῷ πυρὶ, ἡ ἐν στόματι τοῦ θανάτου οὖσα,
» μὴ παραβλεφθήτω [1].

45. «Εὐδόκησον δοῦναι τροφὴν τῷ οἰκείῳ σώματι διὰ τοῦ
» ἐμοῦ· καὶ ἀφεθήτω αὕτη ἡ δάμαλις τοῦ Μεγάλου ὁσίου,
» ἧς ὁ μόσχος ἀδημονεῖ κατὰ τὴν ἑσπέραν, διψῶν γά-
» λακτος.»

46. Γελάσας δὲ μικρόν τι ὁ λέων, διεσκέδασε τὸ ἐν τοῖς σπηλαίοις σκότος τῇ τῶν ὀδόντων μαρμαρυγῇ, καὶ εἶπε πάλιν πρὸς τὸν βασιλέα·

47. «Σὺ ἀπερίσκεπτός μοι φαίνῃ καὶ ἀδιάκριτος, βουλόμενος
» δοῦναι πολὺ ἀντ' ὀλίγου, ἀντὶ μιᾶς δαμάλεως πλου-
» σίαν βασιλείαν ἀπάσης τῆς γῆς, νέαν ἡλικίαν, καὶ σῶ-
» μα ἀγλαόν.

48. «Εἰ ἔστι σοι ἔλεος πρὸς τὰ ἔμψυχα, μὴ δὼς τὴν σεαυτοῦ
» ζωήν· μετὰ γὰρ τὸν σὸν θάνατον μόνη ἡ βοῦς αὕτη
» ζήσεται· σὺ δὲ ζῶν, λαὸν πολὺν ἐκ πολλῶν δεινῶν
» ἀεὶ διασώζεις.

49. «Ἀλλ' ἐὰν φοβῇ, μὴ ὁ πνευματικός σου πατὴρ, ὃς ἔχει
» μίαν μόνην δάμαλιν, κατακαύσῃ σε, ὡς πῦρ, θυμωθεὶς
» διὰ τὸ παράπτωμα, δύνασαι καταπαῦσαι τὸν θυμὸν
» αὐτοῦ, δοὺς χιλιοπλασίους σταμνομάστους δαμάλεις.

50. «Φύλαξον οὖν τὸ οἰκεῖον σῶμα, τὸ ὂν ἀκμαῖον, καὶ ἀπο-
» λαυστικὸν πολυειδῶν ἀγαθῶν· τὴν γὰρ ἔχουσαν πολλὰ
» ἀγαθὰ βασιλείαν λέγουσιν οὐράνιον δόξαν [2]· αὕτη δὲ
» ἡ διαφορὰ, ὅτι ἐπίγειός ἐστι.»

51. Σιωπήσαντος δὲ τοῦ λέοντος μετὰ τὸ εἰρηκέναι ταῦτα,

---

(1) Καὶ ὁ ὑπηρέτης δηλ: τοῦ Σίβα κορεσθήτω, καὶ ἡ δάμαλις, ἡ διδοῦσα τὰ εἰς σπονδὴν ἀνήκοντα, βούτυρον δηλονότι, σωθήτω.

(2) Δηλονότι ὀλίγην διαφορὰν ἔχει ἡ ἐπίγειος βασιλεία τῆς οὐρανίου.

καὶ τὰ ὄρη πως εἰρήκασι τὰ αὐτὰ τῷ βασιλεῖ συμφώνως διὰ τῆς ἀντιφωνούσης ἠχοῦς τῆς φάραγγος.

52. Ἀκούσας δὲ τούτου τοῦ λόγου ὁ λίαν εὔσπλαγχνος βασιλεὺς, πρὸς ὃν ἀπέβλεπεν ἡ βοῦς ἐλεεινοῖς τοῖς ὄμμασι διὰ τὸν ἐπικείμενον λέοντα, εἶπε πάλιν πρὸς αὐτόν·

53. «Ἡ λέξις, Ξατρῆς [1], ἐτυμολογεῖται παρὰ τὸ διασώζειν » ἐκ δεινῶν. Τί δ' ὄφελος ἐκ τῆς ἐμῆς βασιλείας, ὅτε οὐ » διασώζω τοὺς ἐν δεινοῖς; ἢ τί ὄφελος ἐκ τῆς ἐμῆς » ζωῆς, ἥ ἐστιν ἀμαυρὰ καὶ ἐπίψογος;

54. «Γίνωσκε, ὡς αὕτη ἡ δάμαλις οὐχ ἥττων ἐστὶ τῆς Σου- » ραββῆς· σὺ δὲ κατίσχυσας αὐτῆς τῇ τοῦ Σίβα δυνάμει. » Πῶς δ' ἂν γένοιτο ἐξιλέωσις τῷ Μεγάλῳ ὁσίῳ διὰ δό- » σεως ἄλλων πολλῶν δαμάλεων;

55. «Αὕτη ἡ δάμαλις ἀξία ἐστὶν ἐξαγορασθῆναι ἐκ σοῦ τῇ » τιμῇ τοῦ ἐμοῦ σώματος· οὕτω γὰρ καὶ σοὶ αὐτῷ τροφὴ » πρόχειρος ἔσεται, καὶ τὸ ἔργον τοῦ ὁσίου ἐξίτηλον οὐ » γενήσεται [2].

56. «Καὶ σὺ, θεράπων ὢν, καὶ φύλαξ ἐπιμελὴς τούτου τοῦ » δένδρου, οἶδας τοῦτο καλῶς, ὡς οὐ δύναται στῆναι ἔμ- » προσθεν τοῦ ἑαυτοῦ κυρίου, ὅταν ὁ φύλαξ τὸ φυλαττό- » μενον ἀπολέσῃ ἄνευ ἀγῶνος καὶ τραυμάτων.

57. «Εἰδὲ νομίζεις, ὡς οὐκ ἄξιός εἰμι θανάτου [3], μὴ φρόντιζε » τοῦ φθαρτοῦ μου σώματος, ἀλλὰ τοῦ ἀφθάρτου μου » κλέους [4]· παρὰ γὰρ τοῖς μεγαλόφροσι καταφρόνησίς ἐστι » τῶν ἐξ ὕλης τούτων φθαρτῶν σωμάτων.

58. «Οἱ σοφοὶ ἄνδρες λέγουσιν, ὡς φιλία κατὰ πρῶτον γίνε-

---

(1) Ξατρὴς λέγεται ὁ ὢν τῆς βασιλικῆς καὶ πολεμικῆς φυλῆς.

(2) Ἡ πρὸς τὸ πῦρ σπονδὴ, ἡ γίνεται διὰ γάλακτος καὶ βουτύρου.

(3) Καθὸ βασιλεὺς δηλονότι.

(4) Εὐκλεὴς δηλ: ἔσομαι, ὅταν οὕτω θάνω.

» ται ἐκ συντυχίας καὶ ὁμιλίας· φιλία δὲ καὶ ἡμῖν ἐγέ-
» νετο ἐκ συντυχίας ἐν ἐρήμῳ· οὐκ ἄξιος ἄρα εἶ ἀπο-
» ποιήσασθαι τὸ αἴτημα ἐμοῦ τοῦ φίλου [1].»

59. Εἰπόντος δὲ τοῦ λέοντος, «Ἔςω οὕτως, ὡς ἤτησας», εὐθέως ὁ Διλήπας ἐλευθέραν ἔσχε τῆς ἀκινησίας τὴν ἑαυτοῦ χεῖρα· καὶ θεὶς χαμαὶ τὰ ὅπλα, παρέδωκε τὸ ἑαυτοῦ σῶμα τῷ λέοντι εἰς βρῶσιν.

60. Τότε ἀνθέων βροχὴ ἔπιπτεν οὐρανόθεν ἐκ τῶν χειρῶν τῶν θεῶν ἐπὶ τὸν βασιλέα, ὃς περιέμενε τὴν ἔφοδον τοῦ φοβεροῦ λέοντος, καὶ κεκλιμένην εἶχε τὴν κεφαλήν.

61. Φωνῆς δὲ γλυκείας ἤκουσεν ὁ βασιλεὺς, λεγούσης, « Ἀνάστα, τέκνον » καὶ ἀναστὰς, εἶδε πρόσθεν, ὥσπερ ἑαυτοῦ μητέρα, ἱσταμένην μόνην τὴν δάμαλιν, ἄνευ τοῦ λέοντος.

62. Πρὸς ὃν ἔφη ἡ δάμαλις, θαυμάζοντα· « Ἐδοκιμάσθης,
» ὦ ἀγαθὲ, ὑπ' ἐμοῦ, ποιησάσης ταύτην τὴν τερατουρ-
» γίαν· τῇ γὰρ δυνάμει τοῦ ὁσίου Βασίστα οὐδὲ ὁ θά-
» νατος αὐτὸς ἀνελεῖν με δύναται, πολλῷ μᾶλλον ἄλλα
» θανατηφόρα θηρία.

63. «Ἐγὼ ἤσθην, ὦ τέκνον, διά τε πρὸς τὸν πνευματικὸν
» Πατέρα εὐλάβειαν, καὶ διὰ τὴν πρὸς ἐμέ σου εὐσπλαγ-
» χνίαν· αἴτησον χάριν, καὶ γνῶθι ἐμὲ δότειραν μὴ μό-
» νον γάλακτος, ἀλλὰ καὶ παντὸς ἄλλου ἀγαθοῦ, ὅταν
» χαρῶ ».

64. Ἐνώσας δὲ τὰς παλάμας ὁ μεγαλόδωρος καὶ μεγαλόψυχος βασιλεὺς ἤτησεν υἱὸν ἐκ τῆς Σουδαξινᾶς [2], αἴτιον ἐσόμενον τῆς διαδοχῆς τῆς γενεᾶς, καὶ πανεύφημον.

---

(1) Φάγε δηλ: τὸ σῶμά μου, ὡς αἰτῶ, καὶ δός μοι κλέος.

(2) Ἢ ἦν νόμιμος γυνή.

65. Νεύσασα δ' ἡ δάμαλις, ἔφη τῷ λίαν ἐπιθυμοῦντι υἱοῦ βασιλεῖ. «Ἔστω οὕτω»· κἄτα προσέταξεν αὐτῷ, εἰποῦσα· « Ἀμέλξας τὸ γάλα μου ἐν φυλλίνῳ ἀγγείῳ, πίε αὐτό, » ὦ υἱέ ».

66. Ὁ δὲ ἀπεκρίνατο· « Ὅταν λάβῳ ἄδειαν παρὰ τοῦ ὁσίου, » ὦ μῆτερ, τότε πίνω τὸ σὸν γάλα, τὸ ἐναπολειφθὲν ἐκ » τοῦ μόσχου, καὶ ἐκ τῆς πρὸς τὸ πῦρ σπονδῆς· οὕ- » τω γὰρ ποιῶ καὶ ἐπὶ τῆς προστατευομένης ὑπ' ἐμοῦ » γῆς, οὐ τὸ ὅλον τοῦ καρποῦ αὐτῆς δηλονότι λαμβά- » νω, ἀλλὰ τὸ ἕκτον μέρος ».

67. Οὕτως ἐκλιπαρηθεῖσα ἡ δάμαλις ὑπὸ τοῦ βασιλέως, μᾶλλον ἐχάρη· κἄπειτα ἐκ τῆς φάραγγος τοῦ ὄρους Ἰμαοῦ παρεγένετο ἀπόνως μετὰ τοῦ βασιλέως εἰς τὸ ἀσκητήριον.

68. Φαιδρὸς δ' ὢν τὸ πρόσωπον [1], ὡς ἡ Σελήνη, ὁ βασιλεὺς, ἀνήγγειλε τῷ πνευματικῷ Πατρὶ τὴν παρὰ τῆς δαμάλεως χάριν [2], ἣ ἐδεικνύετο ἐκ τῆς φαιδρότητος τοῦ προσώπου [3], ἀνήγγειλε δὲ καὶ τῇ ἑαυτοῦ γυναικί· τοῦτο δ' ἦν, ὥσπερ παλιλλογία.

69. Λαβὼν δ' ἄδειαν παρὰ τοῦ Βασίστα ὁ καλοκἀγαθος καὶ φιλάγαθος βασιλεὺς, ἔπιε μετὰ μεγάλης δίψης τὸ ἐναπολειφθὲν γάλα ἐκ τοῦ μόσχου καὶ ἐκ τῆς πρὸς τὸ πῦρ σπονδῆς, τὸ ὃν λευκὸν, ὥσπερ πραγματικὸν (φανερὸν) κλέος αὐτοῦ [4].

70. Τελειωθείσης δὲ τῆς σκληραγωγίας τοῦ βασιλέως, ὡς προσετάχθη, περὶ τὴν ἕω ὁ ἐγκρατὴς Βασίστας, εὐξάμε-

---

(1) Εὐφραινομένης τῆς καρδίας, τὸ πρόσωπον θάλλει.

(2) Ὅτι ὑπέσχετο αὐτῷ υἱόν.

(3) Εἰ γὰρ μὴ ἔλεγε, φανερὸν ἦν ἐκ τῆς τοῦ προσώπου φαιδρότητος.

(4) Ἡ εὔκλεια καὶ εὐφημία εἰκονίζεται παρὰ τοῖς Ἰνδοῖς λευκὴ, ἡ δὲ δύσκλεια καὶ δυσφημία μέλαινα.

νος τὰ ἀνήκοντα εἰς ἔξοδον, ἔδωκεν ἄδειαν τῷ βασιλεῖ καὶ τῇ βασιλίσσῃ εἰς τὴν μητρόπολιν αὐτῶν ἀπελθεῖν.

71. Περιελθὼν δ' ὁ βασιλεὺς ἐκ δεξιοῦ τὸ ἄσβεστον πῦρ, τόν τε Βασίσταν, καὶ τὴν Ἀρουνδατὴν, καὶ τὴν δάμαλιν μετὰ τοῦ μόσχου, ἀνεχώρησεν, ἐνδυναμούμενος τοιαύταις αἰσίαις καὶ μεγάλαις δυνάμεσι [1].

72. Ἐπορεύετο δ' ὁ καρτερὸς βασιλεὺς ἅμα τῇ βασιλίσσῃ, ἐφ' ἁρμαμάξης, ὥσπερ ἐπὶ τῆς ἑαυτοῦ πληρωθείσης ἐπιθυμίας, ἡδυνούσης τὴν ἀκοὴν τῷ ἤχῳ τῆς τροχηλασίας, καὶ ἀταράχως φερομένης.

73. Ὁ δὲ λαὸς, ἐξελθόντες τῆς πόλεως, ἔβλεπον ἀκορέστως, ὡς τὴν νεοφανῆ Σελήνην, τὸν ἐπιθυμούμενον βασιλέα διὰ τὴν ἀπουσίαν, καὶ κατεσκληκὸς ἔχοντα τὸ σῶμα διὰ τὴν ἣν εἶχε σκληραγωγίαν εἰς ἐπίτευξιν υἱοῦ.

74. Εἰσελθὼν δ' εἰς τὴν πόλιν, τὴν ἔχουσαν ὑψηλὰς σημαίας, αὐτὸς ὁ ἔνδοξος, ὡς ὁ Ἴνδρας, ὑμνούμενος ὑπὸ τῶν πολιτῶν, ἀνεδέξατο τὸ τῆς γῆς φορτίον ἐν τῇ χειρὶ, τῇ ἰσοδυνάμῳ τῷ δράκοντι Σέσσᾳ [2].

75. Εἰς δὲ αὔξησιν τῆς γενεᾶς τοῦ βασιλέως ἐδέξατο [3] ἡ

---

(1) Τῇ εὐχῇ τοῦ Βασίσα καὶ τῇ χάριτι τοῦ ἀσβέστου πυρὸς. καὶ τῆς δαμάλεως.

(2) Μυθολογεῖται, ὡς δράκων μέγας, Σέσσας τοὔνομα, βαστάζει ἐπὶ τῆς κεφαλῆς ἑαυτοῦ τὴν γῆν πᾶσαν. Ὁ δὲ δράκων ἔμβλημά ἐστι τοῦ θειοῦ, οὗ ἐν τῇ χειρί ἐστι τὸ πᾶν.

(3) Συνέλαβε δηλ: υἱὸν, λαμπρὸν, ὡς τὴν σελήνην, καὶ θερμουργὸν, ὡς τὸν Σκάνδαν, τουτέστιν, εὐειδῆ, καὶ πολεμικόν. Μυθολογοῦσιν, ὡς φῶς σωματοειδὲς ἐρρευσεν ἐκ τῶν ὀφθαλμῶν τοῦ Ἀτρῆ, ὃς ἦν υἱὸς τοῦ Βραχμᾶ· λαβόντες δ' οἱ θεοὶ αὐτὸ τὸ φῶς, ἐτόρνευσαν, καὶ ἐποίησαν τὴν σελήνην, ἣν καὶ ἔθηκαν ἐν τῷ οὐρανῷ. Μυθολογοῦσι προσέτι, ὡς οἱ θεοὶ πάντες, προσελθόντες τῷ Σίβᾳ, ἐδέοντο, δοῦναι αὐτοῖς στρατηγὸν ἰσχυρὸν κατὰ τῶν Τιτάνων καὶ Γιγάντων· ὁ δὲ Σίβας ἔρρευσε γόνον πύρινον, ὃν λαβὼν ἐν τῇ παλάμῃ ὁ Ἀγνὴς, ὁ θεὸς τοῦ πυρὸς, ἔθετο αὐτὸν ἐν τῷ Γάγγῃ· ἐξ ἐκείνου δὲ τοῦ γόνου ἐγένετο ὁ Σκάνδας, ὅς ἐστιν ὁ ἀρχιστράτηγος τῶν θείων δυνάμεων καὶ οὐρανίων ταγμάτων.

βασίλισσα ἐν γαστρὶ γόνον, ἔχοντα ἀπόῤῥοιαν τῆς δυνάμεως τῶν ὀκτὼ θεῶν τῶν ἐφόρων τοῦ κόσμου, καθὼς ὁ μὲν οὐρανὸς ἐδέξατο τὴν Σελήνην, τὴν γεννηθεῖσαν ἐκ τοῦ φωτὸς τῶν ὀμμάτων τοῦ Ἀτρῆ, ὁ δὲ Γάγγης τὸν πύρινον γόνον τοῦ Σίβα, τὸν ῥιφθέντα εἰς τὰ ὕδατα αὐτοῦ ὑπὸ τοῦ Ἀγνῆ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

1. Ἐφάνη δ' ἡ Σουδαξινὰ, ὅτι συνέλαβεν υἱὸν, ἐφετὸν τῷ ἀνδρὶ (βασιλεῖ), χαροποιὸν τοῖς ὀφθαλμοῖς τῶν φίλων καὶ ἀμφιπόλων γυναικῶν, καὶ αἴτιον τῆς διαδοχῆς τῆς γενεᾶς τοῦ Ἰξβακοῦ.
2. Καθὼς δ' ἡ νὺξ κατὰ τὴν ἕω φαίνεται, ὀλίγους ἔχουσα τοὺς ἀστέρας, καὶ ὀλίγον λάμπουσαν τὴν σελήνην [1], οὕτω καὶ ἡ Σουδαξινὰ ἐκ τοῦ βάρους τοῦ σώματος ἐφαίνετο, ὀλίγα ἔχουσα κοσμήματα, μαργαρίτας καὶ ἀδάμαντας, καὶ ὠχρόλευκον πρόσωπον [2].
3. Ὁ δὲ βασιλεὺς κόρον οὐκ εἶχεν, ὀσφραινόμενος [3] τοῦ τῆς βασιλίσσης στόματος, τοῦ ἔχοντος ὀσμὴν τοῦ οὗ ἥσθιε χοὸς [4], καθὼς ὁ ἐλέφας οὐκ ἔχει κόρον, ὀσφραινόμενος [5] τῆς ἐν ὕλῃ ἀνύδρου λίμνης [6], τῆς βρεχομένης ἐκ τῶν νεφῶν κατὰ τὴν ἀρχὴν τῆς ὥρας τῶν ὄμβρων.

---

(1) Ἡ μὲν σελήνη ἐστὶ τὸ πρόσωπον, τὰ δ' ἄστρα, τὰ κοσμήματα, οἱ μαργαρίται καὶ οἱ ἀδάμαντες.

(2) Ἐκ τούτου δεικνύεται ὅτι ἡ ἔγκυος βάρους αἰσθάνεται, καὶ ὠχριᾷ, ἐπίτεξ οὖσα.

(3) Τουτέστι, φιλῶν.

(4) Αἱ ἔγκυοι καὶ ἄλλων πολλῶν ἐπιθυμοῦσι γεύεσθαι, καὶ χοὸς πρὸς τούτοις.

(5) Τουτέστι, πίνων.

(6) Ὁ ἐλέφας διὰ τῶν μυκτήρων τῆς προβοσκίδος ἕλκει τὸ ὕδωρ, κἄπειτα

4. Ἐπειδὴ δὲ ἡ Σουδαξινὰ ἐγίνωσκεν, ὡς ὁ γεννηθησόμενος υἱὸς ἁπάσης τῆς γῆς βασιλεύσει, ὡς ὁ Ἴνδρας τοῦ οὐρανοῦ, διὰ τοῦτο ἔκλινεν εἰς τοιαύτην ἐπιθυμίαν βρώσεως χοὸς [1], ἀφεῖσα τὰ λοιπὰ βρωτά.

5. Ἠρώτα δ' ὁ βασιλεὺς ἀκριβῶς πολλάκις τὰς φίλας καὶ ἀμφιπόλους, τίνος ἐπιθυμεῖ βρωτοῦ ἡ βασίλισσα, νομίζων, ὡς αὐτὴ ἐξ αἰσχύνης οὐ λέγει αὐτῷ, τίνος ἐπιθυμεῖ [2].

6. Ἔχουσα δὲ τοιαύτην ἀήθη ἐπιθυμίαν ἡ βασίλισσα, ὅ,τι ᾔτει, τοῦτο ἦν πρόχειρον· εὐπόριστον γὰρ ἐγίνετο ὑπὸ τοῦ βασιλέως, εἰ καὶ ἐν οὐρανῷ ἦν τὸ ποθούμενον αὐτῇ.

7. Ἀπαλλαγεῖσα δὲ κατ' ὀλίγον τῆς τοιαύτης ἐπιθυμίας [3], ἠγλαΐζετο, παχέα ἔχουσα τὰ μέλη [4], καθὼς ἡ ἀναδενδρὰς, ἀποβάλλουσα τὰ παλαιὰ φύλλα, ἀγλαΐζεται τοῖς νέοις.

8. Χρόνου δὲ παρελθόντος, οἱ μαστοὶ, λίαν οἰδαινόμενοι, καὶ μελαινόμενοι κατὰ τὴν θηλὴν, ὑπερέβαινον τὴν ἀγλαΐαν, τῶν καλύκων τῶν λαμπρῶν λωτῶν [5], οἷς ἐπικάθηνται βομβύλιοι.

9. Ἐνόμιζε δ' ὁ βασιλεὺς τὴν κυοφοροῦσαν βασίλισσαν, ὥσπερ γῆν, ἔχουσαν ἔνδον θησαυρὸν, καὶ ὥσπερ Σαμὴν [6],

---

ἐγχέει αὐτὸ τῷ στόματι. Πολλαὶ δὲ λίμναι μικραὶ ἐν Ἰνδίᾳ ξηραίνονται ἐν ὥρᾳ θέρους· ἐν δὲ τῇ ὥρᾳ τῶν ὄμβρων πάλιν πληροῦνται ὕδατος.

(1) Οἱ κεραμεῖς ἐν Ἰνδίᾳ κατασκευάζουσιν ἐκ πηλοῦ κολλύρια ἡμίοπτα, ἅπερ ἀγοράζουσιν αἱ ἔγκυοι, καὶ ἐσθίουσι.

(2) Πολυειδῶν εὐτελῶν βρωμάτων ἐπιθυμεῖ ἡ ἔγγυος, οἷον πεφρυγμένων ἐρεβίνθων, καὶ ἄλλων τοιούτων ὀσπρίων, καὶ σποδοῦ πρὸς τούτοις.

(3) Ὅτε γίνεται ἐπίτεξ ἡ ἔγκυος, οὐκ ἔχει ἐπιθυμίαν εὐτελῶν βρωμάτων, χοὸς, σποδοῦ, καὶ ἄλλων τοιούτων.

(4) Παχύτερα γίνονται τὰ μέλη τῆς ἐγκύου.

(5) Ὁ μὲν λωτὸς ἐστι λευκὸς, ὡς ὁ μαστός· ὁ δὲ βομβύλιος μέλας ὡς ἡ θηλή.

(6) Σαμὴ, εἶδος δένδρου, οὗ τὸ ξύλον ἔχει ἐν ἑαυτῷ πῦρ πλέον τῶν ἄλλων ξύλων· διὰ τοῦτο ἐκ τοῦ ξύλου τῆς Σαμῆς ποιοῦσι τὴν Ἀρανὴν, ἐξ ἧς ἐξάγουσι πῦρ οἱ πυρολάτραι.

ἔχουσαν ἐντὸς πῦρ, καὶ ὥσπερ Σαρασβατὴν[1], ἔχουσαν ἐντὸς ὕδωρ.

10. Τὰ δὲ νομιζόμενα[2] ἐν τῷ κυοφορίᾳ ἐτέλεσεν ὁ βασιλεὺς μεγαλοπρεπῶς κατὰ τὴν πρὸς τὴν βασίλισσαν ἀγάπην, κατὰ τὴν ἑαυτοῦ ἐλευθεριότητα, κατὰ τὸν ὃν εἶχε πλοῦτον ἐκ τῆς δυνάμεως τῶν ἑαυτοῦ βραχιόνων, καὶ κατὰ τὴν ἣν εἶχε χαρὰν ἐπιτεύξεως υἱοῦ.

11. Ἐλθὼν δέ ποτε ὁ βασιλεὺς εἰς τὸν γυναικῶνα, ἐχάρη[3] ἐξ αἰτίας τῆς εὐοφθάλμου βασιλίσσης, ἡ μόλις ἀνέστη ἐξ ἕδρας εἰς σημεῖον εὐλαβείας, καὶ μόλις ἐξέτεινεν τὰς χεῖρας εἰς προσηγορίαν, βαρυνομένη τῷ ᾧ ἔφερεν ἐν γαστρὶ ἐμβρύῳ ἐκ θείας ἀπορροίας[4].

12. Γεγενημένης δὲ τῆς προσηκούσης θεραπείας τῷ ἐν γαστρὶ ἐμβρύῳ[5] ὑπὸ ἰατρῶν ἐμπείρων καὶ εὐδοκίμων, ὁ βασιλεὺς ἔβλεπε μετὰ χαρᾶς τὴν βασίλισσαν, ἐπίτεκα οὖσαν, ὡς τὴν ὑδροφόρον νεφέλην.

13. Ἐλθόντος δὲ τοῦ τοκετοῦ, ἡ βασίλισσα, ἡ ὁμοία τῇ Σακῇ[6], ἔτεκεν υἱὸν τρισευδαίμονα, καθὼς ἡ τριττὴ δύναμις[7] γεννᾷ αἴσιον τὸ τέλος παντὸς πράγματος· τοῦ-

---

(1) Σαρασβατή ἐστι χείμαρρος, ὃν σκάπτοντες ὀλίγον, εὑρίσκουσιν ὕδωρ.

(2) Ἐν τῷ τρίτῳ καὶ ὀγδόῳ μηνὶ τῆς κυοφορίας, εὐχολογία γίνεται ὑπὸ τοῦ ἱερέως τῇ ἐγκύῳ, καὶ θαλία ὑπὸ τοῦ ἀνδρὸς τοῖς οἰκείοις καὶ φίλοις.

(3) Ἐχάρη, διότι ἦν ἐπίτεξ ἡ βασίλισσα.

(4) Ὁ βασιλεὺς ἀπόῤῥοιά ἐστι τῶν θεῶν, τῶν ἐφόρων τοῦ κόσμου· διὰ τοῦτο τὸ ἐν τῇ γαστρὶ τῆς βασιλίσσης ἔμβρυον βαρύτερον ἦν τῶν λοιπῶν κοινῶν ἐμβρύων, ὡς ἔχον δύναμιν τοσούτων θεῶν.

(5) Ὅτε ἡ ἔγκυος ἐγγύς ἐστι τοῦ τοκετοῦ, οἱ ἰατροὶ διδόασιν αὐτῇ ποτὸν εἰς ῥῶσιν τοῦ ἐμβρύου.

(6) Γυνὴ τοῦ Ἴνδρα.

(7) Ἡ βουλὴ, ὁ στρατὸς, καὶ ἡ γάζα, ἢ ἡ βουλὴ, ἡ προθυμία, καὶ ἡ ῥώμη.— Ἡ βουλὴ, ἡ σκέψις, ἡ προθυμία καὶ ἡ δύναμις τοῦ σώματος.

το δὲ δῆλον ἦν ἐκ τῆς συνόδου αἰσίων πλανητῶν καὶ ζωδίων [1].

14. Ἐν τῇ γεννήσει πάντα τὰ μέρη ἠγλαΐζοντο, ἄνεμοι ἠδὺ ἔπνεον· τὸ δὲ ἄσβεστον πῦρ ἐδέχετο τὸ θυόμενον, τρέφον τὴν φλόγα εἰς τὰ δεξιά· πάντα αἴσια ἦν· ἡ γὰρ γέννησις τοιούτων εἰς ὄφελός ἐστι τοῦ κόσμου.

15. Ἐκ δὲ τῆς λαμπρότητος τοῦ λαμπρῶς γεννηθέντος βρέφους, τῆς ἐκτεταμένης πέριξ τῆς κλίνης, οἱ λύχνος ἐν νυκτὶ ἡμαυρωμένοι ἐφαίνοντο [2], καὶ ὥσπερ ἐν γραφῇ γεγραμμένοι.

16. Τῷ δ' ἀγγέλῳ, τῷ τὴν ἀγαθὴν ἀγγελίαν ἀγγείλαντι, τὴν γέννησιν τοῦ παιδίου, ἐχαρίσατο ὁ βασιλεὺς πᾶν ὅ,τι εἶχε περὶ ἑαυτὸν κόσμημα, ἐκτὸς τῶν τριῶν τούτων, τοῦ λευκοῦ οὐρανίσκου, καὶ ἀμφοτέρων τῶν ῥιπιδίων.

17. Καθὼς δὲ ἡ ἄμπωτις τοῦ ὠκεανοῦ σφοδρὰ γίνεται ἐκ τῆς ὁράσεως τῆς παμφαοῦς Σελήνης, οὕτω καὶ ἡ χαρὰ τοῦ βασιλέως οὐκ ἦν ἐντὸς κεκρυμμένη, ἀλλὰ μεγάλη ἐξεφαίνετο, ὅτε ἔβλεπεν ἀσκαρδαμυκτὶ τὸ καλὸν πρόσωπον τοῦ παιδός.

18. Ἐλθόντος δὲ τοῦ πνευματικοῦ πατρὸς Βασίστα ἐκ τοῦ ἀσκητηρίου, καὶ τελέσαντος τὰ προσήκοντα τῇ γεννήσει [3], ὁ υἱὸς τοῦ Διλήπα λαμπρότερος ἐγένετο, καθὼς ἡ

---

(1) Ἅμα τῇ γεννήσει ὁ ἀστρολόγος καὶ γενεθλιολόγος θεωρεῖ τὴν κίνησιν τῶν πλανητῶν καὶ ζωδίων καὶ τὴν σύνοδον αὐτῶν.

(2) Ἡ ἐκ τοῦ παιδὸς λάμψις λαμπροτέρα ἦν τῆς τῶν λύχνων.

(3) Μετὰ τὴν γέννησιν εὐχολογία γίνεται τῷ παιδὶ ὑπὸ τοῦ ἱερέως· ὁ δὲ πατὴρ, ἐμβάπτων τὸν ἑαυτοῦ χρυσοῦν δακτύλιον ἢ ἄλλο τι χρυσοῦν, μέλιτι καὶ βουτύρῳ, ἐντίθησι τῷ στόματι τοῦ παιδὸς εἰς γεῦσιν κατὰ πρῶτον· ἔπειτα δὲ δίδωσιν αὐτῷ ἡ μήτηρ γάλα· τὸ δὲ χρυσοῦν δακτύλιον δίδωσιν ὁ πατὴρ τῷ ἱερεῖ.

ἐκ μεταλλείας πολύτιμος λίθος μετὰ τὸ κατεργασθῆναι ὑπὸ τοῦ τεχνουργοῦ.

19. Ἡδεῖς δ' ἦχοι μουσικῶν ὀργάνων μετὰ χορῶν καὶ ἀσμάτων ὀρχηστρίδων οὐχὶ μόνον ἐν τῷ βασιλικῷ οἴκῳ ἠκούοντο καὶ ἐτελοῦντο, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ.

20. Ἀκριβῶς δὲ διοικοῦντος τοῦ βασιλέως, οὐκ ἦν δέσμιος ὃν ἔδει λύσαι ἐκ τῶν δεσμῶν, ἐπειδὴ ἐχάρη ἐπὶ γεννήσει υἱοῦ [1]· μόνος δ' αὐτὸς ἐλύθη ἐκ τοῦ οὗ εἶχε χρέους πρὸς τοὺς κατοικομένους πρσπάτορας [2].

21. Σκεψάμενος δ' ὁ βασιλεὺς, πῶς ἂν ἔλθοι ὁ παῖς εἰς πέρας πάσης ἐπιστήμης, καὶ τῆς πολεμικῆς τέχνης, ἔθετο αὐτῷ ὄνομα [3] Ῥαγγοῦν, ὃ σημαίνει ἐτυμολογικῶς κίνησιν.

22. Καθ' ἑκάστην δ' ἡμέραν ἐκ τῆς φροντίδος τοῦ πανευδαίμονος πατρὸς αὔξησιν ἐλάμβανεν ὁ υἱὸς ἐν ἅπασι τοῖς ἀγλαοῖς μέλεσι, καθὼς ἡ Σελήνη αὔξησιν λαμβάνει ἐκ τοῦ φωτὸς τοῦ ἡλίου.

23. Ἔχαιρον δ' ἐπὶ τῷ υἱῷ Ῥαγγοῦ ὁ Διλήπας καὶ ἡ Σουδαξινὰ, καθὼς ὅ,τε Σίβας καὶ ἡ Παρβατὴ ἐπὶ τῷ υἱῷ Σκάνδᾳ, καὶ ὁ Ἴνδρας καὶ ἡ Σακὴ ἐπὶ τῷ υἱῷ Ζαϊάντα [4].

24. Ἡ δ' ἐγκάρδιος ἀγάπη τοῦ Διλήπα καὶ τῆς Σουδαξινᾶς,

---

(1) Ἅπαντες οἱ δέσμιοι ἐλευθεροῦνται ἐν τῇ γεννήσει υἱοῦ βασιλέως.

(2) Τέσσαρά ἐστι τὰ χρέη τοῦ ἀνθρώπου· πρῶτον πρὸς τοὺς θεοὺς, τὸ εὔχεσθαι καὶ σπένδειν· δεύτερον πρὸς τοὺς γονεῖς, τὸ γεννῆσαι υἱὸν εἰς τὸ προσφέρειν χοὰς, καὶ τελεῖν μνημόσυνα· τρίτον πρὸς τοὺς ἀνθρώπους, τὸ ξενίζειν, καὶ βοηθεῖν ἐν ἀνάγκαις· τέταρτον πρὸς τὰ ἄλογα ζῶα, τὸ φείδεσθαι αὐτῶν.

(3) Ἐν τῇ ἑνδεκάτῃ ἡμέρᾳ μετὰ τὴν γέννησιν εὐχολογία καὶ σπονδὴ τελεῖται, καὶ τὸ ὄνομα τῷ παιδὶ ὑπὸ τοῦ πατρὸς τίθεται, καὶ θαλία μεγάλη γίνεται· τότε δὲ ἡ γεννήσασα καθαρὰ κρίνεται, πρότερον ἀκάθαρτος οὖσα, καὶ ἄψαυστος. Μετὰ δὲ τριάκοντα ἡμέρας πορεύεται καὶ εἰς τὸν ναὸν καὶ εἰς τόν Γάγγην εἰς προσκύνησιν· τότε γὰρ ἐντελῶς καθαρὰ κρίνεται.

(4) Ζαϊάντας, Νικάτωρ.

ἦν εἶχον πρὸς ἀλλήλους, καθὼς οἱ Χηναλώπεκες, καί τοι ἐμερίσθη εἰς τὸν μονογενῆ υἱόν, οὐκ ἐμειώθη, ἀλλὰ μᾶλλον ηὐξήθη ἐν ἀλλήλοις.

25. Ἐλθὼν δέ ποτε ὁ παῖς πρὸς τὸν βασιλέα, ἁπτόμενος τοῦ δακτύλου τῆς τροφοῦ, προσηγόρευσε κατὰ πρῶτον, καὶ προσεκύνησεν, ὡς ἐδιδάχθη ὑπὸ τῆς τροφοῦ, καὶ ἐπλεόνασεν ἐκ τούτου τὴν χαρὰν τοῦ πατρός.

26. Ἀναλαβὼν δ' ὁ βασιλεὺς ἐν ἀγκάλαις τὸν παῖδα, κλείσας τοὺς ὀφθαλμοὺς, ᾐσθάνετο ἐπὶ πολὺ ἀφάτου ἡδονῆς ἐκ τῆς θίξεως τοῦ σώματος τοῦ παιδὸς, ὃς ἔῤῥεξεν ὥσπερ ἀμβροσίαν.

27. Ἔγνω δ' ὁ τῶν νομίμων φύλαξ βασιλεὺς διαμένουσαν τὴν ἑαυτοῦ γενεὰν διὰ τοῦ ὑπερφυῶς γεννηθέντος παιδὸς, καθὼς ὁ Βραχμᾶς γινώσκει διαμένουσαν τὴν ἑαυτοῦ κτίσιν διὰ τοῦ σάρκα λαμβάνοντος Βισνοῦ ἐν διαφόροις μορφαῖς.

28. Μετὰ δὲ τὴν κουρὰν[1] συνὼν ὁ παῖς ὁμήλιξι παισὶν ἀρχόντων καὶ βουλευτῶν, ἐμάνθανε τὰ στοιχεῖα τῶν γραμμάτων· διὰ δὲ τῆς μαθήσεως τῶν στοιχείων ἦλθεν εἰς γνῶσιν πάσης λέξεως, καθὼς ὁ ἰχθὺς διὰ τοῦ στόματος τοῦ ποταμοῦ ἔρχεται εἰς τὸ βάθος τῆς θαλάσσης.

29. Μετὰ δὲ τὴν τελετὴν τῆς Βραχμασούτρας[2] οἱ διδάσκα-

---

(1) Ἐν τῷ τρίτῳ ἔτει τῆς γεννήσεως ἀποκείρουσι τὰς τρίχας πάσης τῆς κεφαλῆς τοῦ παιδὸς, ἔνθα τελετὴ γίνεται καὶ εὐωχία μεγάλη. Μετὰ δὲ τέσσαρα ἔτη τῆς γεννήσεως ἄρχεται ὁ παῖς μανθάνειν καὶ γράφειν τὰ στοιχεῖα τῶν γραμμάτων. Ὁ ξυρὸς ἐστιν ἐκ χαλκοῦ κατὰ τὴν προσταγὴν τῆς Βέδας· νῦν δ' ἡ λαβὴ μόνη ἐκ χαλκοῦ ἐστι.

(2) Παρὰ μὲν τοῖς Βραχμᾶσιν ἐν τῷ ὀγδόῳ ἔτει τῆς γεννήσεως, παρὰ δὲ τοῖς Ξατραῖς ἐν τῷ ἑνδεκάτῳ τελεῖται ἡ τελετὴ τῆς Βραχμασούτρας, καὶ θαλία μεγάλη γίνεται· παρὰ δὲ τοῖς Βαϊσσέαις τῷ δωδεκάτῳ. Νῦν δὲ οἱ Βαϊσσέαι οὐ τελοῦσι τὴν τελετὴν τῆς Βραχμασούτρας, οὐδὲ τὴν Βραχμασούτραν φέρουσιν.

λοι ἐδίδασκον τὸν παῖδα τὰ τῆς Βέδας, καὶ πᾶσαν ἄλλην ἐπισ'ήμην, ὧν οἱ πόνοι οὐκ ἐγένοντο μάταιοι· ἦν γὰρ ὁ παῖς ὀξύνους καὶ ταχυμαθής.

30. Καθὼς δ' ὁ ἥλιος διὰ τῶν ποδηνέμων ἑαυτοῦ ξανθῶν ἵππων διέρχεται τὸν τετραπέρατον κόσμον, οὕτω καὶ οὗτος διὰ τοῦ ὀξέος ἑαυτοῦ νοὸς διῆλθε κατὰ τάξιν τὰς τέσσαρας μαθήσεις [1], τὰς οὔσας ὁμοίας ταῖς τέσσαρσι θαλάσσαις [2].

31. Φέρων δ' ὁ Ῥαγγοῦς δέρμα ἐλάφου [3], ἔμαθε τὴν τοξικὴν

Βραχμασούτρα μεθερμηνεύεται ἱερὸν νῆμα, ὅπερ ἀπαιωρεῖται ἀπὸ τοῦ ἀριστεροῦ ὤμου μέχρι τῆς δεξιᾶς λαγόνος. Ἔστι δὲ παρὰ τοῖς Ἰνδοῖς τοῦτο τὸ ἱερὸν σπαρτίον, ὡς ἡ περιτομὴ παρὰ τοῖς Ἰουδαίοις, καὶ τὸ βάπτισμα παρὰ τοῖς Χριστιανοῖς· καὶ διὰ τοῦτο τότε κρίνεται ἄξιος ὁ παῖς μανθάνειν καὶ ἀναγινώσκειν τὴν ἱερὰν Βέδαν, καὶ μυσταγωγεῖσθαι. Σημείωσαι, ὅτι οἱ μὲν Βραχμᾶνες καὶ μανθάνουσι, καὶ διδάσκουσι τὴν Βέδαν· οἱ δὲ Ξατραῖ μανθάνουσι μὲν, οὐ διδάσκουσι δέ· οἱ δὲ Βαϊσσέαι, οἱ ὄντες τῆς τρίτης φυλῆς καὶ τάξεως, οὐ μανθάνουσιν, ἀλλ' ἀκούουσι μόνον τῆς Βέδας· οἱ δὲ Σοῦδραι, οἱ ὄντες τῆς ἐσχάτης φυλῆς καὶ δουλικῆς τάξεως, οὐ κρίνονται ἄξιοι οὐδέ γε ἀκούειν τῆς Βέδας. Νόμος δ' ἐστὶ τοῖς μὲν Βραχμᾶσι ποιεῖν τὴν Βραχμασούτραν ἐκ βύσσου, τουτέστι, βάμβακος, τοῖς δὲ Ξατραῖς ἐκ λινοῦ, τοῖς δὲ Βαϊσσέαις ἐκ μαλλοῦ. Νῦν δὲ καὶ τοῦτο οὐ θεωρεῖται ἀκριβῶς· οἱ Βραχμᾶνες γὰρ καὶ οἱ Ξατραὶ ἐκ βύσσου ἔχουσι τὴν Βραχμασούτραν.

(1) Εἰς δύω μέρη ἡ Βέδα διαιρεῖται, ὧν τὸ μὲν καλεῖται πρακτικὸν, ἢ νομολογικόν· τὸ δὲ, γνωστικὸν, ἢ θεολογικόν· καὶ τὸ μὲν πρακτικὸν διδάσκει τὰ πρακτέα ἔθιμα καὶ νόμιμα ἀπὸ τῆς γεννήσεως μέχρι τοῦ θανάτου, καὶ τὰ περὶ εὐχολογιῶν καὶ θυσιῶν· τὸ δὲ γνωστικὸν διδάσκει τὴν γνῶσιν τῶν ὄντων, καὶ αὐτὴν τὴν φύσιν τοῦ θεοῦ. Πρώτη μὲν οὖν μάθησίς ἐστι τὸ πρακτικὸν, ἢ νομολογικὸν μέρος τῆς Βέδας· δευτέρα δὲ μάθησις, τὸ γνωστικὸν, ἢ θεολογικὸν μέρος τῆς Βέδας· τρίτη δὲ μάθησις, ἡ ἐγκύκλιος παιδεία, τουτέστι πᾶσα ἐπιστήμη καὶ τέχνη· ἡ τετάρτη δὲ μάθησις, ἡ πολιτικὴ, οἰκονομικὴ, καὶ ἠθικὴ ἐπιστήμη.

(2) Τέσσαρές εἰσιν αἱ θάλασσαι, ἡ ἑώα, ἡ ἑσπερία, ἡ βορεία, καὶ ἡ νοτία, ὧν μέσον ἐστὶ ἡ γῆ, ὡς νῆσος μεγάλη.

(3) Ὅτε τελεῖται ἡ τελετὴ τῆς Βραχμασούτρας, ὁ παῖς φορεῖ δέρμα ἐλάφου,

μετὰ τῆς ἐπῳδῆς[1] παρὰ τοῦ πατρὸς Διλήπα, ὃς ἦν μόνος τοξότης ἄριστος ἐν γῇ.

32. Καθὼς δὲ ὁ μόσχος, ὅταν γένηται ταῦρος, καὶ ὁ πῶλος τοῦ ἐλέφαντος, ὅταν γένηται μέγας ἐλέφας, ἔχουσιν ἦθος σοβαρὸν, οὕτω καὶ ὁ Ῥαγγοῦς, ἐκ τῆς παιδικῆς ἡλικίας ἐλθὼν εἰς τὴν νεανικὴν, ἔσχεν ἦθος σοβαρόν.

33. Μετὰ δὲ τὴν κουράν[2] ὁ πατὴρ συνέζευξε τὸν υἱὸν γάμῳ· αἱ δὲ βασιλικαὶ κόραι[3], γημάμεναι αὐτὸν τὸν καλὸν ἄνδρα, ἠγλαΐζοντο, καθὼς αἱ κόραι τοῦ Δάξα[4], γημάμεναι τὸν φωστῆρα τῆς νυκτὸς, τὴν Σελήνην.

καὶ ἓν μικρὸν διάζωμα εἰς σκέπην τῶν αἰδοίων, γυμνὸς ὢν τὴν κεφαλὴν καὶ τοὺς πόδας, καὶ χαμευνίᾳ χρώμενος, καὶ ἐξ αἰτήσεως ζῶν, καὶ ῥάβδον ἔχων ἐν χειρὶ ἐκ δένδρου Παλάσα, ἀλλ' οὐδὲ τὰς τρίχας τῆς κεφαλῆς κείρεται, οὐδὲ ἀλῶν γεύεται· καλεῖται δὲ Βραχματσαρὴς, ὅ ἐστι, παρθενικὸς, ἢ ἀσκητικός. Οὕτω δὲ διάγει, μανθάνων τὴν Βέδαν, καὶ πᾶσαν ἄλλην ἐπιστήμην, ἕως ἂν γένηται εἰκοσαετὴς, καὶ ἔλθῃ εἰς ὥραν γάμου· τότε γὰρ ἀποβάλλει αὐτὴν τὴν ἀσκητικὴν σκευὴν, καὶ φορεῖ τὴν κοσμικήν. Νῦν δὲ ἐθίζεται τοιαύτη ἀσκητικὴ σκευὴ καὶ δίαιτα μέχρι τριῶν ἢ τεσσάρων ἡμερῶν μετὰ τὴν τελετὴν τῆς Βραχμασούτρας, καὶ οὐ περαιτέρω. Νόμος δ' ἐστὶν ἐν τῇ τελετῇ τῆς Βραχμασούτρας τοὺς μὲν υἱοὺς τῶν Βραχμάνων φορεῖν δέρμα ἐλάφου, τοὺς δὲ τῶν Ξατρῶν δορκάδος, τοὺς δὲ τῶν Βαΐσσεῶν αἰγός· νῦν δὲ καὶ ταῦτα ἀκριβῶς οὐ θεωρεῖται.

(1) Λέγουσιν ὅτι, ὅτε ἔβαλλον τὸ βέλος, ἔλεγον καὶ ἐπῳδάς· καὶ κατὰ τὴν ἐπῳδὴν ἢ βροχὴ ἐφέρετο μετὰ τοῦ βέλους κατὰ τῶν ἀντικειμένων, ἢ ἄνεμος, ἢ πῦρ, ἢ ὄφεις, ἢ λίθοι μεγάλοι. Τοῦτο δ' αἰνίττεται, ὅτι καταπέλτας καὶ μηχανικὰ ὄργανα εἶχον, δι' ὧν ἔῤῥιπτον κατὰ τῶν ἐχθρῶν ὕδωρ, ἢ πῦρ, ἢ φάρμακον, ἢ λίθους. Ἐπειδὴ δὲ μυστικὰς εἶχον ταύτας τὰς μηχανὰς, διὰ τοῦτο ὑποκρινόμενοι, ἔλεγον εἰς ἔκπληξιν καὶ θαυμασμὸν, ὅτι δυνάμεις εἰσὶν ἐπῳδῶν, καὶ τερατουργίαι.

(2) Ἐπειδὴ μετὰ τὴν τελετὴν τῆς Βραχμασούτρας οὐ κείρει τὰς τῆς κεφαλῆς τρίχας ὁ παῖς, ὡς προείρηται, ἕως ἂν, μαθὼν πᾶσαν ἐπιστήμην, ἔλθῃ εἰς ὥραν γάμου· διὰ τοῦτο ἐκ δευτέρου κείρουσι τὰς τρίχας αὐτοῦ, ὅταν ἀποβάλῃ τὴν ἀσκητικὴν σκευὴν καὶ δίαιταν, καὶ ἀναλίξηται τὴν κοσμικήν.

(3) Οἱ βασιλεῖς ἔχουσιν ἄδειαν λαμβάνειν πολλὰς γυναῖκας.

(4) Εἰκοσιεπτὰ ἦσαν αἱ θυγατέρες τοῦ Δάξα, υἱοῦ τοῦ Βραχμᾶ, ἃς ἔλαβε γυναῖκας ἡ Σελήνη. Σημείωσαι, ὡς ἡ Σελήνη ἀρσενικοῦ γένους ἐστὶ παρ' Ἰνδοῖς.

34. Νέος δ' ὢν ὁ Ῥαγγοῦς, ὑπερέβη τὸν πατέρα τῇ ἀγλαΐᾳ τοῦ σώματος, ἔχων χεῖρας, ὡς βόειον ζυγὸν (μακρὰς) (1) καὶ στέρνος, ὡς θύραν (πλατὺ), καὶ ὤμους καρτεροὺς, καὶ σαρκώδης ὢν· ἀλλὰ καὶ οὕτως, ὑποκλινὴς ἦν, καὶ ὑπήκοος τῷ πατρί.

35. Βουλόμενος δ' ὁ βασιλεὺς ἐλαφρὸν ποιῆσαι τὸ διὰ πολλοῦ φερόμενον βαρύτατον φορτίον τῆς βασιλείας, ἀπέδειξε συμβοηθὸν καὶ συνέριθον τὸν υἱὸν Ῥαγγοῦν, ἄξιον ὄντα καὶ ἐκ φύσεως καὶ πράξεως.

36. Ἡ δὲ βασιλικὴ δόξα, ἡ ζητοῦσα ἄξιον ὑποκείμενον, ἦλθεν ἐν μέρει εἰς τὸ νέον οἴκημα, τὸν Ῥαγγοῦν, ἐκ τοῦ παλαιοῦ οἰκήματος, τοῦ Διλήπα, καθὼς ἡ ἀνθηρὰ χάρις ἔρχεται εἰς τὸν νέον λωτὸν ἐκ τοῦ παλαιοῦ λωτοῦ [2].

37. Διὰ δὲ τούτου τοῦ βοηθοῦ Ῥαγγοῦ ὁ βασιλεὺς Διλήπας μᾶλλον ἀκαταμάχητος ἐγένετο, καθὼς τὸ μὲν πῦρ διὰ τοῦ ἀέρος, ὁ δ' ἥλιος διὰ τῆς ἀνεφίας, ὁ δ' ἐλέφας διὰ τῆς μανίας.

38. Ἀποδείξας δ' ὁ βασιλεὺς τὸν Ῥαγγοῦν φύλακα τοῦ ἵππου τῆς θυσίας [3] μετ' ἄλλων πολεμικῶν βασιλέων, ἐτέλεσεν ἀνεμποδίστως ἑκατὸν ἱπποθυσίας, μιᾶς δεούσης.

39. Μετὰ δὲ τὰς ἐννενήκοντα ἐννέα ἱπποθυσίας ἀφῆκε πάλιν

---

(1) Οἱ μακρόχειρες ἐπαινετοὶ παρ' Ἰνδοῖς, καθὼς καὶ παρὰ τοῖς Πέρσαις.

(2) Ὅταν ξηρανθῇ ὁ λωτὸς, ἕτερος νέος ἀναφύεται ἐκ τῆς ῥίζης.

(3) Τὴν ἱππεθυσίαν οὐδεὶς ἄλλος δύναται τελέσαι, ἀλλ' ἢ μέγας βασιλεύς· πρὸ γὰρ τῆς θυσίας γίνεται ταῦτα· ὁ ἵππος τῆς θυσίας ἀφίεται πορεύεσθαι ἀπολύτως καὶ ἐλευθέρως, ὅπῃ ἂν βούληται, στρατὸς δὲ ἐπίλεκτος ἀκολουθεῖ τῷ ἵππῳ, καὶ φυλάττει αὐτόν. Ἔστι δὲ πίναξ ἐκ χαλκοῦ, ἢ χρυσοῦ ἐπὶ τοῦ μετώπου τοῦ ἵππου, ἔχων ἐγκεχαραγμένα ταῦτα· « Ὁ ἥρως ἐλθέτω, καὶ λαβέτω. » Ἐὰν δέ τις βασιλεὺς ἔλθῃ μετὰ δυνάμεως, βουλόμενος λαβεῖν τὸν ἵππον, πόλεμος συγκροτεῖται· ἐκεῖνος δ' ὁ ἵππος ἄξιον θύμα κρίνεται, ὃς ἔχει λευκὸν πάντῃ τὸ σῶμα, καὶ μέλανα τὰ ὦτα.

ὁ βασιλεὺς τὸν ἐπὶ τῇ θυσίᾳ ἵππον ἀπόλυτον καὶ ἐλεύθερον, ὃν ἀφείλετο ὁ Ἴνδρας [1] ἀφανῶς ἔμπροσθεν τῶν φυλαττόντων ἡρώων.

40. Ἐνταῦθα ξύμπας ἐκεῖνος ὁ στρατὸς τοῦ Ῥαγγοῦ ἵστατο, ἀπορῶν καὶ ἀγνοῶν, τί ποιήσῃ· ἐφάνη δ' ἐξαίφνης, παραστᾶσα, ἡ ἐξάκουστος δάμαλις τοῦ Βασίστα, ἡ Ναν-δινή.

41. Ὁ δ' ἀγαθότιμος υἱὸς τοῦ Διλήπα, νίψας τοὺς ὀφθαλμοὺς ἑαυτοῦ τῷ τῆς δαμάλεως οὔρῳ, ἔβλεπε καὶ τὰ ὑπὲρ τὴν αἴσθησιν τῆς ὁράσεως ὄντα.

42. Εἶδε δὲ κατὰ τὸ ἑῶον μέρος τὸν θεὸν Ἴνδραν, ἀφελόμενον τὸν ἵππον, ὃν καὶ ὑπέζευξε τῷ ἅρματι ὁ ἁρματηλάτης, καὶ μόλις ἠδύνατο ἀναχαιτίζειν.

43. Γνοὺς δ' ὁ Ῥαγγοῦς, ὡς αὐτός ἐστιν ὁ Ἴνδρας, ἐκ τῶν χιλίων [2] ὧν εἶχεν ἀκοιμήτων ὀφθαλμῶν, καὶ ἐκ τῶν ξανθῶν ἵππων, βουλόμενος αὐτὸν ἐπισχεῖν τῆς πορείας, ἐφώνησε φωνῇ μεγάλῃ, διηκούσῃ εἰς τὸν οὐρανόν·

44. « Ὦ Ἴνδρα, οἱ σοφοὶ καὶ ἅγιοι ἄνδρες λέγουσιν, ὡς σὺ » εἶ ὁ πρῶτος τῶν θεῶν, τῶν ἐχόντων μοίραν τῶν θυο-» μένων· πῶς οὖν ἐπιχειρεῖς διαφθεῖραι τὸ ἔργον τοῦ » ἐμοῦ πατρὸς, τοῦ ἀεὶ τελοῦντος θυσίας ;

45. « Οἱ ὄντες ἐχθροὶ τῆς θυσίας, κολαστέοι εἰσὶν ὑπὸ σοῦ » τοῦ θεοῦ τῶν τριῶν κόσμων, καὶ παντεφόρου· εἰ τοί-» νυν σὺ ἐναντίος εἶ τοῖς ἔργοις τῶν νομίμων ἀνδρῶν, ὁ » νόμος ὄλλυται.

---

(1) Ἐπειδὴ, ὡς λέγουσιν, Ἴνδρας γίνεται, ὃς ἂν ποιήσῃ ἑκατὸν ἱπποθυσίας, διὰ τοῦτο ὁ Ἴνδρας, ἐλθὼν ἀφανῶς, ἀφείλετο τὸν ἵππον, ἵνα μὴ τελεσθείη ἡ ἑκατοστὴ ἱπποθυσία.

(2) Ὁ Ἴνδρας χιλιόφθαλμός ἐστι, καὶ ἀκαμμύστους καὶ ἀκοιμήτους ἔχει τοὺς ὀφθαλμούς, ὡς καὶ πάντες οἱ λοιποὶ θεοί.

46. « Ὅθεν ἄξιος εἶ ἀφεῖναι τὸ κύριον μέρος τῆς μεγάλης » θυσίας [1], τὸν ἵππον αὐτόν· οἱ γὰρ σπουδαῖοι, οἱ δει- » κνύοντες τὴν ὁδὸν τοῦ νόμου, οὐχ ὁδεύουσιν ὁδὸν » ἄνομον. »

47. Ἀκούσας δ' ὁ ἡγεμὼν τῶν θεῶν τοῦ θαυμασίου λόγου, τοῦ ἐξερευχθέντος ὑπὸ τοῦ Ῥαγγοῦ, ἔστρεψεν ἔκθαμβος τὸ ἑαυτοῦ ἅρμα, καὶ ἀπόκρισιν δοῦναι ἤρξατο·

48. « Ὃ λέγεις, ὦ υἱὲ τῆς πολεμικῆς φυλῆς, ὀρθῶς ἔχει· δεῖ δ' » ὅμως τοῖς φιλοτίμοις (εὐφήμοις) διαφυλάττειν τὴν ἑαυ- » τῶν εὐφημίαν (ἀπ' ἐχθροῦ, θέλοντος αὐτὴν ἀμαυρῶ- » σαι)· τὸ γὰρ ἐμὸν ὄνομα [2], τὸ γνωσὸν παντὶ τῷ κόσμῳ, » ὁ σὸς πατὴρ ἐπεχείρησεν ἀφανίσαι διὰ τῆς θυσίας.

49. « Καθὼς μόνος ὁ Βισνοῦς λέγεται Πουρουσσοττάμας [3] » καὶ μόνος ὁ Σίβας Μαχεσβάρας [4], καὶ οὐκ ἄλλος, οὕτω » κἀγὼ λέγομαι ὑπὸ τῶν σοφῶν ἀνδρῶν Σατακρατοῦς [5]· » τοῦτο δὲ τὸ κατὰ μέρος ἐπίθετον ἡμῶν τῶν τριῶν οὐκ » ἀναφέρεται εἰς ἄλλον δεύτερον.

50. « Διά τοι τοῦτο ὁ ἵππος οὗτος τοῦ σοῦ πατρὸς ἁφῃρέθη « ὑπ' ἐμοῦ. Ἅλις οὖν τοῦ σοῦ πόνου μέχρι τοῦδε, μηδὲ » βάλῃς τὸν πόδα εἰς τὴν ὁδὸν τῶν υἱῶν τοῦ Σαγάρα [6]· » ἐγὼ γάρ εἰμι μιμητὴς τοῦ Καπίλα ».

---

(1) Μεγάλη θυσία λέγεται κατ' ἐξοχήν, ἡ ἱπποθυσία.

(2) Σατακρατοῦς ὀνομάζεται, ὅ ἐστι, τελεσιουργὸς ἑκατὸν θυσιῶν.

(3) Ὑπεράνθρωπος, ὑπέρθεος.

(4) Μέγας ἡγεμών.

(5) Τελεσιουργὸς ἑκατὸν θυσιῶν.

(6) Οἱονεὶ ἔλεγε, μή με παροξύνῃς, καθὼς οἱ υἱοὶ τοῦ Σαγάρα παρώξυνον τὸν Καπίλαν, ὃς καὶ κατέκαυσεν αὐτούς. Μυθολογεῖται, ὡς ὁ Σαγάρας, ὃς ἦν μέγας βασιλεὺς, καὶ ἑξηκοντακισχιλίους εἶχεν υἱεῖς, ἐβουλήθη τελέσαι ἑκατὸν ἱπποθυσίας. Κατὰ δὲ τὴν ἀρχὴν τῆς τελευταίας ἱπποθυσίας, φθονήσας ὁ Ἴνδρας, ἀφεί- λετο ἀφανῶς τὸν ἀπολύτως φερόμενον ἵππον, καὶ ἔθετο αὐτὸν ἐν τοῖς ὑποχθο-

51. Ὁ δὲ φύλαξ τοῦ ἵππου Ῥαγγοῦς, γελάσας πάλιν, εἶπεν ἀφόβως τῷ Ἴνδρᾳ· « Εἰ οὕτω φρονεῖς, ἐπιλαβοῦ ὅπλων· » οὐ γὰρ ἕξεις τὸν ἵππον, ἂν μὴ νικήσῃς τὸν Ῥαγ- » γοῦν ».

52. Οὕτως εἰπὼν τῷ Ἴνδρᾳ κατὰ πρόσωπον, προσήρμοσε τὸ βέλος τῷ τόξῳ, καὶ ἔστη, στήσας τὸν πόδα καὶ τὸ σῶμα, ὡς ἄλλος Σίβας [1].

53. Τρωθεὶς δὲ κατὰ τὸ στῆθος ὁ Ἴνδρας ὑπὸ τοῦ στερεοῦ βέλους τοῦ Ῥαγγοῦ, ἀγανακτήσας ἔθετο εὔστοχον βέλος ἐπὶ τοῦ ἑαυτοῦ τόξου, ὅ ἐστιν ἡ Ἶρις [2].

54. Ἐμπαγὲν δὲ τὸ βέλος τοῦ Ἴνδρα, τὸ γευσάμενον πολλάκις αἵματος φοβερῶν γιγάντων, μεταξὺ τῶν βραχιόνων τοῦ Ῥαγγοῦ, ἔπινεν ἡδέως αἷμα ἀνθρώπειον, οὗ τέως οὐκ ἐγεύσατο.

55. Ὁ δὲ νεανίας Ῥαγγοῦς, ὁ ὅμοιος τῷ Σκάνδᾳ κατὰ τὴν γενναιότητα, ἐνέπηξεν ἕτερον βέλος, ᾧ ἐνεγέγραπτο τὸ αὐτοῦ ὄνομα [3], τῇ στιβαρᾷ καὶ ἀγλαᾷ χειρὶ τοῦ Ἴνδρα.

56. Τρίτῳ δὲ βέλει διέτεμε τὴν σημαίαν τοῦ Ἴνδρα, τὴν

νίοις πλησίον τοῦ ὁσίου Καπίλα, ὃς ἐχρῆτο ἀσκήσει καὶ θεωρίᾳ. Περιελθόντες δὲ πᾶσαν τὴν γῆν οἱ ἑξηκοντακισχίλιοι υἱοὶ τοῦ Σαγάρα, καὶ μὴ εὑρόντες τὸν ἵππον, ἀνώρυξαν τὴν γῆν, βουλόμενοι ἐρευνῆσαι καὶ τὸν ὑποχθόνιον κόσμον. Ἐκ δὲ τοῦ διορύγματος ἐκείνου ἐγένετο ὁ ὠκεανὸς, ὃς καὶ ὠνομάσθη Σάγαρις ἀπὸ τοῦ ὀνόματος τοῦ βασιλέως Σαγάρα. Κατελθόντες δ' οἱ υἱοὶ τοῦ Σαγάρα εἰς τὸν καταχθόνιον κόσμον, ἰδόντες τὸν ἵππον πλησίον τοῦ ὁσίου Καπίλα, ἐνόμισαν, ὡς αὐτός ἐστιν ὁ κλέπτης, καὶ διὰ τοῦτο πληγὰς αὐτῷ ἐνέθηκαν πολλὰς καὶ ὕβρεις· ὁ δὲ ὀργισθεὶς, ἀπετέφρωσεν αὐτοὺς πάντας. Ὁ Καπίλας ἦν μέγας φιλόσοφος καὶ θεωρητικὸς, ὃς ἐδόξαζε τὴν ὕλην ἄναρχον καὶ ἀτελεύτητον, καὶ αἰτίαν, καὶ ἐνεργὸν, τὸν δὲ Θεὸν ἀναίτιον, ὡς ἅπαθῆ.

(1) Ἄριστος ἦν τοξότης ὁ Σίβας.

(2) Ἡ ἐν οὐρανῷ Ἶρις ἐστὶ τὸ τόξον τοῦ Ἴνδρα.

(3) Ἐκ τούτου δεικνύεται, ὡς οἱ παλαιοὶ ἥρωες τῆς Ἰνδίας ἐχάραττον τὰ ὀνόματα ἑαυτῶν ἐν τοῖς βέλεσιν.

ἔχουσαν ἐντετυπωμένον τὸν κεραυνόν· λίαν δ' ἠγανάκτησεν ὁ Ἴνδρας κατ' αὐτοῦ, ὃς ἔτεμε τὴν σημαίαν, ὡσπερεὶ ἔτεμε τὴν κόμην [1] τῆς θείας δόξης.

57. Φρικτὸς δὲ πόλεμος ἐγίγνετο ἐκ τῶν βελῶν ἀμφοτέρων, ἐφιεμένων νίκης· ἄλλα μὲν γὰρ βέλη ἄνωθεν ἐβάλλοντο ὑπὸ τοῦ Ἴνδρα, ἄλλα δὲ κάτωθεν ὑπὸ τοῦ Ῥαγγοῦ, καὶ ἐφαίνοντο, ὥσπερ πτερωτοὶ φοβεροὶ ὄφεις· οἱ δὲ θεοὶ καὶ οἱ στρατιῶται ἵσταντο κατὰ μέρος, θεωροῦντες.

58. Τοῖς δὲ ἀλλεπαλλήλως καταπίπτουσι βροχηδὸν βέλεσιν ὁ Ἴνδρας οὐκ ἠδύνατο κατασβέσαι τὸ πυροειδὲς τοῦ θυμοῦ τοῦ Ῥαγγοῦ, καθὼς ἡ ὑδροφόρος νεφέλη οὐ δύναται κατασβέσαι τοῖς καταφερομένοις ὕδασι τὸ ἐκ τῶν νεφῶν ἐκρηγνύμενον πῦρ.

59. Βέλει δ' ἐν σχήματι ἡμισελήνου [2] διέτεμεν ὁ Ῥαγγοῦς τὴν χορδὴν τοῦ τόξου τοῦ Ἴνδρα, τὴν ποιοῦσαν μέγαν ἦχον, ὡς τὴν ταραττομένην θάλασσαν, ὅτε ἀφίεται τὸ βέλος, καὶ πλήττουσαν τὸν καρπὸν τῆς ἀριστερᾶς χειρός.

60. Μεγάλως δ' ὀργισθεὶς ὁ Ἴνδρας, εἵασε τὸ τόξον καὶ ἔλαβεν ἐν χειρὶ εἰς ὄλεθρον τοῦ δυνατοῦ ἐχθροῦ τὸν φλογεγερὸν κεραυνόν, τὸν διατμητικὸν τῶν πτερῶν τῶν ὀρέων [3].

---

(1) Καθὼς ἡ κόμη κόσμημά ἐστι τῆς γυναικὸς, οὕτω καὶ ἡ σημαία κόσμημα τῆς βασιλικῆς δόξης· καὶ καθὼς ἡ γυνὴ χήρα φαίνεται, οὖσα ἄνευ κόμης, οὕτω καὶ ἡ θεία δόξα, ὥσπερ χήρα, ἐφάνη, οὖσα ἄνευ σημαίας.

(2) Πολυειδῆ ἦσαν τὰ βέλη τῶν παλαιῶν ἰνδικῶν ἡρώων, ἄλλα μὲν ὀξέα εἰς τὸ διαπείρειν, ἄλλα δὲ στρογγύλα εἰς τὸ συντρίβειν τὰ ὀστᾶ, καὶ ἄλλα ἐν σχήματι ἡμισελήνου εἰς τὸ διατέμνειν χεῖρας, καὶ πόδας, καὶ λαιμοὺς τῶν ἐχθρῶν.

(3) Μυθολογοῦσιν, ὡς πρότερον τὰ ὄρη πτερὰ εἶχον, καὶ ἵπταντο· καὶ ἔνθα καθιπτάμενα, ἐκάθηντο, φθορὰν ἐποίουν καὶ πόλεσι, καὶ ἀγροῖς. Ὁ δ' Ἴνδρας ἀπέτεμε τὰ πτερὰ αὐτῶν διὰ τοῦ κεραυνοῦ, καὶ οὕτως ἔμειναν τὰ ὄρη ἀκίνητα μέχρι τῆς σήμερον.

61. Πληγεὶς δ' ὁ Ῥαγγοῦς ἐν τῷ στήθει ὑπὸ τοῦ κεραυνοῦ, ἔπεσε κατὰ γῆς σὺν τοῖς δάκρυσι τοῦ στρατοῦ· ἀναλαβὼν δ' ἐν ἀκαρεῖ, ἀνηγέρθη σὺν τῇ φωνῇ τῆς χαρᾶς τοῦ στρατοῦ.

62. Ἤσθη δ' ὁ Ἴνδρας ἐπὶ τῇ ὑπερβολῇ τῆς ἀνδρείας τούτου, ἱσταμένου γενναίως ἐπὶ πολὺ ἐν δεινῷ καὶ φρικτῷ πολέμῳ· ἡ γὰρ ἀρετὴ παρὰ πᾶσι τιμᾶται, καὶ ἐπαινεῖται [1].

63. Πρὸς ὃν καὶ εἶπεν· « Ἐκτὸς σοῦ, οὐδεὶς ἄλλος ὑποφέρειν » δύναται τοῦτό μου τὸ ὅπλον, τὸν κεραυνὸν, ὃς συν» τρίβει καὶ τὰ ὄρη· ἴσθι ὡς ἤσθην, καὶ χάριν αἴτησον, » ἐκτὸς τοῦ ἵππου ».

64. Ὅσας δὲ ὁ βασιλικὸς παῖς τὸ βέλος τὸ ἐξ ἡμισείας ἐλκυσθὲν ἐκ τῆς φαρέτρας καὶ γανῶσαν τὰ δάκτυλα διὰ τῆς χρυσῆς γλυφίδος, ἀπεκρίνατο τῷ Ἴνδρᾳ, τῷ χαρίεντα ῥήματα φιλοφρόνως εἰρηκότι·

65. « Ἐπειδὴ, ὦ Κύριε, οὐ κρίνεις ἀφιέναι τὸν ἵππον, ἐχέτω » ὁ ἐμὸς πατὴρ, ὃς προσέχει ἀεὶ θυσίαις, τέλειον τὸν » μισθὸν [2] τελείων θυσιῶν, ὡς νενόμισται.

66. « Ποίησόν μοι δὲ καὶ ταύτην τὴν χάριν, ἵνα παρὰ τοῦ » σοῦ ἀγγελιαφόρου τὴν ἀγγελίαν [3] ταύτην ἀκούσῃ ὁ » ἐν τῷ θυσιαστηρίῳ καθήμενος ἐμὸς πατὴρ, δυσανάσχε» τος [4] γάρ ἐστιν, ὡς ἔχων μίαν ἀπόῤῥοιαν τοῦ Σίβα [5] ».

---

(1) Οἶδε γὰρ καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν.

(2) Οἱονεὶ ἔλεγε· «Μὴ ἔστωσαν μάταιαι αἱ τοσαῦται θυσίαι τοῦ ἐμοῦ πατρός·» λέγουσι γὰρ, ὡς εἰ ἐμπόδιόν τι γένοιτο τοῦ τέλους πράξεώς τινος θείας, οὐ μόνον μάταιοί εἰσιν οἱ γεγενημένοι πόνοι, ἀλλὰ καὶ ἔνοχος κρίνεται ὁ μὴ ποιήσας τὸ τέλος.

(3) Τὴν τοῦ ἵππου δηλ: ἀφαίρεσιν, καὶ τὴν μονομαχίαν.

(4) Φοβεῖται, μήπως, ἀναγγείλαντος αὐτοῦ τὴν δεινὴν ταύτην ἀγγελίαν, ὀργισθῇ ὁ πατήρ.

(5) Πρ. γρ. Ὡς ὁ τριόφθαλμος Σίβας.

67. Κατανεύσας δ' ὁ Ἴνδρας εἰς τὰ αἰτήματα τοῦ Ῥαγγοῦ, ἀπῆλθεν, ὅθεν ἦλθεν· ἦλθε δὲ καὶ ὁ Ῥαγγοῦς ἄθυμος εἰς τὸ θυσιαστήριον, ἔνθα ἦν ὁ βασιλεύς.

68. Ὃς, μαθὼν πρότερον τὰ γεγονότα παρὰ τοῦ ἀγγελιαφόρου τοῦ Ἴνδρα, ψήξας χειρὶ ἀμβροσίᾳ τὸ πεπληγμένον (τετρωμένον) σῶμα τοῦ υἱοῦ ὑπὸ τοῦ κεραυνοῦ τοῦ Ἴνδρα, ἐχάρη σφόδρα, καὶ ἐπήνεσεν αὐτόν.

69. Οὕτως ὁ Διλήπας, ὁ ἔχων ὑπήκοον λαὸν, καὶ ἀναβῆναι ἐφιέμενος εἰς τὸν οὐρανὸν, ἐτέλεσεν ἐννενήκοντα ἐννέα μεγάλας θυσίας, ὥσπερ βαθμίδας κλίμακος, ἀγούσης εἰς τὸν οὐρανὸν μετὰ θάνατον.

70. Ἐκκλίνας δὲ ἀπὸ πάσης ἡδονῆς τῶν τοῦ κόσμου, ἔδωκε κατὰ τὸν νόμον τῷ νέῳ υἱῷ τὸν λευκὸν οὐρανίσκον [1], ὃς σύμβολόν ἐστι βασιλικόν· κἄπειτα ἀνεχώρησεν εἰς ἔρημον μετὰ τῆς βασιλίσσης, διατρίβων ὑπὸ σκιὰς δένδρων. Οὕτω γὰρ ἔπραξαν καὶ ἄλλοι ἀπόγοι τοῦ ἰξβακοῦ ἐν γεροντικῇ ἡλικίᾳ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

1. Ἀναδεξάμενος ὁ Ῥαγγοῦς τὴν βασιλείαν, τὴν δοθεῖσαν παρὰ τοῦ πατρὸς, μᾶλλον ἐλαμπρύνετο, καθὼς τὸ πῦρ μᾶλλον λάμπει ἐν νυκτὶ, ἀναδεχόμενον τὴν λάμψιν, τὴν διδομένην παρὰ τοῦ ἡλίου δύοντος [2].

2. Τὸ δὲ πῦρ τοῦ φόβου, ὃ εἶχον ἐν καρδίᾳ πρότερον οἱ βασιλεῖς, μᾶλλον ἐξήφθη, ὅτε ἤκουσαν, ὡς ὁ Ῥαγγοῦς ἐβασίλευσε μετὰ τὸν Διλήπαν.

---

(1) Ἐχειροτόνησε δηλ: αὐτὸν βασιλέα.

(2) Λέγεται ἐν τῇ Βίδᾳ, ὡς ὁ ἥλιος, ὅτε δύει, δίδωσι τῷ πυρὶ τὴν ἑαυτοῦ λαμπρὰν δύναμιν· διὰ τοῦτο τὸ πῦρ ἐν νυκτὶ μᾶλλον λάμπει.

3. Πάντες δ' οἱ λαοὶ ἔχαιρον, ἀναβλέποντες τὴν ἀνύψωσιν τοῦ νέου βασιλέως, καθὼς χαίρουσιν, ἀναβλέποντες τὴν ἀνυψωθεῖσαν σημαίαν τοῦ Ἴνδρα [1].

4. Ἐν ταὐτῷ δ' αὐτὸς ὁ σοβαρῶς βαδίζων, ὡς ἐλέφας [2], πατήσας, ἀνέβη (ἐκάθισεν) ἐπὶ τοῦ πατρικοῦ θρόνου, καὶ καὶ ἐπὶ τῆς κεφαλῆς πάντων τῶν ἐχθρῶν.

5. Ἐκ μὲν τοῦ ἀγλαοῦ ἤθους, οὗ εἶχεν αὐτὸς ὁ παντάναξ, ἐφαίνετο, ὡς αὐτὴ ἡ Λαξμὴ [3] ἀφανῶς παρίσταται, κρατοῦσα ἐπὶ τῆς κεφαλῆς αὐτοῦ λωτὸν, ὡς οὐρανίσκον.

6. Ἐκ δὲ τῶν κατὰ καιροὺς ἁρμοζόντων καὶ ἀληθευόντων ὕμνων εἰς αὐτὸν τὸν ἀξιοὔμνητον ἐφαίνετο, ὡς αὐτὴ ἡ Σαρασβατὴ θεραπεύει αὐτὸν, ἐν στόματι οὖσα τῶν ὑμνολόγων [4].

7. Ἡ δὲ γῆ μᾶλλον ἠράσθη τούτου τοῦ νέου βασιλέως [5], ἢ τῶν πρὸ αὐτοῦ τοσούτων ἀξιοτίμων καὶ ἐνδόξων βασιλέων, τοῦ τε Μανοῦ, καὶ τῶν ἀπ' αὐτοῦ λοιπῶν.

8. Κολάζων δὲ μήτε εὐτόνως μήτε ἀνειμένως, εἵλκυσε πρὸς ἑαυτὸν τὴν καρδίαν παντὸς τοῦ κόσμου, καθὼς ὁ νότος [6], πνέων μήτε θερμῶς μήτε ψυχρῶς.

---

(1) Ἐν καιρῷ ἀνομβρίας ἐστὶ ὁ βασιλεὺς ἐπὶ τῆς βασιλικῆς θύρας ὑψηλὴν σημαίαν εἰς ὄνομα τοῦ Ἴνδρα, ἣν καὶ ἐτίμων, καὶ ἐλάτρευον οἱ λαοὶ, παρακαλοῦντες δοῦναι ὄμβρον· συμπιπτόντων γὰρ δεινῶν, ὁ λαὸς ἐνόμιζεν, ὡς ὁ βασιλεὺς ἄνομός ἐστι, καὶ διὰ τοῦτο προσανεκλαίοντο αὐτῷ, αἰτοῦντες ἀπαλλαγήν.

(2) Σοβαρὸν καὶ μεγαλοπρεπὲς βάδισμα ἔχει ὁ ἐλέφας.

(3) Λαξμὴ, περιφανὴς, περίβλεπτος. Ἡ Λαξμὴ γράφεται κρατοῦσα ἐν χειρὶ λωτὸν, ἥ ἐστιν ἡ θεὰ τῆς ἀγλαΐας, τῆς εὐδοξίας, καὶ τῆς λοιπῆς εὐδαιμονίας.

(4) Ἡ Σαρασβατή ἐστιν ἡ θεὰ τοῦ λόγου.

(5) Παρ' Ἰνδοῖς ἡ γῆ λέγεται συμβολικῶς γυνὴ τοῦ βασιλέως.

(6) Ἐν Ἰνδίᾳ ὁ μὲν Ἀπηλιώτης θερμός ἐστιν, ὁ δὲ Ζέφυρος ψυχρὸς, ὁ δὲ Βορέας, καὶ ὁ Νότος, μέτριοι.

9. Καί τοι δὲ οἱ βουλευταὶ ἐδίδασκαν αὐτὸν τὸν νέον βασιλέα καὶ τὸ δίκαιον καὶ τὸ ἄδικον, καὶ τὸ ἀληθὲς καὶ τὸ ἀπατηλὸν, ἔπραττεν ὅμως τὸ δίκαιον, ἢ τὸ ἀληθὲς, καὶ οὐχὶ τὸ ἄδικον, ἢ τὸ ἀπατηλόν [1].

10. Οἱ δ' ἄνθρωποι ἐπελάθοντο τῆς πρὸς τὸν Διλήπαν ἀγάπης, βλέποντες τὰς πολλὰς ἀρετὰς τοῦ Ῥαγγοῦ, καθὼς ἐπιλανθάνονται τῆς πρὸς τὸ ἄνθος τῆς Ἄμρας ἀγάπης, βλέποντες τὸν καρπόν [2].

11. Βασιλεύσαντος τούτου τοῦ νέου βασιλέως, πάντα τὰ ὄντα, νέα πως ἐγένετο· οὐμὴν ἀλλὰ καὶ αἱ ποιότητες αὐταὶ τῶν στοιχείων ἀγλαώτεραι καὶ ἡδύτεραι ἐγένοντο.

12. Καθὼς ἡ μὲν σελήνη φερωνύμως [3] λέγεται Σάνδρα, διότι χαροποιεῖ καὶ ἡδύνει, ὁ δὲ ἥλιος Ταπάνας, διότι καίει καὶ θερμαίνει, οὕτω καὶ οὗτος φερωνύμως ἐλέγετο Ῥαζᾶς, διότι ἐγάνου καὶ εὔφραινε πάντας.

13. Τὰ μὲν ὄμματα αὐτοῦ τοῦ Ῥαγγοῦ μεγάλα ἦν, καὶ ἐκτεταμένα μέχρι τῶν ὤτων [4]· ἐθεώρει δὲ ἐπὶ λεπτοῦ καὶ διέκρινε πάντα τῷ τοῦ νοὸς ὄμματι [5].

14. Ἦκε δ' ἡ ὥρα Σαράτα [6], ἡ βρίθουσα τοῖς λωτοῖς, ὡς

---

(1) Ἦν δηλ: εἰλικρινὴς, ἀνυπόκριτος, καὶ ἄπλαστος.

(2) Ἄμρα, κοινῶς ἄμβα, ὄνομα δένδρου καὶ ὀπώρας ἐν Ἰνδίᾳ· αὕτη δ' ἡ ὀπώρα ἡδυτέρα ἐστὶ καὶ ἀβλαβεστέρα πασῶν τῶν λοιπῶν.

(3) Ὁ ποιητὴς παίζει εἰς τὴν σημασίαν καὶ ἐτυμολογίαν τῶν λέξεων. Ἰνδιστὶ ὁ βασιλεὺς λέγεται Ῥαζῆς, ὅ ἐστι λαμπρὸς καὶ ἀγλαὸς κκτὰ τὴν σημασίαν καὶ ἐτυμολογίαν.

(4) Ὑπερβολῇ χρῆται ἐνταῦθα ὁ ποιητής· τὰ γὰρ μακροειδῆ ἢ ἀμυγδαλοειδῆ ὄμματα ἐπαινοῦνται παρ' Ἰνδοῖς.

(5) Ἦν δηλ: καὶ εὐειδὴς καὶ διακριτικός.

(6) Ἐν ταύτῃ τῇ ὥρᾳ ὁ λωτὸς ἀνθεῖ. Ἰστέον, ὡς οἱ Ἰνδοὶ διαιροῦσι τὸ ἔτος εἰς ἓξ ὥρας, ἑκάστης ὥρας ἐχούσης δύω μῆνας· εἰσὶ δ' αὗται·

Σ κ ρ ά τ α, ἢ Σαράδα, Σεπτέμβ. καὶ Ὀκτώβ. Ἐν ταύτῃ τῇ ὥρᾳ τὸ μὲν

δευτέρα βασιλικὴ δόξα, πρὸς αὐτὸν τὸν Ῥαγγοῦν, διάγοντα ἡσύχως ἐκ τῆς καλῆς διοικήσεως, (τὸν καλῶς διοικοῦντα τὴν βασιλείαν).

15. Ἐν ταὐτῷ δὲ ἡ δυσανάσχετος θερμὴ δύναμις τοῦ Ῥαγγοῦ καὶ τοῦ ἡλίου ἐξετάθη εἰς πᾶν μέρος τῆς γῆς, εὑροῦσα δίοδον ἐκ τῆς ἐλλείψεως τῶν ὑδροφόρων νεφῶν [1].

16. Ὁ μὲν Ἴνδρας [2] ἀφῆκε τὸ τῆς βροχῆς τόξον [3], ὁ δὲ Ῥαγγοῦς ἔλαβε τὸ τῆς νίκης· ἀμφότεροι γὰρ οὗτοι ἔφερον τόξον κατὰ διαδοχὴν ἐν καιρῷ προσήκοντι εἰς ὠφέλειαν τῶν ἀνθρώπων.

17. Ἡ ὥρα Σαρατα [4], βρίθουσα Λωτῷ καὶ Κάσσᾳ [5], ἐμιμεῖτο

καῦμά ἐστι πλεῖον, τὸ δὲ ψύχος ἧττον· καὶ σπείρουσι σῖτον, κριθὴν, καὶ ἐρέβινθον κατὰ τὸν Ὀκτώβ.

Χεῖμα, Νοέμβ. καὶ Δεκέμβ. Ἔστι δ' ὁ χειμών.

Σισσίρα, Ἰαννουάρ. καὶ Φεβρ. Ἐν ταύτῃ τῇ ὥρᾳ τὸ μὲν ψύχος ἐστὶ πλεῖον, τὸ δὲ καῦμα ἧττον.

Βασάντα, (ἔαρ) Μάρτ. καὶ Ἀπρίλ. Ἐν ταύτῃ τῇ ὥρᾳ τὸ μὲν καῦμά ἐστι πλεῖον, τὸ δὲ ψύχος ἧττον, καὶ τότε θερίζουσι, καὶ ἁλοῶσι.

Γρίσμα (καῦμα) Μάϊος καὶ Ἰούνιος.

Βαρσσὰ (βροχὴ) Ἰούλ. καὶ Αὔγουστος. Καίτοι δὲ εἱ ὄμβροι ἄρχονται κατὰ τὸν Ἰούνιον, καὶ παύονται κατὰ τὸν Σεπτέμβριον, ἀλλὰ κατὰ μὲν τὸν Ἰούνιον καὶ Σεπτ. σπάνιοί εἰσι καὶ μερικοὶ, κατὰ δὲ τὸν Ἰούλιον καὶ Αὔγουστον συνεχεῖς καὶ καθολικοί. Διαιροῦσι δὲ τὸ ἔτος καὶ εἰς τρεῖς γενικὰς ὥρας, ἑκάστης ὥρας ἐχούσης τέσσαρας μῆνας. Ὁ μὲν Ὀκτώβριος, Νοέμβριος, Δεκέμβριος, καὶ Ἰαννουάριος, ἡ ὥρα ἐστὶ τοῦ ψύχους· ὁ δὲ Φεβρ., Μάρτ., Ἀπρίλ., καὶ Μάϊος, ἡ ὥρα τοῦ καύματος· ὁ δὲ Ἰούν., Ἰουλ., Αὔγ., καὶ Σεπτέμβριος, ἡ ὥρα τῶν ὄμβρων.

(1) Μετὰ τὰ νέφη καὶ τοὺς ὄμβρους καὶ ὁ ἥλιος ἐξεφάνη, καὶ ὁ Ῥαγγοῦς ἐξεστράτευσεν· εἰ γὰρ βασιλεὺς τῆς Ἰνδίας κατὰ τὸν Ὀκτώβριον ἐκστρατεύουσι μέχρι τοῦ Μαρτίου.

(2) Ὁ μὲν Ἴνδρας δηλ: ἔβρεχεν ἐν καιρῷ τῶν ὄμβρων εἰς ὠφέλειαν τῶν ἀνθρώπων, ὁ δὲ Ῥαγγοῦς μετὰ τοὺς ὄμβρους ἐξεστράτευεν εἰς φθορὰν τῶν κακῶν·

(3) Τὸ τῆς βροχῆς τόξον ἡ Ἶρις ἐστὶν, ἢ οὐ φαίνεται ἀνεφίας καὶ ἀνομβρίας οὔσης.

(4) Λέγεται καὶ Σάρα, κοινῶς Σαραρή.

(5) Κάσσα, χόρτος καλαμοειδὲς, δι' οὗ στεγάζουσι τὰς πτωχικὰς οἰκίας ἢ

τὸν Ῥαγγοῦν, τὸν ἔχοντα οὐρανίσκον, καὶ ῥιπίδα· ἀλλὰ καὶ οὕτως, οὐκ εἶχε τὴν ἀγλαΐαν ἐκείνου.

18. Πάντων δὲ τῶν βλεπόντων ἡ διακαὴς ἀγάπη ἐξ ἴσου παρετείνετο καὶ πρὸς τὸν χαροπὸν Ῥαγγοῦν, καὶ πρὸς τὴν ἀγλαόμορφον Σελήνην [1].

19. Ἡ λευκότης, ἡ οὖσα ἐν ταῖς ἴλαις τῶν χηνῶν, καὶ ἐν τοῖς ἄστρασι, καὶ ἐν τοῖς ὕδασι [2] μετὰ λευκῶν λωτῶν, ἐφαίνετο, ὅτι ἦν ἡ διεσπαρμένη εὐφημία [3] τοῦ Ῥαγγοῦ.

20. Αἱ δὲ γυναῖκες, αἱ φυλάττουσαι τὴν ἐσπαρμένην ὄρυζαν, καθήμεναι ὑπὸ τὰς σκιὰς τῶν σακχαροκαλάμων [4], ᾖδον τὴν φήμην τῶν ἐκ παιδικῆς ἡλικίας ἀρετῶν τοῦ Ῥαγγοῦ.

21. Τὰ μὲν ὕδατα τῶν ποταμῶν καὶ λιμνῶν διειδῆ ἐγίνοντο ἐκ τῆς ἐπιτολῆς τοῦ λαμπροῦ ἀστέρος Ἀγαςέα [5]· ἡ δὲ καρδία τῶν ἐχθρῶν, φοβουμένη τὴν ἧτταν, ἐθολοῦτο καὶ ἐταράττετο ἐκ τῆς ἐκστρατείας τοῦ Ῥαγγοῦ.

22. Οἱ δ' ἰσχυροὶ καὶ εὐτραφεῖς ταῦροι, ἀνορύττοντες ὡς ἐν

καλύβας ἐν Ἰνδίᾳ· ἄνθος δ' ἔχει λευκὸν καὶ μακρὸν ὑπὲρ μίαν σπιθαμήν. Καὶ ἡ Κάσσα καὶ ὁ Λωτὸς ἀνθεῖ κατὰ τὸν Σεπτ. καὶ Ὀκτώβριον. Καὶ ὁ μὲν λωτός ἐστιν, ὡς ὁ λευκὸς οὐρανίσκος τοῦ βασιλέως, ἡ δὲ λευκὴ Κάσσα, ὡς ἡ Σαμαρὴ, ἥ ἐστι λευκὴ οὐρὰ βοὸς ἀγρίου ἐν Σκυθίᾳ· ἔστι δὲ δασύθριξ, καὶ μακρόθριξ· διὰ τοιαύτης γὰρ βοείας οὐρᾶς ῥιπίζουσιν ἑκατέρωθεν τὸν βασιλέα. Οὐμὴν ἀλλὰ καὶ τοὺς θεοὺς ῥιπίζουσιν ἑκατέρωθεν διὰ τοιούτων ῥιπιδίων.

(1) Ἐν ὥρᾳ Σαράτᾳ μετὰ τοὺς ὄμβρους μᾶλλον καθαρὰ καὶ λαμπρὰ ἡ σελήνη ἐστὶν, ἢ ἐν ἄλλαις ὥραις.

(2) Ἐν ὥρᾳ Σαράτᾳ, μὴ ὄντων ὄμβρων, τὰ ὕδατα τῶν ποταμῶν οὐκ ἔστι θολὰ, ἀλλὰ διειδῆ.

(3) Ἡ μὲν εὐφημία εἰκονίζεται λευκὴ παρ' Ἰνδοῖς, ἡ δὲ δυσφημία μέλαινα.

(4) Ἐν ὥρᾳ Σαράτᾳ γίνεται ὥριμος καὶ ὁ σακχαροκάλαμος, καὶ ἡ ὄρυζα.

(5) Κατὰ τὸν Ὀκτώβριον ἀνατέλλων, φαίνεται ὁ Ἀγαστέας, ὃς ἐστιν ὁ Κάνωπος, περὶ τὸ νότιον μέρος· τοὺς δὲ τέσσαρας μῆνας τῶν ὄμβρων ἀφανὴς ἐστι, δύων.

παιδιᾷ τοῖς κέρασι τὰς ὄχθας τῶν ποταμῶν, ἐμιμοῦντο τὰ κατορθώματα τοῦ Ῥαγγοῦ [1].

23. Οἱ Ἐλέφαντες τοῦ Ῥαγγοῦ, ὥσπερ φθονοῦντες, καὶ ἐρίζοντες ἐπὶ τῇ ὀσμῇ τῶν ἀνθέων τῶν Σαπταπαρνῶν [2] δένδρων, ἔῤῥεον χυμὸν δι' ἑπτὰ ὀχετῶν.

24. Ἡ ὥρα Σαράτα, ἡ ἀποτελοῦσα τοὺς μὲν ποταμοὺς ὀλιγοῦδρους, τὰς δ' ὁδοὺς ἄνευ τέλματος καὶ ἰλύος, παρεθάῤῥυνε καὶ παρώτρυνε τὸν Ῥαγγοῦν καὶ μὴ θέλοντα εἰς ἔξοδον καὶ ἐκστρατείαν.

25. Ἐν δὲ τῇ τελετῇ τῆς πρὸς τοὺς ἵππους καὶ ἐλέφαντας [3] τιμῆς καὶ λατρείας, τὸ πῦρ τῆς θυσίας ἐδίδου αὐτῷ τὴν νίκην διὰ τῆς εἰς τὰ δεξιὰ στρεφούσης φλογὸς, ὡς διὰ χειρός.

26. Στρατὸν δ' ἱκανὸν ἀφεὶς εἰς φυλακὴν τῆς μητροπόλεως καὶ τῆς λοιπῆς χώρας, μηδένα ἔχων ἐχθρὸν ὄπισθεν, ἐξῆλθεν εἰς νίκην παγκόσμιον, λαβὼν δύναμιν, συνισταμένην ἐκ σωμάτων ἕξ [4].

---

(1) Καθὼς δηλ: ὁ Ῥαγγοῦς, ἐκστρατεύων μετὰ τοὺς ὄμβρους, ἀνέσκαπτε τὰς οἰκίας τῶν ἐχθρῶν, οὕτω καὶ οἱ ταῦροι ἀνώρυττον τὰς ὄχθας τῶν ποταμῶν, μειουμένων τῶν ὑδάτων μετὰ τοὺς ὄμβρους.

(2) Σαπταπαρνὰ, εἶδος δένδρου· μεθερμηνεύεται δὲ ἑπτάφυλλον, ἐπειδὴ ἑπτὰ φύλλα ἔχει ἕκαστος κλαδίσκος. Τούτου τοῦ ἄνθους ἡ ὀσμὴ ὁμοία πως ἐστὶ τῇ τοῦ ἐκχεομένου χυμοῦ ἐκ τῶν κροτάφων, ἐκ τῶν ὀθφαλμῶν, ἐκ τῶν μυκτήρων, καὶ ἐκ τοῦ αὐλοῦ τοῦ ἐλέφαντος, ὅτε μαίνεται, οἰστρηθείς. Ἐν ταύτῃ τῇ ὥρᾳ καὶ τὸ δένδρον αὐτὸ ἀνθεῖ, καὶ ὁ ἐλέφας μαίνεται οἰστρῷ θηλυμανίας.

(3) Ὅτε ὁ βασιλεὺς ἐξέρχεται εἰς ἐκστρατείαν, ἱστᾶσι τοὺς ἐλέφαντας καὶ ἵππους πρὸ τῆς βασιλικῆς θύρας· ὁ δὲ βασιλεὺς χρίει τὰ μέτωπα αὐτῶν σανδάνῳ καὶ κρόκῳ, καὶ τῇ ἐκ βουτύρου ἐπταφώτῳ λυχνίᾳ φωταγωγεῖ καὶ θυμιᾷ αὐτοὺς καὶ γλυκάσματα αὐτοῖς διδόασιν εἰς βρῶσιν· ἡ αὐτὴ δὲ τελετὴ γίνεται καὶ εἰς πᾶν εἶδος ὅπλου. Καὶ σπονδὰς δὲ ποιοῦσι τῷ πυρὶ ἐπ' ὀνόματι τοῦ Ἴνδρα καὶ τοῦ Σκάνδα, ἐπικαλούμενοι αὐτοὺς εἰς βοήθειαν.

(4) Πρῶτον σῶμα ἦν τῶν μὴ λαμβανόντων μισθὸν, ἀλλ' ἐχόντων γῆν ἀτε-

27. Αἱ δὲ μεγάλαι τῇ ἡλικίᾳ γυναῖκες τῆς πόλεως ἔρριπτον ἐπ' αὐτὸν ὄρυζαν πεφρυγμένην [1], καθὼς τὰ μεγάλα κύματα τῆς γαλακτικῆς θαλάσσης, προσρηγνύμενα τῷ ὄρει Μανδάρᾳ [2], ἔρριπτον σταγόνας ἐπὶ τὸν Βισνοῦν.

28. Ἐπορεύετο δὲ πρῶτον κατὰ τὸ ἑῷον μέρος αὐτὸς ὁ ὅμοιος τῷ Ἴνδρᾳ, ἐπαπειλῶν καὶ ἐπιπλήττων τοὺς ἐχθροὺς, ὡς διὰ δακτύλου, διὰ τῆς σαλευομένης ὑπὸ τοῦ ἀνέμου σημαίας.

29. Πορευόμενος δὲ, ἐποίει τὸν μὲν οὐρανὸν ὡς γῆν διὰ τῆς

λῆ, δεύτερον τῶν μισθοφόρων· τρίτον τῶν συμμάχων· τέταρτον τῶν τεχνιτῶν, ἐμπόρων, καὶ σκευοφόρων· πέμπτον τῶν προσφύγων, οἳ ἦσαν ἐχθροὶ ἐκείνου, καθ' οὗ ἐστρατεύετο· ἕκτον δὲ σῶμα τῶν διαγόντων ἐν ὕλαις καὶ ὄρεσιν, οἳ ἦσαν, ὡς ὁδηγοί.

(1) Ἡ ὄρυζα μετὰ τοῦ φλοιοῦ ὅτε φρύγεται, λίαν λευκὴ καὶ ἀνθοειδὴς γίνεται· τοιαύτην ἀνθοειδῆ ὄρυζαν, ὡς ἀνθεβολίαν, ῥίπτουσιν ἐπὶ τοῦ βασιλέως αἱ γηραλέαι γυναῖκες καὶ αἱ παρθένοι· ἔστι δ' αἴσιον τοῦτο.

(2) Οἱ θεοὶ πάντες, καὶ οἱ δαίμονες, συνελθόντες, ἔθεντο ἐν τῇ γαλακτικῇ θαλάσσῃ, ὡς δῖνον, ὄρος μέγα, ᾧ ὄνομα Μανδάρας· καὶ περιθέντες, ὡς ἱμάντα τὸν Βασουκήν, τὸν βασιλέα τῶν ὄφεων, ἐδίνων· ἐκ δὲ τῆς δινήσεως ἐξῆλθον ἀπὸ τῆς γαλακτικῆς θαλάσσης δεκατέσσαρα Ῥάτινα, τουτέστι κειμήλια, ἅ εἰσι ταῦτα· ἡ Λαξμὴ, (ἡ θεὰ τῆς εὐδαιμονίας, καὶ πάσης χάριτος, ἣ ἐγένετο παράκοιτις τοῦ Βισνοῦ) ὁ Καουσούβδας, (θεῖος ἀδάμας, ὃν ἔλαβεν ὁ Βισνοῦς) ὁ Παριζάτας, (τὸ ἀνθοφόρον καὶ πάμφορον δένδρον, ὃ ἐτέθη ἐν οὐρανῷ παρὰ τοῖς θεοῖς) ἡ Σουρὰ, (ὁ οἶνος, ὃν ἔπιον οἱ δαίμονες) ὁ Δανβανταρὴς, (ὁ παρ' Ἰνδοῖς Ἀσκληπιὸς) ἡ Σελήνη, ἡ Καμαδουγγὰ, (ἡ πάνδωρος δάμαλις, ἣν ἔλαβον οἱ θεοί) ὁ Ἀϊραβάτας, (λευκὸς ἐλέφας, ὃν ἔλαβεν ὁ Ἴνδρας) ἡ Ῥαμβὰ, (θεία νύμφη, Νηρηὶς, ἡ πρώτη καὶ κορωνὶς ἐστι πασῶν τῶν λοιπῶν) ὁ Οὐτσαϊσράβας, (θεῖος ἵππος, ὃν ἔλαβεν ὁ Ἴνδρας) τὸ φάρμακον, (ὃ κατέπιεν ὁ Σίβας, ἐπειδὴ ἐκινδύνευε τὸ πᾶν κατακαῆναι ὑπ' αὐτοῦ) ἡ Σάργκα, (τόξον ἐκ κέρατος, ὃ ἔλαβεν ὁ Βισνοῦς) ὁ Σάνκας, (νικητικὸς κόγχος, ὃν ἔλαβεν ὁ Βισνοῦς) καὶ ἡ Ἀμβροσία, ἣν ἔλαβον οἱ θεοί· ἔστι δὲ τὸ θεῖον νέκταρ, ὃ καὶ μάκαρες πωθέουσιν. Ἰσέον, ὡς πρὸς τῇ ἁλμυρᾷ θαλάσσῃ καὶ ἄλλαις ἓξ μυθευόμεναί εἰσι θάλασσαι, ἡ μὲν ἐκ γλυκέος καὶ ποτίμου ὕδατος, ἡ δὲ ἐκ γάλακτος, ἡ δὲ ἐξ ὀξυγάλακτος, ἡ δὲ ἐκ βουτύρου, ἡ δὲ ἐκ χυμοῦ σακχαροκαλάμου, ἡ δὲ ἐξ οἴνου.

ἀνισταμένης κόνιος ἐκ τῶν ἁρμάτων καὶ ἵππων· τὴν δὲ γῆν ὡς οὐρανὸν διὰ τῶν ἐλεφάντων, τῶν ὄντων ὁμοίων τοῖς νέφεσιν [1].

30. Ἐπήρχετο δ' ἐκείνη ἡ στρατιὰ ὥσπερ διὰ τεσσάρων ἀλλεπαλλήλων ἐφόδων· καὶ πρώτη μὲν ἔφοδος ἦν, ἡ λεγομένη φήμη τῆς δυνάμεως· δευτέρα δὲ ἡ ἀναφαινομένη κόνις· τρίτη δὲ ἐξακουομένη σύμμικτος βοή· τετάρτη δ' ἔφοδος, αὐτὴ ἡ στρατιά.

31. Καὶ τὴν μὲν ἄνυδρον γῆν εὔυδρον ἀπέδειξεν [2] ὁ Ραγγοῦς τῇ ἑαυτοῦ δυνάμει, τοὺς δὲ βαθεῖς καὶ ἀδιαβάτους ποταμοὺς, εὐδιαβάτους, τοὺς δὲ δασεῖς τόπους, ψιλούς.

32. Ἐλαύνων δὲ τὸν μέγαν στρατὸν εἰς τὸν ἑῶον ὠκεανὸν, ἐγένετο ἄλλος Βαγηράτας, ὃς ἤγαγε τὸν Γάγγην [3] μέ-

---

(1) Ὅμοιοι ἦταν καὶ κατὰ τὸ χρῶμα καὶ κατὰ τὸ σῶμα, δηλ: μελανόχροες καὶ μεγαλόσωμοι, καὶ βροντόφωνοι.

(2) Ὡρυξε δηλ: φρέατα.

(3) Ὁ Ἀνσσουμὰν, υἱὸς τοῦ Ἀσαμανζᾶ, υἱοῦ τοῦ βασιλέως Σαγάρα ἐξ ἄλλης γυναικὸς, ἐστάλθη εἰς ἀναζήτησιν τῶν ἑξηκοντακισχιλίων υἱῶν τοῦ Σαγάρα, οὓς ἔσχεν ἐκ μιᾶς γυναικός. Εὑρὼν δὲ τὸν ἵππον, ὃν ἥρπασεν ὁ Ἴνδρας, παρὰ τῷ Καπίλᾳ, καὶ μαθὼν τὴν ἀποτέφρωσιν τῶν 60000 υἱῶν τοῦ Σαγάρα, ἱκέτευσε τὸν ὅσιον Καπίλαν εἰς ἐξιλέωσιν, καὶ ἄφεσιν τοῦ ἀμπλακήματος αὐτῶν. Ὁ δὲ Καπίλας, ἐλεήσας, εἶπεν αὐτῷ ἀγαγεῖν τὴν Γαγγὰν, τὸν θεῖον ποταμὸν, τὸν ποτίζοντα τὸν οὐρανόν· ὅταν γὰρ, ἔφη, τὰ ὕδατα ἐκείνου τοῦ οὐρανίου ποταμοῦ ἀποπλύνωσι τὴν τέφραν τῶν υἱῶν τοῦ Σαγάρα, τὸ ἔγκλημα αὐτῶν ἀφεθήσεται. Ἐλθὼν δὲ ὁ Ἀνσσουμὰν εἰς τὸν Ἰμαὸν, ἀσκήσει ἐχρῆτο, καὶ ἐδέετο, ἕνθα καὶ ἀπέθανε, μὴ τυχὼν τοῦ τέλους. Τούτου ὁ υἱὸς Δηλίπας τῇ αὐτῇ ἀσκήσει καὶ δεήσει ἐχρῆτο, ἀλλ' ἀπέθανε καὶ αὐτὸς, μὴ τυχὼν τοῦ σκοποῦ. Ὁ δὲ υἱὸς τοῦ Δηλίπα ὁ Βαγηράτας, ἱκετεύων ἐκ καρδίας, καὶ ὑμνῶν τὴν Γαγγὰν ἐν Ἰμαῷ τῷ ὄρει, ἔτυχε τοῦ αἰτήματος· ἡ γὰρ Γαγγὰ, παραστᾶσα αὐτῷ, ἔφη, ὡς οὐδὲν ἄλλο στερεὸν ἐστιν εἰς τὸ δέξασθαι τὸ ῥεῖθρον αὐτῆς, καταπίπτον ἐξ οὐρανοῦ, ἀλλ' ἢ ἡ κορυφὴ τοῦ Σίβα. Ἐλθὼν δ' ὁ Βαγηράτας, καὶ ἱκετεύσας τὸν Σίβαν, ἐπέτυχε τοῦ ποθουμένου. Οὕτως ἡ Γαγγὰ κατέῤῥευσεν ἐκ μὲν τῶν ἀψίδων τοῦ οὐρανοῦ ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα, ἐκ δὲ τῶν πλοκάμων τοῦ Σίβα ἐπὶ τοῦ Ἰμαοῦ, ἐκ δὲ τοῦ Ἰμαοῦ ἐπὶ τῆς γῆς τῆς Ἰνδίας· ἐκεῖθεν δ' ἦχθη ὑπὸ τοῦ Βαγηράτα μέχρι τοῦ

χρι τοῦ ὠκεανοῦ, τὸν ῥέοντα ἐκ τῶν πλοκάμων τοῦ Σίβα.

33. Καθὼς δ' ὁ ἐλέφας ἄλλων μὲν δένδρων τοὺς καρποὺς ἀφαρπάζει, ἄλλα δ' ἐκριζοῖ, ἄλλα δὲ διαῤῥηγνύει, καὶ καὶ οὕτω δίοδον ποιεῖ ἐν ὕλῃ δασείᾳ, οὕτω καὶ ὁ Ῥαγγοῦς, ἄλλους μὲν ἐχθροὺς ἐστέρησε τῆς ἀρχῆς, ἄλλους δ' ἐξωλόθρευσε, καὶ ἄλλους κατεδάμασε, καὶ ἐποίησε τὴν ὁδὸν ἀνύποπτον.

34. Καθυποτάξας δὲ πᾶσαν χώραν τῆς ἑώας γῆς αὐτὸς ὁ νικητὴς, ἐπέστη ἐπὶ τὴν ἀκτὴν τοῦ Ὠκεανοῦ, τὴν βαθύσκιον, καὶ πλήρη πολλῶν Ταλῶν [1].

35. Οἱ δὲ περὶ τὴν ἀκτὴν τοῦ ὠκεανοῦ βασιλεῖς, ἔχοντες φύσιν εὐπειθῆ, διεφύλαξαν ἑαυτοὺς ἀπὸ τῆς σφοδρᾶς ἁμπώτιος τοῦ ὠκεανοῦ.

36. Κατατροπώσας δὲ τῇ ἑαυτοῦ δυνάμει τοὺς ἐν Βαγκάλᾳ βασιλεῖς, τοὺς ἔχοντας δύναμιν ναυτικὴν, ἔστησε τρόπαια ἐν πολλαῖς νήσοις, ταῖς ἐκ τῶν ὑδάτων τοῦ Γάγγου.

37. Προσκυνήσαντες δὲ τὸν Ῥαγγοῦν αὐτοὶ οἱ κατατροπωθέντες βασιλεῖς, πάλιν ἀποκατεστάθησαν εἰς τὴν ἀρχὴν,

---

ὠκεανοῦ, ἔνθα καὶ ἀπέπλυνε τὴν τέφραν τῶν προπατόρων αὐτοῦ, τῶν υἱῶν τοῦ Σαγάρα. Ἐπειδὴ δὲ ὁ Βαγηράτας ἤγαγε τὴν Γαγγὰν, διὰ τοῦτο ὀνομάζεται Βαγηρατὴ, τουτέστι, θυγάτηρ τοῦ Βαγηράτα· ὀνομάζεται δὲ καὶ Ζαχναβὴ δι' αἰτίαν τοιαύτην. Ὅτε ἔῤῥει εἰς τὴν γῆν ἡ Ἰνδίκη, ὁ Ζαχνοῦς, ὃς ἦν βασιλεὺς μεγαλουργὸς καὶ θαυματουργὸς, θυσίαν ἐτέλει· καταῤῥέουσα δ' ἡ Γαγγὰ, κατέκλυσε πάντα τὰ τῆς θυσίας· ὁ δὲ Ζαχνοῦς ἀγανακτήσας, κατέπιεν αὐτήν. Παρακαλέσας δ' ὁ Βαγηράτας, καὶ εἰπὼν τὴν αἰτίαν, ἐξιλέωσεν αὐτὸν, ὃς καὶ ἐξέῤῥευσε τὴν Γαγγὰν ἐκ τοῦ ἑαυτοῦ μηροῦ, ἢ ἐκ τοῦ ὠτὸς κατά τινας, δι' ἣν αἰτίαν λέγεται καὶ Ζαχναβὴ, ὅ ἐστι, θυγάτηρ τοῦ Ζαχνοῦ.

(1) Ταλὴ ἐστι δένδρον ὑψηλὸν, ὡς φοίνιξ· ὁ χυμὸς αὐτῆς ἐστι γλυκὺς, καὶ μέθην προξενεῖ.

καὶ φόρον ἔδωκαν, καθὼς ἡ καλάμη τῆς ὀρύζης, ἐκριζωθεῖσα, πάλιν φυτεύεται, καὶ δίδωσι καρπόν [1].

38. Διαπεράσας δὲ μετὰ τοῦ στρατοῦ τὸν ποταμὸν Καπίσσαν, ὡς διὰ γεφυρῶν, δι' ἐλεφάντων προσδεδεμένων, ὁδηγούμενος ὑπὸ τοῦ βασιλέως τῆς Οὐτκάλας, (Ὀρίσσας) ἦλθεν ἐπὶ τὴν χώραν Καλίγκαν.

39. Ἵδρυσε δὲ τὴν ἑαυτοῦ ὀξεῖαν δύναμιν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους Μαχένδρα, καθὼς ὁ ἐλεφαντηλάτης ἐμπήγνυσι τὸ ἐλεφαντόκεντρον τῇ κορυφῇ τοῦ σκληροῦ καὶ ἀπειθοῦς ἐλέφαντος.

40. Ὁ δὲ βασιλεὺς τῆς χώρας Καλίγκας ἀντέστη αὐτῷ μεθ' ὁπλιτῶν καὶ ἐλεφάντων πολλῶν, καθὼς ὁ Ἰμαὸς ἀντέστη [2], βάλων λίθους βροχηδὸν ἐπὶ τὸν Ἴνδραν, τὸν θέλοντα κόψαι τὰ πτερά.

41. Ἀναδεξάμενος δ' ὁ Ῥαγγοῦς τὰ βραχηδὸν πίπτοντα βέλη τῶν ἐχθρῶν, ἀνεδέξατο τὴν δόξαν τῆς νίκης, καθὼς λουσάμενος, καὶ χρισθεὶς, ἀνεδέξατο τὴν δόξαν τῆς βασιλείας.

42. Πιόντες οἱ στρατιῶται τοῦ Ῥαγγοῦ τὴν εὐφημίαν τοῦ ἐχθροῦ ἐν πολέμῳ, ἔπινον ἐν συμποσίοις καὶ οἶνον Ναρικελῆς [3] ποτηρίοις ἐκ φύλλων Ταμβούλας [4].

43. Ὁ δὲ νικητὴς καὶ δίκαιος Ῥαγγοῦς τὴν δόξαν μόνην

---

(1) Ἡ σπαρθεῖσα ὄρυζα, γενομένη σπιθαμιαία, ἐκριζοῦται, καὶ μεταφυτεύεται.

(2) Μυθολογοῦσιν, ὡς πρότερον τὰ ὄρη πτερωτὰ ἦν, καὶ ἵπταντο· καὶ ὅπου καθίπταντο, διέφθειρον τὴν χώραν ἐκείνην, εἴτε ἐσπαρμένη ἦν, εἴτε οἰκουμένη· ὁ δ' Ἴνδρας διέκοψε τὰ πτερὰ αὐτῶν τῷ κεραυνῷ, ὅς ἐστι τὸ ὅπλον αὐτοῦ.

(3) Ναρικελὴ, κοινῶς Ναργέλη, δένδρον ὑψηλὸν, ὡς φοίνιξ· οὗ ἐκ τοῦ χυμοῦ οἶνον ποιοῦσιν οἱ Ἰνδοί.

(4) Ἡ Ταμβούλα φυτόν ἐστιν, ὡς κισσός· ἐκ δὲ τῶν φύλλων αὐτοῦ τοῦ φυτοῦ ἐποίησαν ποτήρια.

ἔλαβεν, ἀλλ᾽ οὐ τὴν γῆν τοῦ βασιλέως τῆς Μαχένδρας [1]· λαβὼν γὰρ αὐτὸν αἰχμάλωτον, ἐλεύθερον ἐποίησεν.

44. Ἐκ δὲ τῆς παραλίου γῆς ἐκείνης, ἔνθα πεφύκασι δένδρα κάρπιμα, Ποῦγαι [2], ἀναζεύξας αὐτὸς, ὁ ἔχων αὐτόκλητον τὴν νίκην, παρεγένετο εἰς ἐκεῖνο τὸ μέρος, ἔνθα λάμπει ὁ Ἀγαστέας [3].

45. Ἐν δὲ τῇ Καβερῇ, λουσαμένων τῶν ἐν τῇ στρατιᾷ, καὶ τῶν ἐλεφάντων, ὧν ὁ εὐώδης χυμὸς [4] σινεμίγη τοῖς ὕδασιν, ὁ Ῥαγγοῦς ὕποπτόν πως ἐποίησε τὴν Καβερὴν τῷ Ὠκεανῷ, ὅτι ἄλλῳ ἀνδρὶ συνεμίγη [5].

46. Στήσαντος δὲ τὴν πορείαν αὐτοῦ τοῦ νικητοῦ, ἡ στρατιὰ κατέλυσε παρὰ τῇ ὑπωρείᾳ τοῦ ὄρους Μαλαΐα, ἔνθα ὄρνεις νέμονται κατὰ τὴν ὕλην τῶν φυτῶν τοῦ πεπέρεως [6].

---

(1) Ἡ Καθίγκα χώρα λέγεται καὶ Μαχένδρα ἐκ τοῦ ὄρους Μαχένδρα.

(2) Ποῦγα, κοινῶς Σουπαρὴ, δένδρον ὑψηλὸν, ὡς φοίνιξ, οὗ ὁ καρπός ἐστιν ὡς βάλανος. Τοῦτον τὸν καρπὸν μετὰ τῶν φύλλων τῆς Ταμβούλας μασσῶνται καὶ ἄνδρες καὶ γυναῖκες τῆς Ἰνδίας, καθὼς τὴν μαστίχην αἱ γυναῖκες τῆς Ἑλλάδος.

(3) Εἰς τὸ νότιον δηλ.—Ὁ Ἀγαστέας, εἰπὼν τῷ ὄρει Βινδοᾷ μένειν ὑποκλινές, ἕως ἂν ὑποστρέψῃ, ἀπῆλθε κατὰ τὸ νότιον μέρος, ἔνθα καὶ μένει μέχρι τῆς σήμερον, ἀστερωθείς.

(4) Ἡ ὀσμὴ τοῦ χυμοῦ τοῦ μαινομένου ἐλέφαντος βαρεῖα ἐστι καὶ ἀηδής· εὐώδης δὲ λέγεται κατ᾽ εὐφημολογίαν.

(5) Ἰστέον, ὡς ἅπαντες οἱ ποταμοὶ θηλυκοῦ γένους εἰσὶ παρ᾽ Ἰνδοῖς, καὶ ὅταν δὴ εἰσβάλλουσιν εἰς τὸν ὠκεανὸν, καὶ συμμίγνυνται αὐτῷ, διὰ τοῦτο λέγονται γαμεταὶ αὐτοῦ. Ὅθεν καὶ ὁ ποιητὴς, προσπαίζων, πλάττει, ὅτι ἡ Καβερὴ ὕποπτος ἐγένετο τῷ Ὠκεανῷ, ὅτι ἄλλῳ ἀνδρὶ συνεμίγη· αἰτία δ᾽ ἦν τῆς ὑποψίας, ἡ προσφθεῖσα τοῖς ὕδασιν εὐωδία τοῦ χυμοῦ τῶν ἐλεφάντων. Οἱονεὶ ἔλεγεν· ἐλθόντος τοῦ Ῥαγγοῦ εἰς τὴν Καβερὴν, τὸν ποταμὸν, ἅπαντες οἱ ἐν τῇ στρατιᾷ ἐλούσαντο, καὶ ἔπιον ὕδωρ, καὶ ἀνάψυξιν ἔλαβεν.

(6) Ἐν τούτῳ καὶ ἐν τοῖς ἑξῆς δεικνύει, ὅτι ἐκεῖ γίνεται καὶ πέπερις, καὶ καρδάμωμον, καὶ σάνδανον· ἐκεῖ γίνεται καὶ τὸ κινάμωμον· τὸ δ᾽ ἐξαίρετον ἐν τῇ Ταπροβάνῃ νήσῳ.

47. Ἡ δὲ κόνις τοῦ καρδαμώμου, τοῦ συντριβομένου τοῖς ποσὶ τῶν ἵππων, ἐξανισταμένη ὑπὸ τοῦ ἀνέμου, προσεκολλᾶτο τοῖς τῶν ἐλεφάντων κροτάφοις, ἔνθεν ἔῤῥεε χυμὸς, εὐωδίαν ἔχων ὁμοίαν τῷ καρδαμώμῳ.

48. Καί τοι δὲ τὰ ἐν τοῖς ποσὶ σχοινία οἱ ἐλέφαντες διέλυον καὶ διερῥήγνυον, τὰ ἐκ τῶν λαιμῶν ὅμως ἀδιάλυτα ἦν, δεδεμένα ἐν τοῖς χαράγμασι δένδρων σανδάνων, τοῖς γεγενημένοις ὑπὸ τῶν περιπλεκομένων ὄφεων [1].

49. Ἐν τῷ μεσημβρινῷ μέρει, ἐν ᾧ ἡ θερμότης τοῦ ἡλίου ἀμβλύνεται [2], ὀξυτέρα ἐγένετο ἡ θερμὴ δύναμις τοῦ Ῥαγγοῦ· καὶ διὰ τοῦτο οἱ ἐκεῖ βασιλεῖς οὐκ ἠνέσχοντο αὐτοῦ.

50. Ἔδωκαν δ' αὐτῷ, προσκυνήσαντες, πλῆθος λαμπρῶν μαργαριτῶν τοῦ ὠκεανοῦ, εἰς ὃν εἰσβάλλει ἡ Ταμραπαρνὴ [3], ὡσπερεὶ ἔδωκαν τὸ ἑαυτῶν λαμπρὸν κλέος [4].

51. Ἐντρυφήσας δὲ ὅσον ἤθελεν αὐτὸς ὁ ἀκαταμάχητος, τοῖς ὄρεσι, τῷ Μαλαΐᾳ, καὶ Δαρδούρᾳ, οἵ εἰσιν, ὡς δύω μαστοὶ [5] τῆς μεσημβρινῆς γῆς, καὶ κατάσκιοι Σανδά-

---

(1) Ἐκ τούτου δεικνύεται, ὅτι τὰ σάνδανα μεγάλα εἰσὶ δένδρα, καὶ ὄφεις ἔχουσιν ἱμφωλεύοντας. Τοῦ σανδάνου τὸ ξύλον εὐῶδές ἐστιν, ὡς τὸ τῆς κυπαρίσσου.

(2) Ἐν ταῖς χειμεριναῖς τροπαῖς, τρεπομένου τοῦ ἡλίου ἐπὶ τὴν μεσημβρίαν, ἀμβλεῖα γίνεται ἡ θερμότης αὐτοῦ· ἐλθόντος δὲ τοῦ Ῥαγγοῦ, ὀξυτέρα ἡ δύναμις αὐτοῦ ἐγένετο.

(3) Μαργαρίται γίνονται κατ' ἐκεῖνο τὸ μέρος τοῦ ὠκεανοῦ, εἰς ὃ εἰσβάλλει ὁ ποταμὸς, Ταμραπαρνή.

(4) Λευκὸν τὸ κλέος, λευκοὶ καὶ οἱ μαργαρίται.

(5) Ἡ μὲν γῆ ἐκείνη εἰκάζεται, ὡς γυνή, ὁ δὲ Μαλαΐας καὶ Δαρδούρας, ὡς δύω μαστοί, ὁ δὲ Σαχέας, ὡς γλουτός. Οἱονεὶ ἔλεγε, μείνας ἐν τοῖς ὄρεσι, Μαλαΐᾳ, καὶ Δαρδούρᾳ, ἦλθεν ἔπειτα εἰς τὸ ὄρος, τὸν Σαχέαν. Μυθολογοῦσιν, ὡς πρότερον ὁ ὠκεανὸς ἐγγὺς ἦν τοῦ ὄρους Σαχέα· ὁ δὲ Πραασσουράμας, στὰς ἐπὶ τῆς κορυφῆς αὐτοῦ, ἔῤῥιψε βέλος κατὰ τὸν ὠκεανόν· ὁ δὲ, φοβηθεὶς, ἀνεχαίτισε τὰ ὕδατα· καὶ ἔμεινεν ἡ χέρσος.

52. νοις, περιεπτύξατο τὸ ὄρος, τὸν Σαχέαν, ὃς ἐστιν, ὥσπερ γυμνὸς γλουτὸς τῆς γῆς ἐκείνης, καὶ διίσταται λίαν τοῦ ὠκεανοῦ.

53. Ὁ δὲ ὠκεανὸς, καίπερ ἀπώσθη ὑπὸ τοῦ βέλους τοῦ Παρασσουράμα, καὶ ὑπεχώρησεν, ἦν ὅμως ὥσπερ ἡνωμένος τῷ ὄρει Σαχέᾳ [1] ἐκ τοῦ διαπορευομένου στρατοῦ τοῦ Ραγγοῦ εἰς δούλωσιν τοῦ δυτικοῦ μέρους.

54. Καὶ ἡ μὲν κόνις, ἡ ἐξανισταμένη ἐκ τοῦ στρατοῦ τοῦ Ραγγοῦ, ἐπιπίπτουσα, ἦν ἀντὶ εὐώδους κόνιος ταῖς κόμαις τῶν γυναικῶν [2] τῆς χώρας Κεράλας, αἳ ἔφευγον ἐκ φόβου, ἀφεῖσαι πᾶν κόσμημα.

55. Ἡ δὲ κόνις τοῦ ἄνθους Κετακῆς [3], ἡ ἀνισταμένη ὑπὸ τοῦ ἀνέμου, τοῦ πνέοντος ψυχρὸν ἐκ τοῦ ποταμοῦ τῆς Μουράλας, εὐώδεις ἐποίει τοὺς θώρακας τῶν στρατιωτῶν τοῦ Ραγγοῦ, ἐπιπίπτουσα.

56. Ὁ δ' ἦχος τῶν συνεχῶν Ταλῶν [4], τῶν κλονουμένων ὑπὸ τοῦ ἀνέμου, οὐκ ἐξηκούετο ἐκ τῶν ἠχούντων σιδηρῶν θωράκων τῶν ἵππων, πορευομένων.

57. Ἀφέντες δ' οἱ Βομβύλιοι τὰ ἀνθοφόρα δένδρα, ἃ ὀνομάζονται Πουννάγαι, προσεφοίτων τοῖς εὐώδοις χυμὸν ἐκ-

---

(1) Οἱονεὶ ἔλεγεν, ἐκ τοῦ ὄρους Σαχέα ἀναζεύξας, ἦλθε κατὰ τὸ δυτικὸν μέρος· ἡ δὲ διὰ μέσου γῆ ἐφαίνετο, ὥσπερ θάλασσα, πελαγίζουσα, καὶ κυμαίνουσα ἐκ τοῦ κινουμένου παμπληθοῦς στρατοῦ.

(2) Ἔθος ἦν ταῖς Ἰνδικαῖς γυναιξὶ δι'ἀρωματικῆς κόνεως εὐώδεις ποιεῖν τὰς τρίχας τῆς κεφαλῆς· ἤδη δ' ἐξέλιπε τοῦτο τὸ ἔθος.

(3) Ἡ Κετακὰ, Κετακὴ, κοινῶς Κεβρὰ, ἄνθος μακροειδὲς, καὶ κρινοειδὲς, εὐωδέστατον.

(4) Ταλὴ, δένδρον ὑψηλὸν, φοινικοειδὲς, οὗ οἱ κλάδοι ἦχον ποιοῦσι σφοδρὸν, σαλευόμενοι ὑπὸ τοῦ ἀνέμου. Οἱ κλάδοι τῆς Ταλῆς εἰσιν, ὡς αἱ σπάθαι τοῦ φοίνικος.

ρέουσι κροτάφοις τῶν ἐλεφάντων, τῶν δεδεμένων ἐν τοῖς στελέχεσι τῶν φοινίκων [1].

58. Ὁ Ὠκεανὸς τῷ μὲν Παρασσουράμᾳ ἔδωκε γῆν, βιασθείς, τῷ δὲ Ῥαγγοῦ ἔδωκε φόρον ἑθελουσίως, ὅς ἐστιν ὁ παρὰ τῶν ἐκεῖ οἰκούντων βασιλέων δοθείς [2].

59. Ἐποίησε δ' ὡς τρόπαιον ὁ Ῥαγγοῦς τὸ ὑψηλὸν ὄρος Τρικούταν, ἐν ᾧ ἀντὶ ἐπινικίου ἐπιγραφῆς ἦσαν γεγλυμμέναι αἱ νύξεις τῶν πληττόντων ὀδόντων τῶν ἐλεφάντων αὐτοῦ.

60. Ἐκεῖθεν δὲ ἐπορεύετο διὰ ξηρᾶς, δαμάσαι θέλων τοὺς τῆς Περσίας βασιλεῖς, καθὼς ὁ ἐγκρατὴς δαμάζει διὰ τῆς θείας γνώσεως τὰς αἰσθήσεις [3], αἵ εἰσιν, ὡς ἐχθροί.

61. Καθὼς δὲ τὸ νέφος, ἐλθὸν ἐξαίφνης ἐπέκρυψε τὸν ἐπὶ τῶν λωτῶν ἑωθινὸν ἐρυθρὸν ἥλιον, οὕτω καὶ ὁ Ῥαγγοῦς ἐξήλειψε τὸ ἐρυθρὸν τῶν προσώπων τῶν τῆς Περσίας γυναικῶν [4].

62. Πόλεμος δὲ φρικτὸς ἐγένετο τῇ τοῦ Ῥαγγοῦ στρατιᾷ καὶ τῇ Περσικῇ ἵππῳ· πολλῆς δὲ καὶ βαθείας κόνιος ἀνισταμένης, οἱ ἀντίμαχοι διεκρίνοντο ἐκ τῆς κλαγγῆς τῶν τόξων.

63. Ἔστρωσε δὲ τὴν γῆν κρανίοις τῶν ἐχθρῶν πωγονοφόροις, κεκομμένοις ὑπὸ βελῶν κοπτικῶν, ἃ ἐφαίνετο, ὡς κηρία, οἷς ἐπικάθηνται μέλισσαι [5].

---

(1) Ἐντεῦθεν δεικνύεται, ὡς ἐν τῷ δυτικῷ μέρει καὶ φοίνικές εἰσι, καὶ πουννάγαι, δένδρα ἀνθοφόρα.

(2) Οἱονεὶ ἔλεγεν, ὁ Ῥαγγοῦς κρείττων ἐστὶ τοῦ Παρασσουράμα· ὁ μὲν γὰρ παρέλαβε παρὰ τοῦ Ὠκεανοῦ ἐκείνην τὴν γῆν βίᾳ, ὁ δὲ Ῥαγγοῦς ἔλαβεν ἄνευ βίας τὸν φόρον ἐκείνης τῆς γῆς, ἣ ἦν πρότερον ὠκεανός.

(3) Καθὼς ἴδιον οὐ πάντὸς τὸ νικᾶν τὰ πάθη, ἀλλὰ μόνου τοῦ ἐγκρατοῦς καὶ θεωρητικοῦ, οὕτω καὶ ὁ Ῥαγγοῦς κτλ.

(4) Στυγναὶ δηλ: καὶ ὠχραὶ ἐγένοντο ἐκ λύπης καὶ φόβου.

(5) Κηρίον ἐστὶ τὸ κηρόπλασμα, ἐν ᾧ τίθησι τὸ μέλι ἡ μέλισσα. Σημείωσαι.

64. Οἱ δὲ περισωθέντες κατέφυγον εἰς αὐτὸν, ἀσκεπεῖς τὴν κεφαλήν· ἡ γὰρ ὀργὴ τῶν μεγαλοφρόνων μετατρέπεται εἰς ἱλαρότητα διὰ προσκυνήσεως καὶ ὑποταγῆς.

65. Καθήμενοι δὲ οἱ στρατιῶται ἐπὶ πολυτίμων δερμάτων, ἐσρωμένων ἐν κήποις κλημάτων[1], καὶ πίνοντες οἶνον, ἀπέβαλλον τὸν ἐπὶ τῇ νίκῃ κάματον.

66. Ἐντεῦθεν δ' ὁ Ῥαγγοῦς ἐσρατεύσατο ἐπὶ τὸ βόρειον, ὑποτάξας θέλων τοὺς ἐκεῖ βασιλεῖς δι' ὅπλων, καθὼς ὁ ἥλιος, τρεπόμενος ἐπὶ τὸ βόρειον, ξηραίνει διὰ τῶν ἀκτίνων τοὺς ὑδατώδεις τόπους.

67. Οἱ δὲ ἵπποι αὐτοῦ, κυλιόμενοι περὶ τὴν ὄχθην τοῦ Σινδδοῦ[2] ποταμοῦ εἰς ἀνάπαυσιν τοῦ ἐκ τῆς ὁδοῦ πόνου, ἀνετάραττον, ἀνιστάμενοι, τὰ ἑαυτῶν σώματα, πλήρη ὄντα κόνεως κρόκου.

68. Τὰ δὲ μεγάλα κατορθώματα τοῦ Ῥαγγοῦ καὶ τοὺς ἄνδρας ἐκείνης τῆς γῆς κατεδάμασαν, καὶ τὰς παρειὰς τῶν γυναικῶν αὐτῶν ἐρυθρὰς ἀπέδειξαν[3].

69. Μὴ δυνάμενοι δὲ οἱ ἐγκάτοικοι τῆς Καμβόζας ἀνασχέσθαι ἐν πολέμῳ τῆς δυνάμεως τοῦ Ῥαγγοῦ, ἐταπεινώθησαν[4]

ὡς ἐν Ἰνδίᾳ οὐ χρῶνται σίμβλοις· κηροπλαστοῦσι δὲ αἱ μέλισσαι ἐν κλάδοις δένδρων· καὶ τὸ μὲν κηρόπλασμα αὐτὸ στρογγυλοειδές πως ἐστὶν, αἱ δὲ μέλισσαι τῆς Ἰνδίας μικραί εἰσι, καὶ μελανοειδεῖς· διὰ τοῦτο ὁ ποιητὴς ἐνταῦθα ἀσείως εἰκάζει τὰ μὲν Περσικὰ κρανία τοῖς κηροπλάσμασι, τὰς δὲ τρίχας ταῖς μελίσσαις, αἱ ἐπικάθηνται τοῖς κηροπλάσμασιν.

(1) Ἐκ τούτου δεικνύει, ὡς ἐν Περσίᾳ καὶ ἄμπελοί εἰσι, καὶ πολυτίμοις χρῶνται δέρμασι διὰ τὸ ψύχος, ἅ ἐστι τὰ λεγόμενα σαμούρια.

(2) Οὗτός ἐστιν ὁ Ἰνδὸς ποταμὸς, ὃς ἐξέρχεται ἐκ τοῦ βορείου μέρους, ἔνθα κεῖται ἡ Κασμήρα, ἐν ᾗ φύεται ἐξαίρετος κρόκος, καὶ τὰ θαυμαστὰ μάλλινα ὑφάσματα γίνονται, τὰ λεγόμενα σάλια.

(3) Αἱ γυναῖκες ἔτυπτον τὰς παρειὰς, κλαίουσαι, καὶ διὰ τοῦτο ἐρυθραὶ ἐγένοντο.

(4) Καὶ οἱ ἄνδρες δηλ: ἔκλιναν τὰς κεφαλὰς ἐκ βίας τοῦ Ῥαγγοῦ, καὶ αἱ καρῦαι ἔκλιναν τὰς κορυφὰς, βιαζομένας ἐκ τῶν δεδεμένων ἐλεφάντων.

σὺν ταῖς καρύαις [1], ταῖς βιασθείσαις ἐκ τῶν δεσμῶν τῶν ἐλεφάντων.

70. Πολλὰ δὲ δῶρα προσέφερον αὐτῷ, δηλονότι ἀγαθοὺς ἵππους, καὶ σωροὺς μεγάλους χρυσίου καὶ ἀργυρίου· ἀλλ' οὐδεμία οἴησις καὶ ἔπαρσις αὐτῷ ἐγένετο.

71. Ἐκεῖθεν δ' ἀνέβη σὺν τῇ πεζικῇ καὶ ἱππικῇ στρατιᾷ τὸν Ἰμαὸν, τὸν πατέρα τῆς Παρβατῆς, ὥσπερ βουλόμενος ὑψηλοτέρας ποιῆσαι τὰς κορυφὰς αὐτοῦ διὰ τῆς ἀνισταμένης κόνεως.

72. Βοῆς δὲ τοῦ στρατοῦ γιγνομένης, οἱ ἐν τοῖς σπηλαίοις ἰσχυροὶ λέοντες, στρέψαντες τὸ πρόσωπον, καὶ ἰδόντες, οὐδαμῶς ἐφοβήθησαν, οὐδ' ἐταράχθησαν [2].

73. Ἄνεμοι δὲ ψιθυρίζοντες ἡδὺ διὰ δένδρων καὶ καλάμων, καὶ ψυχρὸν πνέοντες διὰ τοῦ ποταμοῦ Γάγγου, ἥδυνον τὸν Ῥαγγοῦν ἐν τῇ πορείᾳ.

74. Ἀνεπαύετο δ' ἡ στρατιὰ ὑπὸ σκιὰς δένδρων, καθημένη ἐπὶ λίθων, οἳ εὐώδεις ἦσαν ἐκ τῶν προκαθισάντων μοσκοφόρων ζώων.

75. Βοτάναι δ' ἦσαν ἐκεῖ, λάμπουσαι νύκτωρ, ὡς ἀνέλαιοι λύχνοι, ὧν ἐκ τῆς λάμψεως ἀντέλαμπον αἱ ἐκ τῶν λαιμῶν τῶν ἐλεφάντων ἀλύσεις, δεδεμέναι ἐν ἐλάταις.

76. Αἱ δ' ἐλάται, ἀναχωρήσαντος ἐκεῖθεν τοῦ στρατοῦ, αἱ ἐκλελοιπισθεῖσαι ἐκ τῶν δεδεμένων σχοινίων τῶν λαιμῶν τῶν ἐλεφάντων, ἐδείκνυον τοῖς ὑλοβίοις καὶ ἀγρίοις ἀνθρώποις, πόσον ἀνάστημα ἔχει τὸ σῶμα τοῦ ἐλέφαντος.

77. Φρικτὸς δὲ πόλεμος τῷ Ῥαγγοῦ καὶ τοῖς ὀρεσοίκοις συνεκροτήθη· τὰ δὲ σιδηρᾶ βέλη, καὶ οἱ ἐκ τῶν σφενδονῶν

---

(1) Ἐν Κασμήρᾳ τῷ ἐλαίῳ τῶν καρύων χρῶνται καὶ ἐν τοῖς λύχνοις καὶ ἐν τοῖς ἐδέσμασιν· ἐπειδὴ τὰ δένδρα αὐτὰ αὐτοφυῆ ἐκεῖ γίνονται.

(2) Ἐκ τούτου δηλοῦται τὸ ἀπτόητον τοῦ λέοντος.

καὶ χειρῶν λίθοι, συγκρουόμενοι ἐν τῷ φέρεσθαι, πῦρ ἐξῆγον.

78. Καταβαλὼν δ' ὅπλοις τὴν ὀφρὺν πάντων τῶν ἐν τῷ Ἰμαῷ οἰκούντων, ἐγένετο αἴτιος τοῖς μουσικοῖς ᾄδειν τὴν νίκην τῶν βραχιόνων αὐτοῦ.

79. Μετὰ δὲ τὴν ἧτταν, προσφερόντων δῶρα τῶν ἐν τῷ Ἰμαῷ οἰκούντων, ἔγνωσαν ἀμοιβαδὸν, ὁ μὲν Ῥαγγοῦς τὸν πλοῦτον τοῦ Ἰμαοῦ, ὁ δ' Ἰμαὸς τὴν δύναμιν τοῦ Ῥαγγοῦ.

80. Στηρίξας δ' ἐπὶ τοῦ Ἰμαοῦ τὴν εὐφημίαν ἑαυτοῦ, ὡς σφῆλην ἀκράδαντον, κατέβη, ὥσπερ αἰσχυνόμενος ἀναβῆναι εἰς τὸν Καϊλάσαν [1], ὃν ὁ Ῥαβάνας ἐταλάντευσεν ἐν τῇ παλάμῃ αὐτοῦ [2].

81. Διαβάντος δὲ τοῦ Ῥαγγοῦ τὸν ποταμὸν Λαουχιτεὰν, ἔτρεμεν ὁ βασιλεὺς τῆς Καμαρούπας σὺν τοῖς ἀγαλλόχοις [3] δένδροις, ἐν οἷς ἦσαν δεδεμένοι οἱ ἐλέφαντες [4].

82. Οὐ γὰρ ἠδύνατο φέρειν, οὐ μόνον τὴν στρατιὰν τοῦ Ῥαγγοῦ, ἀλλ' οὐδὲ τὴν ἐκ τῶν ἁρμάτων αὐτοῦ κόνιν, τὴν ἀποκρύψασαν τὸν ἥλιον, καὶ ἀποδείξασαν τὴν ἡμέραν, ὡς ὑετώδη, ἢ νιφώδη.

83. Προσήνεγκε δ' αὐτῷ, ὃς ἦν μεγαλουργὸς, ὡς ὁ Ἴνδρας, πολεμικοὺς καὶ γενναίους ἐλέφαντας, δι' ὧν ἄλλους ἐχθροὺς ἐνίκησεν ὁ βασιλεὺς τῆς Καμαρούπας.

---

(1) Καϊλάσας μυθευόμενον ὄρος ὑπερύψηλον, ἐνδιαίτημα τοῦ Σίβα.

(2) Μικροπρεπὲς ἡγήσατο ἔργον τὸ ἀναβῆναι εἰς τὸν Καϊλάσαν, ὃν ὁ Ῥαβάνας, ἀναδεξάμενος ἐν τῇ παλάμῃ, ἀνέρριπτεν αὐτὸν ὡς σφαῖραν, παίζων, ὅτε εἰς τὸν οὐρανὸν ἀνέβη, καὶ τὸν Ἴνδραν ἐδάμασε, καὶ πάντας τοὺς θεοὺς δούλους ἐποίησεν. Ἐκ τούτου δεικνύει, ὡς ὁ Ῥαγγοῦς ἰσχυρότερος ἦν τοῦ Ῥαβάνα.

(3) Καὶ ὁ βασιλεὺς ἔτρεμεν ἐκ φόβου, καὶ τὰ ἀγάλλοχα δένδρα ἔτρεμον, τουτέστιν, ἐκλονοῦντο ἐκ τῆς βίας τῶν δεδεμένων ἐλεφάντων.

(4) Ἡ Καμαρούπα χώρα, Ἀσσάμη νῦν λέγεται, πλησίον ἐστὶ καὶ ἡ Συλλέτη, ἐν ᾗ γίνεται τὸ εὐῶδες, καὶ ἀρωματικὸν ἀγάλλοχον.

84. Τοὺς δὲ πόδας αὐτοῦ τοῦ Ῥαγγοῦ, τοὺς ὄντας ἐπὶ χρυσοῦ ὑποποδίου, ἐτίμησεν ὡς ἐν λατρείᾳ οὐκ ἄνθεσιν, ἀλλὰ λίθοις πολυτίμοις.

85. Οὕτως ὁ νικητὴς Ῥαγγοῦς, ὑποτάξας πᾶν μέρος τῆς γῆς, καὶ τὴν ἐκ τῶν ἁρμάτων κόνιν θεὶς ἐπὶ τὰς κορυφὰς τῶν βασιλέων, τὰς οὔσας ἄνευ οὐρανίσκων [1], ἀνέστρεψεν οἴκαδε.

86. Θυσίαν δ' ἐτέλεσεν, ἣ λέγεται Βισβαζίτα (Παντονίκη) καὶ δι' ἣν ἅπας ὁ θησαυρὸς ἐκκενοῦται· ὁ γὰρ θησαυρισμὸς τῶν ἀγαθῶν ἀνδρῶν εἰς διάδοσιν γίνεται, καθὼς τὸ τῶν νεφῶν ὕδωρ.

87. Μετὰ δὲ τὴν θυσίαν [2], τιμήσας μεγάλως ὁ βασιλεὺς σὺν τοῖς περὶ αὐτὸν βουλευταῖς τοὺς βασιλεῖς, ὧν ἡ διὰ τὴν ἧτταν λύπη ἐπαύσατο, καὶ αἱ γυναῖκες ἀδημονίαν εἶχον ἐπὶ τῇ πολυχρονίῳ ἀπουσίᾳ, ἀπέπεμψεν αὐτοὺς εἰς τὰς ἰδίας χώρας.

88. Προσκυνήσαντες δ' οἱ βασιλεῖς ἐν τῇ ἀναχωρήσει τοὺς πόδας τοῦ Ῥαγγοῦ, οἳ εἶχον γραμμὰς φυσικὰς εἰς σχῆμα σημαίας, κεραυνοῦ, καὶ οὐρανίσκου, καὶ ὧν ἀπόλαυσις ἐγίνετο ἐκ χάριτος, ἐποίησαν αὐτοὺς λευκοὺς διὰ τῆς κόνιος καὶ τοῦ χυμοῦ τῶν ἐπὶ τῶν κορυφῶν ἀνθίνων στεφάνων.

---

(1) Ἀφείλετο δηλ: τοὺς οὐρανίσκους τῶν νικηθέντων βασιλέων· ὁ γὰρ ὑποτελὴς καὶ ὑπεξούσιος βασιλεὺς οὐκ ἀξιοῦται οὐρανίσκου.

(2) Ἅπαντες οἱ ἡττηθέντες βασιλεῖς παρῆσαν τῇ θυσίᾳ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

1. Τελεσθείσης δὲ τῆς θυσίας, δι' ἣν πάντες οἱ θησαυροὶ ἐξεκενώθησαν, ὁ Βραχμὰν Καούτσας, ὁ μαθητὴς τοῦ Βαρατάντου, ὃς, διδαχθεὶς πᾶν εἶδος μαθήσεως, ἤθελε μὲν δοῦναι δίδακτρα οὐκ εἶχε δὲ ἦλθε πρὸς τὸν Ραγγοῦν.
2. Ὁ δὲ περίφημος Ραγγοῦς, ὁ ὢν ἀγαθοφυὴς, καὶ φιλόξενος, λαβὼν τὰ εἰς τιμὴν ἐπιτήδεια[1] ἐν πηλίνῳ ἀγγείῳ, ἀναλωθέντων πάντων τῶν χρυσῶν ἐν τῇ θυσίᾳ. προϋπήντησεν αὐτῷ τῷ ξένῳ, καὶ ὀνομαστῷ ἐπὶ παιδείᾳ.
3. Τημήσας δ', ὡς νόμος, αὐτὸν τὸν ὅσιον ἄνδρα αὐτὸς ὁ μεγαλόφρων, καὶ τῶν νομίμων καὶ καθηκόντων εἰδήμων, ἐνώσας τὰς παλάμας. ἔφη αὐτῷ καθίσαντι πλησίον·
4. «Ὦ ἀγχίνοε, καλῶς ἔχει ὁ σὸς διδάσκαλος ὁ ἄριστος
» πάντων τῶν τὴν Βέδαν εἰδότων, παρ' οὗ σὺ μὲν πᾶ-
» σαν ἐπιστήμην ἐδιδάχθης, ὁ δὲ κόσμος φωτισμὸν λαμ-
» βάνει, ὡς παρὰ τοῦ ἡλίου;
5. «Ἆρα μένει ἀνενόχλητος ἡ τριπλῆ ἄσκησις τοῦ μεγάλου
» ὁσίου, ἡ διὰ σώματος καὶ γλώττης καὶ νοὸς γιγνομένη,
» καὶ ἐκταράττουσα τὸν μέγαν Ἴνδραν[2];
6. «Μήπως δεινόν τι ἐγένετο ἐξ ἀνέμου ἢ πυρὸς τοῖς περὶ

---

(1) Ἐν κανέῳ ἐκ χαλκοῦ, ἢ ἀργύρου, ἢ χρυσοῦ ἔχουσι σάνδανον, ἢ κρόκον, καὶ ἄνθη, καὶ ὄρυζαν, καὶ ὕδωρ, καὶ χέοντες ὀλίγον ὕδωρ εἰς τὴν χεῖρα, ἢ εἰς τοὺς πόδας τοῦ ἐρχομένου σεβασμίου ἀνδρὸς, χρίουσι τὸ μέτωπον αὐτοῦ σανδάνῳ ἢ κρόκῳ, ἐπιτιθέντες καὶ ὀλίγην ὄρυζαν καὶ ἄνθη· τὸ αὐτὸ ποιοῦσι καὶ πρὸς τοὺς θεούς.

(2) Ὁ Ἴνδρας φοβεῖται τοὺς ἀσκητὰς, μήπως διὰ τῆς ἀσκήσεως τύχωσι τοῦ θρόνου αὐτοῦ, καὶ διὰ τοῦτο ἐμποδὼν αὐτοῖς γίνεται, πέμπων θείας νύμφας εἰς ἀπάτην αὐτῶν καὶ ἔκπτωσιν.

» τὸ ἀσκητήριον ὑμῶν δένδροις, ἅπερ αὐξάνουσιν, ὡς παι-
» δία, πολλοῖς πόνοις καὶ φροντίσι, καὶ ἀναπαύουσι τοὺς
» καθ' ὁδὸν κάμνοντας;

7. «Ἆρα ἀνεπηρέαστοί εἰσιν οἱ νεβροί, οἳ οὐ κωλύονται ἐκ
» φιλοστοργίας ὑπὸ τῶν ὁσίων τοῦ βιβρώσκειν τὴν ἱερὰν
» πόαν, Κούσσαν [1], καὶ ἐν ἀγκάλαις εἰσὶ τῶν ὁσίων, ὡς
» ἐν κοίταις [2], ἀρτίτοκοι ὄντες;

8. «Ἆρα ἀπήμαντά εἰσι τὰ ἁγιαστικὰ ὕδατα, ἐν οἷς καθ' ἑ-
» κάστην λούεσθε [3], καὶ δι' ὧν χοὰς τοῖς κατοιχομένοις
» προσφέρετε, καὶ παρ' οἷς τὸ ἐκτημόριον τῆς σπερμολο-
» γίας ἀφίετε [4];

9. «Μήπως ὑπὸ τῶν ἀχθοφόρων ζώων τῶν πέριξ οἰκούντων
» ἀνθρώπων βιβρώσκεται ἡ Νιβάρα [5], καὶ ἄλλοι καρποὶ
» αὐτοφυεῖς, οἱ τρέφοντες τὰ σώματα ὑμῶν, καὶ διδόμενοι
» τοῖς κατὰ καιρὸν ἐρχομένοις ξένοις;

10. «Ἆρα ἄδειαν ἔλαβες παρὰ τοῦ διδάξαντός σε ἱλαροῦ καὶ
» ὁσίου ἀνδρὸς ἐλθεῖν εἰς γάμον; ὥρα γάρ ἐστί σοι ἐλ-
» θεῖν εἰς τὴν δευτέραν τάξιν [6] καὶ διαγωγήν, τὴν ἁγα-
» θοποιοῦσαν πάντας.

---

(1) Κούσσα, εἶδος βοτάνης, ἣν ἐν χειρὶ ἔχουσιν, ὅτε θύουσιν, ἢ σπένδουσιν. ἔστι δὲ παρ' αὐτοῖς ἱερὰ καὶ καθαρτική.

(2) Ταύτην τὴν Κούσσαν οἱ ἀσκηταὶ στρωννύοντες ἐπικάθηνται, προσευχόμενοι.

(3) Ἔνθα ἅγιοι ἄνδρες λούονται, ἐκεῖνα τὰ ὕδατα ἁγιάσματά εἰσιν. Οἱονεὶ ἔλεγε, μή πως ἄνικμοι ἐγένοντο αἱ λίμναι, ἢ οἱ ῥύακες, ἐν οἷς λούεσθε;

(4) Οἱ ἀναχωρηταὶ καὶ ἀσκηταὶ τρέφονται οὐκ ἐκ γεωργίας, ἀλλ' ἐκ σπερμολογίας ἢ σταχυολογίας καρπῶν αὐτοφυῶν· καί τοι δὲ ὁ βασιλεὺς οὐ λαμβάνει παρ' αὐτῶν τὸ ἐκτημόριον, ὡς φόρον, αὐτοὶ ὅμως ἀφιᾶσι τὸ ἐκτημόριον τοῦ συλλεγομένου καρποῦ παρὰ τοῖς ὕδασι τῶν λιμνῶν ἢ τῶν ποταμῶν, ὅνα βιβρώσκωσιν αὐτὸν τὰ ἐρχόμενα ζῶα εἰς πόσιν ὕδατος.

(5) Νιβάρα, εἶδος ὀρύζης ἀγρίας.

(6) Τέσσαρες εἰσὶν αἱ τάξεις καὶ διαγωγαί· πρώτη ἡ παρθενικὴ καὶ ἄγαμος

11. «Ἆρα ἐκ προσταγῆς τοῦ διδασκάλου, ἢ ἐξ ἰδίας θελή-
» σεως ἦλθες ἀπὸ τοῦ ἄλσους εἰς τὸ χαριτῶσαί με ; οὐ
» μόνον δὲ τῇ ἐλεύσει σοῦ τοῦ ἀξιολόγου ἡ ἐμὴ ψυχὴ
» εὐφραίνεται, ἀλλὰ καὶ ποιῆσαι, ὅ,τι ἂν κελεύσῃς, ἐφίε-
» ται.»

12. Καίτοι δὲ ὁ Καούτσας γενναίων λόγων ἤκουσε παρὰ τοῦ βασιλέως, συμπεραίνων ὅμως ἐκ τοῦ πηλίνου ἀγγείου, ὡς πάντα κατηνάλωσε, δύσελπις ἐγένετο εἰς ἀπόλαυσιν τοῦ ποθουμένου, καὶ ἔφη·

13. «Ἴσθι, ὡς πάντα τὰ ἡμέτερα καλῶς ἔχει, ὦ βασιλεῦ,
» σοῦ γὰρ βασιλεύοντος, πόθεν κακὸν τοῖς λαοῖς; Λάμ-
» ποντος τοῦ ἡλίου, πόθεν σκότος εἰς ἐπίσχεσιν τῆς ὁρά-
» σεως τοῦ κόσμου ;

14. «Ἡ πρὸς τοὺς τιμίους καὶ σεβασμίους τιμὴ καὶ εὐλά-
» βεια συνήθης ἐστὶ τῇ γενεᾷ σου, ὦ μέγα βασιλεῦ· σὺ
» δὲ ὑπερτερεῖς τῶν προγόνων πάντων. Ἐγὼ μέντοι παρὰ
» καιρὸν ἐλήλυθα πρὸς σὲ εἰς αἴτησιν· διὸ καὶ ἄχθομαι.

15. «Σὺ, ὦ μέγα βασιλεῦ, διαδοὺς πᾶσαν τὴν περιουσίαν
» τοῖς οὖσιν ἀξίοις λαβεῖν, μόνον τὸ σῶμα ἔχεις, καθὼς,
» ἐκκοπέντος τοῦ στάχυος τῆς Νιβάρας ὑπὸ τῶν ἐρημι-
» τῶν, ἡ καλάμη μένει.

16. «Σὺ, μονάρχης ὢν ἁπάσης τῆς γῆς, ἀξιέπαινον ἔνδειαν
» δεικνύεις, τὴν γεγενημένην ἐκ τῆς πολυδαπάνου θυ-
» σίας, καθὼς ἡ μείωσις τῆς σελήνης, ἣ πίνεται καθ' ἑ-
» κάστην ὑπὸ τῶν θεῶν [1], μᾶλλον ἀξιέπαινός ἐστι τῆς
» αὐξήσεως.

ζωή· δευτέρα ἡ κοσμικὴ καὶ ἔγγαμος· τρίτη ἡ ἐρημικὴ καὶ ἀναχωρητική· τετάρτη ἡ πολιτικὴ καὶ ἀγυρτική.

(1) Μυθολογοῦσιν, ὡς ἡ Σελήνη, πλήρης ἀμβροσίας οὖσα, πίνεται καθ' ἑκάστην ὑπὸ τῶν θεῶν, καὶ διὰ τοῦτο μειοῦται καὶ ἐλαττοῦται.

17. «Ἐγὼ οὖν τρόπον ποιήσομαι παρ᾽ ἄλλου τινὸς πορίσα-
» σθαι τὸ αἴτημα τοῦ διδασκάλου, δι᾽ ὃ καὶ μόνον ἦλ-
» θον· καὶ ὁ Σατάκας[1] γὰρ οὐκ αἰτεῖ ὕδωρ παρὰ τοῦ
» ἀνύδρου νέφους ἐν ὥρᾳ Σαράτα.-Ἀγαθόν σοι γένοιτο! »

18. Ἐπισχὼν δ᾽ ὁ βασιλεὺς αὐτὸν τὸν μαθητὴν τοῦ μεγάλου ὁσίου, ἀναχωρῆσαι θέλοντα, ἠρώτησε· « Τί ἐστιν; ἢ πό-
» σον τὸ δοθησόμενον παρὰ σοῦ τῷ διδασκάλῳ; »

19. Ὁ δὲ παρθένος καὶ σοφὸς Καούτσας διηγήσατο ἀκολούθως, ὡς εἶχε τὸ πρᾶγμα, πρὸς αὐτὸν τὸν τὴν παντόνικον θυσίαν ποιήσαντα, ταπεινοφρονοῦντα, καὶ πασῶν τῶν φυλῶν καὶ τάξεων (διαγωγῶν) προστατοῦντα.

20. «Εἰς τέλος ἐλθὼν πάσης μαθήσεως, παρεκάλεσα τὸν μέ-
» γαν ὅσιον, αἰτῆσαι δίδακτρα· ὁ δ᾽ εἶπέ μοι. « Δίδα-
» κτρόν ἐστιν, ἡ πρὸς ἐμέ σου ἀδιάπτωτος θεραπεία, ἣν
» ἐποίησας τοσοῦτον χρόνον.»

21. «Ὀργισθεὶς δ᾽ ὁ διδάσκαλος, ἐπειδὴ ἐβιάζετο ὑπ᾽ ἐμοῦ εἰς
« τὸ αἰτῆσαι, εἶπε, μὴ σκεψάμενος τὴν ἐμὴν ἀδυναμίαν·
« Φέρε δεκατέσσαρα Κορόρια χρυσίου, κατ᾽ἀναλογίαν τῶν
» δεκατεσσάρων μαθήσεων.»

22. «Συμπεραίνων δ᾽ ἔγωγε ἐκ τοῦ οὗ ἔφερες πηλίνου ἀγ-
» γείου εἰς ἐμὴν τιμὴν καὶ ὑποδοχὴν, ὡς οὐδὲν ἄλλο
» λείπεταί σοι, ἀλλ᾽ ἢ μόνον τὸ ὄνομα, *βασιλεὺς*, οὐ
» θέλω ἐνοχλῆσαί σοι εἰς αἴτησιν· ἡ γὰρ τιμὴ τῆς ἐμῆς
» μαθήσεως, οὐκ ὀλίγη ἐστί.»

23. Τοιούτων λόγων ἀκούσας παρὰ τοῦ Βραχμᾶνος, τοῦ ἀρίστου πάντων τῶν τὴν Βέδαν εἰδότων, αὐτὸς ὁ μονάρχης, ὁ ὢν λαμπρὸς, ὡς ἡ σελήνη, καὶ ἐπέχων τὴν ἐνέργειαν τῶν

---

(1) Σατάκας εἶδος ὀρνέου. Λέγουσιν, ὡς οὗτος ὁ ὄρνις πίνει ὕδωρ μόνον ὑέτιον, καὶ διὰ τοῦτο ὅτε βλέπει νέφος ὀμβροφόρον, βλέπει εἰς τὰ ἄνω, ὥσπερ αἰτῶν ὕδωρ.

αἰσθήσεων ἀπὸ παντὸς κακοῦ, εἶπε πάλιν πρὸς αὐτόν·

24. «Μὴ ἔστω διαδιδομένη τοιαύτη νέα φήμη κατ' ἐμοῦ, ὡς
» ὁ τέλειος εἰς τὴν μάθησιν, ὁ αἰτῶν ὑπὲρ τοῦ διδα-
» σκάλου, οὐκ ἔτυχε τοῦ αἰτήματος παρὰ τοῦ Ῥαγγοῦ,
» καὶ διὰ τοῦτο ἐπορεύθη πρὸς ἄλλον πλουσιοδωρότερον.

25. «Μείνας οὖν, ὦ σεβάσμιε, ἐν τῷ ἐμῷ σεβασμίῳ καὶ ἱε-
» ρῷ οἴκῳ τοῦ ἀσβέστου πυρὸς [1], ὥσπερ τέταρτον πῦρ,
» ἄξιος εἶ διακαρτερῆσαι δύω ἢ τριῶν ἡμερῶν, ἕως ἂν
» τρόπον ποιήσωμαι ἐκτελέσαι τὸ σὸν αἴτημα.»

26. Ὁ μὲν οὖν Βραχμὰν, ἀποδεξάμενος τοῦ ἀληθοῦς λόγου τοῦ Ῥαγγοῦ, κατένευσε, χαίρων· ὁ δὲ Ῥαγγοῦς, σκοπῶν τὴν γῆν ἐστερημένην πλούτου [2], πλοῦτον ἠβουλήθη λαβεῖν παρ' αὐτοῦ τοῦ Κουβέρα.

27. Ἐκ δὲ τῆς δυνάμεως τῆς μετὰ ῥαντίσματος ἐπῳδῆς τοῦ Βασσίστα εὐπετῶς ἐγένετο ἡ κίνησις τοῦ ἅρματος τοῦ Ῥαγγοῦ ἐπὶ θαλάσσης, ἐπ' αἰθέρος, καὶ ἐπ' ὀρέων, καθὼς ἡ τοῦ νέφους, βοηθουμένου ὑπὸ τοῦ ἀνέμου.

28. Νομίσας οὖν αὐτὸς ὁ γενναῖος τὸν Κουβέραν, ὡς ἕνα τῶν ὑποτελῶν βασιλέων, ἐπεθύμησεν αὐτὸν νικῆσαι ἰσχύϊ (δυνάμει), καὶ καθαρὸς γενόμενος, ἐκοιμήθη κατ' ἐκείνην τὴν νύκτα ἐν τῷ ἅρματι [3], ἐν ᾧ ἦν πᾶν εἶδος ὅπλου.

29. Περὶ δὲ τὸν ὄρθρον, ἑτοίμῳ ὄντι εἰς ἔξοδον, ἀνήγγειλαν αὐτῷ οἱ θησαυροφύλακες μετὰ θαύματος, ὅτι βροχὴ χρυσίου ἔπεσεν ἀπὸ τοῦ οὐρανοῦ εἰς τὸ θησαυροφυλάκιον.

30. Αὐτὸ τὸ ὄβρυζον χρυσίον, ὃ ἐδόθη παρὰ τοῦ διωκομένου Κουβέρα, καὶ σεσωρευμένον ἦν, ὥσπερ κορυφὴ τοῦ ὄρους,

---

(1) Ἐν τρισὶ χωνευτηρίοις ἐστὶ τὸ ἱερὸν καὶ ἄσβεστον πῦρ.

(2) Ἡ γῆ ἐστερημένη ἦν πλούτου, ἐπειδὴ ὁ Ῥαγγοῦς ἔλαβεν αὐτὸν ἐν τῇ ἐκστρατείᾳ παρὰ τῶν ὑπηκόων λαῶν, καὶ παρὰ τῶν ὑποτελῶν βασιλέων.

(3) Οὐκ ἔστιν αἴτιον ἔξοδον ποιῆσαι ἐν νυκτί.

τῆς Μερόης, ἀποκεκομμένη ὑπὸ τοῦ κεραυνοῦ, ἔδωκεν ὁ βασιλεὺς ὅλον τῷ Καούτσᾳ.

31. Παρὰ δὲ τοῖς κατοίκοις τῆς Αὐοδδεᾶς ἀξιάγαστοι ἐγένοντο κατὰ τὴν μεγαλοφροσύνην (διάθεσιν) ἀμφότεροι, ὁ μὲν Καούτσας, ὡς μὴ θέλων λαβεῖν πλεῖον τοῦ δοθησομένου τῷ διδασκάλῳ, ὁ δὲ βασιλεὺς, ὡς θέλων δοῦναι πλεῖον τοῦ αἰτήματος τοῦ αἰτοῦντος.

32. Ἀναθεμένου δὲ τοῦ βασιλέως τὸν χρυσὸν ἐπὶ πολλῶν ἡμιόνων καὶ καμήλων, καὶ ὑποκλίναντος τὴν κεφαλὴν εὐλαβῶς, ἐπιθεὶς τὴν χεῖρα αὐτῷ ὁ σοφὸς Καούτσας, μέλλων ἀπιέναι, ἔλεξε τάδε, χαίρων·

33. «Τί ἐνταῦθα παράδοξον, εἰ ἡ γῆ γεννᾷ πᾶν ἐφετὸν σοὶ » τῷ τὰ τοῦ νόμου πράττοντι βασιλεῖ; ἀκατανόητός » ἐστιν ἡ δύναμίς σου! σοὶ γὰρ αὐτῷ καὶ ὁ οὐρανὸς αὐτὸς » ἔδωκεν, ὅ,τι ἦν θυμῆρες.

34. «Ἐκτὸς παιδὸς, περιττόν ἐστι πᾶν ἄλλο τι εὐκταῖον σοὶ » τῷ ἔχοντι πάντα τἀγαθά· εἴθε σχοίης υἱὸν, ὅμοιόν σοι » κατὰ πάντα τὰ προτερήματα, καθὼς καὶ ὁ σαυτοῦ πα- » τὴρ ἔσχε σὲ τὸν ὑμνητὸν (ἐπαινετόν).»

35. Ὁ μὲν δὴ Βραχμὰν εὐχὴν δοὺς τῷ βασιλεῖ, ἐπορεύθη πρὸς τὸν διδάσκαλον· ὁ δὲ βασιλεὺς υἱὸν ἔσχε μετ' ὀλίγον ἐξ ἐκείνης τῆς εὐχῆς, καθὼς ὁ ζῶν κόσμος ἔχει φῶς ἐκ τοῦ ἡλίου.

36. Ἐπειδὴ δὲ ἡ βασίλισσα ἐγέννησεν υἱὸν ἐν ὥρᾳ μεσημβρίας, ἥ ἐστιν ἀφωσιωμένη τῷ Βραχμᾷ [1], διὰ τοῦτο ὁ πατὴρ ὠνόμασεν αὐτὸν Ἄζαν κατὰ τὸ ὄνομα τοῦ Βραχμᾶ.

37. Οἷα δ' ἦν ἡ ἀγλαὰ φωνὴ τοῦ πατρὸς, τοιαύτη ἦν καὶ

---

(1) Λέγουσιν, ὡς ἡ ὥρα τῆς μεσημβρίας αἰσία ἐστὶν, εἰ ἡ ἡμέρα ὅλη ἀποφρὰς εἴη· καὶ διὰ τοῦτο ὁ γεννηθεὶς ἐν ἐκείνῃ τῇ ὥρᾳ παμμέγας καὶ πανένδοξος γίνεται, καὶ ὅ,τι ἔργα πράττεται κατ' ἐκείνην τὴν ὥραν, αἴσιον τέλος ἔχει.

τοῦ υἱοῦ, τοιαύτη καὶ ἡ δύναμις (ῥώμη), τοιοῦτον καὶ τὸ σῶμα, καὶ τοιοῦτον τὸ ἀνάστημα τοῦ σώματος· οὐδαμῶς διέφερεν ὁ υἱὸς τοῦ πατρὸς, καθὼς οὐδὲ ὁ λύχνος τοῦ ἑτέρου λύχνου, ἐξ οὗ ἀνήφθη.

38. Καίτοι δὲ ἡ βασιλικὴ δόξα ἠφίετο ἐλθεῖν πρὸς αὐτὸν τὸν Ἄζαν, ὃς ἔμαθεν, ὡς εἰκὸς, πᾶσαν παιδείαν παρὰ τῶν διδασκάλων, καὶ ἀγλαοτάτην εἶχε νεανικὴν ἡλικίαν, ἤθελεν ὅμως τὴν προσταγὴν τοῦ βασιλέως, καθὼς ἡ σεμνὴ κόρη θέλει τὴν προσταγὴν τοῦ πατρός.

39. Ὁ δὲ Βόζας, ὁ βασιλεὺς τῆς Βιδάρβας χώρας, βουλόμενος καλέσαι τὸν νεανίαν Ἄζαν εἰς αὐθαίρετον γάμον τῆς ἑαυτοῦ ἀδελφῆς Ἰνδουματῆς [1], ἔπεμψε κήρυκα πρὸς τὸν Ῥαγγοῦν.

40. Σκεψάμενος δ' ὁ Ῥαγγοῦς καὶ τὸν Βόζαν ἄξιον ἀγχιστείας, καὶ τὸν υἱὸν ὡραῖον γάμου, ἐξαπέστειλεν αὐτὸν σὺν στρατιᾷ εἰς τὴν εὐδαίμονα μητρόπολιν τῆς Βιδάρβας χώρας.

41. Οἱ δ' ἐν ὁδῷ σαθμοὶ αὐτοῦ τοῦ βασιλικοῦ παιδὸς ἦσαν, ὥσπερ διατριβαὶ ἐν κήποις· πάντα γὰρ τὰ ἐν σκηναῖς ἔπιπλα, ἄφθονα ἦν, ὥσπερ ἐν οἴκῳ, καὶ πάντα τὰ ἐπιτήδεια, ὥσπερ ἐν πόλει, ἅπερ προσέφερον, ὡς ξένια, οἱ περιοικοῦντες.

42. Ἐλθὼν δ' εἰς τὸ πέρας τῆς ὁδοῦ, ἔστησε παρὰ τῇ ὄχθῃ τῆς Ναρμαδᾶς τὸ στράτευμα, ὃ ἦν πεπονηκὸς, καὶ σημαίας εἶχε πιναρὰς ἐκ τῆς κόνιος· τὰ δὲ πρὸς τῷ ποταμῷ δένδρα ἠρέμα ἐκλονοῦντο ἀναψυκτικῷ ἀέρι.

43. Μετὰ δὲ τὴν στρατοπέδευσιν ἄγριός τις ἐλέφας ἀνέδυσεν ἐξαίφνης ἐκ τῶν ποταμίων ὑδάτων, ὃς καὶ πρότερον ἐγνωρίζετο, ὡς ἐν ὕδασιν ἦν, ἐκ τῶν περιφοιτώντων Βομ-

(1) Ἰνδουματῆ, Σεληνοειδής.

βυλίων περὶ τὸν ἀποπλυθέντα χυμὸν, ὃς ἐκ τῶν κροτάφων ἔῤῥεεν ἐπὶ τὰς παρειὰς,

44. Καὶ ἐδείκνυεν, ὡς ἀνώρυττε τὸ ὄρος, ᾧ ὄνομα Ῥιξαβὰν [1], διὰ τῶν ὀδόντων, οἳ, καί τοι οὐκ εἶχον χοῦν, ὃς ἀπεμόρχθη ἐν ὕδασιν, εἶχον ὅμως χαράγματα, καὶ ἀμβλεῖς ἦσαν ἐκ τῶν λίθων τοῦ ὀρυττομένου ὄρους.

45. Ἐρχόμενος δ' ἐπὶ τὴν ὄχθην, ἣν ἐπαιρόμενος, διατέμνων τὰ μεγάλα κύματα τῇ ἐκτεινομένῃ καὶ συστελλομένῃ προβοσκίδι μετὰ φωνῆς βροντοειδοῦς, καθὼς ἐπαίρεται, διαῤῥηγνύων τὰς τῶν ποδῶν ἀλύσεις.

46. Προηγουμένης δὲ τῆς ῥοῆς τοῦ ὠθουμένου καὶ βιαζομένου ὕδατος, ἀφίκετο μεθ' ὁρμῆς σφοδρᾶς ἐπὶ τὴν ὄχθην ὁ πελώριος ἐλέφας, ὥσπερ λόφος μέγας, ἐφέλκων πολλὰ βρύα.

47. Ὁ δὲ ῥέων χυμὸς ἐπὶ τὰς παρειὰς αὐτοῦ τοῦ θαυμαστοῦ ἐλέφαντος, ὃς ἐπαύσατο ὀλίγον, ἀπομορχθεὶς ἐν τοῖς ὕδασι, πάλιν κατέῤῥει ἀφειδῶς [2], ὅτε εἶδε τοὺς ἐλέφαντας τοῦ στρατοῦ.

48. Ὀσφρανθέντες δ' οἱ τοῦ στρατοῦ ἐλέφαντες τοῦ δυσφορήτου χυμοῦ ἐκείνου τοῦ ἀγρίου ἐλέφαντος, ὃς ἔῤῥεε βαρύοσμος, ὡς ὁ χυμὸς τῆς Σαπταπαρνῆς, ἔφευγον, μηδαμῶς ὑπακούοντες τοῖς κέντροις τῶν ἐλεφαντηλατῶν.

49. Ἀναφανεὶς οὖν αὐτὸς ὁ ἐλέφας, ἀνετάραξεν ἅπαν τὸ στρατόπεδον· οἱ μὲν γὰρ ἵπποι, διαῤῥήξαντες τὰ δεσμὰ, ἔφευγον, τὰ δ' ἅρματα ἀνετρέποντο, καὶ διερῥήγνυντο οἱ ἄξονες· οἱ δ' ἄνδρες ἐν ἀμηχανίᾳ καὶ ἀπορίᾳ ἦσαν, πῶς διαφυλάξειεν τὰς γυναῖκας.

50. Βουλόμενος δ' ὁ βασιλέως παῖς ἀποδιῶξαι ἐπερχόμενον

---

(1) Αὐτὸ τὸ ὄρος περὶ τὴν ὄχθην κεῖται τοῦ ποταμοῦ Ναρμαδᾶς.

(2) Ἐμάνη, ἰδὼν τοὺς ἐλέφαντας.

τὸν ἐλέφαντα, ἐντείνας ἀτόνως τὸ τόξον, ἔτρωσεν αὐτὸν ἐπιπολαίως βέλει κατὰ τὸ μέτωπον· ἐπειδὴ ἐγίνωσκεν, ὡς οὐκ ἄξιός ἐστι θανάτου ὁ ἐλέφας, εἰ μὴ ἐν πολέμῳ [1].

51. Ἐκ μόνου δὲ τοῦ τραύματος ὁ ἐλέφας ὤφθη μετὰ θαύματος παντὸς τοῦ στρατοῦ, ὡς ἀφῆκε τὴν μορφὴν τοῦ ἐλέφαντος, καὶ ἔλαβε σῶμα οὐράνιον καὶ αἰθεροβατικόν, περικυκλούμενον ὑπερλάμπρῳ φωτί.

52. Διασπείρας δ' ἐπὶ τὸν βασιλικὸν παῖδα ἄνθη τοῦ οὐρανίου δένδρου, ἅπερ ἔσχε δυνάμει θεία, ἤρξατο λαλῆσαι· ἅμα δὲ τῷ ἀνοῖξαι τὸ στόμα, οἱ ἐπὶ τοῦ στήθους μαργαρῖται τοῦ ὅρμου μᾶλλον ἐλευκάνθησαν τῇ μαρμαρυγῇ τῶν λευκῶν ὀδόντων.

53. «Ἴσθι ὡς ἐγώ εἰμι υἱὸς τοῦ Πριγεδαρσσάνα [2], ἀρχηγοῦ τῶν » Γανδδαρβῶν [3]· ὄνομα δέ μοι Πριγεβάδας [4]· ὑψίκομπος » δ' ὤν, φύσιν ἔλαβον ἐλέφαντος ἐξ ἀρᾶς τοῦ ὁσίου Μα» τάγκα.

54. «Καὶ ἡ φύσις γὰρ τοῦ ὕδατος ψυχρά ἐστι· θερμὴ δὲ γίνε» ται ἐκ τῆς ζέσεως τοῦ πυρὸς, ἢ ἐκ τῆς θερμότητος τοῦ » ἡλίου. Παρακληθεὶς δ' ὑπ' ἐμοῦ ἐκεῖνος ὁ μέγας ὅσιος, » κατεπραΰνθη,

55. «Κἄπειτα εἶπε πρὸς ἐμέ· «Ὅταν ὁ Ἄζας, ὁ καταγόμενος » ἐκ τῆς γενεᾶς τοῦ Ἰξβακοῦ, τρώσῃ τὸ μέτωπόν σου βέ» λει, τότε ἐπαναλήψῃ τὸ οἰκεῖον οὐράνιον σῶμα».

56. «Ἐγὼ ἐλύθην ἐκ τῆς ἀρᾶς ὑπὸ σοῦ τοῦ ἰσχυροῦ, ὃν πρὸ » πολλοῦ περὶ πολλοῦ ἐποιούμην θεάσασθαι· ἐπικατάρα» τος (ἐπονείδιστος) δ' ἂν εἴη ἡ ἐπίτευξις τῆς ἐμῆς φύ-

---

(1) Οὐκ ἔστι νόμος ἀναιρεῖν ἐλέφαντα, εἰ μὴ ἐν πολέμῳ.

(2) Πριγεδαρσσάνας ἑρμηνεύεται εὐειδής.

(3) Γανδδάρβαι εἰσὶν οἱ μουσουργοὶ τῶν θεῶν.

(4) Εὐεπής.

» σεως καὶ στάσεως, εἰ μὴ ἀμοιβὴν ποιήσαιμι τῆς χά-
» ριτος.

57. «Λάβε παρ' ἐμοῦ ἓν βέλος, καλούμενον Σαμμοχανὰμ [1], ὃ
» δι' ἐπῳδῆς ῥίπτεται, καὶ πάλιν δι' ἐπῳδῆς ὀπίσω ἔρ-
» χεται· ἐκ δὲ τούτου οὔτε φόνος τοῦ ἐχθροῦ γίνεται, καὶ
» ἡ νίκη εἰς χεῖρας τοῦ βάλλοντος ἔρχεται.

58. «Μηδ' εἴπῃς, ὅτι αἰσχύνην ἔχεις λαβεῖν χάριν παρ' ἐμοῦ,
» ὃν ἔτρωσας· εἰ γὰρ καὶ ἔτρωσάς με, ἀλλ' ἔλεον εἶχες
» ἐπ' ἐμοί. Ὅθεν, ἐμοῦ διδόντος σοι χάριν, μὴ ἀποδοκιμά-
» σῃς αὐτήν».

59. Ὁ δὲ Ἄζας, ὁ ὢν λαμπρὸς, ὡς ἡ σελήνη, καὶ εἰδήμων
τῆς ὁπλικῆς, κατένευσε· καὶ ἀψάμενος ὕδατος καθαροῦ [2]
τῆς Ναρμαδῆς, ἔλαβε τὸ βέλος μετὰ τῆς ἐπῳδῆς παρὰ τοῦ
Γανδδάρβα, ἀποβλέπων εἰς τὸ βόρειον [3].

60. Οὕτω καθ' ὁδὸν φιλία ἀπροσδόκητος ἐγένετο ἐκ συγκυ-
ρίας ἀμφοῖν τούτοιν· κἄπειτα ὁ μὲν Γανδδάρβας ἀπῆει
ἐπὶ τὸ βόρειον μέρος [4], ὁ δὲ Ἄζας ἐπὶ τὴν εὐνομουμένην
Βιδάρβαν.

61. Ὁ δὲ Βόζας, ὑπερχαρεὶς ἐπὶ τῇ ἐλεύσει τοῦ Ἄζα, ἐξῆλ-
θεν εἰς ὑπάντησιν αὐτοῦ, πλησίον ὄντος τῆς πόλεως, κα-
θὼς ὁ ὠκεανὸς, ὑπερφυσούμενος, ἔξω τῶν ὁρίων ἔρχεται ἐν
τῇ ἀνατολῇ τῆς πλησιφαοῦς σελήνης.

---

(1) Παρανοητικὸν, καὶ παραλογιστικόν· λέγουσιν ὡς, ὅτε τοιοῦτον βέλος ῥίπτεται, εἰς παράνοιαν καὶ ἀναισθησίαν φέρει τοὺς ἐχθρούς· ὅτε δὲ ἀνακαλεῖται, πάλιν ἔρχονται εἰς ἔννοιαν καὶ αἴσθησινν οἱ ἐχθροί.

(2) Ἔθος ἐστὶ νίπτειν τὰς χεῖρας ὕδατι, καὶ πλύνειν τὸ σσόμα εἰς κάθαρσιν, ὅταν ἅπτωνται καθαροῦ.

(3) Ὁ μὲν λαμβάνων χάριν, ἀποβλέπει εἰς τὸ βόρειον· ὁ δὲ διδοὺς εἰς τὸ ἑῷον.

(4) Ἡ χώρα τῶν μουσικῶν θεῶν κατὰ τὸ βόρειον ἐστὶν, ἔνθα καὶ ἡ τοῦ Κουβέρα.

62. Προπορευόμενος δὲ, εἰσεκόμισεν αὐτὸν εἰς τὴν πόλιν· ᾧ πολλὰ ἐδωρήσατο, καὶ τοσαύτην θεραπείαν ἐποίησε ταπεινῶς, ὥστε νομίζειν τὸν λαὸν, ὡς ὁ μὲν Βόζας ξένος ἐστὶν, ὁ δὲ Ἄζας οἰκοδεσπότης.

63. Καθὼς δὲ ὁ Ἔρως εἰσδύει εἰς νεανικὴν ἡλικίαν, οὕτω καὶ ὁ πατρώζων Ἄζας εἰσέδυ εἰς νεόδμητον βασιλικὴν οἰκίαν, ὁδηγηθεὶς ὑπὸ ἐπιτεταγμένων ὑπηρετῶν τοῦ Βόζα· ἦν δ' ἡ οἰκία χαρίεσσα, καὶ ἑκατέρωθεν τῆς αὐλείου θύρας χρυσήλατοι στάμνοι ἦσαν, πλήρεις ὕδατος.

64. Καθάπερ δ' ἡ γυνὴ μετὰ πολλὰς προτροπὰς ἔρχεται πρὸς τὸν ἄνδρα, οὐ πεῖραν οὐκ ἔσχεν, οὕτω καὶ ὁ ὕπνος μετὰ πολὺν χρόνον τῆς νυκτὸς ἦλθεν εἰς τὰ ὄμματα τοῦ Ἄζα, τοῦ ἐρῶντος τῆς ἐρασμίας καὶ καλῆς κόρης, ἧς εἰς αἵρεσιν γάμου πολλοὶ νεανίαι βασιλικοὶ συνηθροίσθησαν.

65. Περὶ δὲ τὴν ἕω εὗρωνοι ἀοιδοὶ [1] ᾠδαῖς ἑωθιναῖς ἡδείαις καὶ ὑμνήρεσιν ἀφύπνισαν τὸν Ἄζαν, οὗ τὰ μὲν ἑνώτια προσκεκολλημένα ἦσαν τοῖς παχέσιν ὤμοις, τὰ δ' εὐώδη χρίσματα τοῦ σώματος ἐντετυπωμένα τῇ τῆς κλίνης σινδόνι.

66. « Ὦ ἄριστε τῶν ἐμφρόνων, ἡ νὺξ παρῆλθεν· ἄφες τὴν κλί-
» νην· τὸ γὰρ φορτίον τοῦ κόσμου εἰς δύω μέρη ἐμερί-
» σθη ὑπὸ τοῦ Θεοῦ, ὧν τὸ μὲν ὁ σὸς πατὴρ φέρει, νή-
» φων, τὸ δὲ σύ.

67. « Ὁ φωστὴρ τῆς νυκτὸς εἰς δύσιν ἔρχεται, καὶ ἀφίησι τὴν
» ἀγλαΐαν τοῦ σοῦ προσώπου [2], ἣ συνῆν αὐτῷ ἡδέως,

---

(1) Πολυειδεῖς εἰσιν οἱ ἀοιδοὶ ἐν Ἰνδίᾳ· οἱ μέν, ἀφυπνισταὶ, οἱ ἄδοντες, ἀφυπνίζουσι τὸν βασιλέα· οἱ δὲ ὑμνολόγοι, οἱ, ἄδοντες, ὑμνοῦσι τὰς ἀρετὰς καὶ τὰς ἀνδραγαθίας τοῦ βασιλέως· οἱ δὲ γενεαλόγοι, οἱ, ἄδοντες, ὑμνοῦσι τοὺς προγόνους τοῦ βασιλέως.

(2) Κομώμενος ὁ ἄνθρωπος, οὐκ ἔχει ἐκείνην τὴν ἀγλαΐαν τοῦ προσώπου, ἣν ἔχει, γρηγορῶν.

» ἐπειδὴ κατεφρονήθη καὶ ἠμελήθη ὑπὸ σοῦ, κοιμωμένου,
» ὡς γυνὴ ὑπ' ἐρωμένου [1].

68. «Διὰ τῆς ἀγλαοῦς ἀναπετάσεως λαβέτωσαν ἐν ταυτῷ τὴν
» πρὸς ἀλλήλους ὁμοιότητα ἀμφότεροι οὗτοι, ὁ ὀφθαλμός
» σου δηλονότι, οὗ ἐν μέσῳ κινεῖται ἡ μέλαινα κόρη, καὶ
» ὁ λωτὸς, οὗ ἐν μέσῳ κινεῖται ὁ μέλας βομβύλιος [2].

69. «Ὁ ἑωθινὸς ἀὴρ, συμμιγνύμενος τοῖς ἄνθεσι τῶν δένδρων,
» καὶ τοῖς διεκπεταννυμένοις ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων
» λωτοῖς [3], ἡδὺ καὶ εὐῶδες πνέει, καὶ διὰ τοιαύτης ἐπει-
» σάκτου εὐωδίας ἁμιλλᾶσθαι βούλεται τῇ εὐώδει σου
» πνοῇ, ἣν ἔχεις ἐκ φύσεως [4].

70. «Ἀγλαΐζεται καθ' ὑπερβολὴν ἡ δρόσος, ἡ πίπτουσα ἐπὶ
» τὰ ἐρυθρὰ νεαρὰ φύλλα τῶν δένδρων, καὶ ὁμοία οὖσα
» τοῖς στρογγύλοις λευκοῖς μαργαρίταις, καθὼς τὸ ἡδύ
» σου μειδίαμα σὺν τῇ μαρμαρυγῇ τῶν λευκῶν ὀδόντων
» ἀγλαΐζεται ἐπὶ τοῦ σοῦ ἐρυθροῦ χείλους [5].

71. «Καθὼς σὺ, προμαχῶν, καὶ προκινδυνεύων ἐν πολέμῳ, ὦ
» γενναῖε, πάντας τοὺς ἐχθροὺς ἀναιρεῖς πρὶν τῆς ἐλεύ-
» σεως τοῦ πατρὸς, οὕτω καὶ ὁ προθέων ὄρθρος ἅπαν τὸ
» σκότος εὐθέως διεσκέδασε πρὶν τῆς ἀνατολῆς τοῦ ἡ-
» λίου [6].

---

(1) Οἱονεὶ ἔλεγεν, ἐξηγέρθητι, καὶ λάβε τὴν ἀγλαΐαν τοῦ οἰκείου προσώπου, ἣν λαβοῦσα ἡ Σελήνη, σοῦ κοιμωμένου, ἀφίησι νῦν, ὄρθρου ἀναφανέντος.

(2) Οἱονεὶ ἔλεγεν, ἕως ἐστὶ, καὶ διὰ τοῦτο ὁ λωτὸς ἀνοίγει τὰ φύλλα· ἄνοιξον καὶ σὺ τὰ ὀμματόφυλλα.

(3) Ὁ λωτὸς νύκτωρ μὲν συμμύει, καθ' ἡμέραν δὲ διεκπετάννυται.

(4) Ἀνάστα δηλονότι· ὁ γὰρ ἀὴρ ἡδὺ καὶ εὐῶδες πνέει ἐκ τῶν ἀνθέων καὶ ἐκ τῶν διεκπεταννυμένων λωτῶν περὶ τὴν ἕω.

(5) Ἀνάστα δηλονότι· ἡ ἕως δροσερά ἐστι.

(6) Ἀνάστα δηλονότι· ὄρθρος ἐγένετο.

72. «Οἱ ἐλέφαντές σου, πλαγιάσαντες ἐκατέρωθεν, ἐγείρονται » ἐξ ὕπνου, καὶ κτύπον ποιοῦσιν, ἀνιστάμενοι, ταῖς ἀλύ- » σεσι τῶν ποδῶν· οἱ δ' ὀδόντες αὐτῶν ἀγλαΐζονται ἐκ » τῆς ἐρυθρᾶς ἐωθινῆς αὐγῆς τοῦ ἡλίου, καθὼς ἐκ τοῦ » ἐρυθροῦ χοὸς τοῦ ἀνορυττομένου ὄρους.

73. «Οἱ Περσικοί σου οὗτοι ἵπποι, ὦ λωτόφθαλμε, οἱ ἐν ἐπι- » μήκεσι σκηναῖς δεδεμένοι, ἀφέντες τὸν ὕπνον, λείχοντες, » ἐσθίουσι προτιθεμένους χόνδρους χερσαίου ἄλατος [1].

74. «Οἱ μὲν στέφανοί σου οἱ ἐξ ἀνθέων, μεμαραμμένοι καὶ » ἐκλελυμένοι ἐγένοντο· οἱ δὲ λύχνοι οὐκ ἔχουσιν ἐκεῖνο » τὸ λαμπρὸν φῶς· καὶ οὗτος δὲ ὁ ἐν κύρτῃ εὔγλωττος » ψιττακὸς κατὰ μίμησιν ἀντιφωνεῖ τοὺς ἐγερτικοὺς ἡμῶν » λόγους».

75. Τοιουτοτρόποις λόγοις τῶν ἀοιδῶν ἐξεγερθεὶς τοῦ ὕπνου ὁ νεανίας, ἀνέστη ἐκ τῆς κλίνης, καθὼς ὁ θεῖος ἐλέφας, ὁ Ἀϊραβάτας, ἐξανίσταται ἐκ τῆς περὶ τὸν Γάγγην ψάμμου, ἐξεγειρόμενος τῇ ἡδείᾳ κλαγγῇ τῶν χηνῶν.

76. Τελέσας δὲ πάντα τὰ ἔθιμα κατὰ τὴν ἐντολὴν τοῦ νό- μου περὶ τὴν ἕω αὐτὸς ὁ εὐόφθαλμος, ἐνδυθείς τε καὶ κοσ- μηθεὶς ἀξιοπρεπῶς καὶ μεγαλοπρεπῶς, ἦλθεν εἰς τὴν συνέ- λευσιν τῶν βασιλέων, τῶν ὄντων ἑτοίμων εἰς τὸν αἱρετὸν γάμον.

---

(1) Ἐν τῷ ἱππιατρικῷ βιβλίῳ λέγεται, ὡς τὸ ἅλας, μάλιστα δὲ τὸ χερσαῖον, ὠφέλιμόν ἐστι τοῖς ἵπποις περὶ τὴν ἕω.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

1. Ἐλθὼν δ' ὁ Ἄζας, εἶδε τοὺς βασιλεῖς καθημένους μετὰ στολῆς ἀγλαᾶς ἐπὶ θρόνων ὑψηλῶν, ὥσπερ θεοὺς ἐπὶ ἐναερίων ὀχημάτων· οἱ δὲ θρόνοι ἦσαν τεθειμένοι ἐπὶ ἀναβάθρων, εὐθέτων καὶ εὐστρώτων.
2. Ἰδόντων δὲ τῶν βασιλέων τὸν Ἄζαν, ὥσπερ ἄλλον Ἔρωτα, μεταπλασθέντα ὑπὸ τοῦ Σίβα [1] διὰ παρακλήσεως τῆς Ῥατῆς, ἡ καρδία αὐτῶν κενὴ ἐγένετο τῆς ἐλπίδος, ἣν εἶχεν ἕκαστος εἰς ἐπίτευξιν τῆς Ἰνδουματῆς.
3. Ἀνέβη δ' ὁ Ἄζας διὰ τῶν ἀναβαθμίδων εἰς τὸν ὑψηλὸν θρόνον, ὃν ἔδειξεν ὁ Βόζας, καθὼς ὁ σκύμνος τοῦ λέοντος ἀναβαίνει εἰς τὴν κορυφὴν τοῦ ὑψηλοῦ ὄρους διὰ τῶν ὄχθων.
4. Καθήμενος δ' ὁ Ἄζας ἐπὶ θρόνου λιθοκολλήτου καὶ ποικιλοστρώτου, λίαν ἠγλαΐζετο, καὶ ἐλαμπρύνετο, καθὼς ὁ Σκάνδας, καθήμενος ἐπὶ τοῦ νώτου τοῦ ταώ [2].
5. Ἡ δὲ Λαξμὴ [3], δυσαντίβλεπτος οὖσα ἐκ τῆς πολλῆς λαμπρότητος, διεμερίσατο ἑαυτὴν πολλαχῶς πρὸς ἀπαξάπαντας τοὺς βασιλεῖς [4], καθὼς ἡ ἀστραπὴ, ἐκπηγνυμένη, διαμερίζεται εἰς ἅπαντα τὰ νέφη.
6. Μέσον δ' ἐκείνων τῶν βασιλέων, τῶν πολύτιμα κοσμήματα

---

(1) Ὁ Σίβας, ὢν ἐν θεωρίᾳ, ἐβλήθη ὑπὸ τοῦ Ἔρωτος ἀνδρὶ ᾧ βέλει τὴν καρδίαν· ταραχθεὶς δὲ, πρέωξε τὸν ὀφθαλμὸν, καὶ ἰδὼν τὸν Ἔρωτα ἀπετέφρωσεν αὐτόν. Διὰ τοῦτο ὁ ποιητὴς πλάττει ἐνταῦθα ὡς οἱ βασιλεῖς ἐνόμισαν, ὡς αὐτός ἐστιν ὁ Ἔρως, ὃς μετεπλάσθη ὑπὸ τοῦ Σίβα διὰ δάκρυος τῆς Ῥατῆς, ἡ γυνὴ τοῦ Ἔρωτος ἐστίν.

(2) Τὸ ὄχημα τοῦ Σκάνδα, ὁ ταὼς ἐστι.

(3) Ἡ Λαξμὴ θεά ἐστι τῆς δόξης, τῆς ἀγλαΐας, καὶ τῆς εὐδαιμονίας.

(4) Ἅπαντες δηλονότι οἱ βασιλεῖς ὑπέρλαμπροι ἦσαν, καὶ ὑπερένδοξοι.

φορούντων, καὶ ἐπὶ πολυτίμων θρόνων καθεζομένων, ὑπερέλαμπεν ὁ υἱὸς τοῦ Ῥαγγοῦ, καθὼς ὁ Παριζάτας ὑπερτερεῖ πάντων τῶν οὐρανίων δένδρων.

7. Πάντων δὲ οἱ ὀφθαλμοὶ τῶν θεατῶν, ἀφέντες τοὺς λοιποὺς βασιλεῖς, εἰς ἐκεῖνον ἀπέβλεπον, καθὼς οἱ βομβύλιοι, ἀφέντες τὰ ἀνθοφόρα δένδρα, ἐπιφοιτῶσιν ἐπὶ τὸν μανικὸν ἐλέφαντα, τὸν εὐώδη χυμὸν ἔχοντα.

8. Τῶν δὲ βασιλέων, τῶν καταγομένων ἐκ τοῦ Ἡλίου καὶ ἐκ τῆς Σελήνης [1], ὑμνουμένων ὑπὸ ὑμνολόγων, εἰδότων τὴν γενεαλογίαν ἑκάστου, θυμιάματος ἐξ ἀγαλλόχου ἀναφερομένου, καὶ ὑπὲρ τὰς σημαίας ὑψουμένου,

9. Κόγχων ἐμπνεομένων, μουσικῶν ὀργάνων συγκρουομένων, καὶ πληρούντων ἤχου πάντα τὰ μέρη, καὶ αἰτίων γινομένων ὀρχήσεως τῶν ταώνων [2] τῶν ἐν τοῖς περὶ τὴν πόλιν κήποις,

10. Ἡ Ἰνδουματὴ, ἔχουσα ἔνδυμα γάμου, καθημένη ἐπὶ ἀνθρωποφόρου φορείου, καὶ περιεπομένη ἀμφιπόλοις παρθένοις, ἦλθεν εἰς τὸ μέσον τῶν βάθρων καὶ τῶν θρόνων εἰς αἵρεσιν νυμφίου.

11. Οἱ δὲ βασιλεῖς μόνοις τοῖς σώμασιν ἐκάθηντο ἐπὶ τῶν θρόνων· τὰς γὰρ ψυχὰς ἑαυτῶν ἀνέθεντο εἰς ἐκεῖνο τὸ ὑπερφυέστατον πλάσμα τοῦ πλαστουργοῦ Βραχμᾶ, εἰς ἐκείνην τὴν περίβλεπτον κόρην.

12. Καθὼς δ' ἐκ τῶν δένδρων φύλλα νεαρὰ ἀναφύονται, οὕτω καὶ ἐκ τῶν βασιλέων, ὧν ἡ ἐπιθυμία ἐπλεόνασε, πολυειδῆ αἰνιγματικὰ σημεῖα ἀνεφύοντο τοῦ φίλτρου, ὡσπερεὶ ἀγγελιαφόροι [3].

---

(1) Τῶν Ξαυρῶν, ἄλλοι μὲν κατάγονται ἐκ τοῦ Ἡλίου, ἄλλοι δὲ ἐκ τῆς Σελήνης.

(2) Ὁ ταὼς χαίρει τῇ βροντῇ καὶ διὰ τοῦτο ὅταν βροντᾷ χορεύει.

(3) Ἐν τοῖς ἑξῆς ὁ ποιητὴς καταλέγει κακά τινα ἔθη καὶ ἤθη τῶν ἀνθρώπων, ἅπερ καὶ λέγει ἀστείως αἰνιγματικὰ σημεῖα.

13. Ἄλλος μὲν γὰρ τῶν βασιλέων, κρατῶν καυλὸν λωτοῦ, περιέστρεφεν αὐτὸν ἐν παλάμαις, παίζων, οὗ τὰ μὲν φύλλα, κινούμενα, ἀπεσόβουν τοὺς ἐπιφοιτῶντας βομβυλίους, ἡ δὲ κόνις ἔνδον περιεφέρετο [1].

14. Ἄλλος δὲ, θρυπτικὸς ὢν καὶ ἁβρὸς, στρέψας τὸ ἀγλαὸν πρόσωπον, καὶ ἰδὼν, ἀνέλαβε τὴν λεπτὴν ἐπωμίδα, ἣ ἐξωλίσθησεν ἐκ τοῦ ὤμου, καὶ ἔστη περὶ τὸ ἄκρον τοῦ βραχιονίου, καὶ ἀνέθετο αὐτὴν, ἔνθα ἦν πρότερον [2].

15. Ἄλλος δὲ, κλίνων κάτω μικρόν τι τὰ καλὰ ὄμματα, ἐσχεδίαζεν ἐπὶ τοῦ χρυσοῦ ὑποποδίου διὰ τῶν συνεσταλμένων δακτύλων τοῦ ποδὸς, ὧν οἱ ὄνυχες ἀπέστιλβον [3].

16. Ἄλλος δὲ, ἐρείσας τὴν ἀριστερὰν χεῖρα ἐπὶ τοῦ θρόνου, συνελάλει τῷ πλησίον βασιλεῖ· ἐκ δὲ τοιαύτης θέσεως τοῦ σώματος, ὁ μὲν ὦμος αὐτοῦ ὑπερωγκώθη, ὁ δὲ ἐπὶ τοῦ στήθους ὅρμος τῶν μαργαριτῶν διάστροφος ἐγένετο [4].

17. Ἄλλος δὲ τοῖς ἄκροις τῶν ὀνύχων, οἳ ἁρμόδιοί εἰσι νύττειν τὸ στῆθος καὶ τὸν γλουτὸν τῆς ἐρωμένης, ἔξαινε λευκὸν φύλλον ἄνθους Κετακῆς, ὃ ὡς κόσμημα ἐν τοῖς ὠσὶ τιθέασιν αἱ γυναῖκες [5].

---

(1) Διὰ τούτου ὁ μὲν βασιλεὺς σημαίνειν ἤθελε τοῦτο «Οὕτω καὶ σὺ περίφερέ με, λαβοῦσά με ἐν χερσίν·» ἡ δὲ κόρη ὑπελάμβανεν, ὡς κακὸν ἔθος καὶ ἦθος ἔχει.

(2) Διὰ τούτου ὁ μὲν βασιλεὺς σημαίνειν ἤθελεν, ὡς καθὼς φροντίζει τοῦ ἱματίου, οὕτω φροντίσει καὶ αὐτῆς· ἡ δὲ ὑπελάμβανεν, ὡς τὸ σῶμα αὐτοῦ, λώβην τινὰ ἔχει, καὶ διὰ τοῦτο ἀποκρύψαι βούλεται.

(3) Διὰ τούτου ὁ μὲν βασιλεὺς σημαίνειν ἤθελεν, ὡς πρὸς ἑαυτὸν καλεῖ τὴν κόρην· ἡ δὲ ὑπελάμβανεν, ὡς ἐκεῖνος κακοδαίμων ἐστί· καὶ γὰρ ἐν τῷ φυσιογνωμονικῷ βλβίῳ λέγεται, ὡς τὸ γράφειν κατὰ γῆς διὰ τοῦ δακτύλου τοῦ ποδὸς, σημεῖόν ἐστι κακοδαιμονίας.

(4) Διὰ τούτου ὁ μὲν βασιλεὺς σημαίνειν ἤθελεν, ὡς οὕτω καὶ αὐτῇ συλλαλήσει· ἡ δὲ ὑπελάμβανεν, ὅτι πρὸς ἄλλον στρέψει τὸ πρόσωπον.

(5) Λέγεται ἐν τῷ ἐρωτολογικῷ βιβλίῳ, ὡς νυττομένης τῆς γυναικὸς κατὰ

18. Ἄλλος δὲ τῇ χειρὶ, ἐχούσῃ παλάμην ἐρυθρὰν [1], ὡς ἐρυθρὸν λωτὸν, καὶ γραμμὰς εἰς σχῆμα σημαίας, ἀνέρριπτε πεσσοὺς, παίζων, οἳ ἀντηύγουν ἐκ τῆς ἐν τῷ δακτυλίῳ πολυτίμου λίθου [2].

19. Ἄλλος δὲ, καί τοι τὸ διάδημα ἦν ἀραρότως τεθειμένον ἐπὶ τῆς κεφαλῆς, ἐνησχόλει ἀεὶ τὴν μίαν χεῖρα ἐν αὐτῷ [3], ὥσπερεὶ ἦν ἔξω τῆς οἰκείας θέσεως· αἱ δ' ἀκτῖνες τῶν περὶ τὸ διάδημα πολυτίμων λίθων διέλαμπον ἐκ μέσου τῶν δακτύλων.

20. Ἐνταῦθα ἡ ῥαβδοῦχος θεραπαινὶς, ἡ παρισταμένη τῇ θύρᾳ [4], ἣ ὄνομα Σουνανδὰ, καὶ γινώσκουσα τὰς πράξεις καὶ τὰς γενεὰς τῶν βασιλέων, ἀγαγοῦσα τὴν Ἰνδουματὴν πρῶτον ἐπὶ τὸν βασιλέα τῆς Μαγάδδας, ἐξεφώνησε φωνῇ ἀνδρικῇ·

21. «Οὗτός ἐστιν ὁ βασιλεὺς τῆς Μαγάδδας χώρας, ὃς κατα-
» φυγὴ ἐστι τῶν καταφευγόντων, βαθὺς τὸν νοῦν, καὶ
» ὀνομαστὸς εἰς τὸ κυβερνῆσαι ὀρθῶς τὸν λαόν· ὀνομάζε-
» ται δὲ φερωνύμως Παραντάπας [5].

τὸ στῆθος ἢ κατὰ τὸν γλουτὸν τοῖς ὄνυξι τοῦ ἀνδρὸς, ἡ ἐπιθυμία αὐτῆς μᾶλλον ἐξάπτεται. Ὁ μὲν οὖν βασιλεὺς, οὕτω ποιῶν, ἠνίττετο, ὡς οὕτω καὶ τὸ στῆθος αὐτῆς νύξει· ἡ δὲ ὑπελάμβανεν, ὅτι τὸ διασχίζειν φύλλον ἢ κάρφος τοῖς ὄνυξιν, ἴδιόν ἐστι βοτανολόγων, ἢ ῥιζοτόμων, καὶ μικροπρεπές.

(1) Ἡ ἐρυθρὰ παλάμη ἀγαθόν ἐστι σημεῖον· ἡ δ' ἔχουσα φυσικὰς γραμμὰς εἰς σχῆμα σημαίας, βασιλικόν ἐστι σημεῖον.

(2) Διὰ τούτου ὁ μὲν βασιλεὺς ἠνίττετο, ὡς οὕτω μετ' αὐτῆς παίζει· ἡ δὲ ὑπελάμβανεν, ὡς κυβευτής ἐστι καὶ ἄσωτος· ἀπηγορευμένον γάρ ἐστι τὸ κυβεύειν.

(3) Διὰ τούτου ὁ μὲν βασιλεὺς ἠνίττετο, ὡς ἐπὶ τῆς ἑαυτοῦ κεφαλῆς θήσει τὴν κόρην· ἡ δὲ ὑπελάμβανεν, ὡς κακὸν τοῦτο ἦθος καὶ ἀπαίσιον, τὸ τιθέναι ἀεὶ τὴν χεῖρα ἐπὶ κεφαλῆς.

(4) Παρὰ τῇ θύρᾳ τῇ βασιλικῇ ἵστανται ὑπηρέται, ῥάβδους ἀργυρᾶς ἢ χρυσᾶς ἔχοντες, οἳ εἰσάγουσι τοὺς ἐρχομένους πρὸς τὸν βασιλέα.

(5) Παραντάπας ἑφερμηνεύεται Ἐχθροφλεγέθων.

22. «Εἰ καὶ ἄλλοι πολλοὶ βασιλεῖς ἐπὶ γῆς ὑπάρχουσιν, ἡ γῆ » ὅμως εὐνομουμένη λέγεται διὰ τῆς κυβερνήσεως τού- » του, καθὼς ἡ νὺξ, εἰ καὶ ἀστέρας καὶ πλανήτας λαμ- » προὺς ἔχει, φωτεινὴ ὅμως λέγεται διὰ τῆς παρουσίας » τῆς σελήνης.

23. «Ἐπειδὴ οὗτος ἀεὶ ἐκάλει τὸν Ἴνδραν εἰς τὰς συνεχεῖς » θυσίας, ἃς ἐτέλει, διὰ τοῦτο ἐποίει τοὺς βόστρυχας » τοὺς ἐπὶ τὰς λευκὰς παρειὰς τῆς Σακῆς ἀμοίρους ἀν- » θέων ἐπὶ πολὺν χρόνον [1].

24. «Εἰ οὖν ἀγαπᾷς τοῦτον ἅψασθαι τῆς χειρός σου [2], καὶ γε- » νέσθαι νυμφίον, ποίησον ἐν τῷ πορευθῆναι χαρὰν [3] τοῖς » ὀφθαλμοῖς τῶν γυναικῶν τῆς Πουσπαπούρας [4] πόλεως, » τῶν ἱσταμένων ἐπὶ τῶν θυρίδων τῶν οἴκων».

25. Τοιαῦτα εἰπούσης τῆς θεραπαινίδος, ἡ Ἰνδουματὴ μικρόν τι ἀπέβλεψε πρὸς τὸν βασιλέα· κἄπειτα καθῆκε τὸν στέφανον [5] τὸν ἐξ ἀνθέων Μαδδούκας [6] καὶ ἐξ Ἀγρώσιος· καὶ ἀσπασαμένη αὐτὸν ἁπλῶς διὰ τῶν χειρῶν [7], παρῆλθε, μηδὲν εἰποῦσα.

26. Ἡ δὲ ῥαβδοφόρος θεραπαινὶς ἤγαγεν αὐτὴν τὴν βασιλικὴν κόρην πρὸς ἕτερον βασιλέα, καθὼς ἡ ἀλλεπαλληλία τῶν

---

(1) Ἐπειδὴ ὁ Ἴνδρας παρῆν ταῖς θυσίαις ἐπὶ ξένης γῆς, διὰ τοῦτο ἡ γυνὴ αὐτοῦ οὐκ ἐκοσμεῖτο ἄνθεσι τὴν κεφαλήν· ἀποδημοῦντος γὰρ τοῦ ἀνδρὸς, οὐκ ἔστι θεμιτὸν ταῖς γυναιξὶ κοσμεῖσθαι.

(2) Ὁ πατὴρ τίθησι τὴν χεῖρα τῆς νύμφης ἐν τῇ χειρὶ τοῦ νυμφίου.

(3) Φάνηθι δηλονότι ἐκεῖ ἡ ὡραιοτέρα ἁπάντων

(4) Πουσπαπούρα ἑρμηνεύεται Ἀνθόπολις· λέγεται δὲ καὶ Παταλιπούτρα. Μητρόπολις δέ ἐστι τῆς Μαγάδδας χώρας.

(5) Τὸν στέφανον, ὃν εἶχε πρόχειρον, εἰς τὸ στεφανῶσαι τὸν βασιλέα, ὡς αἱρετὸν νυμφίον, ἀφῆκε παρημελημένον.

(6) Μαδδούκα εἶδος δένδρου, οὗ ἐκ τοῦ καρποῦ οἶνον ποιοῦσι· κοινῶς λέγεται Μαουβά.

(7) Ἠσπάσατο αὐτὸν ἁπλῶς, τουτέστιν ἄνευ τινὸς σημείου φίλτρου.

κυμάτων, τῶν ἐξ ἀνέμου ἀνισταμένων, φέρει τὴν ἐν Μανασᾷ λίμνῃ [1] χῆνα εἰς ἕτερον λωτὸν [2],

27. Καὶ ἔφη πρὸς αὐτήν· «Οὗτός ἐστιν ὁ βασιλεὺς τῆς Ἄγκας, οὗ καὶ αἱ θεῖαι νύμφαι ἐρῶσιν ἐπὶ τῷ κάλλει, καὶ ἐπὶ τῇ νεότητι, καὶ ὁ ἐλέφας εὐδάμαστός ἐστι καὶ εὐπειθὴς [3] τοῖς ἐλεφαντηλάταις· οὗτος, εἰ καὶ ἐπὶ γῆς ἐσιν, οὐρανίου ὅμως δόξης τρυφᾷ.

27. «Αἱ ἁδραὶ καὶ μαργαροειδεῖς σταγόνες τῶν δακρύων, αἳ κατέπεσον ἐξ αἰτίας τούτου εἰς τὰ στήθη τῶν γυναικῶν τῶν ἐχθρῶν, ὥσπερ ὅρμοι εἰσὶν ἐκ μαργαριτῶν ἄνευ νήματος ἀνατεθειμένοι βίᾳ.

29. «Ἀμφότεραι ἐκεῖναι, ἡ Λαξμὴ, καὶ ἡ Σαρασβατὴ [4], αἳ εἰσιν ἐκ φύσεως κεχωρισμέναι, σύνεισι τούτῳ· γενοῦ σὺ τρίτη ἐν αὐταῖς, ὦ ἀγαθὴ, ἡ συνεζευγμένη τῇ εὐμορφίᾳ, καὶ τῇ εὐπειᾳ».

30. Ἡ δὲ Ἰνδουματὴ, ἀφελκύσασα τὴν ὅρασιν ἑαυτῆς ἀπὸ τοῦ βασιλέως τῆς Ἄγκας, εἶπε τῇ θεραπαίνῃ· «Βάδιζε». Οὔτε δ' ἐκεῖνος ἦν ἀνάξιος ἀγάπης, οὔτε αὕτη ἠγνόει διακρίνειν· ἕκαστος γὰρ ἰδίαν ἔχει κλίσιν (διάθεσιν [5]).

31. Ἡ δὲ θεραπαινὶς ἔδειξε τῇ Ἰνδουματῇ, ὥσπερ νεωστὶ ἀνατέλλοντα φωστῆρα τῆς νυκτὸς, ἄλλον βασιλέα λίαν ἔκλαμπρον, καὶ δυσύποιστον τοῖς ἐχθροῖς, καὶ ἔφη·

---

(1) Μανασὰ λίμνη μυθευομένη, ἔνθα εἰ χῆνες ἐσθίουσι μαργαρίτας.

(2) Βαλόμενος ὁ χὴν τῇ φορᾷ τοῦ κύματος, ἔρχεται εἰς ἕτερον λωτὸν, οὗ τὴν ῥίζαν ἐσθίει, ἥ ἐστιν, ὡς μῆλον.

(3) Ὥσπερ ὁ Ἀραβάτας.

(4) Ἡ μὲν Λαξμὴ θεὰ ἐστι τοῦ πλούτου, ἡ δὲ Σαρασβατὴ θεὰ τῆς σοφίας· οἱονεὶ ἔλεγεν, ὅστις ἐστὶ πλούσιος, οὐκ ἔστι σοφός· καὶ ὅστις ἐστὶ σοφὸς, οὐκ ἔστι πλούσιος· οὗτος δὲ καὶ σοφὸς ἐστι, καὶ πλούσιος.

(5) Ἐγίνωσκε δηλονότι ἡ κόρη, ὡς ἐκεῖνος ἦν ἄξιος, οὐκ ἠράσθη ὅμως αὐτοῦ· ἄλλος μὲν γὰρ ἐρᾷ τούτου, ἄλλος δ' ἐκείνου.

32. «Οὗτος βασιλεύς ἐστι τῆς Οὐζζαγινῆς, μακρόχειρ, εὐρύ-
» στερνος, καὶ λεπτὸς καὶ στρογγύλος τὴν ὀσφύν· καὶ ἀγ-
» λαΐζεται τῇ συμμετρίᾳ, καθὼς ὁ ἥλιος, ὃς, τεθεὶς ὑπὸ
» τοῦ Βισβακάρμα ἐπὶ τοῦ τόρνου, λεπτὸς καὶ στρογγύ-
» λος ἐγένετο [1].

33. «Τούτου τοῦ πολυδυνάμου βασιλέως ἐν ταῖς ἐκστρατείαις
» ἡ ἀνεγειρομένη κόνις ὑπὸ τῆς προπορευομένης ἵππου,
» ἔκλειψιν ποιεῖ τῆς λάμψεως τῶν πολυτίμων λίθων τῶν
» ἐπὶ τῆς κορυφῆς τῶν λοιπῶν βασιλέων.

34. «Οὗτος, οἰκῶν πλησίον τοῦ ναοῦ τοῦ Μαχακάλα [2], τοῦ
» ἔχοντος τὸ ἡμισέληνον ἐπὶ τοῦ μετώπου, τρυφᾷ νυκτῶν
» λαμπουπῶν σὺν γυναιξὶ καὶ ἐν τῇ μειουμένῃ σελήνῃ.

35. «Ἔστι σοι ἄρα ἔφεσις, ὦ εὔμηρε, τρυφῶν μετὰ τούτου
» τοῦ νέου βασιλέως ἐν κήποις συχνοῖς, ἐν οἷς τὰ δέν-
» δρα διασαλεύονται ὑπ' ἀέρος, πνέοντος ἐκ τῆς Ξιπρᾶς [3];»

36. Αὕτη δὲ ἡ λεπτόσωμος οὐκ ἔσχε κλίσιν ἐπ' αὐτὸν, ὃς τὸν
μὲν φίλον κατέτερπε, τὸν δ' ἐχθρὸν κατέκαιε, καθὼς ἡ
Κουμουδβατὴ [4] οὐκ ἔχει κλίσιν ἐπὶ τὸν Ἥλιον, ὃς τὸν μὲν
λωτὸν εὐφραίνει, τὸν δὲ πηλὸν ξηραίνει.

37. Ἡ δὲ Σουνανδὰ πρὸς τὸν βασιλέα τῆς Ἀνούπας χώρας
ἤγαγεν αὐτὴν τὴν ἀνθηρὰν κόρην, τὴν χαρίεσσαν πλάσιν

---

(1) Λέγουσιν, ὡς ἡ γυνὴ τοῦ Ἡλίου, μὴ φέρουσα τὸ σφόδρα καυστικὸν αὐ-
τοῦ, εἶπε τὴν ἑαυτῆς θλῖψιν τῷ ἑαυτῆς πατρὶ Βισβακάρμᾳ· ὁ δὲ ἐτόρνευσε καὶ
ἐλέπτυνεν αὐτὸν τὸν Ἥλιον. Ἄλλοι δὲ λέγουσιν, ὡς ὁ Ἥλιος, ἔχων σῶμα ἀσύμ-
μετρον καὶ τραχὺ, ἐτορνεύθη, καὶ ἐλεπτύνθη ὑπὸ τοῦ Βισβακάρμα, τοῦ ἀρχιτέ-
κτονος τῶν θεῶν.

(2) Μαχακάλας λέγεται ὁ Σίβας, ὃς γράφεται ἔχων ἡμισέληνον ἐπὶ τοῦ με-
τώπου· διὰ τοῦτο ὁ ποιητὴς πλάττει ἀστείως, ὡς αἱ ἐκεῖ νύκτες ἔλαμπον, καὶ
φθινούσης τῆς σελήνης, ἐκ τιοῦ ἡμισελήνου τοῦ Σίβα.

(3) Ξιπρὰ, ὄνομα ποταμοῦ, ὃς παραῤῥέει τῇ Οὐζζαγινῇ πόλει.

(4) Κουμουδβατὴ λέγεται ὁ λωτὸς, ὃς ἀνθεῖ κατὰ τὴν νύκτα.

τοῦ Βραχμᾶ, τὴν πασῶν τῶν χαρίτων πλήρη, καὶ ἀγλαοὺς ὀδόντας ἔχουσαν, καὶ ἔφη·

38. «Πάλαι ἐγένετο ὁ Ἀρζούνας, ὃς χιλίας χεῖρας εἶχεν ἐν » πολέμῳ, καὶ τρόπαια ἔστησεν ἐν ταῖς ὀκτωκαίδεκα με- » γάλαις νήσοις τῆς οἰκουμένης· οὐκ εἶχε δ' ἁπλῶς τὸ » ὄνομα, *βασιλεὺς*, ὡς ἄλλοι, καὶ μέγας ἦν θεωρητικός.

39. «Καλῶς δὲ διοικῶν, κρατῶν τόξον, παρίστατο αἰφνιδίως, » καὶ ἐκώλυε τὸ μελετώμενον κακὸν, καθ' ὃν χρόνον ἤρ- » χετο εἰς τὴν διάνοιαν τῶν ἀνθρώπων [1].

40. «Ἐν δὲ πολέμῳ κρατήσας τὸν Ῥαβάναν [2] ἔδησεν αὐτὸν » τῇ χορδῇ τοῦ τόξου, στόνους ἐξάγοντα ἐκ τῶν ἀλλε- » παλλήλων δέκα στομάτων, καὶ ἔσχεν ἐν εἱρκτῇ, ἕως » οὗ ἐξιλεώθη, τὸν Ῥαβάναν, ὃς ἐνίκησε τὸν Ἴνδραν.

41. «Ἐξ ἐκείνου τῆς γενεᾶς κατάγεται οὗτος ὁ βασιλεὺς Πρα- » τήπας, ὁ σεβόμενος τὴν Βέδαν, καὶ τὴν γεροντικὴν ἡλι- » κίαν, καὶ ἐξαλείψας τὴν δυσφημίαν, ἣν ἔχει ἡ Λαξ- » μὴ [3], ἡ ἀσταθὴς ἐστιν ἐκ φύσεως· ἀσταθὴς δὲ γίνεται » ἐκ τῆς κακίας τῶν ἐχόντων.

42. «Οὗτος, βοηθὸν ἔχων τὸν Ἀγνὴν [4] ἐν πολέμῳ, ἐνόμιζεν, » ὡς φύσιν φύλλου λωτοῦ, τὴν ὀξεῖαν ἀκωκὴν τοῦ πελέ- » κυος τοῦ Παρασσουράμα [5], τὴν ὀλέτειραν τῶν Ξατρῶν.

43. «Τούτου τοῦ μακρόχειρος [6] ἐν ἀγκάλαις ἔσο, ὦ Ἰνδουμα- » τὴ, εἰ ἔφεσίς σοί ἐστιν ὁρᾶν ἐκ τῶν θυρίδων τοῦ βασι-

---

(1) Ἐγίνωσκε δηλονότι τὰ ἐν τῇ καρδίᾳ τῶν ἀνθρώπων.

(2) Δεκακέφαλος ἦν ὁ Ῥαβάνας.

(3) Ἀεὶ δηλονότι ἔχει πλοῦτον καὶ δόξαν.

(4) Ἀγνὴς λέγεται αὐτὸ τὸ πῦρ, καὶ ὁ θεὸς τοῦ πυρός.

(5) Ὁ Παρασσουράμας ἀνεῖλε τὸν πατέρα τούτου, τὸν χιλιόχειρα Ἀρζούναν.

(6) Τὸ ἔχειν μακρὰς χεῖρας, διοικούσας μέχρι τῶν γονάτων, βασιλικὸν ἐστι σημεῖον.

» λείου οἴκου τὴν καλλίῤῥοον Ῥεβὰν [1], τὴν οὖσαν ὥσπερ
» ζώνην τοῦ τείχους τῆς Μαχισματῆς πόλεως.»

44. Οὐκ ἐφάνη δ' ἀρεστὸς αὐτῇ αὐτὸς ὁ βασιλεὺς, καί περ εὐειδὴς ὢν, καθὼς οὐκ ἀρέσκει τῷ λωτῷ ἡ σελήνη ἐν ὥρᾳ Σαράτα, καί περ μὴ ἀποκρυπτομένη ὑπὸ νεφῶν, καὶ πλησιφαὴς οὖσα.

45. Ἡ δὲ φυλάττουσα τὸν γυναικῶνα Σουνανδὰ, ὁδηγήσασα τὴν Ἰνδουματὴν πρὸς τὸν Σουσένναν [2], τὸν βασιλέα τῆς Σουρασένας χώρας [3], τὸν ἀδόμενον ἀπανταχοῦ, καὶ λαμπρύνοντα τὴν πατρικὴν καὶ μητρικὴν γενεὰν ἔργοις λαμπροῖς, ἔφη·

46. «Οὗτος κατάγεται ἐκ τῆς γενεᾶς τοῦ Νήπα, ἐν ᾧ οἰκοῦσι
» πᾶσαι αἱ ἀρεταὶ, ἀφεῖσαι τὴν πρὸς ἀλλήλας ἀντιπά-
» θειαν [4], καθὼς τὰ ζῶα πάντα οἰκοῦσι παρὰ τῇ μονῇ
» τῶν ὁσίων ἀνδρῶν, ἀφέντα τὴν πρὸς ἄλληλα ἀντιπά-
» θειαν [5].

47. «Τούτου τὸ μὲν ἀγλαὸν, χαροποιόν ἐστι τοῖς ὀφθαλμοῖς
» τῶν φίλων καὶ οἰκείων, τὸ δὲ θερμὸν, δυσφορητὸν τοῖς
» τῶν πολεμίων, ὧν οἱ οἶκοι ἀκατοίκητοί εἰσι, καὶ χλόη
» ἀναφύεται ἐν ταῖς στέγαις.

48. «Ὅταν οὗτος συμπαίζῃ γυναιξὶν ἐν ὕδατι, ἡ μελάνδρυος
» Ἰαμουνὰ ἐκ τῆς ἀπομόρξεως τοῦ ἐν τοῖς στήθεσι τῶν
» γυναικῶν λευκοῦ Σανδάνου φαίνεται, ὥσπερεὶ ἡνωμένη
» τῇ λευχύδρῳ Γαγγᾷ.

---

(1) Ῥεβὰ, καὶ Ναρμαδὰ, ὄνομα ποταμοῦ, ὃς περιῤῥεῖ τὴν Μαχισματὴν πόλιν.

(2) Σουσένας, Εὐστράτιος.

(3) Μητρόπολις ἐστὶ τῆς Σουρασένας χώρας ἡ Μαθουρά.

(4) Ἡ καλλονὴ, ἡ ἀνδρεία, ἡ μάθησις, ἡ ὑπεροψία κ.τ.λ. ὁ μὲν γὰρ ἔχων μάθησιν, οὐκ ἔχει κάλλος· ὁ δ' ἔχων κάλλος, οὐκ ἔχει ἀνδρείαν.

(5) Τὰ πρόβατα συναγάλλονται τοῖς λύκοις.

49. «Οὗτος, φορῶν ἐπὶ τοῦ στήθους πολύτιμον λίθον, ὃν ἔδω-
» κεν εἰς ἀμοιβὴν χάριτος ὁ καταφυγὼν εἰς αὐτὸν ὄφις
» Καλίας [1] ἐκ τοῦ φόβου τοῦ Γαρούδα, αἰσχύνην πως
» ποιεῖ τῷ Βισνοῦ, ὃς ἔχει τὸν Καουστούββαν [2].

50. «Στέρξασα οὖν ἄνδρα τοῦτον τὸν νεανίαν, ὦ εὔμορφε, ἀπό-
» λαυε τοῦ ἄνθους τῆς νεότητος ἐν τῷ ἄλσει Βρινδαβάνα,
» ὃ ἔχει εὐνὰς ἐξ ἁπαλῶν φύλλων καὶ ἀνθέων, καὶ οὐδα-
» μοῦ ὑποδεέστερόν ἐστι τοῦ παραδείσου τοῦ Κουβέρα.

51. «Καθημένη ἐν ὥρᾳ ὄμβρων ἐπὶ καταβρεχομένων πλακῶν
» ἐν ταῖς ἀγλααῖς φάραγξι τοῦ ὄρους Γοβαρδδάνα, θεώρει
» ὑπερόδιστα τοὺς χορεύοντας τῶν χρυσοπτέρων ταώνων.»

52. Ἡ δὲ Ἰνδουματή, ἡ ἔχουσα ὀμφαλὸν, ὡς δίνην [3], μέλλου-
σα γενήσεσθαι γαμετὴ ἄλλου βασιλέως, παρῆλθε τὸν Σου-
σέναν, καθὼς ἡ ποταμία ῥεῦσις, ἡ ῥέουσα εἰς τὸν ὠκεανὸν,
παρέρχεται τὸ παρατυχὸν ὄρος.

53. Ἐπὶ τούτοις εἶπεν ἡ ἀμφίπολος πρὸς τὴν σεληνοπρόσωπον
κόρην, ἐλθοῦσαν πρὸς τὸν βασιλέα τῆς Καλίγκας χώρας,
τὸν ἐχθρολέτορα ὄντα, καὶ λαμπρὰ βραχιόνια ἔχοντα, ᾧ
ὄνομα Χεμαγκάδας [4].

54. «Οὗτος ὁ ὅμοιος τῷ ὄρει Μαχένδρᾳ κατὰ τὴν δύναμιν,
» βασιλεύς ἐστι τοῦ Μαχένδρα καὶ τοῦ Ὠκεανοῦ [5]· οὗ ἐν
» ταῖς ἐκστρατείαις ὅτε τὸ ἐλεφαντικὸν σῶμα ἡγεῖται,
» φαίνεται, ὅτι τὸ ὄρος, ὁ Μαχένδρας, προπορεύεται [6].

---

(1) Ὁ Καλίας, καταφυγὼν εἰς τὸν Σουσέναν, ἐτέθη ὑπ' αὐτοῦ ἐν τῷ ὕδατι
τῆς Ἰαμουνᾶς, ἡ ῥέει παρὰ τῇ πόλει Μαθουρᾷ.

(2) Δηλονότι πολυτιμότερός ἐστι τοῦ Καουστούββα.

(3) Ἐπαινεῖται ὁ στρογγύλος καὶ βαθὺς ὀμφαλὸς, ὡς ἡ δίνη.

(4) Χρυσεβραχιόνιος.

(5) Ἔχει δηλονότι, ὡς προτειχίσματα τῆς χώρας ἑαυτοῦ, τὸν ὠκεανὸν, καὶ
τὸν Μαχένδραν, τὸ ὄρος.

(6) Ἔχει δηλ: ἐλέφαντας μεγάλους. ὡς ὄρη.

55. «Οὗτος ὁ καλλιβραχίων, ἄριστός ἐστι τῶν τοξικῶν, καὶ » ἀμφιδέξιος, οὗ αἱ χεῖρες, ὧν ἐν τοῖς καρποῖς τύλους » ἔχει [1] ἐκ τῆς πληγῆς τῆς χορδῆς τοῦ τόξου, ὥσπερ δύω » εἰσὶν ὁδοὶ τῆς ἀλωθείσης δόξης τῶν ἐχθρῶν, ἐν αἷς ἔχυ- » σαν μέλανα δάκρυα [2].

56. «Τοῦτον, κοιμώμενον, ἐξεγείρει ὁ ὅμορος ὠκεανὸς διὰ τοῦ » δούπου, ὡς διὰ σάλπιγγος, τῶν ἀνεγειρομένων κυμά- » των, ἃ ὁρῶνται ἐκ τῶν θυρίδων τοῦ βασιλείου οἴκου.

57. «Τρύφα μετὰ τούτου ἐν ταῖς ἀκταῖς τοῦ ὠκεανοῦ, ἐν αἷς » αἱ Ταλαὶ ψιθυρίζουσι, καὶ ἐξάλειψον τὸν ἐκ παιδιᾶς » ἱδρῶτα τοῦ σώματος διὰ τοῦ ἀέρος, τοῦ φέροντος ἄν- » θη τῶν καρυοφύλλων πόρρωθεν ἐκ νησῶν.»

58. Ἡ δὲ νεωτέρα ἀδελφὴ τοῦ βασιλέως τῆς Βιδάρβας, καί τοι ἐκολακεύθη ὑπὸ τῆς Σουνανδᾶς, προτιμῶσα ὅμως τὴν εὐμορφίαν, ἀπεχώρησεν ἀπ' ἐκείνου τοῦ βασιλέως, καθὼς ἡ εὐδαιμονία, ἡ ἀχθεῖσα μακρόθεν μετὰ πολλῆς φροντίδος, ἀποχωρεῖ ἀπὸ τοῦ κακοδαίμονος.

59. Προσελθοῦσα δὲ ἡ Σουνανδὰ τῷ θεοεικέλῳ βασιλεῖ τῆς πόλεως, ᾗ ὄνομα Ναγαπούρα [3], εἶπε πρῶτον τῇ Ἰνδουμα- τῇ· « Ὦ περδικόφθαλμε, ἀπόβλεψον ἐνθάδε ». Κἄπειτα ἔλεξε τάδε·

60. «Οὗτος ὁ βασιλεὺς τῆς χώρας Πανδῆς, ὁ ἔχων καθημένους » ἐπ' ὤμων ὅρμους ἐκ μαργαριτῶν, καὶ ἀλληλιμμένος τὸ » σῶμα ξανθῷ Σανδάνῳ, ἀγλαΐζεται, ὡς ὁ Ἰμαὸς, ὁ περιρ- » ρεόμενος πίδαξι [4], καὶ ἐρυθρὸς ὢν ἐκ τοῦ ἀνατέλλοντος » ἡλίου.

---

(1) Οἱ φαινόμενοι τύλοι, τὰ στάξαντά εἰσι μέλανα δάκρυα τῆς ἀλωθείσης δόξης τῶν ἐχθρῶν. ἡ ἐστιν, ὡς γυνή.

(2) Τὰ δάκρυα ἦν μέλανα ἐκ τῆς μελαίνης βαφῆς ἐν τοῖς ὄμμασι.

(3) Ὀφιόπολις.

(4) Οἱ λευκοὶ ὅρμοι τῶν μαργαριτῶν, ὡς πίδακές εἰσι.

61. « Τοῦτον, λουόμενον μετὰ τὴν ἱπποθυσίαν, ἐπῄνει ὁ
» Ἀγαστέας ἐκ καρδίας, λέγων· « Εὖ γε! εὖ γε! » ὁ
» Ἀγαστέας, ὃς ἐταπείνωσε τὸν Βινδδέαν[1], τὸ μέγα καὶ
» ὑψηλὸν ἐκεῖνο ὄρος, καὶ κατέπιεν ὅλον τὸν Ὠκεανὸν,
» καὶ πάλιν αὐτὸν ἐξέῤῥευσεν.

62. « Ὁ ὑπέροφρυς Ραβάνας, φοβούμενος μὴ καταστρα-
» φείη ἡ Ζαναθάνα πόλις, ἧς ἦρχε, φιλίαν ἐποιήσατο
» μετὰ τούτου τοῦ βασιλέως, τοῦ λαβόντος παρὰ τοῦ

---

(1) Ὁ Βινδδέας, ὄρος ἐστὶ μέγα, ἐκτεινόμενον μέσον τῆς Ἰνδίας ἀπὸ τοῦ δυτικοῦ μέχρι τοῦ ἑώου, ἔνθα γεννᾶται σίδηρος πολὺς, καὶ ἀδάμαντες, καὶ ποταμοὶ πολλοὶ ἐξέρχονται, ὧν ὀνομαστοί εἰσιν, ὁ Σόνας, ὃς συμμίγνυται τῷ Γάγγῃ, καὶ ἡ Ναρμαδᾶ, ἡ εἰσβάλλει εἰς τὸν Ὠκεανόν. Εἰ τοῦτο τὸ ὄρος, τὸν Βινδδέαν, ὡς μυθολογοῦσιν, ἦλθέ ποτε ὁ θεὸς Ναράδας, ὃς ἐστιν ἄλλος Μῶμος παρ' Ἰνδοῖς, εὐτράπελος, καὶ γελωτοποιὸς· καὶ φίλερις δὲ, καὶ φιλοταράχος. Ὁ δὲ Βινδδέας φιλοφρόνως ὑπεδέξατο αὐτὸν· καὶ τοι δὲ δεξίωσιν καὶ περιποίησιν πολλὴν ἐποιήσατο, ὁ Ναράδας ὅμως ἐν συννοίᾳ ἦν καὶ σκυθρωπότητι. Ὑπονοήσας δ' ὁ Βινδδέας, ὡς τῷ Ναράδᾳ οὐκ ἤρεσεν ἡ δαψιλὴς ξενία, ἤρετο, μεγαλαυχῶν· « Διὰ
» τί σύννους, καὶ σκυθρωπὸς; τί ἐλλιπές ἐστι τῆς ἐμῆς περιποιήσεως καὶ φιλοξε-
» νίας; ἢ ποῖον ἄλλο ὄρος ὀλβιώτερον ἐστὶν ἐμοῦ, καὶ μᾶλλον καρποφόρον καὶ βο-
» τανηφόρον; πρὸς δὲ τοῖς ἄλλοις ἀγαθοῖς καὶ μεταλλεῖα ἔχω ἀδαμάντων, καὶ ὁ
» περίφημος δὲ Ἰμαὸς ὡς πρὸς ἐμὲ οὐδέν ἐστιν, ὃς χιόνα μόνην ἔχει, καὶ ζῶα
» ἄγρια ». Ὁ δὲ Ναράδας ἀπεκρίνατο, ὡς ἡ Μερόη καυχᾶται, ὅτι χρυσοῦν ἐστιν ὄρος, καὶ ὑψηλότερον πάντων, ὃ ὁ ἥλιος περιέρχεται ἑκάστοτε. Ἀκούσας ὁ Βινδδέας, ἐταράχθη· καὶ τοσοῦτον εὐθέως ὑψηλὸς καὶ οὐρανομήκης ἐγένετο, ὥστε ἐμποδὼν ἦν τῇ διόδῳ τοῦ ἡλίου. Σκοπήσαντες δ' οἱ θεοὶ, ὡς τὸ πᾶν καταστραφήσεται, ὅταν μὴ ποιῇ τὴν συνήθη κυκλικὴν φορὰν ὁ ἥλιος, ἐλθόντες πρὸς τὸν Ἀγαστέαν, ὃς ἐμόναζεν ἐν Βαρανασῇ, καὶ πνευματικὸς ἦν πατὴρ τοῦ Βινδδέα, ἱκέτευσαν αὐτὸν μεσιτεῦσαι πρὸς τὸν Βινδδέαν. καὶ τρόπον ποιῆσαι ἀπαλλαγῆς τοῦ δεινοῦ. Ἐλθόντος δὲ τοῦ Ἀγαστέα, ὁ Βινδδέας, πεσὼν, προσεκύνησεν αὐτὸν, καὶ εἶπεν αἰτῆσαι, ὅ,τι βούλεται. Ὁ δὲ Ἀγαστέας εἶπε· « Τοῦτ' ἐστὶ τὸ ἐμὸν
» αἴτημα, ἵνα μένῃς οὕτω κεκλιμένος, ἕως ἂν ἀναστρέψω ». Ταῦτα εἰπὼν, ἀνεχώρησεν εἰς τὸ νότιον μέρος, καὶ οὐδέποτε ἀνέστρεψεν. Ὁ δὲ Βινδδέας, πειθόμενος τῇ προσταγῇ τοῦ πνευματικοῦ πατρὸς, καὶ περιμένων τὴν ἐπάνοδον αὐτοῦ, μένει κεκλιμένος ἐξ ἐκείνου τοῦ χρόνου μέχρι τῆς σήμερον. Οὗτος ὁ μῦθος ἀλληγορικός ἐστι· τὸ γὰρ ὄρος αὐτὸ, ὁ Βινδδέας, εἰ καὶ μῆκος πολὺ καὶ πλάτος ἔχει, οὐκ ἔχει ὅμως ὕψος ἀνάλογον.

» Σίβα ὅπλον κραταιὸν (δύσκτητον), κἄπειτα ἐξεστράτευ-
» σε κατὰ τοῦ Ἰνδρα.

63. « Κρατηθείσης τῆς σῆς χειρὸς κατὰ τὸν νόμον ὑπὸ
» τούτου, τοῦ ἐκ μεγάλης γενεᾶς καταγομένου, ἔσο γυ-
» νὴ αὐτοῦ, ὡς ἡ νοτία γῆ, ἧς ὅρος ἐστὶν ὁ Ὠκεανὸς, ὁ
» πλήρης ὢν πολυτίμων κειμηλίων.

64. « Στέρξον συμπαίζειν ἀεὶ τούτῳ τῷ βασιλεῖ ἐν τοῖς
» τόποις τοῦ ὄρους Μαλαΐα, ἔνθα ἡ Ταμβούλα συμπλέ-
» κεται ταῖς Πούγγαις, καὶ τὸ Καρδάμωμον τοῖς Σαν-
» δάνοις, καὶ ἡ γῆ κατάστρωτός ἐστι τοῖς φύλλοις τοῦ
» δένδρου Ταμάλα [1].

65. » Τὸ μὲν σῶμα τούτου κυανοειδές ἐστι, τὸ δὲ σὸν
» χρυσοειδές· σύζευξις ἔστω ὑμῖν εἰς αὔξησιν τῆς ἀλ-
» λήλων ἀγλαΐας, καθὼς ἡ σύζευξις τῆς ἀστραπῆς καὶ
» τοῦ νέφους μᾶλλον ἀγλαΐζεται ».

66. Ἡ δὲ παραίνεσις ἐκείνης τῆς ἀμφιπόλου οὐκ ἔσχε τό-
πον ἐν τῇ καρδίᾳ τῆς ἀδελφῆς τοῦ βασιλέως τῆς Βι-
δάρβας, καθὼς οὐδὲ ἡ σελήνη τόπον ἔχει ἐν τῷ λωτῷ,
ᾧ συμμύει, ὅτε ἡ ἥλιος δύει.

67. Ὁντινα δὲ βασιλέα παρήρχετο ἡ Ἰνδουματὴ, οὗτος με-
λαγχολίαν εἶχε, καθὼς ὅτι ἐργαστήριον ἐν τῇ ἀγορᾷ παρέρ-
χεται ὁ φερόμενος πυρσὸς ἐν νυκτὶ, τοῦτο σκότος ἔχει.

68. Προσελθούσης δὲ τῆς Ἰνδουματῆς, ὁ υἱὸς τοῦ Ῥαγγοῦ
δισταγμὸν ἔσχεν ἐν τῇ καρδίᾳ ἑαυτοῦ, ταῦτα διανοού-
μενος· « ἆρα αἱρήσεταί με νυμφίον; ἢ οὐχί; ἐν ταὐτῷ
δὲ ὁ γεγενημένος παλμὸς ἐν τῷ μυῶνι τῆς δεξιᾶς χει-
ρὸς [2], ἀπέβαλε τὸν δισταγμὸν αὐτοῦ.

---

(1) Ταμάλα, δένδρον μέγα, οὗ τὸ φύλλον μελανοειδές.

(2) Τῶν μὲν ἀνδρῶν ἐν τῷ δεξιῷ μέρει ὁ παλμὸς, αἴσιός ἐστι, τῶν δὲ γυ-
ναικῶν ἐν τῷ ἀριστερῷ.

69. Ἐλθοῦσα δ' ἡ κόρη πρὸς τοῦτον, τὸν ἔχοντα μέλη ἄψογα, οὐκ ἤθελεν ἐλθεῖν πρὸς ἄλλους βασιλεῖς, καθὼς ἡ πληθὺς τῶν βομβυλίων, ἐλθοῦσα εἰς τὴν ἀνθοῦσαν Ἄμραν, οὐκ ἐφίεται ἄλλου δένδρου.

70. Ἡ δὲ Σουνανδὰ, ἡ εὐποροῦσα λόγων προσηκόντων, σκοπήσασα τὴν σεληνοειδῆ Ἰνδουματὴν, ἔχουσαν ὅλην τὴν καρδίαν ἑαυτῆς πρὸς τοῦτον, ἤρξατο τάδε λέγειν ἐκτεταμένως·

71. « Ὁ Κακούτσας, ὁ περίφημος ἐπ' ἀρεταῖς, καὶ ἄριστος » ἐν βασιλεῦσι, ἦν καταγόμενος ἐκ τοῦ Ἰξβακοῦ, υἱοῦ » τοῦ Μανοῦ· ἐξ ἐκείνου οἱ μεγαλόφρονες βασιλεῖς τῆς » Κοσσάλας χώρας ἔχουσι ταύτην τὴν ἐπαινετὴν παρω- » νυμίαν, *Κακούτστιοι*.

72. « Οὗτος ὁ Κακούτσας, μιμηθεὶς τὸν Σίβαν, ἀνέβη τὸν » μέγαν Ἴνδραν, σχῆμα λαβόντα ταύρου[1], καὶ ἐποίησεν ἐν » πολέμῳ διὰ τῶν βελῶν τὰς παρειὰς τῶν γυναικῶν τῶν » Γιγάντων καὶ Τιτάνων ἄνευ χρίσματος Σανδάνου[2].

73. « Μετὰ δὲ τὴν νίκην, ἀναλαβόντος τοῦ Ἴνδρα τὴν οἰ- » κίαν μορφὴν, ὁ Κακούτσας ἐγίνετο σύνεδρος αὐτῷ ἐπὶ » τοῦ αὐτοῦ θρόνου, προστρίβων τὸ οἰκεῖον βραχιόνιον » τῷ βραχιονίῳ ἐκείνου, καὶ προσπιέζων[3].

74. « Ἐξ ἐκείνου τοῦ Κακούτσα κατάγεται ὁ πανεύφημος » καὶ πανέκλαμπρος βασιλεὺς Διλήπας, ὃς παρὰ μίαν » ἑκατὸν ἱπποθυσίας ἐτέλεσε, μὴ βουλόμενος ἐρίζειν τῷ » Ἴνδρα, ὃς ἦν ἐναντίος.

---

(1) Ὁ Ἴνδρας πόλεμον ἔχων κατὰ τῶν Τιτάνων, ἐκάλεσεν αὐτὸν εἰς συμμαχίαν, ὁ δ' ἔφη· « Τότε συμμαχῶ, ὅταν σὺ μὲν λάβῃς σχῆμα ταύρου, ἐγὼ δὲ ἀναβῶ ἐπὶ τοῦ νώτου σου »· οὕτω δὲ καὶ ἐγένετο.

(2) Ἀπέδειξε δηλονότι αὐτὰς χήρας, αἷς οὐκ ἐστὶ θεμιτὸν κοσμεῖσθαι.

(3) Ἐκάθητο δηλονότι ἄγχιστα ἄνευ συστολῆς.

75. « Τούτου διοικοῦντος τὴν γῆν, οὐδ' ὁ ἄνεμος ἀνεπετάν-
» νυε τὰ ἄμφια τῶν γυναικῶν, τῶν κοιμωμένων ἐκ
» μέθης ἐν μέσῳ τῆς εἰς Κήπους ὁδοῦ. Τίς δ' ἄρ' ἐτόλμα
» χεῖρα ἐκτεῖναι (βαλεῖν) εἰς κλοπὴν τῶν κοσμημάτων ;

76. « Τούτου ὁ υἱὸς Ῥαγγοῦς ἔχει νῦν τὴν βασιλείαν, ὁ
» τελέσας τὴν παντονίκην θυσίαν, καὶ τὸν ἐκ τῆς παγ-
» κοσμίου νίκης συλλεγέντα πλοῦτον καταναλώσας το-
» σοῦτον, ὥστε πηλίνῳ ἀγγείῳ χρῆσθαι.

77. « Τούτου ἡ εὔκλεια, ἡ ἀναβᾶσα τὰ ὄρη, καὶ διαβᾶσα
» τὰ πελάγη, ἡ ἐλθοῦσα εἰς τὰ ὑποχθόνια, καὶ ἀνελθοῦ-
» σα εἰς τὰ οὐράνια, καὶ ἐν παντὶ τόπῳ καὶ χρόνῳ οὖ-
» σα, οὐκ ἔστιν εὐχερὴς μετρηθῆναι, πόση ἐστίν.

78. « Ἐκ τούτου τοῦ Ῥαγγοῦ οὗτος ὁ νεανίας Ἄξας ἐγεν-
» νήθη, καθὼς ὁ Ζαϊάντας ἐκ τοῦ Ἴνδρα, ὃς φέρει τὸ
» βαρὺ φορτίον τοῦ κόσμου, ὡς ὁ νεοδάμαστος ταῦρος
» τὸν ζυγὸν, ὁμοίως τῷ ἑαυτοῦ πατρί.

79. « Λάβε ἄνδρα τοῦτον τὸν ὅμοιόν σοι κατὰ τὴν λαμ-
» πρότητα τοῦ γένους, κατὰ τὴν ἀγλαΐαν τοῦ σώματος,
» κατὰ τὴν νεανικὴν ἡλικίαν, καὶ κατὰ πάσας τὰς λοι-
» πὰς ἀρετάς· συζευχθήτω ἡ πολύτιμος λίθος τῷ
» χρυσῷ ».

80. Εἰπούσης ταῦτα τῆς Σουνανδᾶς, ἡ βασιλικὴ κόρη, ἐλαττώσασα τὴν αἰδῶ, εἵλετο τὸν νεανίαν τῇ ἱλαρᾷ βολῇ τῆς ὁράσεως, ὡσπερεὶ θέσει νυμφικοῦ στεφάνου.

81. Ἐκ δ' αἰσχύνης οὐκ ἠδύνατο ἐξειπεῖν τὸν σφοδρὸν ἔρωτα, ὃν ἔσχεν εἰς αὐτὸν τὸν νέον. Ἀλλ' ὁ ἔρως, διαῤῥήξας τὸ λεπτὸν σῶμα τῆς αὐλοβοστρύχου κόρης, ἐξεφάνη διὰ τῆς φρίκης [1].

---

(1) Τῷ ἱρῶντι καὶ τρόμος γίνεται τοῦ σώματος, καὶ φρίκα.

82. Ἡ δὲ Ῥαβδοῦχος εἶπεν, ἀστεϊζομένη, πρὸς τὴν κόρην, τὴν οὕτω διατεθειμένην· « Ὦ κυρία, πορευθῶμεν πρὸς ἕτερον ». Ἡ δὲ ταυρηδὸν ἀπέβλεψεν εἰς αὐτήν.

83. Ἡ μὲν οὖν εὔμηρος κόρη ἔθετο προσηκόντως διὰ τῶν χειρῶν τῆς θεραπαίνης περὶ τὸν λαιμὸν τοῦ Ἄζα τὸν ἐρυθρὸν στέφανον [1], ὥσπερ σωματικὸν ἔρωτα.

84. Ὁ δὲ κάλλιστος Ἄζας ἐνόμιζεν, ὡς ὁ ἐπὶ τοῦ εὐρέος στήθους αὐτοῦ ἀπηωρημένος στέφανος καλῶν ἀνθέων, αἱ δύω χεῖρές εἰσι τῆς κόρης, κρεμάμεναι ἐπὶ τοῦ λαιμοῦ αὐτοῦ.

85. Χαρέντες δ' οἱ πολῖται ἐπὶ τῇ ἁρμοδίᾳ συζεύξει, ἐξεφώνησαν ἕνα λόγον ξύμπαντες, πικρὸν τῇ ἀκοῇ τῶν βασιλέων· « Αὕτη συνεζεύχθη καταλλήλως τῷ Ἄζᾳ, καθὼς » ἡ ἀγλαΐα τῷ φωστῆρι τῆς νυκτὸς ἐν ὥρᾳ Σαράδᾳ, καὶ » ἡ Γαγγὰ τῷ Ὠκεανῷ ».

86. Ἡ δὲ σύνοδος τῶν βασιλέων ἐκ μὲν τοῦ ἑνὸς μέρους ἐχάρη [2], ἐκ δὲ θατέρου ἐλυπήθη, καθὼς ἡ λίμνη περὶ τὴν ἕω τῇ μὲν λαμπρύνεται διὰ τῶν ἡμερανθέων λωτῶν, τῇ δὲ ἀμαυροῦται διὰ τῶν νυκτανθέων.

---

(1) Ἐπὶ τοῦ στεφάνου πάσσουσιν ἐρυθρὰν κόνιν· τὸ γὰρ ἐρυθρὸν σύμβολόν ἐστι τοῦ ἐπιθυμητικοῦ.

(2) Ὅσοι δηλ. ἦταν φίλοι, ἐχάρησαν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

1. Ὁ μὲν οὖν βασιλεὺς τῆς Βιδάρβας, παραλαβὼν τὴν ἑαυτοῦ ἀδελφὴν, συζευχθεῖσαν καταλλήλῳ νυμφίῳ, ὥσπερ ἄλλην Δεβασενὰν [1], συζευχθεῖσαν τῷ Σκάνδᾳ, ἐπορεύετο εἰς τὰ βασίλεια.
2. Οἱ δὲ βασιλεῖς ἀπήρχοντο εἰς τὰ ἑαυτῶν στρατόπεδα, βραχεῖαν ἔχοντες τὴν φαιδρότητα τοῦ προσώπου, ὡς ἡ σελήνη καὶ οἱ ἀστέρες περὶ τὴν ἕω, καὶ ψέγοντες τὴν ἑαυτῶν μορφὴν καὶ στολὴν, διότι ἀπέτυχον τοῦ ἐφετοῦ.
3. Ἐπειδὴ δὲ ὄλεθρος γίνεται τῷ ποιοῦντι ταραχὴν ἐν τῷ αἱρετῷ γάμῳ, ἔνθα πάρεστιν ἡ εἰκὼν τῆς θεᾶς Σακκῆς [2], διὰ τοῦτο οἱ βασιλεῖς ἀνοχὴν τότε ἔσχον, καί περ φθονοῦντες τῷ Ἄζᾳ.
4. Ὁ δὲ νυμφίος μετὰ τῆς νύμφης ἐπορεύετο διὰ τῆς λεωφόρου, ἣ ἐστρωμένη ἦν ἄνθεσι, καὶ κεκοσμημένη κατὰ τὰς θύρας σειραῖς ἐκ φύλλων, καὶ κατάσκιος ἀναπεταννυμέναις σημαίαις.
5. Τῶν δὲ τῆς πόλεως γυναικῶν, αἳ ἦσαν ἐν οἴκοις ἔχουσι χρυσᾶς θυρίδας, καὶ ἀφεῖσαι πᾶν ἔργον, προθυμίαν εἶχον καὶ φροντίδα θεωρῆσαι τὸν Ἄζαν, τοιαύτη ἦν ἡ κατάστασις·
6. Ἄλλης μὲν γὰρ, τρεχούσης εἰς τὴν θυρίδα, διελύθη ἡ περιδεδεμένη κόμη, καὶ ἔπεσον τὰ ἄνθη [3]· καί τοι δὲ

---

(1) Δεβασενὰ ἑρμηνεύεται Θεοστράτη· ἔστι δὲ θυγάτηρ τοῦ Ἴνδρα.

(2) Οὐκ ἔστι θεμιτὸν ταραχὴν ποιεῖν ἐν τῇ αἱρέσει νυμφίου, ἔνθα πάρεστιν ἡ εἰκὼν τῆς θεᾶς Σακκῆς, ἀλλὰ μετέπειτα. Ἐν παντὶ γάμῳ ἡ εἰκὼν τῆς Ἰνδρανοῦς παρίδρυται.

(3) Αἱ γυναῖκες τῆς Ἰνδίας περιδέουσι τὴν κόμην ὄπισθεν ἐν τῷ μεταφρένῳ, καὶ περικοσμοῦσιν αὐτὴν ἄνθεσι.

ἐκράτει τῇ χειρὶ τὴν κόμην, οὐκ εἶχε φροντίδα τοῦ περιδῆσαι αὐτήν.

7. Ἄλλη δὲ, ἀφελκύσασα ἀπὸ τῆς χειρὸς τῆς κοσμητρίας τὸν ἑαυτῆς πόδα, ὃς εἶχεν ὑγρὰν ἔτι τὴν βαφὴν, ἀφεῖσα τὸ σοβαρὸν βάδισμα, ἔθεεν εἰς τὴν θυρίδα, καὶ ἐποίει τὸ ἔδαφος κεχρωματισμένον τῇ ἐρυθρᾷ βαφῇ τοῦ λακκίου [1].

8. Ἄλλη δὲ, βάψασα τὸν δεξιὸν ὀφθαλμὸν, ἀφῆκεν ἄβαπτον τὸν ἀριστερὸν, καὶ ἔτρεχεν εἰς τὴν πλησίον θυρίδα, κρατοῦσα τὴν βαπτικὴν μήλην.

9. Ἄλλη, ἔχουσα τὴν ὅρασιν διὰ τῆς θυρίδος εἰς τὴν ὁδὸν, οὐκ ἔδησε τὸν διαλυθέντα δεσμὸν τοῦ διαζώματος, ἀλλὰ κρατοῦσα αὐτὸ τῇ χειρὶ, ἧς τὰ περικάρπια κοσμήματα ἠὔγαζον τὸν ὀμφαλὸν, ἵστατο, θεωροῦσα.

10. Ἄλλης δὲ, ἀναστάσης ταχέως, καὶ δραμούσης ἐπὶ τὴν θυρίδα, ἐξέπιπτον ἐν ἑκάστῳ βήματι ἐκ τῆς ἀρπεδόνης, ἣ ἦν ἀτελὴς, οἱ μαργαρίται καὶ ἀδάμαντες, καὶ ἔμεινεν ἐν τοῖς δακτύλοις ἡ ἀρπεδόνη μόνη [2].

11. Αἱ δὲ θυρίδες, ἐν αἷς ἦσαν τὰ πρόσωπα τῶν φιλοθεαμόνων γυναικῶν, ὧν τὰ στόματα εὐωδίαν ἐξέπεμπον ἐκ τοῦ ἀνθοσμίου οἴνου, τὰ δ' ὄμματα ἦν γοργὰ, ὡς βομβύλιοι, ἦσαν, ὥσπερ κεκοσμημέναι λωτοῖς [3].

12. Βλέπουσαι δ' ἐκεῖναι αἱ γυναῖκες τὸν Ἄζαν ἀκορέστως καὶ ἡδέως, οὐκ ἠσθάνοντο ἄλλου τινος· πᾶσα γὰρ ἡ τῶν

---

(1) Αἱ γυναῖκες τῆς Ἰνδίας τιθέασιν ἐν τοῖς πέλμασι τῶν ποδῶν τὴν βαφὴν τοῦ λακκίου, τοῦ Ἰνδικοῦ κηροῦ, ἥ ἐστιν ἐρυθρά.

(2) Ἐμπερονῶσα τῇ ἀρπεδόνῃ τοὺς μαργαρίτας καὶ ἀδάμαντας, ἀνέστη εὐθέως, καὶ διὰ τοῦτο ἔπιπτον οἱ μαργαρίται, ἀδέτου οὔσης τῆς ἀρπεδόνης.

(3) Δηλονότι τὰ ἐν ταῖς θυρίσι πρόσωπα τῶν γυναικῶν. ὡς λωτοὶ ἦσαν· τὸ γὰρ ἄγλαον πρόσωπον τῷ ἀγλαῷ λωτῷ εἰκάζεται παρὰ τοῖς Ἰνδοῖς.

λοιπῶν αἰσθήσεων ἐνέργεια εἰσῆλθέ πως εἰς τὸν ὀφθαλμὸν, καὶ τά δε ἔλεγον·

13. « Καλῶς ἐποίησεν ἡ Ἰνδουματὴ, ἣ προὔτεινε τὴν αἵ-
» ρεσιν νυμφίου ἐν συνελεύσει πολλῶν, καί τοι ὑπὸ βα-
» σιλέων, ἀπόντων, παρεκαλεῖτο εἰς γάμον ἰδίως· πῶς
» γὰρ ἂν ἄλλως ἐλάμβανεν ἄνδρα κατάλληλον, καθὼς
» ἡ Λαξμὴ τὸν Βισνοῦν ;

14. « Εἰ μὴ συνεζεύγνυτο τοῦτο τὸ αὐθαίρετον καὶ κατάλ-
» ληλον ζεῦγος, μάταιος ἂν ἦν ὁ πόνος τοῦ ποιητοῦ Βραχ-
» μᾶ, ὃν ἐποίησε περὶ τὴν ἀγλαὰν πλάσιν ἀμφοτέρων
» τούτων.

15. « Πάντως γε ἡ Ρατὴ καὶ ὁ Κάμας [1] ἐγεννήθησαν ἐν τῇ
» μορφῇ τούτων· διὰ τοῦτο, πολλῶν παρόντων βασι-
» λέων, ἡ νεάνις αὕτη εἵλετο τὸν ὁμοιοφανῆ (ἰσόζυγον)·
» ἡ γὰρ ψυχὴ γινώσκει τὴν ἐν τῇ προτέρα γενέσει συ-
» νέλευσιν [2] ».

16. Τοιούτων λόγων, ἐξερχομένων ἐκ στομάτων τῶν γυναικῶν, καὶ ἡδυνόντων τὴν ἀκοὴν, ἀκούων ὁ νεανίας Ἄζας, ἦλθεν εἰς τὸν πενθερικὸν οἶκον, τὸν καλοῖς καὶ αἰσίοις κοσμήμασιν ἠγλαϊσμένον.

17. Καταβὰς δὲ εὐθέως ἀπὸ τοῦ θήλεος ἐλέφαντος [3], οὗ τῆς χειρὸς ἥψατο ὁ βασιλεὺς τῆς Καμαρούπας χώρας, εἰσέβη εἰς τὴν αὐλὴν, ἣν ἔδειξεν ὁ βασιλεὺς τῆς Βιδάρβας, καθὼς εἰσβαίνει εἰς τὴν καρδίαν τῶν γυναικῶν [4].

18. Καθίσας δ' ἐπὶ πολυτίμου καθέδρας, ἐδέξατο μετὰ τῆς

---

(1) Ρατὴ μεθερμηνεύεται, Ἐπιθυμία· ἔστι δὲ γυνὴ τοῦ Ἔρωτος, ὃς ὀνομάζεται Κάμας· καὶ ἡ Ρατὴ καὶ ὁ Κάμας ὡραιότατοί εἰσι, καὶ ἀδιάζευκτοι.

(2) Κλίνει δηλονότι εἰς τὴν προτέραν φύσιν καὶ συνήθειαν.

(3) Ὁ θήλυς ἐλέφας, αἴσιος.

(4) Ἀγαπᾶται δηλ.

ἡδείας ὁράσεως τῶν γυναικῶν τὰ εἰς τιμὴν πρόσφορα, ἃ ἔδωκεν αὐτῷ ὁ Βόζας, ὕδωρ μετὰ πολυτίμων κειμηλίων, καὶ μέλι μεμιγμένον ὀξυγάλακτι [1], καὶ ζεῦγος λευκῶν ἱματίων [2].

19. Φορῶν δὲ φορέματα λευκὰ, ἐκομίσθη πρὸς τὴν νύμφην ὑπὸ φρονίμων ἀνδρῶν τῆς οἰκίας, καθὼς ὁ Ὠκεανὸς, ἀφρίζων [3], φέρεται εἰς τὴν ἀκτὴν ὑπὸ τῶν ἀκτίνων τῆς σελήνης [4].

20. Ὁ δὲ σεβάσμιος ἱερεὺς τοῦ Βόζα, ὢν λαμπρὸς, ὡς τὸ πῦρ, ἅψας πῦρ, καὶ σπονδὴν ποιήσας, καὶ βαλὼν αὐτὸ εἰς μαρτυρίαν τοῦ γάμου, συνέζευξε τὸν νυμφίον καὶ τὴν νύμφην.

21. Κρατῶν δ' ὁ βασιλεὺς τῇ ἑαυτοῦ χειρὶ τὴν χεῖρα τῆς νύμφης, λίαν ἠγλαΐζετο, καθὼς ἡ Ἄμρα ἀγλαΐζεται, συμμίξασα τὰ ἑαυτῆς φύλλα τοῖς φύλλοις τοῦ συμπεπλεγμένου δένδρου Ἀσσόκα.

22. Ἐν ταὐτῷ δὲ ὁ μὲν νυμφίος φρίκην ἔσχεν ἐν χειρὶ, ἡ δὲ νύμφη ἱδρῶτα, ὥσπερ εἰ διεμερίσατο ἐν ταὐτῷ ὁ Ἔρως ἀμφοτέροις τούτοις τὴν ἑαυτοῦ φυσικὴν ἐνέργειαν [5].

23. Καί τοι δὲ τὰ καλὰ ὄμματα αὐτῶν, ὑποβλέποντα, ἐπιθυμίαν εἶχον ἀντιβλέψαι πρὸς ἄλληλα, περιεκλείοντο

---

(1) Ἐν ἀγγείῳ ὕδωρ ἐστὶ, καὶ σάνδανον, καὶ χρυσίον, ἢ ἀργύριον, ἢ πολύτιμοι λίθοι, ἃ περ ἐγχέουσι τῇ παλάμῃ τοῦ γαμβροῦ· διδόασι δὲ καὶ μέλι καὶ ὀξύγαλα, ἃ περ μιγνύων, ἐσθίει.

(2) Περίζωμα, καὶ ἐπωμίδα, ἃ περ ἐνδύεται· ἃ περ δὲ ἐφόρει, ἐλθὼν, ἐκδύεται.

(3) Λευκὸς ὁ ἀφρὸς. καθὼς καὶ τὰ ἄμφια.

(4) Ὅτε ἡ Σελήνη πληροῦται, τότε καὶ ὁ Ὠκεανὸς ὑπερπληροῦται, καὶ κύματα μεγάλα ἀναφέρει.

(5) Ἴδιον Ἔρωτος, φρίκη, ἱδρὼς, τρόμος, καὶ λειποθυμία.

ὅμως, ὥσπερ ἐν εἱρκτῇ, τῇ αἰδοῖ, καὶ διὰ τοῦτο ἐπείργοντο τῆς ἀπολαύσεως τοῦ ἐφετοῦ.

24. Ἠγλαΐζετο δὲ ἐκεῖνο τὸ συνεζευγμένον ζεῦγος, περιερχόμενον ἐκ δεξιοῦ τὸ ἀναφλεγόμενον πῦρ, καθὼς ἀγλαΐζεται τὸ συνεζευγμένον ἡμερονύκτιον, περιερχόμενον τὸ ὄρος, τὴν Μερόην [1].

25. Ἡ δὲ σεμνὴ νύμφη, ἡ παχύγλουτος [2], καὶ περδικόφθαλμος, προσταχθεῖσα ὑπὸ τοῦ ἱερέως, τοῦ ὄντος ὁμοίου τῷ Βραχμᾷ, ἔῤῥιπτεν ὄρυζαν πεφρυγμένην εἰς τὸ πῦρ.

26. Καπνὸς δ' ἐκ τοῦ πυρὸς ἐξήρχετο, ὀσμὴν ἔχων βουτύρου, καὶ φύλλων Σαμῆς [3], καὶ πεφρυγμένης ὀρύζης, καὶ ταῖς παρειαῖς τῆς κόρης προσέρπων, ἐφαίνετο ἐν ἀκαρεῖ, ὅτι λωτὸς ἦν κυάνεος ἐν ἑκατέρᾳ τῇ παρειᾷ, κρεμάμενος ἐξ ἑκατέρου τοῦ ὠτός.

27. Ἐκ δὲ τοῦ καπνίζοντος ἱεροῦ πυρὸς αἱ μὲν παρειαὶ τῆς κόρης ἐρυθραὶ ἐγένοντο, τὰ δ' ὄμματα πλήρη δακρύων· ἡ δὲ περὶ τὰ ὦτα βλάστη τῆς κριθῆς ἐμαράνθη [4].

28. Μετὰ δὲ ταῦτα, καθήμενοι ὁ νεανίας καὶ ἡ νεάνις ἐπὶ χρυσῶν καθεδρῶν, ἀνεδέχοντο βεβρεγμένην ὄρυζαν, ἣ διερῥαίνετο ἐπ' αὐτοὺς ὑπ' ἀνδρῶν ἀγαθῶν καὶ γυναικῶν σωφρόνων καὶ ὑπὸ τοῦ βασιλέως αὐτοῦ.

29. Ὁ μὲν οὖν βασιλεὺς, ὁ πολύλαμπρος καὶ πολύολβος, τε-

---

(1) Μυθολογεῖται, ὡς τοῦτο τὸ ὄρος κεῖται ἐν μέσῳ τῆς γῆς, ὅπερ περιέρχεται ὁ ἥλιος· καὶ ὅπου μὲν πάρεστιν, ἡμέρα ποιεῖ, ὅπου δ' ἄπεστι, νύκτα· ἐρυθρόν ἐστι τὸ ὄρος ἐκεῖνο, ὡς χρυσοῦν, καθὼς καὶ τὸ πῦρ. Ἐπὶ τῆς κορυφῆς τούτου τοῦ ὄρους ἐρείδεται ὁ οὐρανός.

(2) Βαθύγλουτος, ἢ βαθύζωνος.

(3) Ξύλα Πλάσσα δένδρου, καὶ φύλλα Σαμῆς τιθέασιν ἐν τῷ πυρὶ τοῦ γάμου·

(4) Κριθὴ σπείρεται ἐν οἴκῳ ἐν γάστρᾳ· καὶ ὅταν ἀναφύσῃ, καὶ ἀναβλαστήσῃ μέχρι μιᾶς σπιθαμῆς, κόπτεται, καὶ τίθεται, χλοάζουσα, ἐπὶ τῆς κεφαλῆς, ἢ ἐπὶ τοῦ ὠτὸς ἐν ἐπισήμοις ἡμέραις· κρίνεται δὲ τοῦτο αἴσιον.

λέσας τὸν γάμον τῆς ἑαυτοῦ ἀδελφῆς, ἐπέταξε τοῖς ἐπιστάταις τιμῆσαι δώροις λαμπροῖς, ὡς δεῖ, ἕκαστον τῶν βασιλέων [1].

30. Οἱ δὲ βασιλεῖς, δεικνύοντες μὲν εὐμένειαν, ὑποκρύπτοντες δὲ δυσμένειαν, καθὼς οἱ βαθεῖς τόποι φαίνονται μὲν καθαρὸν ὕδωρ ἔχοντες, ὑποκρύπτουσι δ' ἐν μυχοῖς κροκοδείλους, ἐφιλοφρονήσαντο τὸν Βόζαν δώροις ἀμοιβαίοις, καὶ λαβόντες ἄδειαν, ἀνεχώρησαν.

31. Βουλὴν δὲ πρότερον ποιησάμενοι πάντες οὗτοι οἱ βασιλεῖς, λαβεῖν ἐβουλήθησαν τὴν καλὴν Ἰνδουματὴν βίᾳ ἐν πολέμῳ· καὶ συνελθόντες, ἀπέκλεισαν τὴν ὁδὸν, ἣν διοδεύσειν ἔμελλεν ὁ Ἄζας.

32. Ὁ δὲ βασιλεὺς τῆς Βιδάρβας χώρας μετὰ τὴν τελετὴν τοῦ γάμου τῆς νεωτέρας ἀδελφῆς ἀπέπεμψε τὸν Ἄζαν οἴκαδε, καὶ προὔπεμψεν αὐτὸν, προῖκα δοὺς ἀναλόγως τῇ ἑαυτοῦ δυνάμει.

33. Συνοδεύσας δὲ τῷ ὀνομαστῷ ἐν τοῖς τρισὶ κόσμοις Ἄζᾳ ἐν τρισὶ σταθμοῖς αὐτὸς ὁ βασιλεὺς τῆς Κουνδίνας πόλεως, διεζεύχθη ἀπ' ἐκείνου, καθὼς ὁ φωστὴρ τῆς νυκτὸς μετὰ τὴν ἔνην καὶ νέαν διαζεύγνυται ἀπὸ τοῦ Ἡλίου [2].

34. Ἐπειδὴ δὲ οἱ βασιλεῖς καὶ πρότερον ὀργίλως (ἐχθρωδῶς) διέκειντο τῷ Ῥαγγοῦ διὰ τὸν ὃν ἔλαβε φόρον παρ' ἑνὸς ἑκάστου [3], διὰ τοῦτο ἤδη συνελθόντες, οὐκ ἠνέσχοντο βλέπειν τὴν πολύτιμον Ἰνδουματὴν ἐν χερσὶ τοῦ υἱοῦ ἐκείνου τοῦ Ῥαγγοῦ.

35. Ἐλθόντες οὖν αὐτοὶ οἱ ὑπέροφρονες βασιλεῖς, ἐπέσχον τῆς

---

(1) Ἔθος ἐστὶ διδόναι χρυσοῦφαντα περιβόλαια, καὶ ἄλλα τοιαῦτα πολύτιμα πράγματα τοῖς κεκλημένοις εἰς γάμιν.

(2) Ἐν τῇ ἔνῃ καὶ νέᾳ σύνοδός ἐστι τοῦ Ἡλίου καὶ τῆς Σελήνης.

(3) Ὅτε ἐξεστράτευσεν εἰς παγκόσμιον νίκην.

ὁδοῦ αὐτὸν τὸν γήμαντα τὴν Ἰνδουματὴν, καθὼς ὁ Πραχλάδας ἐπέσχε τὸν Βημάναν, τὸν λαβόντα τὴν δοθεῖσαν περιουσίαν τοῦ Βαλῆ [1].

36. Παρατάξας δ' ὁ Ἄζας τὸν πατρικὸν σύμβουλον, ὃς εἶχε πολὺν στρατὸν, εἰς φυλακὴν τῆς Ἰνδουματῆς, ἐναντίος ἐγένετο τῷ στρατῷ τῶν βασιλέων, καθὼς ὁ σφοδρῶς ῥέων Σόνας, ἐναντίος γίνεται τῷ Γάγγῃ [2].

37. Μάχη δ' ἐγίγνετο τοῖς ἀντιμάχοις ἐκ παραλλήλου· ὁ μὲν γὰρ πεζὸς ἀντεμάχετο τῷ πεζῷ, ὁ δ' ἱππεὺς τῷ ἱππεῖ, ὁ δ' ἁρματηλάτης τῷ ἁρματηλάτῃ, ὁ δ' ἐλεφαντηλάτης τῷ ἐλεφαντηλάτῃ.

38. Ἐπειδὴ δὲ ἡ φωνὴ τῶν ἀντιμάχων οὐκ ἐξηκούετο ἐξ αἰτίας τῶν συγκρουομένων μουσικῶν ὀργάνων, διὰ τοῦτο

---

(1) Ὁ Βαλὴς βασιλεὺς ἦν τῶν Γιγάντων, μεγαλοδύναμος, καὶ μεγαλόδωρος· τοσοῦτον δὲ μεγαλοδύναμος ἦν, ὥστε ἐνίκησε καὶ τὸν Ἴνδραν, καὶ τὴν Ἀμραβατὴν ἐπόρθησε, καὶ κύριος ἦν τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Ἡ δὲ Ἀδητὴ, ἡ μήτηρ τοῦ Ἴνδρα, ἐδεήθη τοῦ Βισνοῦ, δοῦναι ἀντίληψιν τῷ Ἴνδρᾳ. Σαρκωθεὶς δ' ὁ Βισνοῦς ἐν τῇ γαστρὶ τῆς Ἀδητῆς, ἐγεννήθη, καὶ ὠνομάσθη Βημάνας, ὅ ἐστι, Νάνος, μικρὸς γὰρ ἦν τὸ σῶμα, καὶ ἐλθὼν πρὸς τὸν βασιλέα, εὐλόγησεν αὐτὸν, ὡς Βραχμάν. Χαρεὶς δὲ μεγάλως ὁ Βαλὴς διά τε τὴν μικροσωμίαν ἣν εἶχε, καὶ διὰ τὴν εὐγλωττίαν, ἣν ἐδειξεν, ἔφη· «Αἴτησον, ὅ,τι θέλεις»· ὁ δέ, «Αἰτῶ, εἶπε, τριποδιαῖον τόπον». Γελάσας δ' ὁ Βαλὴς, ἔφη· « Μικρὸν αἰτεῖς· κατὰ τὸ ὃ ἔχεις μικρὸν σῶμα, αἴτησον μεγάλον, δυνατὸς γάρ εἰμι δοῦναί σοι ». Ὁ δὲ, « Τοσοῦτον μόνον, εἶπεν, αἰτῶ ». « Ἔστω σοι, ὡς αἰτεῖς », ἔφη ὁ Βαλής. Ἐν τούτῳ ὁ Βημάνας τῷ μὲν ποδὶ κατεκάλυψε τὸν οὐρανὸν, τῷ δὲ τὴν γῆν, καὶ εἶπε πρὸς τὸν Βαλήν· « Δός μοι τόπον τοῦ τρίτου ποδός ». Καὶ ὁ Βαλὴς θαυμάσας, ἔφη, « Βάλε τὸν τρίτον πόδα ἐπὶ τῆς κεφαλῆς μου ». Ἠσθεὶς δ' ὁ Βημάνας, οὐκ ἀνεῖλεν αὐτὸν, ἀλλ' ἔθετο βασιλέα ἐν τοῖς καταχθονίοις, καὶ ἀείζωον ἐποίησε.

Λαβόντος δὲ τοῦ Βημάνα πᾶσαν τὴν περιουσίαν τοῦ Βαλῆ, θέλων δοῦναι αὐτὴν τῷ Ἴνδρᾳ, ὁ Πραχλάδας, ὃς ἦν πάππος τοῦ Βαλῆ, ἐλθὼν, ἐπέσχε τὸν Βημάναν τῇ ὁδοῦ, λέγων, ὡς ἄδικον τὸ δοῦναι τὴν περιουσίαν τῷ Ἴνδρᾳ, ὃς ἐστιν ἐχθρός. Ὁ Βαλὴς ἔγγονος ἦν τοῦ Πραχλάδα, καὶ υἱὸς τοῦ Βιροσάνα.

(2) Σφοδρὸν ἔχει τὸ ῥεῦμα ὁ Σόνας ποταμὸς, ὃς εἰσβάλλει εἰς τὸν Γάγγην πλησίον τῆς Παλιβόθρας, τῆς νῦν λεγομένης Πατανῆς.

οὐκ ἔλεγον ἐκ στόματος τὰς ἑαυτῶν φυλὰς καὶ τοὺς ἄθλους [1], ἔλεγον δὲ τὸ γνωστὸν ὄνομα ἑαυτῶν διὰ τῶν περιπομένων βελῶν, ἐν οἷς ἦν γεγλυμμένον τὸ ὄνομα ἑκάστου.

39. Καὶ ἡ μὲν βαθεῖα κόνις, ἡ ἐξανισταμένη ἔκ τε τῶν ποδῶν τῶν ἵππων καὶ ἐκ τῶν τροχῶν τῶν ἁρμάτων, καὶ διασκορπιζομένη τοῖς διασκελευομένοις ὡσὶ τῶν ἐλεφάντων, ἀπέκρυπτε τὸν ἥλιον.

40. Οἱ δὲ ἐπὶ τῶν σημαιῶν χρυσοῖ ἰχθύες [2], καταπίνοντες τὴν βαθεῖαν κόνιν τὴν ἐκ τῆς στρατιᾶς διὰ τῶν ἀνοιγομένων ὑπὸ τοῦ ἀνέμου στομάτων, ἐφαίνοντο, ὥσπερ ζῶντες ἰχθύες, καταπίνοντες τὸ φερόμενον θολὸν ὕδωρ τοῦ ποταμοῦ.

41. Βαθείας δὲ τῆς κόνεως οὔσης, οἱ μὲν οἰκεῖοι καὶ ἀλλότριοι διεκρίνοντο ἐκ τῆς ἐκφωνήσεως τοῦ ὀνόματος τοῦ ἰδίου βασιλέως [3], τὸ δ' ἅρμα διεγινώσκετο τοῖς μαχίμοις ἐκ τῆς τροχηλασίας· ὁ δ' ἐλέφας ἐκ τοῦ ἤχου τῶν κινουμένων κωδώνων [4].

42. Τὸ δὲ ποταμηδὸν ῥέον αἷμα ἐν γῇ ἐκ τῶν κτεινομένων ἵππων, ἐλεφάντων, καὶ ἀνδρῶν, κατέπαυε τὴν ἐκ τῆς κόνεως ὁμίχλην [5], τὴν ἐπικαλύπτουσαν τὴν ὅρασιν, ὥσπερ τὸ λυκαυγὲς διασκεδάζει τὸ σκότος τῆς νυκτός.

43. Ἡ κόνις, ἡ κάτω μὲν ἐστορέσθη ὑπὸ τοῦ χεομένου αἵματος, ἄνω δ' ἐφέρετο ὑπὸ τοῦ ἀνέμου, ἐφαίνετο, ὥσπερ

---

(1) Ἔθος ἦν τοῖς μαχίμοις ἐν πολέμῳ λέγειν πρὸς τοὺς ἐναντίους. « Ἐγώ εἰμι » ἐκεῖνος ἐξ ἐκείνης τῆς φυλῆς· ἐγὼ καὶ πρότερον καθ' ὑμῶν ἠνδραγάθησα ».

(2) Αἴσιός ἐστιν ὁ ἰχθὺς παρὰ τοῖς Ἰνδοῖς· διάτοι τοῦτο, ἡ βασιλικὴ σημαία χρυσοῦς ἐστιν ἰχθύς· καὶ ἐν γάμοις δὲ ἐπὶ θύρας ἰχθὺν γράφουσιν.

(3) Τοῦτο ἦν, ὥσπερ σύνθημα.

(4) Εἰώθουν κριμνὰν ἑκατέρωθεν τοῦ ἐλέφαντος δύω κώδωνας.

(5) Βρεχομένης τῆς γῆς αἵματι, κόνις οὐκ ἀνίστατο.

ἀναφερόμενος καπνὸς τοῦ πυρὸς, οὗ τὰ μὲν ξύλα κατεκάησαν, οἱ δ' ἄνθρακες ἀπελείφθησαν.

44. Οἱ τρωθέντες παραβάται, παυσάσης τῆς ἐκ τοῦ τραύματος λειποθυμίας, ἐλέγχοντες τοὺς ἁρματηλάτας, διότι ἔστρεψαν τοὺς ἵππους, ἐπανήρχοντο μετὰ θυμοῦ ἐναντίον τῶν τρωσάντων, διαγινώσκοντες αὐτοὺς ἐκ τῆς σημαίας[1].

45. Τῶν ἐπιδεξίων τοξοτῶν τὰ βέλη, καί τοι διετέμνοντο ὑπὸ τῶν βελῶν τῶν ἐναντίων ἐν μέσῳ τῆς ὁδοῦ, ἐτύγχανον ὅμως τοῦ σκοποῦ ἕνεκα τῆς ὀξείας φορᾶς διὰ τῶν ἐμπροσθίων ἡμισέων, ἐν οἷς ἦσαν αἱ ἀκίδες.

46. Κοπτόμεναι αἱ κεφαλαὶ τῶν ἐλεφαντοβατῶν ἐν τῇ ἐλεφαντομαχίᾳ τροχίσκοις ὀξέσιν, ὡς ξυροῖς, βραδέως ἔπιπτον κατὰ γῆς, ἐπειδὴ ἡρπάζοντο ἐκ τῆς κόμης τοῖς ὄνυξιν ἁρπακτικῶν ἱεράκων.

47. Ἱππεὺς, τρώσας πρότερον ἀντίμαχον ἱππέα, καὶ ἰδὼν αὐτὸν, μὴ δυνάμενον ἀντιτρῶσαι ἐκ λειποθυμίας, οὐκ ἐτίτρωσκε πάλιν, ἀλλ' ἀνέμενεν, ἕως ἂν ἀναπνεύσῃ[2].

48. Πληττομένων τῶν μεγάλων ὀδόντων τοῖς καταπίπτουσι γυμνοῖς ξίφεσι ῥιψοκινδύνων πολεμιστῶν, τὸ ἐκβαλλόμενον πῦρ ἀπεσβέννυον οἱ ἐλέφαντες, φοβούμενοι[3], τῷ ἐκ τῶν μυκτήρων τῆς προβοσκίδος ἐκριπτομένῳ ψεκάσματι.

49. Τὸ στάδιον τοῦ πολέμου ἐφαίνετο, ὥσπερ συμπόσιον τοῦ θανάτου, ἔνθα τὸ μὲν χεόμενον αἷμα, οἶνος ἦν, αἱ δὲ πεπτωκυῖαι περικεφαλαῖαι, φιάλαι, αἱ δ' ἀποτετμημέναι τοῖς βέλεσι κεφαλαὶ, ὀπῶραι.

---

(1) Ἕκαστος εἶχεν ἰδίαν σημαίαν ἐπὶ τοῦ ἅρματος.

(2) Νόμος ἐστὶ, μὴ ἀναιρεῖν ἐχθρὸν, ὃς ἀσθενεῖ, ἢ ὅπλα οὐκ ἔχει.

(3) Ὁ ἐλέφας φοβεῖται τὸ πῦρ.

50. Κεκομμένη χεὶρ ἀπ' ὤμου βορὰ ἐγίγνετο σαρκοφάγοις ὄρνεσιν· ἣν ἁρπάξας ἀπ' ἐκείνων κυνόλυκος, ἀφῆκεν αὐτὴν, ἐπειδὴ ἐπλήγη τὴν ὑπερώην τῷ ἄκρῳ τοῦ χρυσοῦ βραχιονίου.

51. Μαχητής τις, οὗ ἡ κεφαλὴ ἀπετμήθη τῇ τοῦ ἀντιμάχου μαχαίρᾳ, ἀναβὰς εὐθὺς ἐπὶ θείου ὀχήματος, θείαν νύμφην ἔχων ἐξ ἀριστερῶν, ἔβλεπε τὸ ἑαυτοῦ ἀκέφαλον σῶμα, χορεῦον ἐν τῇ γῇ τοῦ πολέμου [1].

52. Δύω παραβάται, ἀποκτείναντες τοὺς ἀλλήλων ἁρματηλάτας, ἤλαυνον τὰ ἅρματα αὐτοὶ, καὶ ἐμάχοντο· ἀποκτείναντες δὲ καὶ τοὺς ἵππους ἀλλήλων, ἐμάχοντο κορύναις πεζοὶ, διαρρήξαντες δὲ καὶ τὰς κορύνας, ἀλληλοκτόνοι ἐγένοντο πυγμαῖς.

53. Δύω ἀντίπαλοι, τρώσαντες καιρίως ἀλλήλους, ἐξέπνευσαν ἐν ταὐτῷ· καὶ θεοὶ δὲ γεγονότες μετὰ θάνατον, ἤριζον ἀλλήλοις ὑπὲρ μιᾶς θείας νύμφης, ὁπότερος αὐτὴν κτήσαιτο [2].

54. Καθὼς κύματα ἐν θαλάσσῃ ὁτὲ μὲν ἐντεῦθεν ἀνεγείρονται, ὁτὲ δὲ ἐκεῖθεν ἐκ τῶν ἀντιπνεόντων κατὰ διάλειμμα ἀνέμων, τοῦ τε Ἀπηλιώτου, καὶ τοῦ Ζεφύρου, οὕτως ὁτὲ μὲν ὁ στρατὸς τοῦ Ἄζα ὑπερίσχυεν, ὁτὲ δὲ ὁ τῶν βασιλέων, καὶ διὰ τοῦτο ἀμφίβολος ἦν ἡ ἧττα, ἢ ἡ νίκη.

55. Καθὼς ὁ μὲν καπνὸς διασκεδάζεται ὑπὸ τοῦ ἀνέμου, τὸ δὲ πῦρ, προσέρπον, νέμεται τὴν ξηρὰν ὕλην, οὕτω καὶ ὁ θερμουργὸς Ἄζας ἐφώρμα ἐπὶ τὴν στρατιὰν τῶν πολεμίων, καί τοι ὁ στρατὸς αὐτοῦ κατεδιώκετο ὑπὸ τοῦ ἐχθροῦ.

56. Μόνος δ' αὐτὸς ὁ ἥρως, ὢν ἐφ' ἅρματος, καὶ φέρων φαρέτραν, θώρακα, καὶ τόξον, ἀνετάραττε θυμοειδῶς τὸ

---

(1) Ὁ ἀποθνήσκων ἐν πολέμῳ, ὡς ἥρως, ἐπὶ θείου ὀχήματος ἀνέρχεται εἰς τὸν οὐρανὸν, καὶ ταῖς θείαις νύμφαις σύνεστι.

(2) Καὶ μετὰ θάνατον δηλονότι ἐχθροὶ ἦσαν.

ἐπιὸν στράτευμα τῶν βασιλέων, καθὼς ὁ Βισνοῦς ἐν σχήματι κάπρου[1] ἀνετάραττε τὸ κυμαῖνον ὕδωρ τοῦ ὠκεανοῦ ἐν τῷ κατακλεισμῷ.

57. Ἐκ δὲ τῆς ταχείας βολῆς ἐφαίνοντο, ὡς ἀεὶ ἄσχολον ἔχει τὴν δεξιὰν καὶ ἀριστερὰν χεῖρα πρὸς τῇ φαρέτρᾳ· καὶ ἐκ τούτου εἰκάζετο, ὡς ἡ χορδὴ, ἣν ἅπαξ εἵλκυσε μέχρι τοῦ ὠτὸς, γεννᾷ τὰ ἐχθροκτόνα βέλη.

58. Κατέστρωσε δὲ τὴν γῆν κεφαλαῖς τῶν πολεμίων, ὧν οἱ μὲν ὀδόντες ἐκ θυμοῦ ἔδακνον τὸ χεῖλος, οἱ δ' ὀφθαλμοὶ, ἦσαν ἐρυθροὶ, αἱ δ' ὀφρύες ἀνεσπασμέναι, οἱ δὲ λαιμοὶ, τετμημένοι τμητικοῖς βέλεσι, καὶ λαρυγγίζοντες.

59. Ἀπαξάπαντες δ' οἱ βασιλεῖς ἐφώρμησαν ἐπ' αὐτὸν σὺν ἁπάσαις ταῖς φάλαγξι τῆς στρατιᾶς, παντοίοις ὅπλοις, τοῖς διαπείρουσι καὶ διαρρηγνύουσι τὸν θώρακα, καὶ παντοίοις τρόποις καὶ μηχαναῖς.

60. Διεγινώσκετο δ' ὁ Ἄζας, οὗ τὸ ἅρμα ἦν ἐπικεκαλυμμένον ἀκοντίοις πολλοῖς καὶ βέλεσι τῶν πολεμίων, μόνῃ τῇ ἄκρᾳ τῆς σημαίας, καθὼς ἡ ἕως, ἡ ἐπικεκαλυμμένη ὁμίχλῃ διαγιγνώσκεται ἐκ τοῦ ἀμυδρῶς λάμποντος ἡλίου.

61. Ἐν τούτῳ αὐτὸς ὁ ὡραῖος, ὡς ὁ Ἔρως, ὁ νηφάλιος, καὶ ἀξιέραστος, ἔῤῥιψεν ἐπὶ τοὺς πολεμίους τὸ δοθὲν βέλος παρὰ τοῦ Γανδδάρβα, ᾧ ὄνομα ἦν ὑπνωτικόν.

62. Εὐθέως δ' οἱ ἀντίμαχοι ὑπνόληπτοι ἐγένοντο, ἔχοντες τὰς

---

(1) Μυθολογοῦσιν, ὡς, κατακλεισμοῦ γενομένου, ἡ γῆ ἦν ὑπὸ τὰ ὕδατα. Ὢν δ' ὁ Βραχμᾶς ἐπὶ τοῦ λωτοῦ, (ὃς ἀνεφύη ἐκ τοῦ ὀμφαλοῦ τοῦ Βισνοῦ, τοῦ ἐπαναπαυομένου ἐπὶ χιλιοκεφάλου δράκοντος ἐν μέσῳ τοῦ Ὠκεανοῦ) ἔπταρε, καὶ παραυτίκα ἔπεσεν ἐκ τῆς ῥινὸς αὐτοῦ δακτυλιαῖον δελφάκιον, καὶ ἐγένετο ἐντὸς ὀλίγου πελώριος χοῖρος, ὃς ἦν αὐτὸς ὁ Βισνοῦς, μεταμορφωθείς. Ὑμνηθεὶς δ' ὑπὸ τῶν θεῶν, ἐβυθίσθη εἰς τὸν ὠκεανὸν, καὶ ἀνήγαγεν ἐπὶ τοῦ ὀδόντος τὴν βεβυθισμένην γῆν, ἧς πρῶτος βασιλεὺς ἐγένετο ὁ Μανοῦς, ὃς ἦν υἱὸς τοῦ Βραχμᾶ, γεννηθεὶς οὐκ ἐκ σπουσίας, ἀλλ' ἐξ εὐνοίας.

μὲν χεῖρας ἀργὰς περὶ τὰ τόξα, τὰς δὲ περικεφαλαίας σὺν ταῖς κεφαλαῖς κεκλιμένας ἐπὶ τοῦ ἑτέρου ὤμου, τὰ δὲ σώματα ἐρειρισμένα ἐπὶ τῶν κοντῶν τῶν σημαιῶν [1].

63. Ἐπὶ τούτοις ὁ νεανίας, θεὶς τὸν κόγχον ἐπὶ τοῦ χείλους, ὃ ἐφίλησεν ἡ Ἰνδουματὴ, ἐφύσησεν αὐτόν· ἐκ δὲ τούτου ἐφαίνετο, ὥσπερ εἰ ἔπινεν ὑλικῶς τὴν εὔκλειαν [2], ἣν ἐκτήσατο μόνος τῇ οἰκείᾳ χειρί.

64. Οἱ δὲ στρατιῶται αὐτοῦ, στρέψαντες ἐκ τῆς διακρίσεως τοῦ νικητικοῦ ἤχου τοῦ κόγχου, εἶδον αὐτὸν, ἐν μέσῳ ὄντα ὑπνούντων ἐχθρῶν, ὡς ἄλλον φωστῆρα τῆς νυκτὸς ἐν μέσῳ συμμυόντων λωτῶν.

65. Ἐν δὲ ταῖς σημαίαις τῶν βασιλέων ἐγράφθησαν ταῖς τῶν βελῶν ἀκίσιν, ἐμβεβαμμέναις αἵματι, ταῦτα τὰ γράμματα· « Ὁ Ἄζας ἐν πολέμῳ δι' εὐσπλαχνίαν τὴν εὔκλειαν ὑμῶν » ἀφείλετο, ἀλλ' οὐ τὴν ζωήν ».

66. Κρατῶν δὲ τὸ τόξον ἐκ τοῦ κέρατος, καὶ περικεχυμένην τὴν κόμην [3] ἔχων ἐκ τῆς διακινήσεως τῆς περικεφαλαίας, καὶ πολὺν ἱδρῶτα ἐκ τοῦ ἀγῶνος ἐπὶ τοῦ μετώπου, προσελθὼν τῇ Ἰνδουματῇ, φοβουμένῃ, ἔφη·

67. « Ἄγε ἰδὲ τοὺς πολεμίους, ὦ Ἰνδουματὴ, ὧν τὰ ὅπλα » καὶ παῖς δύναται συλῆσαι [4], καὶ μὴ φοβοῦ· δύνανταί » σε οὗτοι ἁρπάσαι ἐκ τῶν ἐμῶν χειρῶν, ἐν τοιαύτῃ ὄν- » τες καταστάσει ; »

68. Εὐθὺς δὲ τὸ πρόσωπον αὐτῆς ἠγλαΐζετο, ἀπαλλαγὲν ἐκ τῆς κατηφείας, τῆς γενομένης ἐξ αἰτίας τῶν ἐχθρῶν, καθὼς τὸ

---

(1) Ὄπισθεν τῶν ἁρμάτων ἐτίθεντο αἱ σημαῖαι.

(2) Λευκὸς ὁ κόγχος, λευκὴ καὶ ἡ εὔκλεια.

(3) Πάλαι οἱ βασιλεῖς οὐκ ἔκειρον τὰς τῆς κεφαλῆς τρίχας.

(4) Καταγελᾷ τῶν ἐχθρῶν.

κάτοπτρον λαμβάνει τὴν οἰκίαν ἀγλαίαν τῇ ἀποσμήξει τῆς ἐπιτεθείσης ἀχλύος ἐκ τῆς θερμῆς ἐκπνοῆς.

69. Καί περ δὲ χαρεῖσα, οὐκ ἐπήνεσεν αὐτὸν αὐτὴ, αἰδοῖ νικωμένη, ἐπήνεσε δὲ διὰ τῶν λόγων τῶν δμωῶν, καθὼς ἡ γῆ, βρεχομένη κατ' ἀρχὰς τῶν ὄμβρων, ἐπαινεῖ τὸ νέφος διὰ τῶν φωνῶν τῶν ταώνων.

70. Ὁ μὲν δὴ Ἄζας, θεὶς ἐπὶ τῆς κεφαλῆς τῶν πολεμίων βασιλέων τὸν ἀριστερὸν πόδα, ἤνεγκεν οἴκαδε τὴν ὁμοιοφανῆ ἑαυτῷ νεάνιδα, ἣ, κεχραμμένην ἔχουσα τὴν κόμην τῇ ἐκ τῶν ἁρμάτων καὶ ἵππων κόνει, ἐφαίνετο, ὥσπερ ἐνσώματος νίκη τοῦ πολέμου.

71. Ὁ δὲ Ῥαγγοῦς, ὁ μαθὼν πρότερον πάντα τὰ γεγονότα, ἐπαινέσας τὸν Ἄζαν, ἐλθόντα νικητὴν, καὶ ἀξιεπαίνου τυχόντα γαμετῆς, παρέδωκεν αὐτῷ τὴν φροντίδα τῆς οἰκίας πάσης, ἐπιθυμήσας ζωῆς ἡσύχου· οἱ γὰρ ἡλιογενεῖς βασιλεῖς, ἀξίου ὄντος τοῦ διαδόχου, οὐ συμφύρονται τοῖς τοῦ κόσμου.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

1. Μετὰ δὲ ταῦτα, συννευφραινομένου τοῦ Ἄζα τῇ συζύγῳ Ἰνδουματῇ, ὁ βασιλεὺς Ῥαγγοῦς παρέδωκε ταῖς χερσὶν αὐτοῦ καὶ τὴν γῆν, ὡς ἄλλην γαμετήν.

2. Τὴν μὲν δὴ ἀρχὴν, ἧς ἀντιποιοῦνται οἱ τῶν βασιλέων παῖδες, πάντα τρόπον ποιοῦντες, καὶ πᾶν ἀμπλάκημα πράττοντες [1], ἐδέξατο ὁ Ἄζας, αὐτομάτως ἐλθοῦσαν, οὐ διὰ δίψαν τρυφῶν, ἀλλὰ διότι προσταγὴ ἦν τοῦ πατρός.

3. Ἡ δὲ γῆ, συζευχθεῖσα τῷ Ἄζα, ὃς ἐλούσατο ἁγίοις ὕδα-

(1) Ἀποκτείνοντες δηλ. τοὺς πατέρας ἢ ὅπλοις ἢ φαρμάκοις.

σι, καὶ ἐχρίσθη ὑπὸ τοῦ ἱεροῦ Βασσίζα, ἐκήρυττέ πως, διὰ τῆς ἧς ἐλάμβανε φανερᾶς αὐξήσεως, ὡς εὐδαίμων ἐστίν, ἀξίου τυχοῦσα βασιλέως.

4. Χειροτονηθεὶς μὲν οὖν βασιλεὺς ὑπὸ τοῦ Βασσίζα, τοῦ γινώσκοντος τὴν Ἀρτάβαν Βέδαν [1], δυσανταγώνιστος ἐγένετο τοῖς ἐχθροῖς· ἡ γὰρ βραχμανικὴ χάρις, συζευχθεῖσα τῇ ξατρικῇ δυνάμει, ὥσπερ συνέλευσις πυρὸς καὶ ἀέρος τυγχάνει [2].

5. Ἅπας δ' ὁ λαὸς ἐνόμιζεν, ὡς ὁ βασιλεὺς Ἄζας, ἐκεῖνός ἐστιν ὁ Ῥαγγοῦς, ὃς ἀνενεώθη· οὐ γὰρ μόνον τὴν βασιλικὴν δόξαν ἀνεδέξατο, ἀλλὰ καὶ πάσας τὰς ἀρετὰς ἐκείνου.

6. Δύω ἀγλαὰ, συνελθόντα δύω ἀγλαοῖς, πλείω τὴν ἀγλαίαν ἔσχον, δηλονότι ἡ μὲν πατρικὴ βασιλεία, συνελθοῦσα τῷ Ἄζᾳ, ἡ δὲ ἀνθηρὰ νεότης, τῇ σεμνότητι [3].

7. Αὐτῆς δὲ τῆς νεωστὶ κτηθείσης γῆς, ὡς νέας γαμετῆς, ἐτρύφα αὐτὸς ὁ μεγαλοβραχίων, χρώμενος οὐ βίᾳ, ἀλλ' ἱλαρότητι [4], ἵνα μὴ ἄχθος αὐτῇ γένοιτο.

8. Ἕκαστος δὲ τῶν ὑπηκόων ἐφρόνει, ὡς ἀγαπητός ἐστι τῷ βασιλεῖ· οὐδεμία γὰρ καταφρόνησις παρ' αὐτοῦ πρός τινα ἐγίγνετο, καθὼς οὐδὲ παρὰ τοῦ ὠκεανοῦ πρός τινα τῶν ποταμῶν [5].

---

(1) Ἐν τῇ Ἀρτάβᾳ Βέδᾳ αἱ εὐχολογίαι καὶ τελεταί εἰσι τῆς χειροτονίας τοῦ βασιλέως· ἐκεῖ γάρ εἰσιν αἱ φαρμακεῖαι καὶ γοητεῖαι, αἷς χρῶνται εἰς στερίωσιν τοῦ νέου βασιλέως.

(2) Ὅτε τὸ πῦρ ἔχει συνέριθον τὸν ἀέρα, μᾶλλον ἐξάπτεται.

(3) Ἡ μὲν πατρικὴ βασιλεία μᾶλλον ἠγλαΐζετο, ἔχουσα ἀνάδοχον καὶ διάδοχον τὸν ἄξιον Ἄζαν, ἡ δὲ ἀνθηρὰ νεότης, ἔχουσα συγκοινωνὸν καὶ συνακολουθον τὴν σεμνότητα.

(4) Καλῶς δηλ: καὶ δικαίως διῳκει τὴν γῆν.

(5) Καθὼς δηλ: ὁ ὠκεανὸς ἀσμένως εἰσδέχεται πάντας τοὺς εἰσβάλλοντας ποταμοὺς, οὕτω καὶ αὐτὸς ἀσμένως διέκειτο πρὸς πάντας, καὶ εὐπρόσιτος ἦν.

9. Ην δὲ οὔτ' ἄγαν ἱταμὸς, οὔτ' ἄγαν ἵλαρὸς, ἀλλὰ μέτριος· οὐδ' ἐξεθεμελίου τοὺς ἡμαρτηκότας βασιλεῖς, ἀλλ' ἐταπείνου αὐτοὺς, καθὼς ὁ μέτριος ἄνεμος οὐκ ἐκριζοῖ τὰ δένδρα, ἀλλ' ὑποκλίνει τοὺς κλάδους αὐτῶν.

10. Αἰσθόμενος δ' ὁ Ραγγοῦς τὸν υἱὸν ἑαυτοῦ, στερεωθέντα ἐν τῇ βασιλείᾳ (ἀγαπώμενον ὑπὸ παντὸς τοῦ λαοῦ) τῇ καλῇ διοικήσει ἀνέραστος ἐγένετο οὐ μόνον τῶν ἐπιγείων ἀγαθῶν, ἀλλὰ καὶ τῶν ἐπουρανίων, τῶν ὄντων προσκαίρων [1].

11. Οἱ γὰρ καταγόμενοι ἐκ τῆς γενεᾶς τοῦ Διλήπα, ὧν οἱ υἱοὶ, ἄξιοι ὄντες, ἀνεδέξαντο τὴν βασιλικὴν δόξαν, ἐγκρατεῖς γινόμενοι ἐν γήρατι, αἱροῦνται τὴν ὁδὸν τῶν ἀσκητῶν, τῶν ἐχόντων ἔνδυμα ἐκ φλοιῶν δένδρων.

12. Ὁ μὲν οὖν Ἄζας, βλέπων τὸν πατέρα, παρασκευαζόμενον ἀναχωρῆσαι εἰς ἔρημον, θεὶς τὴν κεφαλὴν ἑαυτοῦ ἐπὶ τῶν πατρικῶν ποδῶν, παρακάλει θερμῶς μὴ ἀφεῖναι τὸν υἱὸν ἔρημον, καὶ ὀρφανόν.

13. Ὁ δὲ Ραγγοῦς, φιλότεκνος ὢν, ἐποίησε τὴν αἴτησιν τοῦ υἱοῦ, δακρυρροοῦντος· οὐκ ἐπανέλαβεν ὅμως τὴν ἀφεθεῖσαν δόξαν, καθὼς ὁ ὄφις οὐκ ἐπαναλαμβάνει τὴν ἀφεθεῖσαν λεβηρίδα.

14. Ἀφεὶς δὲ τὸν βασιλικὸν οἶκον, ᾤκει ἐν ἰδιαιτέρῳ τόπῳ, καὶ φιλῶν τὴν συναναστροφὴν τῶν ἐγκρατῶν, καὶ νικῶν τὰς αἰσθήσεις, ἀμέτοχος ἦν τῆς τρυφῆς τῆς βασιλικῆς δόξης, ἐκτὸς ὀλίγων σιτίων, καθὼς ὁ πενθερὸς τῆς νύμφης [2].

---

(1) Παρὰ τοῖς φιλοσόφοις τῶν Ἰνδῶν καὶ τὰ οὐράνια ἀγαθὰ πρόσκαιρά εἰσιν, ἅπερ ἀπολαμβάνονται διὰ τῆς πρακτικῆς ἀρετῆς· μόνον δὲ τὸ Θεῖον αἰώνιον καὶ ἄφθαρτόν ἐστι, ὃ ἀπολαμβάνεται διὰ τῆς θεωρητικῆς ἀρετῆς· διὰ τοῦτο ὁ Ραγγοῦς ἠράσθη τῆς θεωρητικῆς ἀρετῆς.

(2) Καθὼς ὁ πενθερὸς οὐ τρυφᾷ τῆς νύμφης, ἣ γυνή ἐστι τοῦ υἱοῦ, οὕτω καὶ ὁ Ραγγοῦς οὐκ ἐτρύφα τῆς βασιλικῆς δόξης, ἣ ἦν ὡς γυνὴ τοῦ υἱοῦ· μόνον

15. Τὸ γένος τοῦ Διλήπα ὅμοιον ἦν τῷ οὐρανῷ· καθὼς γὰρ ὁ οὐρανὸς στερεῖται μὲν τῆς δυούσης σελήνης, τυγχάνει δὲ τοῦ ἀνατέλλοντος ἡλίου, οὕτω καὶ τὸ γένος τοῦτο ἐστερήθη μὲν παλαιοῦ βασιλέως, ὃς ἔμενεν ἐν ἡσυχίᾳ, ἔτυχε δὲ νέου, λαμπροτέρου.

16. Ὁ Ῥαγγοῦς, καὶ ὁ Ἄζας, ὧν ὁ μὲν ἔφερε σύμβολον ἀσκητοῦ, ὁ δὲ σύμβολον βασιλέως, ἐφαίνοντο τοῖς ἀνθρώποις, ὥσπερ δύω ἰδέαι (εἰκόνες), ἐπὶ γῆς ἐλθοῦσαι, τῆς Ἀθανασίας καὶ τῆς Βασιλείας.

17. Ὁ μὲν Ἄζας συνῆν βουλευταῖς εἰδήμοσιν ὀρθῆς διοικήσεως εἰς ὑποταγὴν τῶν ἀνυποτάκτων βασιλέων· ὁ δὲ Ῥαγγοῦς συνετύγχανεν ἀληθέσι θεωρητικοῖς, εἰς ἀπόλαυσιν τῆς ἀφθάρτου δόξης.

18. Ὁ μὲν νέος βασιλεὺς ἐκάθητο ἐπὶ δικαστικοῦ θρόνου, εἰς τὸ θεωρεῖν τὰς διαφορὰς τῶν λαῶν, ὁ δὲ παρῆλιξ ἐπὶ ψιάθου ἐκ πόας Κούσσης, εἰς τὸ ἀσκεῖν τὴν εἰς Θεὸν ἀναφορὰν τοῦ νοός.

19. Ὁ μὲν Ἄζας τοὺς πλησιοχώρους βασιλεῖς ἤγαγεν εἰς ὑποταγὴν τῇ κραταιᾷ βασιλικῇ δυνάμει· ὁ δὲ Ῥαγγοῦς ὑπέταξε τοὺς πέντε ἀέρας τοῦ σώματος τῇ γυμνάσει τῆς ἐγκρατείας καὶ τῆς θεωρίας [1].

20. Ὁ μὲν νέος βασιλεὺς σποδὸν ἐποίει τὸν καρπὸν τῶν ἐπιχειρημάτων τῶν ἐχθρῶν· ὁ δὲ γέρων κατέκαιε τὰ ἑαυτοῦ ἀγνοήματα τῷ τῆς γνώσεως πυρί.

21. Ὁ μὲν Ἄζας, ὡς ἔβλεπεν αἴσιον τὸ τέλος, οὕτως ἐχρῆτο

δὲ ὀλίγα σιτία ἐλάμβανεν εἰς τροφήν, καθὼς ὁ πενθερὸς παρὰ τῶν χειρῶν τῆς νύμφης.

(1) Ὁ μὲν Ἄζας, βουλόμενος βλέπειν τὰ ἐλαττώματα τῶν οἰκείων καὶ ἀλλοτρίων, ἔτεινε τὸν γρήγορεν ἑαυτοῦ ὀφθαλμὸν εἰς πάντα τὸν κόσμον· ὁ δὲ Ῥαγγοῦς ἐστερέου τὸ τοῦ νοὸς ὄμμα ἐν τῇ καρδίᾳ, εἰς τὸ θεωρεῖν τὸ θεῖον φῶς.

ταῖς ἐξ βασιλικαῖς ἰδιότησιν [1], ὁ δὲ Ραγγοῦς, ὁ βλέπων ἐξ ἴσου τὴν βῶλον καὶ τὸν χρυσόν, ἐνίκησε τὰς τρεῖς ὑλικὰς ἰδιότητας [2].

22. Ὁ μὲν νέος βασιλεὺς, φιλόπονος ὢν καὶ καρτερικὸς, οὐκ ἐπαύετο τοῦ ἔργου, πρὶν ἢ ἴδῃ τὸ τέλος· ὁ δὲ παλαιὸς, καρτερόφρων ὢν, οὐκ ἐπαύετο τῆς θεωρίας, πρὶν ἢ ἴδῃ τὸ Θεῖον.

23. Ἀμφότεροι, ἄγρυπνοι ὄντες, ὁ μὲν κατὰ τῶν ἐχθρῶν, ὁ δὲ κατὰ τῶν αἰσθήσεων, ὧν ἡ δύναμις καὶ ἐνέργεια ἐκωλύθη, καὶ προσέχοντες, ὁ μὲν τῇ βασιλείᾳ, ὁ δὲ τῇ ἀθανασίᾳ, ἔτυχον ἰδίας τελειότητος [3].

24. Μείνας δ' ὀλίγον τινα χρόνον ἐν τῷ σώματι διὰ χάριν τοῦ υἱοῦ, ὁ πάντα ἐξ ἴσου βλέπων Ραγγοῦς [4], ἐπορεύθη εἰς τὸ ἄϋλον καὶ ἀναλλοίωτον Θεῖον διὰ τῆς θεωρητικῆς συζυγίας τοῦ νοὸς καὶ τοῦ Θεοῦ [5].

25. Ἀκούσας δ' ὁ Ἄζας τὸν θάνατον τοῦ πατρὸς, ἔκλαυσεν

---

(1) Ἴδια τοῦ βασιλέως ἐστὶ ταῦτα τὰ ἕξ, ἡ εἰρήνη, ὁ πόλεμος, ἡ ἐκστρατεία, ἡ ἀστρατεία, τὸ στρατήγημα, καὶ ἡ συμμαχία.

(2) Τρεῖς ἰδιότητες ἢ ποιότητές εἰσι τῆς ὕλης, αἳ λέγονται, Σάτβα, Ῥάγα, καὶ Τάμα, ὅ ἐστι, λευκότης, ἐρυθρότης, καὶ μελανότης· ταὐτόν ἐστιν εἰπεῖν, τὸ λογικὸν, τὸ ἐπιθυμητικὸν, καὶ τὸ θυμικόν. Καὶ ἡ μὲν λευκὴ ποιότης ἐστὶ, τὸ ἐρᾶν τῶν καλῶν καὶ ἡδέων, καὶ τὸ ἀγαθοποιεῖν· ἡ δὲ ἐρυθρὰ, τὸ εὐθυμεῖν, καὶ τρυφᾶν· ἡ δὲ μέλαινα, τὸ δυσθυμεῖν, καὶ ὀργίζεσθαι. Ταῦτα τὰ τρία πάθη ἴδια τῆς ὕλης, ἀλλ' οὐ τῆς ψυχῆς, λέγουσιν οἱ σοφοὶ τῶν Ἰνδῶν· τὴν γὰρ ψυχὴν ἀπαθῆ εἶναι. Ὁ μὲν οὖν Ραγγοῦς ἐνίκησε ταῦτα τὰ τρία πάθη, οὔτε ἠγάπα τὰ καλὰ, οὔτ' ἐμίσει τὰ κακά· οὔτ' ἔχαιρεν ἐπὶ τοῖς ἀγαθοῖς, οὔτ' ἐλυπεῖτο ἐπὶ τοῖς κακοῖς· ὁ αὐτὸς ἦν ἐν πᾶσιν, ἀδιάφορος, καὶ ἀπαθής.

(3) Ἐγένοντο τέλειοι ἀμφότεροι, ὁ μὲν εἰς τὴν διείκησιν τῆς βασιλείας, ὁ δὲ εἰς τὴν ἄσκησιν τῆς θεωρίας.

(4) Ἀδιάφορος ὢν εἰς πάντα, εἴς τε καλὰ, καὶ εἰς κακά.

(5) Λέγουσιν, ὡς οἱ θεωρητικοὶ, συζευγνύμενοι νοερῶς τῷ Θεῷ, ἐγκαταλείπουσι τὸ σῶμα, ὅτε θέλουσιν.

ἐπὶ πολὺ, καὶ ἐποίησε τὰ μετὰ θάνατον νόμιμα ἄνευ πυρᾶς σὺν τοῖς λοιποῖς ὁσίοις ἀνδράσι, τοῖς ἀρνησαμένοις τὸν κόσμον [1].

26. Καί τοι δὲ οἱ θνήσκοντες τοιούτῳ τρόπῳ, οὐ δέονται τῆς παρὰ τοῦ υἱοῦ διδομένης νεκρικῆς προσφορᾶς [2], ὁ Ἄζας ὅμως ἐποίησε πάντα τὰ μετὰ θάνατον νόμιμα, ἕνεκα τῆς πρὸς τὸν πατέρα φιλοστοργίας.

27. Συμβουλευθεὶς δὲ φρονίμοις καὶ σοφοῖς ἀνδράσι, μὴ λυπεῖσθαι ἐπὶ τῷ πατρὶ, ὃς ἔτυχε θείας λήξεως, ἄνεσιν καὶ ἡσυχίαν ἔσχεν ἐν τῷ νοΐ· καὶ ἐντείνας τὸ τόξον, ὑπήκοον ἐποίησε πάντα τὸν κόσμον.

28. Ἔχουσαι δ' ἀμφότεραι αἱ σύζυγοι τοιοῦτον ἐξαίρετον ἄνδρα, ἡ μὲν γῆ ἐγέννησε πολύτιμα πράγματα· ἡ δὲ Ἰνδουματὴ ἔτεκεν υἱὸν γενναῖον,

29. Τὸν καλούμενον Δασσαράταν, τὸν γεννήτορα τοῦ Ῥάμα, τοῦ ὀλέτορος τοῦ δεκακεφάλου Ῥαβάνα, τὸν ὅμοιον τῷ ἡλίῳ κατὰ τὴν λαμπρότητα, καὶ περίφημον ἐν παντὶ τόπῳ.

30. Ἐκ δὲ τῆς ἀναγνώσεως τῶν Βεδῶν, ἐκ τῆς τελετῆς τῶν θυσιῶν, καὶ ἐκ τῆς γεννήσεως τοῦ υἱοῦ ἀπηλλάγη ὁ Ἄζας ἀπὸ τοῦ χρέους, ὃ εἶχε πρὸς τοὺς ὁσίους Βραχμᾶνας, πρὸς τοὺς θεοὺς, καὶ πρὸς τοὺς προγόνους [3], καθὼς ἀπαλλάττεται ὁ ἥλιος ἀπὸ τοῦ παρηλίου.

---

(1) Τὰ σώματα τῶν ἀρνησαμένων τὰ τοῦ κόσμου οὐ καίονται, ἀλλὰ ῥίπτονται εἰς τὸν ποταμὸν, ἢ θάπτονται.

(2) Τοῖς ἀρνησαμένοις τὸν κόσμον οὐκ ἔστι χρεία μετὰ θάνατον χοῶν, ποπάνων, ἢ μνημοσύνων· ἐπειδὴ σύνεισι τῷ Θεῷ.

(3) Ἐκ μὲν τῆς ἀναγνώσεως τῶν Βεδῶν τέρπονται οἱ ἐν μακαρίᾳ τῇ λήξει γενόμενοι Βραχμᾶνες· ἐκ δὲ τῆς τελετῆς τῶν θυσιῶν οἱ θεοὶ, ἐπειδὴ τυγχάνουσι μοίρας τῶν θυομένων· ἐκ δὲ τῆς γεννήσεως υἱῶν τῶν ἀπογόνων οἱ κατοιχόμενοι πρόγονοι τέρπονται, ἐπειδὴ τεύξονται χοῶν, καὶ ποπάνων, καὶ μνημοσύνων.

31. Οὐχὶ δὲ μόνον ὁ πλοῦτος τοῦ Ἄζα ἦν πρὸς ὠφέλειαν ἄλλων, ἀλλὰ καὶ πᾶσαι αἱ ἀρεταὶ αὐτοῦ· ἡ μὲν γὰρ ἀνδρεία αὐτοῦ ἦν εἰς ἄνεσιν τῶν ἐν δεινοῖς ὄντων, ἡ δὲ πολυμάθεια εἰς τιμὴν τῶν σοφῶν ἀνδρῶν [1].

32. Σκεψάμενος δὲ, ὡς υἱὸν ἔχει, καὶ ὁ λαὸς καλῶς ἔχει, ἐτέρπετο μετὰ τῆς Ἰνδουματῆς ἐν κήπῳ, καθὼς ὁ Ἴνδρας μετὰ τῆς Σακῆς ἐν τῷ παραδείσῳ τοῦ οὐρανοῦ.

33. Ἐν τούτῳ ἤρχετο ἀπὸ τοῦ οὐρανοῦ ὁ Ναράδας, ὑμνήσων διὰ τῆς κιθάρας τὸν θεὸν Σίβαν, οὗ ὁ Ναὸς ἦν παρὰ τῇ ἀκτῇ τοῦ νοτίου ὠκεανοῦ ἐν ὀνομαστῷ τόπῳ Γοκάρνα.

34. Σφοδρὸς δὲ πνέων ὁ ἄνεμος, ἀφήρπασε τὸν στέφανον, ὥσπερ θέλων ὀσφρανθῆναι αὐτοῦ, ὃς ἦν ἐξ ἀνθέων οὐρανίων πεπλεγμένος, καὶ ἐπὶ τοῦ ἄκρου τοῦ τῆς κιθάρας ζυγοῦ τεθειμένος.

35. Ἡ δὲ κιθάρα τοῦ Ναράδα, πέριξ ἔχουσα βομβυλίους, οἳ προσεφοίτησαν τῷ ἀνθίνῳ στεφάνῳ, ἐφαίνετο ὥσπερ εἰ ἔχει μέλανα δάκρυα ἐπὶ τῇ βίᾳ τοῦ ἀνέμου, καὶ ἁρπαγῇ τοῦ στεφάνου [2].

36. Ἔπεσε δ' ἐπὶ τὸν λαιμὸν τῆς βασιλίσσης Ἰνδουματῆς αὐτὸς ὁ οὐράνιος στέφανος, ὃς ὑπερέβαινε τῇ ὑπερφυεῖ εὐοσμίᾳ τὰ ἐν τῷ ἔαρι ἄνθη πάντων τῶν ἐν τῷ βασιλικῷ κήπῳ δένδρων.

37. Ἅμα δ' εἶδεν ἡ Ἰνδουματὴ αὐτὸν τὸν ἐν ἀκαρεῖ ποθητὸν θεῖον στέφανον, κρεμάμενον ἐπὶ τοῦ ἀγλαοῦ στήθους, καὶ ἅμα ἔκλεισε τὰ ὄμματα, λειποθυμήσασα, εἰς τὸ μὴ ἀνοῖξαι αὐτὰ πάλιν.

38. Ἔπεσε μὲν οὖν ἡ βασιλὶς Ἰνδουματὴ ἀναίσθητος· συνέπε-

---

(1) Καίτοι ἦν πολυμαθὴς, οὐκ ἦν ὑπέρφρων, ἀλλ' ἐτίμα τοὺς σοφοὺς ἄνδρας.

(2) Μέλανες εἰ βομβύλιοι, καὶ τὰ δάκρυα δὲ τῆς βιαζομένης γυναικὸς μέλανα εἰσίν, ἐκ τῆς ἐν τοῖς ὀφθαλμοῖς μελαίνης βαφῆς, τῆς στίμμεως.

σε δὲ αὐτῇ ἐν ταὐτῷ καὶ ὁ βασιλεὺς Ἄζας, καθὼς ἡ λάμψις τοῦ λύχνου συμπίπτει κατὰ γῆς τῇ σαγόνι τοῦ ἐλαίου.

39. Ἐκ δὲ τῆς μεγάλης καὶ λυπηρᾶς φωνῆς τῶν διακόνων ἀμφοτέρων τούτων, τῆς Ἰνδουματῆς, καὶ τοῦ Ἄζα, ταραχθέντες οἱ περὶ τὴν λίμνην τοῦ κήπου ὄρνεις, ἐφώνουν καὶ αὐτοί, ὥσπερ συλλυπούμενοι, καὶ συμπάσχοντες.

40. Ὁ μὲν οὖν βασιλεὺς εἰς αἴσθησιν ἦλθε διὰ τῆς ἀναψυκτικῆς θεραπείας τῶν θεραπόντων· ἡ δὲ Ἰνδουματὴ ἀναίσθητος ἦν, ὡς πρότερον· ἡ γὰρ θεραπεία ὠφελεῖ ὅτε πεπρωμένον ἐστὶ ζῆν.

41. Ἀναλαβὼν δ' ὁ πανοικτίρμων Ἄζας, ἀνέλαβε τὴν φιλτάτην Ἰνδουματὴν, τὴν οὖσαν ἀναίσθητον, ὡς κιθάραν ἄχορδον, καὶ ἔθετο αὐτὴν ἐν ταῖς αὐτοῦ ἀγκάλαις.

42. Ἔχων δὲ τὴν ἑαυτοῦ γαμετὴν ἐν ἀγκάλαις ἀναίσθητον καὶ ἄμορφον, ἐφαίνετο ὥσπερ ὁ φωστὴρ τῆς νυκτὸς περὶ τὴν ἕω, ὁ ἔχων ἐν μέσῳ μέλανα σπίλον (μελανότητα) [1].

43. Καὶ ἀφεὶς τὴν ἣν εἶχεν ἐκ φύσεως καρτερίαν, ἐδάκρυε θερμῶς· (καὶ ὁ σίδηρος γὰρ, θερμανθεὶς, μαλακότητα λαμβάνει, πολλῷ μᾶλλον ὁ ἄνθρωπος) καὶ θρηνῶν, ἔλεγεν·

44. « Εἰ τὰ ἄνθη διὰ μόνης τῆς θίξεως τοῦ σώματος ἀφε-
» λέσθαι δύνανται τὴν ζωὴν, ὁποῖον ἄλλο οὐκ ἂν εἴη
» ὄργανον τοῦ θανάτου, τοῦ ἐφιεμένου ἀναιρεῖν τοὺς ἀν-
» θρώπους ;

45. « Μῶν ὁ θάνατος ἀναιρεῖν ἐπιχειρεῖ διὰ τοῦ μαλακοῦ
» πράγματος τὸ μαλακὸν πρᾶγμα [2] ; παράδειγμα δ' ἐστὶ

---

(1) Ἡ μὲν Σελήνη, ἡ περὶ τὴν ἕω ὀλίγην ἔχει τὴν λάμψιν, ὁ Ἄζας ἐστὶν, ἡ δὲ ἐν μέσῳ τῇ Σελήνῃ μελανότης, ἡ Ἰνδουματὴ. ἡ ἐν ἀγκάλαις ἦν τοῦ Ἄζα, μολυβδόχρουν ἔχουσα τὸ σῶμα ἐκ τοῦ θανάτου· ὁ δὲ Ἄζας στυγνὸς ἦν τὸ πρόσωπον ἐκ λύπης.

(2) Διὰ τοῦ ἁπαλοῦ ἄνθους τὸ ἁπαλὸν σῶμα τῆς Ἰνδουματῆς.

» τοῦ οὐ ἀπορημ̣ατικῶς ἐρωτῶ, ὁ λωτὸς, ὃς μαραίνεται
» καὶ διαῤῥεῖ ἐκ τῆς ἐπιπιπτούσης πάχνης.

46 « Ἡ οὗτος ὁ ἐκ θείων ἀνθέων στέφανος, κεραυνός ἐστι,
» ποιηθεὶς ὑπὸ τοῦ Βραχμᾶ; ἐκ δὲ τούτου οὐκ ἔπεσε τὸ
» δένδρον, ἀλλ' ἡ ἀναδενδρὰς, ἡ συμπεπλεγμένη τοῖς
» κλάδοις τοῦ δένδρου[1];

47. « Εἰ οὗτος ὁ στέφανος ἀναιρεῖ τὴν ζωὴν, διὰ τί καὶ
» ἐμὲ οὐκ ἀναιρεῖ, ὃν ἐθέμην ἐπὶ τοῦ στήθους; Ἀλλά που
» τῇ βουλήσει τοῦ Θεοῦ, τὸ μὲν φάρμακον γίνεται νέ-
» κταρ, τὸ δὲ νέκταρ, φάρμακον.

48. « Ἐγὼ μὲν πολλάκις ἔπταισά σοι, ὦ φιλτάτη μοι· σὺ
» δὲ οὐδέ ποτε κατεφρόνησάς μου· πῶς δ' ἄρα νῦν οὐ
» κρίνεις ἄξιον συλλαλῆσαί μοι, μηδαμῶς πταίσαντί σοι;

49. « Σὺ, ὦ χαρίεσσα, ἐνόμισας, ὡς ἐγώ εἰμι ἀγαθὸς μὲν
» κατὰ τὸ φαινόμενον, κακὸς δὲ κατὰ τὸ νοούμενον· καὶ
» διὰ τοῦτο ἐκ τούτου τοῦ βίου ἀπῆλθες εἰς τὸν ἕτερον,
» μὴ ἐρωτήσασά με, ὥστε μὴ ἐπανελθεῖν τοῦ λοιποῦ.

50. « Διὰ τί ἡ ἐμὴ ψυχὴ, ἡ ἐπορεύθη τότε ὄπισθεν τῆς
» ἐμῆς συζύγου[2], ἐπανέστρεψεν ἄνευ ἐκείνης; ὑπόφερε
» τοιγαροῦν, ὦ κακὴ ψυχὴ, τὸ μέγα κακὸν[3], οὗ αὐ-
» τουργὸς ἐγένου.

51. « Βαβαὶ τῆς ματαιότητος τῶν ἀνθρώπων! αἱ μὲν γὰρ
» σταγόνες τοῦ ἱδρῶτος, τοῦ ἐκ τοῦ πόνου τῆς ἐρωτι-
» κῆς παιδιᾶς, μέχρι τοῦδε μένουσιν ἐπὶ τοῦ σοῦ προ-
» σώπου· σὺ δὲ μένεις ἀναίσθητος καὶ ἄψυχος!

52. « Διὰ τί ἀπολείπεις ἐμὲ, ὃς πρότερον οὐδ' ἐν φαντα-
» σίᾳ ἀνέραστόν σοι πεποίηκα; ἐγὼ λόγῳ μόνῳ καὶ οὐ

---

(1) Τὸ μὲν δένδρον ἐστὶν ὁ Ἄζας, ἡ δὲ ἀναδενδρὰς, ἡ Ἰνδευματή.
(2) Ὅτε καὶ αὐτὸς ἐλειποψύχησε.
(3) Ὑπόφερε τὸ ἄχθος τῆς διαζεύξεως.

» πράγματι ἀνήρ εἰμι τῆς γῆς· ἡ ἐκ καρδίας ὅμως ἐμὴ
» ἀγάπη σοὶ μόνῃ ἀνάκειται.

53. « Ὁ ἀνὴρ, ὦ εὔμηρε, ὁ ἀνακινῶν τοὺς σοὺς οὔλους βό-
» στρυχας, τοὺς συμπεπλεγμένους ἄνθεσι, καὶ μέλα-
» νας ὄντας δίκην βομβυλίων, ὑπόνοιάν μοι δίδωσιν, ὡς
» ἀνακινήσει καὶ τὸ σὸν σῶμα, καὶ ἀναστρέψει εἰς τὸ
» ζῆν.

54. « Ἄξιόν ἐστιν, ὦ ἐρασμία, ἀπαλλάξαι ὡς τάχος τὸ
» ἐμὸν ἄχθος τῇ οἰκείᾳ γρηγόρσει, καθὼς ἡ φωτεινὴ
» πόα [1] ἀπαλλάττει τὸ ἐν ταῖς φάραγξι τοῦ Ἰμαοῦ σκό-
» τος τῆς νυκτὸς τῇ ἑαυτῆς λάμψει.

55. « Θλίβει με τοῦτο τὸ πρόσωπόν σου, ὃ ἔχει βόστρυχας
» μὲν κινουμένους, στόμα δὲ ἄλαλον, καὶ ἔστιν, ὡς ὁ
» λωτὸς, ὃς συμμύει ἐν νυκτὶ, καὶ ἔχει ἐμπεριεκλει-
» σμένον ἄφωνον τὸν βομβύλιον.

56. « Ἡ μὲν νὺξ πάλιν τυγχάνει τῆς σελήνης, ὁ δὲ θήλυς
» χηναλώπηξ [2] τοῦ ἄρρενος· καὶ διὰ τοῦτο ὑποφέρουσι
» τὴν πρὸς καιρὸν διάζευξιν· σὺ δὲ, ἡ διὰ παντὸς δια-
» ζευγνυμένη, πῶς οὐ κατακαίεις με;

57. « Εἰπὲ, ὦ καλλίμηρε, πῶς τοῦτό σου τὸ ἁπαλὸν σῶμα ὑπο-
» μενεῖ τὴν ἐπὶ τῶν ξύλων τῆς πυρᾶς θέσιν, ὃ ἐθλίβετο,
» κείμενον ἐπὶ στρώματος ἐξ ἁπαλῶν φύλλων καὶ ἀνθέων;

58. « Ἡ καλή σου ζώνη [3], ἡ κοσμοῦσα τὰ ἁγλαά σου ἰσχία,
» καὶ ἠχοῦσα ἐκ τῶν κινουμένων κωδωνίσκων, νῦν ἐστιν

---

(1) Λέγουσιν, ὡς πόα τις ἐστὶν ἐν τῷ Ἰμαῷ, ἡ λάμπει ἐν νυκτί.

(2) Ὁ χηναλώπηξ πετεινόν ἐστιν, ὡς ἡ νήσσα, φίλυδρον· φιλάλληλοι δέ εἰσιν ὁ ἄρρην καὶ ὁ θήλυς· καὶ ἐν μὲν τῇ ἡμέρᾳ ἀδιάζευκτοί εἰσιν· ἐν δὲ τῇ νυκτὶ διαζεύγνυνται.

(3) Ἔθος ἦν πρότερον ταῖς ἐν Ἰνδίᾳ γυναιξὶ ζώνας φορεῖν, ἀπηωρισμένους ἐχούσας κωδωνίσκους· νῦν δ' οὐκ ἔστιν ἔθος.

» ἄφωνος, στερηθεῖσα τοῦ σοῦ σοβαροῦ βαδίσματος, καὶ
» νεκρά πως μετὰ σοῦ φαίνεται ἐκ λύπης.

59. « Πάντως γε ἐμοῦ φροντίζουσα, ἀπέλιπες τὰς ἃς εἶχες
» ἀρετὰς ἐν τοῖς ἑξῆς τούτοις εἰς τὸ τέρπειν με· τὴν μὲν
» ἡδεῖαν φωνὴν ἐν τοῖς κώκκυξι, τὸ δὲ θελξίνοον βάδι-
» σμα ἐν ταῖς χησί, τὴν δὲ καλὴν γλήνην ἐν ταῖς ἐλά-
60. » φοις [1], τὴν δὲ ἴϋγγα ἐν ταῖς ἀναδενδράσι, ταῖς σα-
» λευομέναις ὑπὸ τοῦ ἀέρος. Ἀλλ' αὗται αἱ ἀπολειφθεῖσαι
» δι' ἐμὲ ὑπὸ σοῦ ἀρεταὶ, ἐφιεμένης ἀνελθεῖν εἰς τὸν
» οὐρανὸν, οὐχ ἱκαναί εἰσι καθιλαρύναι τὴν ἐμὴν κατώ-
» δυνον καρδίαν ἐν τῇ σῇ ἀπουσίᾳ.

61. « Ὁ Ἀσσόκας [2] οὗτος, ὦ εὐσώματε, ἐνθυμεῖται τὴν με-
» γάλην χάριν, ἣν ἐποίησας αὐτῷ διὰ τοῦ λακτίσματος
» τοῦ ποδὸς, τοῦ ἔχοντος ἠχοῦντα περιπέζια [3], καὶ
» διὰ τοῦτο λυπεῖται ἐπὶ σοὶ, καὶ χέει ἄνθη, ὡς
» δάκρυα.

62. « Σὺ ἐν νῷ ἔθου γάμον τελέσαι τοῦ δένδρου Ἄμρα, καὶ
» τῆς ἀναδενδράδος Φαλινῆς [4], ἀλλ' ἀπῆλθες, μὴ τελέ-
» σασα τὰ τοῦ γάμου· τοῦτο δὲ ἀνοίκειον πάντῃ.

63. « Οὗτος ὁ ἕτερος Ἀσσόκας ἐλακτίσθη χάριτι ὑπὸ σοῦ,
» εἰς τὸ γεννῆσαι ἄνθη, ἐσόμενα κοσμήματα τῶν βοστρύ-
» χων σου· πῶς ἄρα ταῦτα τὰ ἄνθη ποιήσω σοι νεκρώ-
» σιμα κοσμήματα;

64. « Τί τοῦτο; διὰ τί ὑπνοῖς, ὦ γλυκύφωνε, ἀφεῖσα ἡμι-
» τελῆ τὸν ἀγλαὸν στέφανον, ὃν ἔπλεκες μετ' ἐμοῦ ἐκ

---

(1) Παρ' Ἰνδοῖς τὸ καλὸν ὄμμα εἰκάζεται τῷ τῆς ἐλάφου.

(2) Ἀσσόκος, δένδρον, ὃ οὐ γεννᾷ ἄνθη· τότε δὲ ἀνθεῖ, ὡς μυθολογοῦσιν, ὅταν λακτισθῇ ποδὶ ἀγλαᾶς γυναικός.

(3) Ἐν τοῖς περιπεζίοις τιθέασι κωδωνίσκους.

(4) Εἰώθασι γάμους τελεῖν νέων φυτῶν, νέων κήπων, καὶ νέων φρεάτων.

» τῶν ἀνθέων τοῦ δένδρου Βακούλα [1], ἃ εὐωδίαν ἔχουσιν, ὡς καὶ ἡ πνοὴ τοῦ στόματός σου;

65. « Αἱ μὲν δμωαὶ αὗται φιλοδέσποιναί εἰσιν· ὁ δὲ υἱὸς » οὗτος αὐξάνει, ὡς ἡ ἀρτιγενὴς σελήνη· ἐγὼ δὲ ὁμό- » φρων καὶ ὁμόψυχος· ἀλλὰ καὶ οὕτω, χαλεπὸν ἔργον » εἴργασαι [2].

66. « Ἀπὸ τῆς σήμερον ἡ καρτερία μου κατέδυσεν· ἡ ἡδυ- » πάθεια ὤχετο· ἡ φιλῳδία ἐμισήθη· τὸ ἔαρ, ἀτερπὲς » καὶ ἄχαρι ἐγένετο· ἡ περὶ τὰ κοσμήματα σπουδὴ » ἐπαύσατο· ἡ δὲ κλίνη μου κενὴ διὰ παντὸς ἀπεδεί- » χθη [3].

67. « Τί τῶν ἀγαθῶν οὐκ ἀφείλετό μου ὁ ἄσπλαγχνος θά- » νατος, ὁ σὲ ἀφελόμενος; σὺ γάρ μοι σύνευνος ἐτύγ- » χανες, σὺ σύμβουλος, σὺ ἐρασμία, σὺ φίλη μαθήτρια » ἐν ἀγλααῖς τέχναις [4].

68. « Σὺ, ἡ πίνουσα τὸν γλυκὺν οἶνον, τὸν ἐκχεόμενον ἐκ » τοῦ ἐμοῦ στόματος, πῶς λήψῃ εἰς πόσιν τὴν προσή- » κουσαν τοῖς κατοιχομένοις χοὴν, μεμιγμένην τοῖς » ἐμοῖς δάκρυσιν;

69. « Ἴσθι, ὡς μέχρι τοῦδε ἦν ἐμοὶ χαρὰ καὶ εὐφροσύνη· εἰς » δὲ τὸ ἑξῆς οὐκ ἔσομαι ὑποκείμενος τρυφαῖς ἄνευ σοῦ, » καὶ περ ἔχων δόξαν καὶ πλοῦτον· πᾶσαι γὰρ αἱ πρώην » τρυφαὶ μετὰ σοῦ ἐγίγνοντο [5] ».

70. Οὕτως ἐλεεινῶς θρηνῶν ὁ βασιλεὺς τῆς Κοσσάλας χώρας

---

(1) Βακούλα, δένδρον, κοινῶς λέγεται Μαουσαρή· τούτου τοῦ δένδρου τὰ ἄνθη, καὶ ξηρὰ ὄντα, εὐωδίαν ἔχουσιν.

(2) Κατέλιπες δηλ: ἡμᾶς.

(3) Οὐκ ἔστι νόμος τοῖς πενθοῦσιν ἀνακλίνεσθαι ἐπὶ κλίνης, ἀλλὰ χαμευνεῖν.

(4) Ἐδίδασκεν αὐτὴν κιθαρίζειν, ᾄδειν, καὶ χορεύειν.

(5) Μετὰ δὲ σὲ ἐπαύσαντο.

διὰ τὴν ἀγαπητὴν Ἰνδουματὴν, ἐποίησε καὶ τὰ δένδρα ἐκχέει χυμοὺς ἐκ τῶν κλάδων, ὡς δάκρυα.

71. Οἱ δὲ προσήκοντες ἔλαβον βίᾳ ἐκ τῶν ἀγκαλῶν τοῦ Ἄζα τὴν ὡραίαν Ἰνδουματὴν, καὶ κατέκαυσαν αὐτὴν ξύλοις ἀγαλλόχου καὶ σανδάνου μετ' ἐκείνου τοῦ οὐρανίου στεφάνου, ὡς τελευταίου κοσμήματος.

72. Οὐ συγκατέκαυσε δ' ὁ Ἄζας τὸ ἑαυτοῦ σῶμα τῷ τῆς Ἰνδουματῆς, οὐ δι' ἔφεσιν ζωῆς, ἀλλ' ἵνα μὴ εἴποιεν, ὡς ὁ βασιλεὺς, ἔμφρων ὢν, ἔθανε μετὰ τὴν βασίλισσαν ἐξ ἀνίας.

73. Μετὰ δὲ τὴν δεκάτην ἡμέραν ἐτελέσθησαν πολυτελῶς ἐν ἐκείνῳ αὐτῷ τῷ κήπῳ ὑπὸ τοῦ φρονίμου βασιλέως πάντα τὰ νενομισμένα ἐπὶ τοῦ ὀνόματος τῆς ἀποθανούσης γυναικός [1].

74. Ἦλθε δ' ἔπειτα εἰς τὴν πόλιν, φαινόμενος ἄνευ τῆς ἑαυτοῦ γυναικὸς, ὡς ἡ σελήνη ἄνευ τῆς νυκτὸς [2], καὶ εἶδε πλημμύραν τῶν ἑαυτοῦ δακρύων ἐν ταῖς διακρυρροούσαις ὄψεσι τῶν τῆς πόλεως γυναικῶν [3].

75. Ὁ δὲ πνευματικὸς πατὴρ Βασσίσας, ὁ ὢν ἐν τῷ ἀσκητηρίῳ, καί τοι ἔγνω τῷ νοΐ ἀχθόμενον λύπῃ τὸν βασιλέα, ἀλλ' ἐπειδὴ ἐνησχολεῖτο θυσίᾳ, διὰ τοῦτο παρηγόρησεν αὐτὸν διὰ τοῦ ἑαυτοῦ μαθητοῦ, ὃς καὶ εἶπεν, ἐλθών·

76. « Καί τοι ἐγίνωσκεν ὁ ὅσιος Βασσίσας τὸ αἴτιον τοῦ » ἄχθους σου, ἐπειδὴ ὅμως ἀτελής ἐστιν ἡ θυσία, ἣν

---

(1) Ἐν τῇ ἑνδεκάτῃ ἡμέρᾳ τοῦ θανάτου ἔθος ἐστὶ διδόναι τοῖς Βραχμᾶσι κλίνην, ἐλέφαντα, ἵππον, ἅρματα, βοῦν, κῆπον, οἶκον, καὶ ἄλλα τοιαῦτα ἐπιπλα, καὶ χρυσίον, καὶ ἀργύριον ἐπ' ὀνόματι τοῦ θανόντος.

(2) Καθὼς ἡ Σελήνη ἄνευ τῆς νυκτὸς ἀμαυρά ἐστιν, οὕτω καὶ τὸ πρόσωπον ἐκείνου στυγνὸν ἦν ἄνευ τῆς Ἰνδουματῆς.

(3) Βλέπουσαι αἱ γυναῖκες αὐτὸν, κλαίοντα, κἀκεῖναι ἔκλαιον.

» τελεῖ, διὰ τοῦτο οὐκ ἦλθεν αὐτὸς εἰς τὸ στερεῶσαί σε
» ἐν τῇ φυσικῇ σου καρτερίᾳ, ἧς ἐκπέπτωκας.

77. « Ἡ παρηγορία ἐκείνου τοῦ ὁσίου ἀνδρὸς, ἡ ἔχουσα
» βραχυλογίαν, ἐν τῷ ἐμῷ ἐστι στόματι, ὦ ἀγαθουργὲ,
» καὶ ὀνομαστὲ ἐπὶ καρτερίᾳ· ἀκούσας οὖν, θὲς αὐτὴν
» ἐν τῇ σεαυτοῦ καρδίᾳ.

78. « Ἐκεῖνος ὁ ὅσιος βλέπει τῷ καθαρῷ ὄμματι τῆς γνώ-
» σεως τὰ παρωχημένα, τὰ ἐνεστῶτα, καὶ τὰ μέλλον-
» τα, τὰ ὄντα ἐν τοῖς τρισὶ κόσμοις τοῦ ἀγεννήτου
» Θεοῦ· (διὸ καὶ λέγει διὰ τῆς ἐμῆς φωνῆς)·

79. « Πάλαι ὁ Ἴνδρας, φοβηθεὶς [1] ἐκ τοῦ Τριναβινδοῦ [2],
» τοῦ ἐργαζομένου δυσκατέργαστον ἄσκησιν, ἐξαπέ-
» στειλε πρὸς αὐτὸν μίαν θείαν νύμφην, Χαρινὴν τοὔ-
» νομα, εἰς ἀναίρεσιν τῆς θεωρίας.

80. « Παροξυνθεὶς δ' ὁ Τριναβινδοῦς ἐκ τῆς Χαρινῆς [3], ἣ ἦν
» ἐμποδὼν τῇ ἀσκήσει, ὑπερέβη τὰ ὅρια τῆς ὑπομονῆς,
» καθὼς τὸ κύμα ἐκ τοῦ σάλου ὑπερβαίνει τὰ ὅρια τῆς
» θαλάσσης· καὶ κατηράσατο αὐτῆς, εἰπών· « *ἔσο ἄν-*
» *θρωπος* ».

81. « Ἐν τούτῳ ἡ Χαρινὴ ἔφη· « Ἐγὼ, θειότατε, ὑπεξούσιός
» εἰμι τῷ Ἴνδρᾳ· σύγγνωθί μοι τοῦ ἀμπλακήματος· »
Ὁ δ' ἔφη αὐτῇ, ἱκετευούσῃ. « *Μένε ἄνθρωπος, ἕως ἂν*
» *ἴδῃς θεὸν στέφανον.*

82. « Γεννηθεῖσα δ' ἐκείνη ἡ θεία νύμφη ἐν τῇ γενεᾷ τῶν
» βασιλέων τῆς Βιδάρβας, γυνή σοι ἦν ἐπὶ πολὺν χρό-

---

(1) Ὁ Ἴνδρας φοβεῖται τοὺς ποιοῦντας μεγάλην ἄσκησιν, καὶ πολλὰς θυσίας, μὴ λάβωσι τὸν θρόνον αὐτοῦ, καὶ διὰ τοῦτο ἐμποδὼν γίνεται.

(2) Ἐτυμολογεῖται ἐκ Τρίνα χόρτου, καὶ Βινδοῦ, σταγόνος· ὅ ἐστι, τὸ ἄκρον τοῦ χόρτου ἔβρεχεν ὕδατι, καὶ τοσοῦτον ὕδωρ ἔπινε, μίαν σταγόνα δηλ:

(3) Χαρινὴ, ἀναιρετικὴ, ἢ ἀφαιρετικὴ.

» νον· καὶ ἰδοῦσα τὸν ἐξ οὐρανοῦ πεσόντα στέφανον,
» τὸν αἴτιον λύσεως τοῦ δεσμοῦ τῆς ἀρᾶς, ἔθανεν.

83. « Ἄλις οὖν τῆς λύπης τῆς ἐπὶ τῷ θανάτῳ ἐκείνης· ὁ
» γὰρ θάνατος, ἄφευκτος τοῖς γεννηθεῖσι. Φροντίδα δ'
» ἔχε τῆς γῆς, ἧς βασιλεύεις· ἡ γὰρ γῆ γαμετὴ λέγε-
» ται τῶν βασιλέων.

84. « Σὺ, καί τοι βασιλικὴν εἶχες δόξαν, ἐδιδάχθης ὅμως
» καὶ ἔμαθες τὴν θεολογικὴν ἐπιστήμην, καὶ ἐν οὐ-
» δενὶ ψεκτὸς ἐγένου[1]· νῦν δὲ, ἄχθους σοι ὄντος ἐν τῇ
» καρδίᾳ, ἀναμνήσθητι καρτερῶς ἐκείνης τῆς θεολο-
» γίας[2].

85. « Οὐ μόνον, ἂν κλαίῃς, ἀλλὰ κἂν ἀποθάνῃς μετ' ἐκείνην,
» οὐ τεύξῃ πάλιν αὐτῆς· αἱ γὰρ σάσεις (χῶραι) τῶν ἀπερ-
» χομένων εἰς τὸν μέλλοντα βίον, κεχωρισμένας ὁδοὺς
» ἔχουσι κατὰ τὰ ἔργα ἑκάστου[3].

86. « Πόρρω ἀθυμίας γενόμενος, ἀπόδος αὐτῇ, χαρισάμενος,
» τὰ νενομισμένα μετὰ θάνατον[4]· τὰ γὰρ πολλὰ δά-
» κρυα καταθλίβει τὸν νεκρὸν, ὡς φασιν οἱ σοφοὶ
» ἄνδρες.

87. « Ὑπὸ τῶν σοφῶν ἀνδρῶν λέγεται, ὡς ὁ μὲν θάνατος,
» φυσικός ἐστιν, ἡ δὲ ζωὴ, τυχηρά· ὅθεν εἴ τις καὶ ὀλί-
» γον χρόνον ἔζησεν, οὗτος εὐτυχής ἐστιν· ὡς ἔρμαιον
» γὰρ εὗρηκε τὴν ζωήν.

88. « Ὁ μὲν μωρόφρων νομίζει, ὡς ἡ στέρησις τοῦ ἐφετοῦ[5],
» ἡλός ἐστιν, ἐμπεπηγὼς τῇ καρδίᾳ· ὁ δὲ εὔφρων γινώ-

---

(1) Καρτερίαν δηλ: εἶχεν ἐν πᾶσι, καὶ φρόνησιν ἄκραν.
(2) Ἡ διδάσκει, ὡς πάντα μὲν φθαρτὰ, μόνη δ' ἡ ψυχὴ ἀθάνατος.
(3) Ταὐτόν ἐστι τῷ, « Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσι ».
(4) Χοάς τε καὶ πόπανα, καὶ δωρήματα τοῖς Βραχμᾶσι.
(5) Ἡ στέρησις γυναικὸς, ἢ υἱοῦ, ἢ ἄλλου ἐφετοῦ.

» σκει, ὡς ὁ ἐμπεπηγὼς ἧλος [1] ἐξεβλήθη διὰ τῆς αἰσίας
» στερήσεως τοῦ ἐφετοῦ [2].

89. « Ὅτε αὐτὸ τὸ σῶμα καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου χωρί-
» ζεται ἐξαίφνης ἐκ τῆς συζεύξεως, ἣν φύσει ἔχουσι,
» πῶς τὸν φρόνιμον ἄνθρωπον ἡ διάζευξις τῶν ἐξωτερι-
» κῶν ἐφετῶν λυπήσειεν ἄν ;

90. « Οὐκ ἄξιος εἶ ἄρα, ὦ ἄριστε τῶν νικητῶν τῶν παθῶν,
» ὑπείκειν τῇ λύπῃ, ὥς τις τῶν χυδαίων· ὁποία γὰρ
» διαφορά ἐστι τοῦ δένδρου καὶ τοῦ ὄρους, εἰ ἀμφότε-
» ρα σαλεύονται, πνέοντος ἀνέμου » ;

91. Ἐπαινέσας δ' ὁ βασιλεὺς τὸν ὀρθῶς ἔχοντα λόγον τοῦ μεγαλόφρονος διδασκάλου, ἀπέπεμψε τὸν μαθητὴν αὐτοῦ· ἀλλ' ὁ λόγος ἐκεῖνος, μὴ εὑρὼν τόπον ἐν τῇ καρδίᾳ τοῦ βασιλέως, πλήρει οὔσῃ ἄχθους, ἐπανέστρεψέ πως [3] πρὸς τὸν ὅσιον.

92. Διὰ χάριν δὲ τοῦ υἱοῦ, παιδὸς ἔτι ὄντος, ἔζησεν ὀκτὼ ἔτη σχεδὸν μετὰ τὸν θάνατον τῆς Ἰνδουματῆς, βλέπων τὴν γεγραμμένην εἰκόνα αὐτῆς τῆς ἀγαπωμένης, καὶ χαίρων τῇ καθ' ὕπνους βραχείᾳ ἐντεύξει αὐτῆς.

93. Τὸ δὲ ὀξὺ πάθος διέῤῥηξε τὴν καρδίαν αὐτοῦ, ὡς ὁ Πιπ-πάλας [4], ἀναφυεὶς, διαῤῥήγνυσι τὸν τοῖχον τοῦ οἰκοδομήματος· τοῦτο δὲ τὸ πάθος, τὸ ἀνίατον ἰατροῖς, καὶ αἴτιον θανάτου, μέγα ὄφελος ἐνόμιζεν, ὡς συνεργὸν ἐσόμενον τῆς ταχείας ἐντεύξεως τῆς ἐρωμένης.

---

(1) Ἡ προσπάθεια ἦν ὁ ἐμπεπηγὼς ἧλος.

(2) Λύεται ἐκ τοῦ δεσμοῦ τῆς προσπαθείας, ἣν εἶχε πρὸς τὸ ἐφετόν· καὶ διὰ τοῦτο αἰσίαν κρίνει τὴν στέρησιν ὁ φρόνιμος.

(3) Ἄπρακτος δηλ: ἐγένετο.

(4) Πιπάλας, δένδρον μέγα, οὗ ὁ καρπὸς ἐστὶν μικρὸς, συκοειδής· οὗτος ἀναφύεται καὶ ἐν πετρίναις στερεοῖς οἰκοδομήμασι, καὶ διαῤῥήγνυσι τὸν τοῖχον κατ' ὀλίγον αὐξανόμενος.

94. Ἀποδείξας δὲ κατὰ τὸν νόμον ὁ βασιλεὺς βασιλέα τῶν λαῶν τὸν υἱὸν, ὃς ἦν καλῶς δεδιδαγμένος, καὶ ἱκανὸς φέρειν τὸν θώρακα (τὴν πανοπλίαν), ἐπιθυμῶν ἐγκαταλιπεῖν τὸ σῶμα, τὸ κακῶς ἔχον τοῖς ἐνοῦσι πάθεσι, γνώμης ἐγένετο θανεῖν ἀποχῇ βρώσεως [1].

95. Καταλιπὼν δὲ τὸ σῶμα αὐτοῦ, ἔνθα μίγνυται ὁ Γάγγης, καὶ ὁ Σαραῖοῦς ποταμὸς, συνηριθμήθη εὐθέως τοῖς θεοῖς· καὶ συντυχὼν τῇ ἐρωμένῃ νύμφῃ, ἣ εἶχε μᾶλλον ἀγλαὰν τὴν μορφὴν, ἥ περ πρότερον ἐν γῇ, συνευφραίνετο αὐτῇ πάλιν ἐν ἀγλαοῖς τόποις τοῦ παραδείσου τοῦ Ἰνδρα.

ΚΕΦΑΛΑΙΟΝ θ'.

1. Μετὰ τὸν θάνατον τοῦ πατρὸς βασιλεύσας ὁ Δασσαράτας, ἐκυβέρνα μετ' ἐκεῖνον καλῶς τὸν λαὸν τῆς Κοσσάλας χώρας, κολοφὼν ὢν τῶν ἐγκρατῶν καὶ τῶν βασιλέων, σωφρονέστατος, καὶ ἡρωϊκώτατος.

2. Ἐπειδὴ δὲ ἐκυβέρνα, ὡς ἔδει, τήν τε μητρόπολιν Ἀϊοδδεὰν, καὶ πᾶσαν τὴν περίχωρον, ἧς ἦρχον οἱ αὐτοῦ πρόγονοι, διὰ τοῦτο μεγάλην κλίσιν καὶ ἀγάπην ἐδείκνυεν ὁ λαὸς πρὸς αὐτὸν, ὃς εἶχε ῥώμην ὡς ὁ Σκάνδας.

3. Δύω μόνους καλοῦσιν οἱ σοφοὶ ἄνδρες ἀπαλλακτικοὺς τῶν ἐν ἀνθρώποις δεινῶν· τοῦτον τὸν βασιλέα, τὸν ἐκ τοῦ βασιλέως Μανοῦ καταγόμενον, καὶ τὸν θεὸν Ἴνδραν·

---

(1) Παρὰ τῷ Ἰνδικῷ νόμῳ οὐκ ἔστιν ἁμάρτημα, εἴ τις θάνοι δι' ὕδατος, ἢ διὰ πυρὸς, ἢ δι' ἀσιτίας, πάθος ἔχων ἀνίατον.

ὁ μὲν γὰρ ἐν καιρῷ δίδωσιν ὄμβρον τοῖς ποιοῦσι τὰ δέοντα [1], ὁ δὲ ἐν καιρῷ ἐδωρεῖτο χρυσόν [2].

4. Βασιλεύοντος τοῦ ἱλαροῦ καὶ ἰσοθέου Δασσαράτα, υἱοῦ τοῦ Ἄζα, ἡ μὲν γῆ καρποφόρος ἦν, ἐν δὲ τῇ χώρᾳ ἐκείνῃ ἡ νόσος πόδα οὐκ ἔθηκε· πόθεν δὲ καταδρομὴ, ἢ κακόν τι παρ' ἐχθρῶν;

5. Καθὼς ἡ γῆ ἀγλαΐαν εἶχεν ἐξ αἰτίας τοῦ Ῥαγγοῦ, τοῦ οἰκουμενικοῦ νικητοῦ, καὶ μετ' ἐκεῖνον ἐξ αἰτίας τοῦ Ἄζα, οὕτω πάλιν ἠγλαΐζετο, βασιλέα ἔχουσα τοῦτον τὸν ῥωμαλέον Δασσαράταν.

6. Ὁ βασιλεὺς οὗτος τῇ μὲν ἀφθόνῳ ἐκχύσει τῶν δωρεῶν ἐμιμεῖτο τὸν Κουβέραν [3], τῇ δὲ ἀπροσωπολῃψίᾳ τὸν Βαρούναν [4] τῇ δὲ πρὸς τοὺς κακοὺς κολάσει τὸν Ἰάμαν [5], τῇ δὲ λαμπρότητι τὸν λαμπρὸν ἥλιον.

7. Τοῦτον, ὃς ἐφρόντιζε, καὶ τρόπους ἐποίει ὑπὲρ αὐξήσεως τῆς ἑαυτοῦ δόξης καὶ βασιλείας, οὐκ ἐπηγάγετο οὔτε ἡ φιλοθηρία, οὔτε ἡ κακὴ κυβεία, οὔτε ὁ ἀνθοσμίας οἶνος, οὔτε μὴν νέα καὶ ἀγλαὰ θήλεια.

8. Ὑπὸ τούτου οὔτε ταπεινολογία ἐρρέθη καὶ ἔμπροσθεν τοῦ πανενδόξου καὶ πανεκλάμπρου Ἴνδρα, οὔτε ψευδολογία ἐν γελοίοις λόγοις, καὶ ἀστείσμασιν, οὔτε μὴν σκληρολογία πρὸς τοὺς ἐχθροὺς, καὶ ἀντιμάχους [6].

---

(1) Τοῖς θύουσι.

(2) Τοῖς δεομένοις.

(3) Κουβέρας, ὁ θεὸς τοῦ πλούτου.

(4) Βαρούνας, ὁ θεὸς τῶν ὑδάτων· ἀπροσωπόληπτος δὲ λέγεται, ἐπειδὴ καὶ πτωχοὶ καὶ πλούσιοι ἐξ ἴσου ὕδωρ λαμβάνουσιν ἐκ τῶν ποταμῶν καὶ ἐκ τῶν φρεάτων.

(5) Ἰάμας, ὁ θεὸς τοῦ ᾅδου.

(6) Δηλονότι μεγαλόφρων ἦν πρὸς τοὺς μεγαλοφρονας.

9. Οἱ βασιλεῖς τῆς γῆς ἐλάμβανον παρὰ τούτου τοῦ Δασσαράτα ἤτοι αὔξησιν, ἢ μείωσιν· τοῖς μὲν γὰρ μὴ παραβαίνουσι τὴν προσταγὴν αὐτοῦ εὐμενὴς καὶ μαλακογνώμων ἦν, τοῖς δὲ παραβάταις καὶ ἀντάρταις σιδηροκάρδιος.

10. Οὗτος ἐντεταμένον ἔχων τὸ τόξον, ἐνίκησε μόνος τῷ ἑαυτοῦ ἅρματι τὴν περιῤῥεομένην τῇ θαλάσσῃ γῆν· ἡ δὲ ἐλεφαντικὴ καὶ ἱππικὴ στρατιὰ αὐτοῦ ἐξεφώνει μόνον τὴν νίκην [1].

11. Ἡ δὲ ἠχήεσσα θάλασσα [2] ἦν ὡς τύμπανον βροντόφωνον τῆς νίκης τούτου τοῦ βασιλέως, ὃς ἐνίκησε τὴν γῆν μόνῳ τῷ ἑαυτοῦ καταφράκτῳ ἅρματι [3], καὶ πάμπλουτος ἦν, ὡς ὁ Κουβέρας [4].

12. Καθὼς ὁ Ἴνδρας συνέτριψε τὰς πτέρυγας τῶν ὀρέων διὰ τοῦ πολυκορύφου κεραυνοῦ [5], οὕτω καὶ ὁ Δασσαράτας, ὁ ἔχων πρόσωπον, ὡς νέον λωτὸν, συνέτριψε τὴν δύναμιν τῶν ἐχθρῶν διὰ τοῦ ἠχήεντος τόξου, τοῦ βάλλοντος βέλη βροχηδόν.

13. Ἀναρίθμητοι δὲ βασιλεῖς προσεκύνουν αὐτὸν τὸν ἀκαταμάχητον τῇ δυνάμει, κλίνοντες τὰς κεφαλὰς, ὧν οἱ λιθοκόλλητοι στέφανοι ὑπερελάμπρυνον τὴν λάμψιν τῶν ὀνύχων τῶν ποδῶν αὐτοῦ, καθὼς οἱ θεοὶ προσκυνοῦσι τὸν Ἴνδραν.

---

(1) Τὸ μὲν στόμα τῆς στρατιᾶς ἦν, ὡς σάλπιγξ.

(2) Ἡ δὲ ἠχήεσσα θάλασσα, ὡς τὸ μέγα τύμπανον· καὶ γὰρ οἱ Ἰνδοὶ πρὸς τοῖς ἄλλοις τυμπάνοις ἔχουσι καὶ ἓν πάμμεγα, ὅ ἐστι σύμβολον νίκης, κρουόμενον· τοῦτο κρούουσι καὶ ἔμπροσθεν τῶν θεῶν.

(3) Κατάφρακτα εἶχον τὰ ἅρματα οἱ πολεμικοὶ Ἰνδοί.

(4) Κουβέρας ὁ θεὸς τοῦ πλούτου.

(5) Ὁ κεραυνὸς τοῦ Ἴνδρα λέγεται ἑκατοντακόρυφος καὶ χιλιοκόρυφος, ὡς πολλὰς ἔχων αἰχμὰς, ἢ ἀκίδας, δι' ὧν συντρίβει τὸ πριστυχόν.

14. Ἐλεήσας δὲ τὰς χήρας γυναῖκας τῶν ἐχθρῶν, αἳ ἔστειλαν μετὰ βουλευτῶν τοὺς υἱοὺς αὐτῶν εἰς προσκύνησιν αὐτοῦ, ἐπανέστρεψεν ἀπὸ τῆς ἀκτῆς τοῦ ὠκεανοῦ εἰς τὴν ἑαυτοῦ πόλιν, ἥ ἦν λαμπρὰ, ὡς ἄλλη Ἀλακά [1].

15. Αὐτὸς ὁ ὢν λαμπρὸς, ὡς τὸ πῦρ καὶ ἡ σελήνη [2], καί τοι ἦν κύριος πάντων τῶν βασιλέων, ἀποστερήσας αὐτοὺς τῶν λευκῶν οὐρανίσκων, σκοπῶν ὅμως, ὡς ἡ δόξα ὄλλυται ἐξ ἀκηδείας, γρήγορος ἦν καὶ νήφων.

16. Ἐκτὸς τοῦ ἀγεννήτου Βισνοῦ, καὶ τοῦ ἐκ τοῦ Κακούτσα καταγομένου βασιλέως Δασσαράτα, τοῦ μεγάλα δωρουμένου τοῖς αἰτοῦσι, τίνα ἄλλον ἀγαπήσειεν ἂν ἡ Λαξμὴ [3], ἡ σεμνὴ καὶ ἀγλαὰ θεά;

17. Τούτῳ τῷ Δασσαράτᾳ, οὗ τὰ βέλη ἐνεπάγησαν τῇ καρδίᾳ τῶν ἐχθρῶν, συνεζεύχθησαν αἱ σεμναὶ θυγατέρες τῶν βασιλέων τῆς Μαγάδδας, τῆς Κοσσάλας, καὶ τῆς Κεκαΐας χώρας, καθὼς οἱ ἐκ τῶν ὀρέων ποταμοὶ συμμίγνυνται τῷ ὠκεανῷ.

18. Συνὼν δὲ ταῖς τρισὶ γυναιξὶν ὁ Δασσαράτας, ὁ ἔμπειρος τρόπων ἀναιρετικῶν τῶν ἐχθρῶν, ἐνομίζετο, ὡς ὁ Ἴνδρας ἦκεν σὺν ταῖς τρισὶ δυνάμεσιν [4], ἐφιέμενος κυβερνῆσαι τοὺς ἀνθρώπους.

19. Οὗτος ὁ ἥρως, συμμαχήσας τῷ Ἴνδρᾳ κατὰ τῶν Τιτάνων, καὶ ἀριστεύσας, ἀπήλλαξε τοῦ φόβου τοῖς κατὰ τῶν

---

(1) Ἀλακὰ, ὄνομα τῆς πόλεως τοῦ Κουβέρα.

(2) Ὡς πῦρ πρὸς τοὺς ἐχθροὺς, καὶ ὡς σελήνη πρὸς τοὺς φίλους, δηλ: ἱλαρός.

(3) Ἡ Λαξμὴ παράκοιτίς ἐστι τοῦ Βισνοῦ· ἔστι δὲ θεὰ τῆς δόξης καὶ τῆς εὐδαιμονίας· δηλονότι ὁ Δασσαράτας ἔνδοξος ἦν, ὡς ὁ Βισνεῦς.

(4) Τρεῖς εἰσιν αἱ δυνάμεις, αἱ προσήκουσαι τῷ βασιλεῖ, ἡ βουλὴ, ἡ στρατιὰ, καὶ ἡ γάζα.

Τιτάνων ἑαυτοῦ βέλεσι τὰς θείας νύμφας, αἳ καὶ ὕμνουν ἐν ᾠδαῖς τὴν μεγάλην δύναμιν τοῦ βραχίονος αὐτοῦ.

20. Οὐχ ἅπαξ, ἀλλὰ πολλάκις μόνος ὁ Δασσαράτας ἐφ' ἅρματος τόξον ἔχων, καὶ προπορευόμενος τοῦ Ἴνδρα, ἐπέσχε διὰ τῆς αἱματοχυσίας τῶν ἀντιθέων Τιτάνων τὴν κόνιν, τὴν ἐπικαλύπτουσαν τὸν ἥλιον [1].

21. Αἱ ὄχθαι τῶν ποταμῶν Ταμασᾶ, καὶ Σαραϊοῦ, ἀγλααὶ ταῖς χρυσαῖς στήλαις ἐγίνοντο ὑπὸ τούτου τοῦ περίφρονος, τοῦ ὄντος ἐν ταῖς θυσίαις ἄνευ διαδήματος καὶ τῶν λοιπῶν παρασήμων [2], καὶ ὄλβον ταμιεύσαντος τῷ βραχίονι αὐτοῦ ἐκ παντὸς μέρους τῆς γῆς.

22. Ὁ μὲν οὖν βασιλεὺς, ἐνασχολούμενος τῇ θυσίᾳ, ἀσυγκρίτως ἠγλαΐζετο, ἔχων δέρμα καὶ κέρας ἐλάφειον [3], καὶ ῥάβδον ἐκ ξύλου Παλάσσα, καὶ ζώνην ἐκ πόας Κούσσης, καὶ ἐχεμυθῶν [4].

23. Λουσάμενος δὲ μετὰ τὴν θυσίαν [5], ἐγκρατὴς ὢν τῶν αἰσθήσεων, καὶ ἄξιος καθίσαι ἐν συνόδῳ θεῶν [6], ἔκλινε τὴν

---

(1) Βεβρεγμένης τῆς γῆς τῇ αἱματοχυσίᾳ, ἐπαύετο ἡ κόνις.

(2) Ἐν τῷ θυσιαστηρίῳ καὶ στήλη ἐστὶν, ἐν ᾗ δέεται τὸ σφάγιον. Οὐ μόνον δεῖ τῷ βασιλεῖ παρίστασθαι τῇ θυσίᾳ ἄνευ βασιλικῶν σημείων, ἀλλὰ καὶ σχῆμα ἔχειν καὶ δίαιταν ἀσκητοῦ, ὡς ἑφεξῆς δῆλον ἔσεται.

(3) Τὸ μὲν δέρμα τῆς ἐλάφου εἶχεν ἐπ' ὤμων, τὸ δὲ κέρας καὶ τὴν ῥάβδον ἐν χεραίν. Οἱ ἀσκηταὶ δι' ἐλαφείου κέρατος ξύουσι τὸ σῶμα, καὶ οὐ δι' ὀνύχων.

(4) Ταῦτα πάντα ἴδια τῶν ἐν ἀσκήσει βιούντων.

(5) Ἡ θυσία γίνεται ἐπ' ὀνόματι τοῦ Ἴνδρα, διὰ τοῦτο μετὰ τὴν θυσίαν κλίνει ὁ θύων τὴν κεφαλὴν ἐπ' ὀνόματι τοῦ Ἴνδρα. Πρότερον μὲν, ὡς λέγουσιν, ἤρχοντο οἱ θεοὶ σωματικῶς ἐπὶ τὴν θυσίαν, νῦν δὲ ἀοράτως παρίστανται.

(6) Ἐν ὅσῳ τελεῖται ἡ θυσία, οὐ λούεται ὁ θύων, οὐδὲ ἐσθίει, μόνον δὲ γάλα πίνει· καὶ ἄλλη μὲν θυσία τελεῖται ἐν μιᾷ ἡμέρᾳ, ὅτε τὸ σφάγιόν ἐστιν ἕν· ἄλλη δ' ἐν τέσσαρσιν ἡμέραις, ὅτε τρία ἐστὶ τὰ σφάγια· ἄλλη δὲ ἐν ἑνὶ μηνὶ, ὅτε τὰ σφάγιά ἐστιν ὑπὲρ τὰ εἴκοσι. Ὁ δὲ θύων οὐ πορεύεται οἴκαδε, ἀλλὰ μένει ἐν τῷ θυσιαστηρίῳ, ἕως ἂν λάβῃ τέλος ἡ θυσία.

κεφαλὴν εἰς προσκύνησιν τοῦ Ἴνδρα, ἣν οὐδέποτε ἔκλινεν εἰς προσκύνησιν ἄλλου.

24. Ἐπέστη δὲ τὸ ἔαρ, τὸ ἀγλαϊζόμενον νέοις ἄνθεσιν, εἰς θεραπείαν καὶ ἄνεσιν, ὡς εἰπεῖν, αὐτοῦ μόνου τοῦ βασιλέως, ὃς ἰσοστάσιος ἦν τῷ Ἰάμα, τῷ Κουβέρα, τῷ Βαρούνα, καὶ τῷ Ἴνδρα, καὶ οὗ οἱ πόδες προσεκινοῦντο ὑπὸ πάντων.

25. Ὁ δ' Ἥλιος, οὗ τὸ ἅρμα ἔστρεψεν ὁ ἐλαύνων Ἀρούνας [1], θέλων ἐλθεῖν εἰς τὸ βόρειον μέρος, ἀφῆκε τὸ νότιον, καὶ καθαρὰν ἐποίησε τὴν ἡμέραν ἐκ τῆς ὁμίχλης τοῦ χειμῶνος [2].

26. Ἐλθὸν δὲ τὸ ἔαρ εἰς τὰ φυτοφόρα ἄλση, ἐφάνη οὕτως· δηλονότι ἄνθη ἁγλαὰ, φύλλα ἁπαλὰ, μελῳδία τῶν κοκκύγων, καὶ βόμβος τῶν βομβυλίων [3].

27. Οἱ βομβύλιοι καὶ οἱ φίλυδροι ὄρνεις προσεφοίτων τῷ λειμῶνι τῶν ἐν ταῖς λίμναις γλυκυχύμων λωτῶν, καθὼς οἱ αἰτοῦντες προσεφοίτων τῷ βασιλεῖ εἰς κτῆσιν χρημάτων, ἃ ἐκ καλῆς διοικήσεως καὶ ἀνδρείας συνήχθησαν εἰς τὸ εἶναι χρήσιμα τοῖς ἀγαθοῖς ἀνδράσιν.

28. Οὐ μόνον τὰ ἐν τῷ ἔαρι νέα ἄνθη τοῦ Ἀσσόκα δένδρου ἐξῆπτον τὸν ἔρωτα, ἀλλὰ καὶ τὰ ἁπαλὰ φύλλα αὐτοῦ, ἐξέμαινον εἰς ἔρωτα τοὺς ἡδυπαθεῖς, ἅπερ τιθέασιν ἐν τοῖς ὠσὶν αἱ θήλειαι, ὡς κοσμήματα.

---

(1) Ἀρούνας λέγεται ὁ ἁρματηλάτης τοῦ Ἡλίου· γράφεται δὲ ἄνευ ποδῶν· ὅ ἐστιν ἔμβλημμα, ὡς οὐδέποτε ἵσταται ἐπὶ ποδὸς, ἀλλ' ἐλαύνει ἡμέρας τε καὶ νυκτός.

(2) Τὸ ἔαρ ἐν ταῖς θεριναῖς ἐστι τροπαῖς τοῦ ἡλίου. Ἐν Ἰνδίᾳ ὁμίχλη γίνεται κατὰ τὸν χειμῶνα περὶ τὴν ἕω.

(3) Τοῦτό ἐστι τὸ ἔαρ, τὰ ἁγλαὰ ἄνθη, τὰ ἁπαλὰ φύλλα, καὶ ἡ μελῳδία τῶν κοκκύγκων. Παρ' Ἰνδοῖς ὁ κόκκυξ ἐπάγεται ἐπὶ μελῳδίας· ἐν γὰρ Ἰνδίᾳ οὔτε ἀηδόνες, οὔτε χελιδόνες, ὁ δὲ κόκκυξ ἐν τῷ ἔαρί ἐστι μᾶλλον φιλῳδὸς καὶ μελῳδός.

29. Τὰ ποικιλόχροα καὶ εὔχυμα ἄνθη τοῦ φυτοῦ Κουραβάκα[1] τὰ ποιηθέντα ὑπὸ τοῦ ἔαρος, αἴτια ἐγίγνοντο τοῦ βόμβου τῶν βομβυλίων, καὶ ἦσαν, ὥσπερ ἔγγραφα κοσμήματα τῆς ἀγλαΐας τοῦ λειμῶνος [2].

30. Τὰ ἄνθη τοῦ δένδρου Βακούλα, τὰ ἐκφυόμενα ἐκ τοῦ οἴνου, τοῦ ἐκχεομένου ἐκ στόματος ἀγλαᾶς γυναικὸς [3], καὶ ἔχοντα ὀσμὴν οἴνου, κατέθλιβε τὰ δένδρα ἐκ τῶν συνεχῶς ἐπικαθημένων ἐσμῶν τῶν βομβυλίων.

31. Τὰ δ' ἄνθη ἐπὶ τοῦ δένδρου Παλάσα, τὰ ποιηθέντα ὑπὸ τῆς ἀγλαΐας τοῦ ἔαρος, ἠγλαΐζοντο, ὥσπερ αἱ τῶν ὀνύχων νύξεις ἐπὶ τοῦ ἀνδρὸς, αἱ γινόμεναι ὑπὸ γυναικὸς, μαινομένης ἔρωτι [4].

32. Ὁ ἥλιος οὐχ ἱκανὸς ἐγένετο ἀπαλεῖψαι τὸ ψύχος παντελῶς, ἀλλ' ἐμείωσεν αὐτὸ [5], ὅπερ δυσανάσχετόν ἐστι τῷ ὀδοντοδήκτῳ χείλει τῆς γυναικὸς [6], καὶ αἴτιον τῆς ἀποζώσεως τῆς λιθοκολλήτου ζώνης [7].

---

(1) Κουβαράκα, φυτὸν θαμνειδὲς ἀνθοφόρον· τούτου τοῦ φυτοῦ τὸ μὲν γεννᾷ ἄνθη λευκὰ, τὸ δὲ ἐρυθρὰ, τὸ δὲ κυάνεα. Κουραϊὰ κοινῶς λέγεται.

(2) Αἱ γυναῖκες τῆς Ἰνδίας γράφουσιν ἐπὶ τοῦ μετώπου καὶ ἐπὶ τῶν παρειῶν ἄνθη ποικιλόχροα, καὶ περιπλοκὰς κλάδων· τοῦτο δὲ τὸ ἔγγραφον κόσμημα λέγεται Ἰνδιστὶ, Πατραλατὰ, καὶ Πατραβαλή.

(3) Λέγουσιν, ὡς, ἐάν τις ἀγλαὰ γυνὴ χύσῃ οἶνον ἐκ στόματος εἰς τοῦτο τὸ δένδρον, ἀνθοφορεῖ· τοῦτο δὲ ποιητική ἐστι φαντασία.

(4) Τὰ ἄνθη τούτου τοῦ δένδρου ἐρυθρά εἰσι καὶ κυρτοειδῆ, καθὼς καὶ αἱ νύξεις τῶν ὀνύχων ἐπὶ τοῦ σώματος τοῦ ἀνδρός· νυττόμενοι γὰρ οἱ ἄνδρες τοῖς ὄνυξι τῶν ἐρωτικῶν γυναικῶν, ἐκμαίνονται εἰς ἔρωτα.

(5) Δηλονότι ἐν τῷ ἔαρι, οὔτε ψύχος ἐστὶν, οὔτε καῦμα.

(6) Ἐν συνουσίᾳ οἱ ἄνδρες δάκνουσι τὸ χεῖλος τῆς γυναικός· τὸ δὲ χεῖλος διαῤῥήγνυται ὑπὸ τοῦ ψύχους· ὅτε δὲ ὀδοντόδεικτόν ἐστι, μᾶλλον διαῤῥήγνυται. καὶ διὰ τοῦτο οὐχ ὑποφέρει τὸ ψύχος.

(7) Ἐκ τῶν πολλῶν πρλυτίμων λίθων, ὧν ἔχει ἡ ζώνη, αἱ γυναῖκες ψύχους αἰσθάνονται, καὶ διὰ τοῦτο ἀποζώννυνται αὐτὴν ἐν χειμῶνι· ἔαρος δὲ ὄντος, περιζώννυνται αὐτήν. Ἔστι δὲ τοῦτο ὑπερβολή.

33. Ἡ ἀγλαΐα τοῦ ἀνθοφόρου βλαστοῦ τῆς Ἄμρας [1], οὗ τὰ ἁπαλὰ φύλλα ἐσαλεύοντο ὑπὸ τῆς νοτίας αὔρας, ἣν ὥσπερ ὀρχήστρια, ἡ γυμνάζεται τὴν χειρονομίαν [2], καὶ ἐξέμαινε τὴν καρδίαν καὶ τῶν ἀπαθῶν.

34. Περὶ τὴν ἀρχὴν τοῦ ἔαρος ἐν τοῖς ἀνθοφοροῦσι καὶ εὐωδίαν παρέχουσιν ἄλσεσι σπάνιαι φωναὶ ἠκούοντο, ἐκφερόμεναι ὑπὸ τῶν κοκκύγων [3], καθὼς σπάνιοι λόγοι ἐκ στομάτων σεμνῶν γυναικῶν ἀκούονται.

35. Αἱ ἐν τοῖς κήποις ἀναδενδράδες, ὧν ἄσμα ἦν ὁ βόμβος τῶν βομβυλίων, ὁ ἡδύνων τὴν ἀκοὴν, μειδίαμα δὲ, τὸ ἀγλαὸν τῶν ἀνθέων, ἠγλαΐζοντο ἐκ τῶν σαλευομένων φύλλων τῷ ἀέρι, καθὼς αἱ ὀρχήστριαι ἐκ τῶν σαλευομένων χειρῶν (ἐκ τῆς χειρονομίας).

36. Αἱ γυναῖκες ἔπινον σὺν τοῖς ἀνδράσιν οἶνον ὑπερήδιστα, ὃς ἐπίσταται ἐρωτικὰς παιδιὰς, καὶ ὑπερβαίνει τὴν ὀσμὴν τῶν ἀνθέων τοῦ δένδρου Βακούλα, καὶ φίλος ἐστὶ τοῦ Ἔρωτος.

37. Αἱ ἐν οἴκοις λίμναι, ἔχουσαι λωτοὺς διεκπεπταννυμένους, καὶ ὄρνεις νηχομένους, καὶ ἄδοντας, ἠγλαΐζοντο, ὡς αἱ γυναῖκες, ἔχουσαι πρόσωπα χαρίεντα, καὶ ζώνας ἠχούσας ἐκ τῶν κωδωνίσκων.

38. Ἡ νὺξ [4] ἡ μειωθεῖσα ὑπὸ τοῦ ἔαρος [5] καὶ λευκὴ γενομένη ὑπὸ τῆς λαμπούσης Σελήνης, ἣν ὥσπερ γυνὴ, ἡ, ἐκ-

---

(1) Ὁ μὲν ἀνθοφόρος βλαστὸς, ὡς γυνὴ ἀγλαὰ, τὰ δὲ φύλλα, ὡς δάκτυλα τῆς χειρός.

(2) Αἱ ὀρχήστριαι ἐν Ἰνδίᾳ χρῶνται χειρονομίᾳ, δι' ἧς δηλοῦσι τὸ νόημα τοῦ ᾄσματος.

(3) Ὅσον αὐξάνει τὸ ἔαρ, τοσοῦτον αὐξάνει καὶ ἡ ᾠδὴ τοῦ κόκκυγος.

(4) Ἡ νὺξ γυνὴ λέγεται τοῦ νυκτερινοῦ φωτὸς τῆς Σελήνης.

(5) Τὸ ἔαρ ἐν ταῖς θεριναῖς ἐστι τροπαῖς, ὅτε ἡ νὺξ μειοῦται.

πεσοῦσα τῆς ἀγάπης καὶ ὁμιλίας τοῦ ἑαυτῆς ἀνδρὸς, ἰσχνὴ γίνεται τὸ σῶμα, καὶ ὠχρὰ τὸ πρόσωπον [1].

39. Ἡ Σελήνη διὰ τῶν ἑαυτῆς ἀκτίνων, αἳ διαυγεῖς ἦσαν, καὶ λαμπραὶ, ἕνεκα τῆς ἀπουσίας τῆς ὁμίχλης [2], καὶ ἀνέψυχον τὸν ἐκ τῆς συνουσίας κάματον, ἔθηξε τὸν Ἔρωτα [3], τὸν ἔχοντα ἐπὶ τῆς σημαίας ἰχθύν [4].

40. Τὸ ἀγλαὸν ἄνθος τῆς ῥοδοδάφνης, ὃ ἔχει χρῶμα ἐρυθρὸν, ὡς τὸ ἡμμένον πῦρ, καὶ ἔστιν, ὥσπερ χρυσοῦν κόσμημα τῆς ἀγλαΐας τοῦ ἄλσους, ἔφερον αἱ γυναῖκες ἐπὶ τῶν βοστρύχων.

41. Ἡ Τιλάκα τὸ δένδρον, ὃ εἶχεν ἐσμὸν μελάνων βομβυλίων, ἐπικαθημένων τοῖς ἄνθεσιν, ἠγλάϊζε τὴν γῆν τοῦ ἄλσους, καθὼς ἡ μέλαινα Τιλάκα, τὸ κόσμημα, ἀγλαΐζει τὴν νέαν γυναῖκα [5].

42. Ἡ Ναβαμαλικὰ [6] τῇ ἐκφύσει τῶν ἀνθέων, καὶ τῷ ἁπαλῷ φύλλῳ, καὶ τῇ ἡδείᾳ ὀσμῇ ἐφαίδρυνε τὰ δένδρα, καθὼς ἡ ἐρωτικὴ γυνὴ ἐκμαίνει τὴν καρδίαν τῶν φιληδόνων, τῷ μειδιάματι, καὶ τῷ ἁγλαῷ χείλει, καὶ τῇ ἐκ στόματος ὀσμῇ τοῦ οἴνου [7].

---

(1) Ἡ μείωσις τῆς νυκτὸς εἰκάζεται τῇ ἰσχνότητι τοῦ σώματος τῆς γυναικὸς, ἡ δὲ λευκότης τῇ ὠχρότητι τοῦ προσώπου.

(2) Ἐν τῷ χειμῶνι κατὰ τὴν νύκτα ὁμίχλη γίνεται.

(3) Ὀξύτερός ἐστιν ὁ Ἔρως ἐν τῷ ἔαρι· ἡ δὲ Σελήνη ἐρεθιστικὴ λέγεται τοῦ Ἔρωτος παρ' Ἰνδοῖς.

(4) Τοῦ Ἔρωτος ἡ σημαία ἰχθύς ἐστι, διὰ τὸ πολύγονον.

(5) Τιλάκα, δένδρον ἀνθοφόρον· καὶ Τιλάκα, χρίσμα στρογγύλον, ὃ ποιοῦσιν ἐπὶ τοῦ μετώπου οἵ, τε ἄνδρες, καὶ αἱ γυναῖκες· καὶ αἱ μὲν νέαι ἔχουσιν αὐτὸ ὡς χρίσμα μέλαν, αἱ δὲ γηραλέαι καὶ οἱ ἄνδρες ἐρυθρὸν, ὅ ἐστιν, ὡς κόσμημα.

(6) Ναβαμαλικὰ, ἡ λεγομένη Ἰασιμὴ, λέγεται καὶ Μαλλικά.

(7) Τὸ μὲν ἄνθος εἰκάζεται τῷ μειδιάματι, τὸ δ' ἁπαλὸν φύλλον τῷ χείλει. Ἡ μὲν Ναβαμαλικά ἐστιν ὡς θήλεια, τα δὲ δένδρα, ὡς ἄῤῥενες.

43. Οἱ φιλήδονοι, γυναικομανεῖς ἐγένοντο, ὡς ὑπὸ δυνάμεων τοῦ Ἔρωτος, ὑπὸ τῶν πορφυρίδων τῶν γυναικῶν, ὑπὸ τῶν ἀσταχύων τῆς κριθῆς [1], ἃ εἶχον ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ ὑπὸ τῶν φωνῶν τῶν κοκκύγων.

44. Τὸ ἀγλαὸν ἄνθος τῆς Τιλάκας, τὸ ἔχον λευκὴν κόνιν, καὶ ἐφιζάνοντας μέλανας βομβυλίους, ἐφαίνετο, ὥσπερ μαργαρόπλεκτον δικτυοειδὲς κάλυμμα τῆς κόμης τῶν γυναικῶν [2].

45. Οἱ βομβύλιοι ἐπηκολούθουν τῇ τῶν ἀνθέων λευκῇ κόνει, ἣ ἐξανίστατο ὑπὸ τοῦ ἀέρος, καὶ ἐφαίνετο, ὥσπερ λευκὴ ὀθόνη τῆς σημαίας τοῦ ἐρωτικοῦ Ἔρωτος, καὶ ὥσπερ λευκὸν ἐγκόνισμα τοῦ προσώπου τῆς ἀγλαΐας τοῦ Ἔαρος [3].

46. Αἱ γυναῖκες, παίζουσαι ἐπὶ τῆς Κρεμαστῆς [4], ἣ παιδιά ἐστι τοῦ Ἔαρος, καί τοι ἦσαν ἔμπειροι, ἀπειρίαν ὅμως ὑπεκρίνοντο κρατεῖν τὸ ἀπηωρημένον σχοινίον, ἐφιέμεναι θεῖναι τὰς χεῖρας ἐπὶ τῶν τραχήλων τῶν ἐρωμένων [5].

---

(1) Ἐν μηνὶ Μαρτίῳ θερίζονται τὰ λήϊα τοῦ σίτου καὶ τῆς κριθῆς ἐν Ἰνδίᾳ.

(2) Δικτυοειδὲς κάλυμμα, συμπεπλεγμένον μαργάροις, φέρουσιν ἐπὶ τῆς κόμης αἱ πλούσιαι γυναῖκες· καὶ τὸ μὲν λευκὸν τῆς φύσεως ἄνθος, τὸ μάργαρόν ἐστιν, οἱ δὲ βομβύλιοι, αἱ τρίχες.

(3) Ἔθος ἦν πρότερον ταῖς γυναιξὶν ἐπιπάσσειν εἶδος λευκῆς κόνεως ἐπὶ τοῦ προσώπου, ὡς ψιμύθιον· νῦν δ' οὐκ ἔστιν ἔθος.

(4) Κρεμαστὴ, εἶδος παιδιᾶς· ἔχει δ' οὕτω· δύω σχοινία διπλᾶ κρεμῶσιν ἀπὸ κλάδου δένδρου, ἢ ἀπὸ δοκοῦ μεγάλης ἐπὶ δύω στήλων· ἐπ' ἀμφοτέρων δὲ τῶν σχοινίων τιθέασι μίαν σανίδα, ἣ ἐν ἀμφοτέροις τοῖς πλαγίοις πρὸς ἑκατέροις τοῖς ἄκροις ἔχει ὀπὰς ἢ κρίκκους, δι' ὧν δέεται ἐν τοῖς ἀπηωρημένοις σχοινίοις, ἵνα ᾖ στερεά. Ἐπὶ ταύτης τῆς σανίδος κάθηνται ἄῤῥενες καὶ θήλειαι· καὶ οἱ μὲν ὄντες ἐν ἑκατέροις τοῖς ἄκροις, κρατοῦσι τὰ σχοινία· οἱ δὲ ἐν τῷ μέσῳ ὄντες, κρατοῦσιν ἀλλήλους, μὴ πέσωσι· καὶ οὕτως ἀναφέρονται, καὶ καταφέρονται, ᾄδοντες, ὠθουμένης τῆς κρεμαστῆς μετὰ διαλείμματος ὑπ' ἄλλων, ἱσταμένων χαμαὶ, καὶ φερομένης σφοδρῶς ἔμπροσθεν καὶ ὄπισθεν.

(5) Κρατοῦσι τὸ σχοινίον, μὴ πέσωσιν ἐν τῷ κινεῖσθαι· αὗται δὲ ἠγκαλίσαντο τοὺς ἄνδρας, πλαττόμεναι, ὡς ἄπειροί εἰσι.

47. Οἱ κόκκυγες, κοκκύζοντες, ἐκήρυττόν πως τοῦτο τὸ δόγμα τοῦ Ἔρωτος· « Ἄφετε τὴν ζυλοτυπίαν! Ἅλις τῆς » ἔριδος καὶ τῆς μάχης! ἡ ἀνθηρὰ νεότης, παρελθοῦσα, » οὐκ ἐπανέρχεται! » ἀκούουσαι δ' αἱ γυναῖκες, πάλιν συνέπαιζον τοῖς ἀνδράσι [1].

48. Τρυφήσας δὲ μετὰ τῶν γυναικῶν ἐν τῇ ἑορτῇ τοῦ Ἔαρος, ὅσον ἠφίετο, ὁ Δασσαράτας, ὁ ὢν ὅμοιος τῷ Ἔρωτι κατὰ τὴν καλλονήν, τῷ Ἔαρι κατὰ τὴν ἀγλαΐαν, καὶ τῷ Βισνοῦ κατὰ τὸ κράτος, ἐπεθύμησε θηρεῦσαι.

49. Παραδοὺς δὴ τοῖς βουλευταῖς τὴν τῆς βασιλείας διοίκησιν, ἐπορεύθη εἰς θήραν· ἡ γὰρ θήρα γύμνασιν ποιεῖ τῆς εὐστοχίας τοῦ βαλλομένου ζώου, καὶ κρίσιν τῆς δειλίας αὐτοῦ καὶ τῆς ἀνδρείας, καὶ τὸ σῶμα εὔτονον καθίστησι τῇ πρὸς τοὺς πόνους καρτερίᾳ.

50. Φέρων δ' ἱματισμὸν, προσήκοντα τῇ ἐν ἀγρῷ θήρᾳ, καὶ τόξον ἐπὶ τοῦ στιβαροῦ ὤμου, αὐτὸς ὁ ἐπὶ γῆς λαμπρὸς ἥλιος, ἀνήλιον ἐποίησε τὸν οὐρανὸν τῇ ἐκ τῶν ποδῶν τοῦ ἑαυτοῦ ἵππου κόνει.

51. Ἠγλαΐζετο δ' ἐν τῇ γῇ τῶν ἀγρίων ζώων, ἔχων ἀνάδημα, πεπλεγμένον ἐξ ἀνθέων [2], καὶ ἔνδυμα ὁμόχρουν τοῖς φύλλοις τῶν δένδρων, καὶ κλονούμενα ἐλλόβια ἐκ τῆς ἱπποδρομίας.

52. Αἱ δὲ θεαὶ τῆς ὕλης, ἔχουσαι τὸ μὲν σῶμα κεκρυμμένον ἐν ταῖς ἀναδενδράσι, τὸ δ' ὄμμα ἐν τοῖς βομβυλίοις [3],

---

(1) Δηλονότι αἱ γυναῖκες, καί τοι εἶχον ζηλοτυπίαν, καὶ ἔριδα πρὸς τοὺς ἑαυτῶν ἄνδρας, ἀκούουσαι ὅμως τῆς φωνῆς τῶν Κοκκύγων, ἐξεμαίνοντο εἰς ἔρωτα, καὶ συνέπαιζον τοῖς ἀνδράσι.

(2) Στέφανον ἐξ ἀνθέων εἶχεν ὡς ἀνάδημα, καὶ πράσινον ἔνδυμα, ἵνα μὴ φόβον παρέχοι τοῖς ζώοις.

(3) Αἱ ἀναδενδράδες, ὡς θεαὶ, οἱ δὲ βομβύλιοι, ὡς ὄμματα.

ἐθεῶντο κατὰ πάροδον αὐτὸν τὸν εὐόφθαλμον, τὸν εὐφραίνοντα τὴν Κοσσάλαν χώραν τῇ καλῇ δοικήσει.

53. Εἰσῆλθε δὲ εἰς δάσος, ὃ ἦν ἄνευ πυρκαϊᾶς καὶ ληστῶν, καὶ γῆν εἶχεν ἱππήλατον, καὶ ὕδωρ, καὶ ἐλάφους, καὶ ὄρνεις, καὶ ἄλλα ζῶα θηρεύσιμα· ἔνθα πρότερον ἐπορεύθησαν οἱ ἔχοντες τὰς θηρευτικὰς κύνας, καὶ τὰς ἄρκυας.

54. Ἔγχορδον δ' ἐκράτει τόξον αὐτὸς ὁ ἐπίχαρις καὶ κάλλιστος πάντων, παροξύνων τοὺς λέοντας τῇ κλαγγῇ τοῦ τόξου, ὡς ὁ Ἴνδρας κρατεῖ τὴν Ἶριν, ἧς χορδή ἐστιν ἡ ξανθὴ καὶ χρυσοειδὴς ἀστραπή.

55. Ἐφάνη δ' ἔμπροσθεν τοῦ βασιλέως ἀγέλη ἐλάφων, νεμομένη, πρωτοστάτην ἔχουσα γέροντα ἔλαφον, καὶ ἐμποδιζομένη τοῦ πρόσω ἰέναι ὑπὸ τῶν νεβρῶν, τῶν ἐφιεμένων συχνάκις γάλακτος.

56. Διωκομένη δ' ἡ ἀγέλη ὑπὸ τοῦ βασιλέως, ὃς κατέτρεχεν ἐφ' ἵππου, δραξάμενος βέλους ἐκ φαρέτρας, διεσκορπίσθη τῇ δε κἀκεῖσε, καὶ ἐποίησε μέλαν τὸ δάσος τοῖς τεταραγμένοις ὄμμασιν, ὥσπερ φύλλοις κυανῶν λωτῶν, διασκορπιζομένοις ὑπ' ἀνέμου [1].

57. Ἰδὼν δὲ θήλειαν ἔλαφον, θεῖσαν τὸ ἑαυτῆς σῶμα ἔμπροσθεν ἄρρενος ἐλάφου, ὃν βαλεῖν σκοπὸν ἔθετο, καί τοι εἶχεν ἐντεταμένον τὸ τόξον, ἀφῆκε τὸ βέλος ἄπρακτον, οἰκτείρας ὡς ἐρωτικὸς, ἐρωτικὴν θήλειαν [2].

58. Βέλη δὲ βαλεῖν θέλων ἐπ' ἄλλους ἐλάφους, καί περ ὢν καρτερὸς, κεχαυνωμένην ἔσχε τὴν χεῖρα, ἐνθυμηθεὶς ἐκ

---

(1) Τὰ μέλανα ὄμματα τῶν διασκορπισθέντων ἐλάφων ἦν, ὥσπερ φύλλα κυανῶν λωτῶν, διασκορπιζόμενα ὑπ' ἀνέμου.

(2) Νόμος ἐστὶ μὴ κτείνειν μηδ' ἐν θήρᾳ θηλυκὰ ζῶα.

τῶν τεταραγμένων φόβῳ καλῶν ὀμμάτων τῶν ἐλάφων τὰ καλὰ ὄμματα τῆς ἐρωμένης.

59. Ἥψατο δ' ἔπειτα ὁδοῦ ἀγέλης χοίρων, ἐξελθόντων εὐθέως ἐκ τενάγους· ἐφαίνετο δ' ἡ ὁδὸς ἔκ τε τῶν ἰχνῶν τῶν βεβρεγμένων αὐτῶν ποδῶν, καὶ ἐκ τῶν παρερριμμένων διαμασσημάτων ῥίζης κυπέρου.

60. Οἱ δὲ χοῖροι οὐκ ἤσθοντο τῶν ἑαυτῶν σωμάτων, προσηλωθέντων τοῖς δένδροις, ἐφ' ἃ ἠρείδοντο πρὸς τῇ ῥίζῃ, ὑπὸ τῶν βελῶν τοῦ βασιλέως, ἀλλὰ φρίκῃ συσχεθέντες, ὁρμῆσαι ἐπεχείρουν ἐπ' αὐτὸν, ὑποκλίνοντα τὸ σῶμα, καὶ βέλη βάλλοντα [1].

61. Βέλος δὲ ὑπὸ τούτου ἐρρίφθη ἐπὶ τὸν ὀφθαλμὸν βουβάλου ἀγρίου, ἐφορμήσαντος· ἐμπαγὲν δ' ἐξῆλθεν ἐκ τοῦ ἑτέρου μέρους τὸ βέλος, οὗ τὸ πτερὸν ἀναίμακτον ἦν· καὶ πρῶτον μὲν ἔρριψε τὸν βούβαλον, εἶτα δ' ἔπεσεν αὐτό [2].

62. Ὡς ἐπὶ τὸ πλεῖστον οὗτος ἐποίει τοῖς ὀξέσι βέλεσι τοὺς ῥινοκέρωτας, ἔχοντας κεφαλὴν ἄνευ κέρατος [3]· ὁ γὰρ ταπεινῶν τοὺς ὑπερηφάνους, οὐ τῇ μακρᾷ ζωῇ τῶν ἐχθρῶν φθονεῖ, ἀλλὰ τῷ ὑψηλῷ κέρατι αὐτῶν [4].

63. Τῇ δὲ μεγάλῃ γυμνάσει καὶ τῇ ταχύτητι τῶν χειρῶν, ὡς φαρέτρας, ἐποίησεν ἐν ἀκαρεῖ πλήρη βελῶν τὰ ἀνοικτὰ στόματα τῶν τίγρεων, αἳ ἐξήρχοντο ἐκ τῶν

---

(1) Καὶ τοὺς χοίρους διέπειρε τοῖς βέλεσι, καὶ τὰ δένδρα, ἐφ' ἃ ἠρείδοντο· οἱ δὲ χοῖροι, καίπερ προσηλωμένοι τοῖς δένδροις, ὁρμῆσαι ἐπεχείρουν. Ἐκ τούτου ἀποδεικνύεται καὶ ἡ εὐστοχία τοῦ βασιλέως, καὶ ἡ γενναιότης τῶν χοίρων.

(2) Ἐκ τούτου ἐννοεῖται ἡ ταχύτης τοῦ βέλους, ὃ ἐξῆλθεν ἐκ τοῦ ἑτέρου μέρους ἀναίμακτον, καὶ ἡ ταχύτης τοῦ βουβάλου, ὃς ἔπεσεν εὐθὺς, εἶτα δὲ τὸ βέλος.

(3) Ἀπέκοπτε δηλ: τὸ κέρας τῶν ῥινοκερώτων τοῖς τμητικοῖς βέλεσι.

(4) Κέρας ἐνταῦθα ἐννοεῖται ἡ ἔπαρσις καὶ ὀφρὺς τῶν ἐχθρῶν.

χηραμῶν, καὶ ἐπέπιπτον ἐπ' αὐτὸν, καθὼς πίπτουσιν αἱ κορυφαὶ δένδρων ὑπ' ἀνέμου.

64. Τῇ δὲ κλαγγῇ τῆς χορδῆς, ὥσπερ βροντῇ, κατεπτόησε τοὺς λέοντας, τοὺς ὄντας ἀφανεῖς ἐν θάμνοις· ἐφθόνει γὰρ, ὡς δοκεῖ, αὐτοῖς, διότι καλοῦνται βασιλεῖς τῶν ζώων ἐκ τῆς ἑαυτῶν γενναιότητος.

65. Ἀποκτείνας τοὺς λέοντας, τοὺς ἐχθρωδῶς διακειμένους πρὸς τοὺς ἐλέφαντας, καὶ ἔχοντας ἐν τοῖς ἄκροις τῶν γαμψῶν ὀνύχων ἐμπεπηγότας μαργαρίτας τοῦ ἐλέφαντος [1], ἐνόμισεν, ὡς ἀπέδωκε τὸ χρέος, ὃ εἶχε πρὸς τοὺς ἐλέφαντας, τοὺς βοηθοῦντας ἐν πολέμῳ.

66. Φέρων τὸν ἵππον πέριξ τῶν ζώων Σαμαρῶν [2] ἔν τινι τόπῳ, ῥίπτων βέλη βροχηδὸν, ἀπέκοψε τὰς οὐρὰς αὐτῶν, καὶ ἐχάρη, ὥσπερ εἰ ἐστέρησε βασιλεῖς τῶν οὐραίων ῥιπιδίων.

67. Καί τοι ταὼς ἵπτατο παρὰ τῷ ἵππῳ αὐτοῦ, οὐκ ἀπέκτεινεν αὐτὸν βέλει, ὃς εἶχε ποικιλόχροον οὐράν· ἀνεμνήσθη γὰρ τότε τῆς διαλυομένης ἐν συνουσίᾳ κόμης τῆς ἐρωμένης καὶ ἐχούσης ποικιλόχροα ἄνθη ἐμπεπηγότα [3].

68. Ἀὴρ δὲ πνέων ἐξ ἄλσους περίψυκτος τοῖς ῥέουσιν ὕδασι, καὶ εὐώδης τοῖς ἀναπεπταμένοις ἄνθεσιν, ἐξίκμασε τὸν ἐκ τοῦ καμάτου τῆς θήρας ῥέοντα ἱδρῶτα ἐπὶ τοῦ προσώπου τοῦ βασιλέως.

69. Καθὼς δὲ ἡ πολύτροπος ἐρωμένη ἕλκει τὸν ἐραστὴν, οὕ-

---

(1) Μυθολογοῦσιν, ὡς μαργαρίται ἄριστοί εἰσιν ἐν τῇ κεφαλῇ τοῦ ἐλέφαντος, ἐν δὲ τῇ τοῦ ὄφεως ἀδάμαντες.

(2) Σαμαρὴ, εἶδος ζώου ἀγρίου, οὗ ἡ οὐρὰ δασεῖά ἐστιν, ᾗ χρῶνται ῥιπιδίῳ οἱ βασιλεῖς τῆς Ἰνδίας.

(3) Αἱ γυναῖκες τῆς Ἰνδίας περιδέουσι τὴν κόμην ἐν τῷ μεταφρένῳ· ἡ δὲ καλὴ κόμη δασεῖα καὶ μακρὰ, συγκρίνεται τῇ οὐρᾷ τοῦ ταώ.

τω καὶ ἡ θήρα εἵλκυσε τὸν βασιλέα, ὃς, ἀφεὶς τὸ φορτίον τῆς βασιλείας ἐπὶ τῶν βουλευτῶν, ἐπελάθετο παντὸς ἄλλου πρακτέου, καὶ μόνῃ τῇ θήρᾳ ἐνησχολεῖτο.

70. Καί ποτε ὁ βασιλεὺς, μηδένα τῶν ὑπηρετῶν ἔχων περὶ ἑαυτὸν, διήγαγε τὴν νύκτα ἐπὶ στιβάδος φύλλων καὶ ἀνθέων, ἔχων ἀντὶ λύχνου τὴν φωτεινὴν βοτάνην.

71. Περὶ δὲ τὴν ἕω ἐξηγέρθη ἐκ τῶν ἤχων τῶν σειομένων ὠτίων τῶν ἐλεφάντων, ὥσπερ ἐκ κρουσμάτων τυμπάνων καὶ ἥδετο, ἀκούων τῶν φωνῶν τῶν ὀρνίθων, ὡς ὕμνων ὑμνολόγων.

72. Ἄλλοτε δὲ πάλιν, μὴ ὁρώμενος ὑπὸ τῶν θεραπόντων, ἐδίωκεν ἔλαφον ἐν δρυμῷ, καὶ ἦλθεν ἀφρίζοντι τῷ ἵππῳ ἐπὶ τὸν ποταμὸν Ταμασὰν, ἔνθα ἦν οἰκήματα ἀσκητῶν.

73. Γαργαρισμὸς δ' ἐκ στάμνου, πληρουμένης ὕδατος ἐν τῷ ποταμῷ, ἠκούετο· νομίσας δ' ὁ βασιλεὺς, ὡς ἐλέφαντός ἐστι φωνὴ, ἔῤῥιψε βέλος ἐπὶ τὴν φωνήν.

74. Ὅ, τι ἐστιν ὑπὸ τοῦ νόμου ἀπηγορευομένον τῷ βασιλεῖ [1], τοῦτο ἐποίησεν, ἀθετήσας, ὁ Λασσαράτας· καὶ οἱ σοφοὶ γὰρ ἄνδρες, σκοτισθέντες τὸν νοῦν ὑπὸ τῆς ὑδυπαθείας, ἐν κακῇ ὁδῷ τιθέασι τὸν πόδα.

75. Ἀκούσας δ' ὁ βασιλεὺς ὀδυνηρᾶς φωνῆς, «Ὦ! πάτερ!», ἐταράχθη· καὶ ἐρευνήσας ἐν τῷ συνδένδρῳ τόπῳ τὴν αἰτίαν τῆς φωνῆς, εἶδεν υἱὸν ἀσκητοῦ μετὰ στάμνου, πεπαρμένον τῷ βέλει· καὶ ἔσχε πάθος ἐν ψυχῇ, ὥσπερ εἰ ἐπάρη καὶ αὐτός.

76. Καταβὰς δ' ἀφ' ἵππου, ὁ ἐκ διασήμου γενεᾶς καταγόμενος βασιλεὺς, ἠρώτησε τὸν παῖδα, ὃς ἐπερείδετο τῇ στάμνῳ, τίνος φυλῆς εἴη· ὁ δ' εἶπε λόγοις ἀδιαρθρώτοις, ὡς υἱός ἐστιν ἀσκητοῦ ἐκ φυλῆς Σουδρικῆς.

---

(1) Ἀπηγόρευται ὑπὸ τοῦ νόμου κτείνειν ἐλέφαντας ἐν θήρᾳ.

77. Παρακληθεὶς δ' ὑπὸ τοῦ παιδὸς ὁ βασιλεὺς, ἤγαγεν αὐτὸν, ἔχοντα ἔτι τὸ βέλος, πρὸς τοὺς γονεῖς αὐτοῦ, οἳ ἦσαν ἀόμματοι· καὶ παραδοὺς αὐτοῖς αὐτὸν τὸν μονογενῆ υἱὸν, οὕτως ἔχοντα, ἐξωμολογήσατο, ὅ,τι ἔπραξεν ἐξ ἀγνοίας.

78. Οἱ δὲ γονεῖς, λίαν θρηνήσαντες, ἐξήγαγον τὸ ἐμπαγὲν βέλος διὰ τῶν χειρῶν τοῦ φονέως ἐκ τοῦ στήθους τοῦ παιδὸς, ὃς ἄπνους ἐν ταὐτῷ ἐγένετο· κατηράσατο δὲ τοῦ βασιλέως ὁ γέρων, ῥαίνων δάκρυα ἐν χερσὶν [1], εἰπών·

79. « Καὶ σὺ, ὥσπερ ἐγὼ, ἐν γεροντικῇ ἡλικίᾳ θάνατον » λήψῃ ἐκ λύπης υἱοῦ. » Οὕτως εἰπόντος τοῦ γέροντος, ὃς ἦν, ὥσπερ ὄφις, ὃς πρότερον ἐνοχλεῖται, εἶτα δ' ἀφίησι τὸ φάρμακον, ἔφη ὁ βασιλεὺς, ὃς πρότερος ἔπταισεν·

80. « Αὕτη ἡ ἀρά σου ἡ πρὸς ἐμὲ, ὃς οὐκ εἶδον ἔτι υἱὸν, » χάρις ἐστί· καὶ τὸ πῦρ γὰρ, τὸ καῖον τοῖς φρυγάνοις » τὴν γεωργουμένην γῆν, καρποφόρον αὐτὴν ποιεῖ.

81. « Νῦν δὲ οὕτως ἔχοντος τοῦ πράγματος, τί ποιήσω » ἐγὼ ὁ ἄσπλαγχνος, καὶ ἄξιος θανάτου; » Ὁ δὲ ᾔτησε παρὰ τοῦ βασιλέως ξύλα καὶ πῦρ, βουλόμενος θανεῖν σὺν τῇ γυναικὶ αὐτοῦ μετὰ τὸν θάνατον τοῦ υἱοῦ.

82. Τηνικαῦτα ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ, ὃς παρεγένετο, ποιήσας τὴν προσταγὴν τοῦ ὁσίου, ἀφῆκεν ἐκ τοῦ παραπτώματος τὴν ἣν εἶχε χαρὰν τῆς ψυχῆς, καὶ ἔσρεψεν οἴκαδε, ἔχων ἐν καρδίᾳ τὴν ὀλεθρίαν ἐκείνην ἀρὰν, ὡς ὁ ὠκεανὸς ἔχει ἐν ἑαυτῷ τὸ ἱππόμορφον πῦρ.

---

(1) Ὁ γὰρ διδούς τι, ὕδωρ ἔχει ἐν χειρί.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

1. Κυβερνήσας καλῶς τὴν γῆν ὁ Δασσαράτας, ὁ ὢν ὅμοιος τῷ Ἴνδρᾳ κατὰ τὴν δύναμιν, καὶ πανόλβιος, ἔζησε περίπου δεκασχίλια ἔτη.
2. Ἀλλὰ καὶ οὕτως, οὐκ ἔσχε φῶς, ἀπαλλακτικὸν τοῦ λυπηροῦ σκότους, δηλονότι υἱὸν, ὃς γίνεται αἴτιος τῆς ἀπαλλαγῆς τοῦ χρέους, ὃ εἶχε πρὸς τοὺς προπάτορας.
3. Πολὺν δὲ χρόνον ζήσας, ἐφαίνετο ἄγονος καὶ ἄπαις, καθὼς ὁ ὠκεανὸς πρὶν τῆς ὑπὸ τῶν θεῶν περιδινήσεως ἄγονος ἐφαίνετο καὶ ἄμοιρος κειμηλίων.
4. Ταῦτ᾽ ἄρα ἐγκρατεῖς καὶ ὅσοι Βραχμᾶνες, εἰδήμονες τῆς τελετῆς τῶν θυσιῶν, ἤρξαντο Θυσίαν τελέσαι ὑπὲρ τεκνογονίας τοῦ βασιλέως, τοῦ ἐπιθυμοῦντος υἱοῦ.
5. Ἐν τούτῳ τῷ χρόνῳ θλιβόμενοι οἱ θεοὶ ὑπὸ τοῦ Ῥαβάνα [1], κατέφυγον εἰς τὸν Βισνοῦν, καθὼς οἱ ὁδοιπόροι, θλιβόμενοι ὑπὸ τοῦ θερμοῦ ἡλίου, καταφεύγουσιν εἰς τὸ κατάσκιον δένδρον.
6. Ὅτε δ᾽ ἦλθον οἱ θεοὶ εἰς τὴν γαλακτικὴν θάλασσαν, ὁ Βισνοῦς ἀνέστη ἐξ ὕπνου· καλὸς δ᾽ οἰωνὸς ἦν τοῦτο· ἡ γὰρ ἄμεσος καὶ ταχεῖα ὁμιλία, σημεῖόν ἐστι τῆς γενησομένης ἐκτελέσεως τοῦ ἐφετοῦ.
7. Εἶδον δ᾽ αὐτὸν καθήμενον, ὡς ἐπὶ κλίνης, ἐπὶ τοῦ σώματος τοῦ ὄφεως Σέσσα, καὶ λαμπρυνόμενον ἐκ τῶν ἐκλάμπρων ἀδαμάντων τῶν ἐπὶ τῶν χιλίων κορυφῶν τοῦ ὄφεως,
8. Καὶ ἔχοντα τεθειμένους τοὺς πόδας ἐν ταῖς ὠλέναις

---

(1) Ῥαβάνας, υἱὸς τοῦ Βισραβᾶ, υἱοῦ τοῦ Πουλαστέα, υἱοῦ τοῦ Βραχμᾶ.

τῶν ἐκτεταμένων ἀπαλῶν χειρῶν τῆς εὐζώνου καὶ εὐείμονος Λαξμῆς, καθημένης ἐπὶ λωτοῦ.

9. Εἶδον αὐτὸν, ὃς χαρὰν δίδωσι τοῖς βλέπουσιν αὐτὸν ἐν θεωρίᾳ, ὀφθαλμοὺς ἔχοντα, ὡς διεκπεπταμένους λωτοὺς, καὶ ἄμφιον κροκωτόν· εἶδον αὐτὸν ἀγλαὸν, ὡς τὴν ἡμέραν τῆς Σαράδας ὥρας [1].

10. Εἶδον αὐτὸν, ἔχοντα ἐπὶ τοῦ εὐρέος στήθους τὸν ἐκ τῆς θαλάσσης ἀδάμαντα Καουστούββαν, ὃς ἀμβλύνει τὴν λάμψιν τῆς Σρηβατσᾶς [2], καὶ κάτοπτρόν ἐστι τῆς ἀγλαᾶς Λαξμῆς.

11. Εἶδον αὐτὸν μετὰ τεσσάρων μακρῶν χειρῶν, κεκοσμημένων κοσμήμασι θείοις, ὃς ἐφαίνετο, ὥσπερ ἄλλο δένδρον θεῖον, Παριζάτα, ἐκφυὲν ἐκ μέσου τῶν ὑδάτων [3].

12. Εἶδον αὐτὸν, ὑμνούμενον, ὡς νικητὴν, ὑπὸ τῶν νοερῶν εἰκόνων τῶν ὅπλων [4], δι' ὧν ἐξαλείφεται ἡ ἀγλαΐα καὶ ἡ γραφὴ τῶν προσώπων τῶν γυναικῶν τῶν Τιτάνων [5].

13. Εἶδον τὸν Βισνοῦν, παρ' ᾧ ἵστατο εὐλαβῶς καὶ ταπεινῶς ὁ Γαρούδας [6], ὃς ἀφῆκε τὴν πρὸς τὸν ὄφιν Σέσσαν ἔχθραν, καί τοι ἦν ὑπερσθενὴς, καὶ οὐλὰς εἶχε τῶν τραυμάτων ἐκ τοῦ κεραυνοῦ τοῦ Ἴνδρα.

---

(1) Ἐν τῇ ὥρᾳ Σαράδα καὶ ὁ λωτὸς ἀγλαΐζεται, καὶ ἡ ἕως ὑπόξανθον ἔχει τὸν ἥλιον, καὶ ἀξία ἐστὶ θεωρίας.

(2) Σρηβατσὰ λέγεται ἓν λευκὸν σημεῖον μετὰ τριχῶν ἐπὶ τοῦ δεξιοῦ στήθους τοῦ Βισνοῦ, ὅ ἐστι σημεῖον μεγαλειότητος.

(3) Αἱ μὲν χεῖρές εἰσιν, ὡς κλάδοι, τὰ δὲ κοσμήματα, ὡς ἄνθη οὐρανίου δένδρου, ὃ ὀνομάζεται Παριζάτα. Ἡ δὲ πολυχειρία ἔμβλημά ἐστι τῆς πολυδυναμίας.

(4) Ἑκάστου ὅπλου νοερά ἐστιν εἰκὼν, ἡ ἰδέα.

(5) Κτείναντος τοῦ Βισνοῦ τοὺς Τιτᾶνας, αἱ γυναῖκες αὐτῶν πενθοῦσι.

(6) Ὁ Γαρούδας, ὃς ἐστιν ὁ ἀετὸς, ὀφιοφάγος ἐστὶ, καὶ ὄχημα τοῦ Βισνοῦ· φιλικῶς δὲ διέκειτο πρὸς τὸν ὄφιν Σέσσαν διὰ τὸ πρὸς τὸν Βισνοῦν σέβας, καί τοι ὑπερσθενὴς ἦν, πολεμήσας τῷ Ἴνδρᾳ, καὶ νικήσας αὐτόν.

14. Εἶδον αὐτὸν, ἱλαροῖς ὄμμασι καὶ ἀγλαοῖς βλέποντα τοὺς μετὰ τὸν ὕπνον ἐλθόντας ὁσίους Βραχμᾶνας [1], οἳ ἠρώτων, εἰ ἐν ἀνέσει ἐκοιμήθη.

15. Μετὰ ταῦτα προσπεσόντες οἱ θεοὶ τῷ Βισνοῦ, τῷ ὀλέτορι τῶν ἀντιθέων δαιμόνων, ὕμνησαν αὐτὸν τὸν ὑμνητὸν, τὸν ἄῤῥητον τῷ λόγῳ, καὶ ἀκατανόητον τῷ νοΐ.

16. « Προσκύνησις σοὶ τῷ τριμόρφῳ Θεῷ [2], τῷ πρῶτον μὲν » ποιοῦντι τὸ πᾶν, εἶτα δὲ τρέφοντι, καὶ τελευταῖον » ὀλλύοντι.

17. « Καθὼς τὸ ἐξ οὐρανοῦ ὕδωρ, τὸ ἔχον μίαν μόνην » ποιότητα ἡδεῖαν, διαφόρους ποιότητας [3] λαμβάνει » κατὰ τοὺς διαφόρους τόπους [4], εἰς οὓς πίπτει, οὕτω » καὶ σὺ, μονοειδὴς ὢν, διάφορα εἴδη λαμβάνεις κατὰ » τὰς διαφόρους ποιότητας τῆς ὕλης.

18. « Σὲ οἱ σοφοὶ οἴδασιν ἐν καρδίᾳ ὄντα πάντων, ἀκατάληπτον, ἀνενδεῆ, ἐγκρατῆ, εὔσπλαγχνον, ἄσπλαγχνον [5], » ἀρχαῖον, καὶ ἀγήρω.

19. « Σὺ ἀμέτρητος καὶ ἀόριστος εἶ· τὰ μέτρα δὲ καὶ τοὺς » ὅρους οἶδας τοῦ παντός· σὺ οὐδενὸς μὲν δέῃ, τὰς

---

(1) Βραχμᾶνας ἐννοεῖ ἐνταῦθα τοὺς υἱοὺς τοῦ Βραχμᾶ, τὸν Βριγοῦν, κτλ.

(2) Τῶν τριῶν προσώπων τῆς παρ' Ἰνδοῖς θεότητος τὰ ὀνόματα ταῦτά ἐστι· Βραχμᾶς, Βισνοῦς, καὶ Σίβας· καὶ ὁ μὲν Βραχμᾶς ποιεῖ, ὁ δὲ Βισνοῦς τρέφει, ὁ δὲ Σίβας ὄλλυσι.

(3) Τρεῖς εἰσιν αἱ ποιότητες ἢ ἰδιότητες τῆς ὕλης· Σάτβα, τοὐτέστι τὸ λογικὸν, καὶ ἀγαθοποιόν· Ῥάγα, τοὐτέστι τὸ ἐπιθυμητικὸν καὶ ποιητικὸν, καὶ Τάμα, τοὐτέστι τὸ θυμικὸν, καὶ ἐξολοθρευτικόν· καὶ ἡ μὲν Σάτβα ἴδιόν ἐστι τοῦ Βισνοῦ, ἡ δὲ Ῥάγα τοῦ Βραχμᾶ, ἡ δὲ Τάμα τοῦ Σίβα, ὅ ἐστι γέννησις, αὔξησις, καὶ μείωσις.

(4) Ἐν ἄλλῳ μὲν τόπῳ πικρόν ἐστιν, ἐν ἄλλῳ δὲ ἁλμυρόν.

(5) Εὔσπλαγχνος λέγεται, ὡς ἐπὶ ζωῆς καὶ ἐπ' ἀγαθῶν, ἄσπλαγχνος δὲ, ὡς ἐπὶ θανάτου καὶ ἐπὶ δεινῶν.

» δεήσεις δὲ πάντων ποιεῖς· ἀνίκητος εἶ, καὶ πολύνικος·
» ἀόρατος μὲν, αἴτιος δὲ τῶν ὁρωμένων.

20. « Σὺ εἶ παντογνώστης μὲν, ἄγνωστος δὲ, παντογόνος,
» αὐτόγονος, παντοδεσπότης, ἀδέσποτος, μονοειδὴς,
» καὶ παντοειδής.

21. « Οἱ σοφοὶ λέγουσιν, ὅτι σὺ εἶ ὁ ἀδόμενος [1] ἐν τῇ
» ἑπταειδεῖ ᾠδῇ τῆς Βέδας [2] Σάμας, ὁ ἀναπαυόμενος
» ἐν ταῖς ἑπτὰ θαλάσσαις, καὶ τὸ ἔρεισμα τῶν ἑπτὰ
» κόσμων [3]· τὸ δὲ ἑπταειδὲς πῦρ στόμα σου ἐστί.

22. « Σὲ τὸν φωτεινὸν, τὸν ὄντα ἐν τῇ καρδίᾳ πάντων,
» θεωροῦσιν οἱ θεωρητικοὶ τῇ διανοίᾳ, τῇ χαλιναγωγη-
» θείσῃ ὑπὸ τῆς ἀσκήσεως εἰς σωτηρίαν τῆς ψυχῆς.

23. « Τίς οἶδε τὴν φύσιν σοῦ τοῦ ἀγεννήτου, καὶ τοῦ γέν-
» νησιν λαμβάνοντος; τοῦ ἠρέμου, καὶ τοῦ ἐχθρολέτο-
» ρος; τοῦ ὑπνοῦντος, καὶ τοῦ γρηγοροῦντος;

24. « Σὺ μόνος δύνασαι καὶ τρυφῇ καὶ ἀνέσει χρῆσθαι, καὶ
» ἀσκήσει [4] καὶ σκληραγωγίᾳ, καὶ προστάτης εἶναι καὶ
» σωτὴρ τῶν ἐν δεινοῖς ὄντων, καὶ ἀδιάφορος.

25. « Αἱ πολυειδεῖς θρησκεῖαι, αἱ διῃρημέναι, ὡς ὁδοὶ, ὑπὸ
» διαφόρων δογμάτων, καὶ αἴτιαι τῆς σωτηρίας τῆς

---

(1) Δηλονότι, ὁ Ἴνδρας, ἀδόμενος ἐν τῇ θυσίᾳ, σὺ εἶ· ἡ θυσία, ἡ ἔχουσα σφάγια, γίνεται ἐπ' ὀνόματι τοῦ Ἴνδρα· ἡ δὲ ἀναίμακτος ἐπ' ὀνόματι τοῦ Βισνοῦ.

(2) Ἑκάστη τῶν τριῶν Βεδῶν περιέχει ἰδίως τὰς εὐχολογίας τῆς γεννήσεως, τοῦ θανάτου καὶ τοῦ γάμου καὶ τῆς ἀναιμάκτου θυσίας· ἡ δὲ θυσία, ἡ ἔχουσα σφάγια ἐντελὴς γίνεται διὰ τῶν τριῶν Βεδῶν.

(3) Μυθολογοῦσιν, ὡς ὁ κόσμος οὗτος ἑπτὰ γέας ἔχει, καὶ ἑπτὰ θαλάσσας, οὔσας περιξ ἀλλήλων, αἱ μίγνυνται ἐν τῷ κατακλυσμῷ.

(4) Μυθολογοῦσιν, ὡς ὁ Βισνοῦς ἔλαβε σχῆμα ἀσκητοῦ ἐν Ἱμαῷ τῷ ὄρει κατὰ τὴν ἔρημον Βαδαρήν· ἐκ δὲ τούτου ὠνομάσθη Βαδαρηνάτας, ὅ ἐστι κύριος τῆς Βαδαρῆς. Κατ' ἐκεῖνο τὸ μέρος πορεύονται πολλοὶ ἐνθουσιαστικοὶ, καὶ ῥίπτουσιν ἑαυτοὺς ἐπὶ τῆς χιόνος, καὶ ἀπόλλυνται· εὐθεῖα γάρ ἐστιν ἐκεῖθεν ἡ εἰς οὐρανὸν ὁδός.

» ψυχῆς, πρὸς σὲ κατευθύνονται, καθὼς οἱ διηρημένοι
» ῥύακες τοῦ Γάγγου εἰς τὸν ὠκεανὸν εἰσβάλλουσι.

26. « Σὺ εἶ τὸ ὀργανικὸν αἴτιον τῶν ἀπεχόντων πάσης
» ἡδυπαθείας, καὶ ἐν σοὶ τὴν διάνοιαν τιθεμένων, καὶ
» εἰς σὲ ἀναπεμπόντων, ὅσα ἂν πράττωσιν, εἰς τὸ μὴ
» τυχεῖν παλιγγενεσίας.

27. « Εἰ τὰ στοιχεῖα ταῦτα, ἅ εἰσιν ἔργα τῆς σῆς μεγα-
» λειότητος, ἄπειρά ἐστι καὶ ἀόριστα, καί τοι ὑπὸ τὴν
» ὅρασιν κεῖνται, πόσῳ μᾶλλον σὺ, ὃς ἀποδεικνύῃ ἐκ
» λόγων μόνων τῆς Βέδας, καὶ ἐκ συλλογιστικῶν συμ-
» περασμάτων[1];

28. « Εἰ ἐκ μόνης τῆς πρὸς σὲ ἐνθυμήσεως ἁγνίζεις τὸν
» ἄνθρωπον, πόσῳ μᾶλλον ἐκ τῆς πρὸς σὲ πραγματικῆς
» λατρείας καὶ λοιπῆς τιμῆς καὶ θεραπείας;

29. « Τὰ ἄπειρά σου δημιουργήματα καὶ κατορθώματα
» ὑπὲρ ἔπαινόν ἐστι, καθὼς τὰ πολύτιμα κειμήλια τοῦ
» ὠκεανοῦ, καὶ αἱ αὐγαὶ τοῦ ἡλίου.

30. « Οὐδέν ἐστι παρὰ σοὶ ἄκτητον, ἢ κτητέον[2], τὸ δὲ
» τέλος (ἡ δ' αἰτία) τῆς γεννήσεώς σου καὶ τῶν ἔργων
» σου, μόνη χάρις πέφυκε πρὸς τοὺς ἀνθρώπους.

31. « Πέρας γίνεται τῶν παρὰ θεῶν ἢ ἀνθρώπων ὕμνων
» πρὸς τὴν σὴν μεγαλειότητα ἢ ἐκ πόνου, ἢ ἐξ ἀδρα-
» νείας· ἄπειρος γάρ ἐστιν ἡ σὴ ἀγαθότης καὶ μεγα-
» λουργία. »

32. Οὕτως ὕμνησαν οἱ θεοὶ ἐκεῖνον τὸν ὑπὲρ τὴν αἴσθησιν
Θεόν· αὐτὸς δ' ὁ ὕμνος εἰς τὸν ὑψίθρονον Θεὸν ἦν, οὐκ
ἔπαινος ψευδὴς, ἀλλ' ἀληθής.

---

(1) Ἐκ τῶν ποιημάτων συμπεραίνεται, ὡς ποιητής τις ἐστί.

(2) Δηλονότι, καὶ σάρκα λαμβάνεις, καὶ ἔργα ποιεῖς οὐχ ὑπὲρ σεαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ κόσμου.

33. Τῷ δὲ Βισνοῦ, ὃς φίλτρον ἔδειξε, καὶ ἠρώτησεν εἰ καλῶς ἔχοιεν, διηγήσαντο οἱ θεοὶ τὴν ἣν εἶχον θλῖψιν ἐκ τῆς ὑπερισχύσεως τοῦ γίγαντος Ῥαβάνα, ὥσπερ ἐκ πλημμύρας τοῦ ὠκεανοῦ ἔξω τοῦ καιροῦ τῆς πανωλεθρίας.

34. Ἀκούσας δ' ὁ Βισνοῦς, ἐξηρεύξατο φωνὴν μεγάλην, ἣ ὑπερέβη τὸν ἦχον τῆς θαλάσσης, καὶ ἀντήχησεν ἐν τοῖς περὶ τὴν ἀκτὴν ἄντροις τῶν ὀρέων.

35. Ἡ δὲ θεὰ τοῦ λόγου ἐκαλλύνετο, καὶ ἡδύνετο ἐκ τοῦ λόγου τοῦ ἀρχαίου Σοφοῦ, ὃς ἦν ὀρθὸς κατά τε τὴν ἀδιάπτωτον προφορὰν, καὶ κατὰ τὴν καλὴν σύνταξιν.

36. Ἡγλαΐζετο δ' ἡ φωνὴ [1], ἡ ἐκρέουσα ἐκ τοῦ στόματος αὐτοῦ μετὰ μαρμαρυγῆς τῶν ὀδόντων, ὥσπερ εἰ ἐξέρρεεν ἡ Γαγγὰ ἐκ τοῦ στόματος αὐτοῦ, ἡ πάλαι ἐκρεύσασα ἐκ τοῦ ποδός [2].

37. « Γινώσκω, ἔφη, ὡς ἡ μεγαλειότης καὶ ἡ ἰσχὺς ὑμῶν » τῶν θεῶν κατεπατήθη ὑπὸ τοῦ γίγαντος Ῥαβάνα, » καθὼς ἡ πρώτη καὶ ἡ δευτέρα ποιότης [3] τῶν ἐμψύ- » χων καταπατεῖται ὑπὸ τῆς τρίτης, τῆς Τάμας [4].

38. « Γνωστόν μοι ἐστὶν, ὡς ὁ τριττὸς κόσμος καταθλί- » βεται ὑπὸ τούτου τοῦ τυράννου, καθὼς ἡ καρδία » τοῦ ἀγαθοῦ ὑπὸ κακοῦ ἔργου, γεγενημένου οὐκ ἐκ » θελήσεως, ἀλλ' ἐξ ἀμελείας, ἢ ἀγνοίας.

---

(1) Λευκὴ ἐφαίνετο πως ἡ φωνὴ ἐκ τῶν προφαινομένων λευκῶν ὀδόντων ἐν τῇ ἀνοίξει τοῦ στόματος.

(2) Λεύχυδρος λέγεται ὁ Γάγγης, ὃς ἐξέρρευσεν ἐκ τοῦ δεξιοῦ ποδὸς τοῦ Βισνοῦ.

(3) Ἡ πρώτη καὶ ἡ δευτέρα ποιότης ἢ ἰδιότης ἐστὶν ἡ Σάτβα, καὶ ἡ Ῥάγα, ἡ δὲ τρίτη, ἡ Τάμα, περὶ ὧν ἐρρέθη ἀνωτέρω.

(4) Καθὼς ἡ ἱλαρότης καὶ ἡ φιλοπονία καταβάλλεται ὑπὸ τοῦ θυμοῦ καὶ τῆς ἀμιλείας.

39. « Οὐκ ἄξιόν ἐστι παρακαλεῖσθαί με ὑπὸ τοῦ Ἴνδρα εἰς
» τὰ πρακτέα, ᾧ συνεργός εἰμι καὶ συνέριθος· καὶ ὁ
» ἀὴρ γὰρ αὐτόκλητος βοήθειαν δίδωσι τῷ πυρί.

40. « Ἡ δεκάτη κεφαλὴ τοῦ Ῥαβάνα [1], ἡ μὴ ἀποκοπεῖσα
» τῇ ὀξείᾳ μαχαίρᾳ αὐτοῦ, ἀλλ᾽ ἀπολειφθεῖσα, παρα-
» νάλωμα ἔσεται ἀφεύκτως τοῦ ἐμοῦ τροχίσκου.

41. « Ἐξ αἰτίας τῆς πρὸς τὸν Ῥαβάναν χάριτος τοῦ Βραχ-
» μᾶ, ἐγὼ ἠνειχόμην τῆς αὐξήσεως αὐτοῦ τοῦ κακο-
» τρόπου ἐχθροῦ, καθὼς τὸ δένδρον Σάνδανον ἀνέχε-
» ται τῶν ἀναβαινόντων ὄφεων.

42. « Αὐτὸς ὁ Γίγας Ῥαβάνας, ἡδύνας τὸν Βραχμᾶν ἀσ-
» κήσει καὶ ἐγκρατείᾳ, ᾔτησε παρ᾽ αὐτοῦ ἄτρωτος εἶ-
» ναι οὐ θνητοῖς ἀνθρώποις (ἐπειδὴ ὡς οὐδὲν αὐτοὺς ἐλο-
» γίζετο), ἀλλ᾽ ἀθανάτοις θεοῖς.

43. « Ὅθεν γενόμενος ἐγὼ υἱὸς τοῦ Δασσαράτα, ποιήσω
» ὀξέσι βέλεσι τὰς δέκα κεφαλὰς τοῦ Ῥαβάνα, ὡς σω-
» ρὸν λωτῶν [2], εἰς τιμὴν τῆς γῆς τοῦ πολέμου.

44. « Πάλιν δ᾽ ἔγωγε μετ᾽ οὐ πολὺ δώσω ὑμῖν τὴν κατὰ
» τὸν νόμον διδομένην μὲν μοίραν τῶν θυμάτων παρὰ
» τῶν θυόντων, ἁρπαζομένην δὲ καὶ καταβιβρωσκομέ-
» νην ὑπὸ τῶν μάγων Δαιμόνων [3].

45. « Ἀφέτωσαν οἱ μάκαρες θεοὶ τὸν φόβον καὶ τάραχον,
» ὃν ἔχουσιν ἐν καρδίᾳ, βλέποντες τὸ λαμπρὸν ὄχημα

---

(1) Ὁ Ῥαβάνας δεκακέφαλος ἦν, ὃς ἔκοψε τὰς ἐννέα κεφαλὰς, καὶ ἔρριψεν αὐτὰς, ὡς θύματα, εἰς τὸ πῦρ ἐπ᾽ ὀνόματι τοῦ Σίβα. Θέλοντος δὲ κόψαι καὶ τὴν δεκάτην, ὁ Σίβας, ἡσθεὶς, ἀποκατέστησεν αὐτὸν πάλιν δεκακέφαλον, καὶ κράτος ἔδωκεν αὐτῷ καὶ δόξαν μεγάλην.

(2) Αἱ μὲν κεφαλαί εἰσιν, ὡς λωτοὶ, ἡ δὲ γῆ τοῦ πολέμου, ὡς θεὰ, ᾗ ἄνθη προσφέρουσιν εἰς τιμὴν καὶ λατρείαν.

(3) Ἐπειδὴ δὲ οἱ δαίμονες ὑπερίσχυον, διὰ τοῦτο οἱ θεοὶ ἐστεροῦντο τῆς μοίρας τῶν θυμάτων ἐν ταῖς θυσίαις.

» τοῦ Ῥαϐάνα [1], καὶ κρυπτόμενοι ἐν τοῖς νέφεσι τοῦ
» αἰθέρος.

46. « Ἐγὼ ἐλευθερώσω τὰς θεὰς, αἳ καθειργμέναι μέν
» εἰσιν ὑπὸ τοῦ Ῥαϐάνα, ἄμωμοι δὲ καὶ ἄχραντοι·
» ἐπειδὴ οὐ δύναται ϐιάσασθαι αὐτὰς διὰ φόϐον τῆς
» ἀρᾶς τοῦ Ναλακουϐαρᾶ [2] ».

47. Τοιούτῳ λόγῳ ἀμϐροσίῳ ἀναψύξας τοὺς θεοὺς ὁ Βισνοῦς, τοὺς καταπεπονημένους ὑπὸ τοῦ Ῥαϐάνα, ἄφαντος ἐγένετο, καθὼς ἡ νεφέλη, ἀναψύξασα τῷ ὄμϐρῳ τὰ κατεξηραμμένα λήϊα ὑπὸ τῆς ἀνομϐρίας, ἀφανὴς γίνεται.

48. Βουλομένου δὲ τοῦ Βισνοῦ ἐλθεῖν εἰς φύσιν ἀνθρώπου, χάριν τῶν θεῶν, ἐϐουλήθησαν ὅ,τε Ἴνδρας καὶ οἱ λοιποὶ θεοὶ ἐλθεῖν σὺν αὐτῷ εἰς φύσιν πιθήκων καὶ ἄρκτων [3] διὰ τῆς ἰδίας ἑαυτῶν ἀπορροίας, καθὼς τὰ δένδρα συμπορεύονται τῷ ἀνέμῳ διὰ τῶν διαῤῥεόντων ἀνθέων.

49. Ἐν δὲ τῷ τέλει τῆς θυσίας [4], τῆς γεγενημένης ὑπὲρ ἐπιτεύξεως υἱοῦ τοῦ Δασσαράτα, ἀνεφάνη (ἐξῆλθεν) εἷς νεανίας ἐκ τοῦ πυρὸς, μετὰ θαύματος τῶν θυόντων Βραχμάνων.

50. Ἐκράτει δ' αὐτὸς ὁ νεανίας ἀγγεῖον χρυσοῦν, ἔχον ἔδεσμα ἐξ ὀρύζης καὶ γάλακτος· καὶ μόλις ἐϐάσταζεν αὐτὸ τὸ ἀγγεῖον, ἐπειδὴ ἦν ἐν τῷ ὀρυζογάλακτι ἀπόῤῥοια καὶ δύναμις τοῦ Βισνοῦ.

---

(1) Ὄχημα τοῦ Κουϐέρα ἦν.

(2) Ὁ Ναλακουϐαρᾶς, υἱός ἐστι τοῦ Κουϐέρα, πάγκαλος, πρὸς ἣν πορευομένη ποτὲ ἡ νύμφη Ῥαμϐὰ, ἐϐιάσθη ὑπὸ τοῦ Ῥαϐάνα καθ' ὁδόν. Ζηλοτυπήσας δ' ὁ Ναλακουϐαρᾶς, κατηράσατο τῷ Ῥαϐάνα, εἰπών· « Εἰ ἐν τοῖς ἑξῆς ϐιασθείη » ὑπὸ σοῦ θήλειά τις, εἰς ἑκατὸν λεπτὰ διαῤῥαγείη ἡ κεφαλή σου ».

(3) Πίθηκοι καὶ ἄρκτοι ἦσαν οἱ στρατιῶται τοῦ Ῥάμα ἐναντίον τοῦ Ῥαϐάνα.

(4) Ὁ ποιητὴς νῦν ἐπανέρχεται ἐπὶ τὸ προκείμενον.

51. Ἐδέξατο δ' ὁ βασιλεὺς ἐκεῖνο τὸ ἔδεσμα, τὸ δοθὲν παρὰ τοῦ διακόνου τοῦ Βισνοῦ, καθὼς ὁ Ἴνδρας ἐδέξατο τὴν ἀμβροσίαν, τὴν ἐκδοθεῖσαν ἐκ τῆς θαλάσσης.

52. Αὐτὸς ὁ Βισνοῦς, ἐξ οὗ τὰ πάντα γίνονται, γέννησιν λαβεῖν ἠθέλησεν ἐν τῷ οἴκῳ τοῦ Δασσαράτα· ἐκ δὲ τούτου ἀποδεικνύονται αἱ ἀρεταὶ αὐτοῦ τοῦ βασιλέως, ἃς οὐδεὶς ἄλλος εἶχε.

53. Διεμερίσατο δ' ὁ βασιλεὺς τῇ Καουσσαλεᾷ καὶ τῇ Καϊκεγῇ αὐτὸ τὸ ἔδεσμα, ὃ κλῆσιν μὲν εἶχεν ὀξυγάλακτος, δύναμιν δὲ τοῦ Βισνοῦ, καθὼς ὁ ἥλιος διαμερίζει τῷ οὐρανῷ καὶ τῇ γῇ τὸ ἑαυτοῦ ἀγλαὸν φῶς.

54. Καὶ ἡ μὲν Καουσσαλεὰ ἦν γυνὴ πρώτη καὶ σεβαστή, ἡ δὲ Καϊκεγὴ, ἀγαπητὴ καὶ ἐραστή· τῇ δὲ τρίτῃ γυναικὶ, τῇ Σουμιτρᾷ, οὐ μετέδωκε τοῦ ἐδέσματος ὁ βασιλεὺς αὐτός· ἤθελε δὲ λαβεῖν αὐτὴν μέρος παρ' αὐτῶν.

55. Ἡ δὲ Καουσσαλεά, καὶ ἡ Καϊκεγὴ, ἐννοήσασαι τὴν γνώμην τοῦ πολύνοος βασιλέως, ἔδωκαν ἑκάστη τὸ ἥμισυ τῆς ἑαυτῶν μοίρας τοῦ ἐδέσματος καὶ τῇ Σουμιτρᾷ [1].

56. Ἦν δ' ἡ Σουμιτρὰ φίλη ἀμφοτέραις, καὶ τῇ Καουσσαλεᾷ, καὶ τῇ Καϊκεγῇ, καθὼς ὁ βομβύλιος φίλος ἐστὶν ἀμφοτέρων τῶν ῥοῶν τοῦ εὐώδους χυμοῦ, τοῦ ῥέοντος ἐξ ἀμφοτέρων τῶν κροτάφων τοῦ ἐλέφαντος.

57. Συνέλαβον δ' αὗται αἱ τρεῖς γόνον ἐκ τῆς ἀπορροίας τοῦ Βισνοῦ εἰς ὄφελος τῶν ἀνθρώπων, καθὼς αἱ τρεῖς ἑκατοστύες τῶν ἀκτίνων τοῦ ἡλίου συλλαμβάνουσι γόνον ὕδατος [2].

---

(1) Ἐπειδὴ ἡ Σουμιτρὰ δύω μοίρας ἔλαβε, διὰ τοῦτο ἐγέννησε διδύμους υἱοὺς, ὡς ῥηθήσεται.

(2) Ὁ ἥλιος λέγεται Σαχασρανσσοῦ, ὅ ἐστι, Χιλιοάκτιν· ὅθεν ἀστείως ἡ Βέδα λέγει, καὶ εἰ ἀστρονόμοι προσέτι, ὅτι αἱ μὲν τρεῖς ἑκατοστύες τῶν ἀκτίνων

58. Οὖσαι δ' ἔγκυοι καὶ ἐπίτοκοι αὗται, καὶ ὠχριῶσαι, ἠγλαΐζοντο, καθὼς ἀγλαΐζονται τὰ λήϊα, τὰ ἔχοντα καρπὸν ἐν τοῖς στάχυσι, καὶ ὄντα ἐγγὺς τοῦ θερισμοῦ.

59. Καὶ αἱ τρεῖς δ' αὗται ἔβλεπον ἐν ὀνείροις τὰ ἴδια σώματα, φυλαττόμενα ὑπὸ μικροσώμων σωματοφυλάκων, ἐχόντων ξίφος, καὶ κόγχον, καὶ κορύνην καὶ τόξον, καὶ τροχίσκον.

60. Ἔβλεπον, ὅτι ὠχοῦντο ἐπὶ ἀετοῦ, διεκπεταννύοντος τὰς ἑαυτοῦ χρυσᾶς καὶ λαμπρὰς πτέρυγας, καὶ διασκεδάζοντος τὰ ἐν αἰθέρι νέφη τῇ ὀξείᾳ πτήσει.

61. Ἔβλεπον, ὡς διακονούμεναι ἦσαν ὑπὸ τῆς Λαξμῆς, ἐχούσης ἐπὶ μὲν τοῦ στήθους κρεμάμενον τὸν Καουστούββαν, ὃν ἐδάνεισεν αὐτῇ ὁ Βισνοῦς, ἐν δὲ τῇ χειρὶ ριπίδιον ἐκ λωτῶν, δι' οὗ ἐρρίπιζεν αὐτάς.

62. Ἄλλοτε δ' ἔβλεπον καθ' ὕπνον αἱ τρεῖς αὗται βασίλισσαι, ὡς ὑμνοῦντο ὑπὸ τῶν ἑπτὰ θεορρήμονων καὶ ὁσίων Βραχμάνων[1], υἱῶν τοῦ Βραχμᾶ, λουσαμένων[2] ἐν τῷ οὐρανίῳ Γάγγῃ[3].

63. Ἀκούων δ' ὁ βασιλεὺς παρὰ τῶν γυναικῶν τοιουτοτρόπων ἐνυπνίων, ἥδετο, καὶ ἐνόμιζεν ἑαυτὸν εὐδαίμονα καὶ μακάριον, ὡς γενησόμενος πατὴρ Θεοῦ.

τοῦ ἡλίου τῆς συλλήψεώς εἰσι τοῦ ὕδατος, ὅτε ὁ ἥλιος ἐν τοῖς τρισὶ Μησὶ τοῦ θέρους ἕλκει τὴν ὑγρότητα· αἱ δὲ τέσσαρες ἑκατοστύες τῆς ἐκρίσης τῆς ὑγρότητος, ὅτε βρέχει ἐν τοῖς τέσσαρσι Μησὶ τῆς ἐπομβρίας· αἱ δὲ λοιπαὶ τρεῖς ἑκατοστύες τοῦ ψύχους, ὅτε δρόσος πίπτει, καὶ πάχνη γίνεται.

(1) Εἰσὶ δ' οὗτοι· Μαρίκης, Ἀτρὴς, Πουλαχᾶς, Πουλαστέας, Κρατοῦς, Ἀγκιρᾶς, καὶ Βασσίστας.

(2) Πρότερον ἐλούσαντο, κἄπειτα ὕμνησαν.

(3) Ὁ Γάγγης ἀνέβρυσεν ἐκ τοῦ δεξιοῦ ποδὸς τοῦ Βισνοῦ, ὃς καὶ ἐμερίσθη εἰς τρεῖς ῥύακας· καὶ ὁ μὲν ποτίζει τὸν οὐρανὸν, ὁ δὲ τὸν ἐπιχθόνιον κόσμον, ὁ δὲ τρίτος τὸν ὑποχθόνιον.

64. Ὁ Θεὸς, εἷς ὢν, διεμερίσατο ἑαυτὸν, καὶ ᾤκησεν ἐν γαστράσι τετραειδὴς [1], καθὼς ἡ σελήνη, μία οὖσα, ἀντιλάμπει ἐν ταὐτῷ κατὰ μέρος ἐν πολλοῖς διειδέσιν ὕδασιν.

65. Ἐν δὲ τῷ καιρῷ τοῦ τόκου ἡ πρώτη γυνὴ τοῦ βασιλέως ἔσχεν υἱὸν, ἀπαλλακτικὸν τῶν δεινῶν, καθὼς ἡ φωτιστικὴ βοτάνη ἔχει φῶς ἐν νυκτὶ, ἀπαλλακτικὸν τοῦ σκότους.

66. Ἐπειδὴ δὲ ὁ γεννηθεὶς υἱὸς σῶμα εἶχεν ἁγλαὸν, διὰ τοῦτο ὠνομάσθη ὑπὸ τοῦ πατρὸς Ῥάμας [2] ὅ ἐστιν ὄνομα ἄγαν ἀγαθοποιὸν τῷ κόσμῳ.

67. Οἱ δ' ἐν τῷ οἴκῳ τῆς γεννήσεως λύχνοι [3] ἀμυδρὰν εἶχον τὴν λάμψιν ἐκ τούτου τοῦ Ῥάμα, τοῦ ὄντος ἀσυγκρίτου κατὰ τὴν λάμψιν, καὶ λαμπρύνοντος τὸ γένος τοῦ Ῥαγγοῦ.

68. Λεχὼ δ' οὖσα ἡ μήτηρ, καὶ ἰσχνὴ, ἠγλαΐζετο ἐκ τοῦ Ῥάμα, κειμένου ἐπὶ κλίνης, καθὼς ἡ Γαγγὰ, ὀλιγόϋδρος οὖσα, καὶ ἰσχνὴ ἐν ὥρᾳ Σαράδα, ἀγλαΐζεται ἐκ τοῦ κειμένου λωτοῦ ἐπὶ τῆς ψάμμου, ὃς προσφέρεται εἰς τιμήν.

69. Ἐκ δὲ τῆς Καϊκεγῆς ἐγεννήθη υἱὸς, Βαράτας τὸ ὄνομα ὅς, ἀγαθοφυὴς ὢν, ἐκόσμει τὴν μητέρα, καθὼς ὁ ἀγαθὸς τρόπος κοσμεῖ τὴν δόξαν.

70. Ἡ δὲ Σουμιτρὰ ἐγέννησεν υἱοὺς διδύμους, τὸν Λαξμάναν, καὶ τὸν Σατρούγναν, καθὼς ἡ καλῶς διδαχθεῖσα μάθησις γεννᾷ τὴν γνῶσιν καὶ τὴν ἀγαθότητα.

---

(1) Τέσσαρες υἱοὶ ἐγεννήθησαν, ὡς ῥηθήσεται.

(2) Ῥάμας μεθερμηνεύεται ἡδὺς, ἐπίχαρις, τερπνός.

(3) Μέχρι δέκα ἡμερῶν ἀπὸ τῆς γεννήσεως ὁ λύχνος καίει ἡμέρας τε καὶ νυκτὸς ἐν τῷ οἴκῳ τῆς γεννήσεως.

71. Ἐπὶ τῆς γεννήσεως τούτων τὸ πᾶν ἐγένετο ἄνευ δεινῶν καὶ νόσων, ὥσπερ εἰ ἦλθε καὶ ὁ οὐρανὸς μετὰ τοῦ Θεοῦ, τοῦ ἐλθόντος εἰς γῆν.

72. Ἐπὶ τῆς γεννήσεως τούτου τοῦ τετραμόρφου Θεοῦ οὐκ ἔπνεεν ἄνεμος σφοδρὸς, ἀλλ' αὔρα [1]· ἦν δ' αὕτη ἡ αὔρα, ὥσπερ ἀνάπνευσις τοῦ κόσμου, τοῦ καταθλιβομένου ὑπὸ τοῦ Ῥαβάνα.

73. Τὸ μὲν πῦρ, καῖον ἄνευ καπνοῦ [2], ὁ δ' ἥλιος, λάμπων λαμπρῶς, ἐφαίνοντο, ὥσπερ εἰ ἀφῆκαν τὴν λύπην, ἣν εἶχον ἐκ τῆς παρὰ τοῦ Ῥαβάνα θλίψεως [3].

74. Ἐν ἐκείνῳ τῷ χρόνῳ τῆς τοῦ Ῥάμα γεννήσεως οἱ πεσόντες ἀδάμαντες καὶ μαργαρίται ἐκ τῶν στεφάνων τοῦ δεκακεφάλου Ῥαβάνα [4], ἦσαν, ὥσπερ σταγόνες δακρύων τῆς δόξης αὐτοῦ.

75. Πρὶν δὲ κρουσθῶσι τὰ μουσικὰ ὄργανα τοῦ βασιλέως ἐν τῷ βασιλικῷ οἴκῳ εἰς χαρὰν γεννήσεως υἱοῦ [5], τύμπανα θεῖα ἐκρούοντο ἐν οὐρανῷ.

76. Ἡ δὲ πίπτουσα βροχὴ ἀνθέων οὐρανίων εἰς τὸν οἶκον τοῦ Δασσαράτα ἦν, ὥσπερ προετοιμασία τῆς λαμπρᾶς διακοσμήσεως τοῦ βασιλικοῦ οἴκου [6].

---

(1) Οἰωνὸς καλὸς ἡ αὔρα ἦν.

(2) Καὶ ταῦτα ἦν καλὸς οἰωνός.

(3) Ἐθλίβοντο, καὶ λύπην εἶχον, ἐπειδὴ ὁ Ῥαβάνας, κατατροπώσας τοὺς θεοὺς, τὸν μὲν Θεὸν τοῦ πυρὸς ἐποίησε μάγειρον, τὸν δ' Ἥλιον σκιαδοφόρον, τὸν δὲ Βαρούναν ὑδροφόρον, τὸν δ' Ἴνδραν κηπουρόν.

(4) Κακὸς ἦν οἰωνὸς τοῦτο.

(5) Χαρὰ γίνεται, καὶ ὄργανα κρούονται, καὶ δωρεαὶ δίδονται ἐπὶ γεννήσεως υἱοῦ.

(6) Ἀρπεδόνας ἐκ φύλλων καὶ ἀνθέων τιθέασιν ἐπὶ τῶν θυρῶν, καὶ διακοσμοῦσι τὸν οἶκον.

77. Μετὰ δὲ τὴν γέννησιν [1] ὀνόματα ἐτέθησαν τοῖς παισὶν, οἳ, πίνοντες γάλα τῶν τροφῶν, ηὔξανον κατὰ τὴν ἡλικίαν σὺν τῇ μεγάλῃ χαρᾷ τοῦ πατρός.

78. Ἡ δὲ φυσικὴ ἀγαθότης αὐτῶν ἐπλεόναζεν ἐκ τῆς παιδείας καὶ διδασκαλίας, καθὼς ἡ φυσικὴ φλὸξ τοῦ πυρὸς πλεονάζει ἐκ τῆς ἐπιχύσεως τοῦ βουτύρου.

79. Μὴ ἐρίζοντες δ' ἀλλήλοις οἱ τέσσαρες οὗτοι παῖδες, ὑπερηγλάϊζον τὸ ἀγλαὸν γένος τοῦ Ῥαγγοῦ, καθὼς αἱ τέσσαρες ὧραι τοῦ ἔτους, μὴ ἐρίζουσαι ἀλλήλαις, ὑπεραγλαΐζουσι τὸν θεῖον παράδεισον [2].

80. Καί τοι δ' ἦν ἐξ ἴσου ἀδελφικὴ ἀγάπη πρὸς ἀλλήλους, ἀλλ' ὅμως ὁ μὲν Ῥάμας ἀσπασίως ἀεὶ τῷ Λαξμάνᾳ συνδιέτριβεν, ὁ δὲ Βαράτας τῷ Σατρούγνᾳ.

81. Τούτων τῶν δύω ζευγῶν ἡ ἕνωσις καὶ ὁμόνοια οὐδέποτε διῃρέθη, καθὼς ἡ ὁμόνοια καὶ φιλία τοῦ ἀέρος καὶ τοῦ πυρὸς, καὶ ἡ τῆς σελήνης καὶ τῆς θαλάσσης [3].

82. Οὗτοι οἱ κύριοι τοῦ κόσμου ἥδυνον τὴν καρδίαν τῶν ἀνθρώπων τῇ εὐφυΐᾳ καὶ εὐπροσηγορίᾳ, καθὼς ἡδύνουσιν αἱ ἡμέραι, ἔχουσαι νέφη ὑδροφόρα ἐν τῷ τέλει τοῦ θέρους.

83. Αὕτη ἡ ἀγαθὴ τετρακτὺς τῶν υἱῶν τοῦ βασιλέως Δασσαράτα, ἐφαίνετο, ὥσπερ ἐνσώματος τετρακτὺς τῶν τεσσάρων γενικῶν ἀγαθῶν, τῆς ἀρετῆς, τῆς κτήσεως, τῆς τρυφῆς, καὶ τῆς λυτρώσεως [4].

---

(1) Μετὰ δέκα ἢ ἑνδεκα ἡμέρας τῆς γεννήσεως ὄνομα τίθεται τῷ γεννηθέντι.

(2) Ἐν μὲν Ἰνδίᾳ ἄνθη καὶ καρποὶ διάφοροι γίνονται κατὰ τὰς διαφόρους ὥρας τοῦ ἔτους· ἐν δὲ τῷ οὐρανίῳ Παραδείσῳ ἄνθη καὶ καρποὶ γίνονται οἱ αὐτοὶ ἀδιαλείπτως κατὰ πᾶσαν ὥραν τοῦ ἔτους.

(3) Ὅτε ἡ Σελήνη αὐξάνει, ὑπερφυσοῦται καὶ ἡ θάλασσα· τοῦτο δὲ θεωρεῖται ἐπὶ τῆς ἀμπώτιος.

(4) Ἐκ τῆς πράξεως τῆς ἀρετῆς, ἥ ἐστιν ἡ ἄσκησις, καὶ ἐγκράτεια, καὶ τὰ λοιπὰ ἀγαθὰ ἔργα, κτᾶται ὁ ἄνθρωπος πλοῦτον καὶ δόξαν· διὰ δὲ τῆς χρή-

84. Οἱ τέσσαρας οὗτοι φιλοπάτορες υἱοὶ ἤδυνον τὸν πατέρα, τὸν κύριον τοῦ τετραμεροῦς κόσμου, διὰ τῶν ἀγαθῶν προτερημάτων, καθὼς αἱ τέσσαρες θάλασσαι διὰ τῶν πολυτίμων κειμηλίων.

85. Καθὼς ὁ μὲν θεῖος ἐλέφας ἀγλαΐζεται τέσσαρσιν ὀδοῦσι, τοῖς συντρίβουσι τὰ ξίφη τῶν δαιμόνων, ἡ δὲ βασιλικὴ διοίκησις τέσσαρσι τρόποις [1], τοῖς προσήκουσι τῷ βασιλεῖ εἰς ἐκτέλεσιν τοῦ συμφέροντος, ὁ δὲ Βισνοῦς τέσσαρσι χερσὶν, οὕτω καὶ ὁ βασιλεὺς τῶν βασιλέων Δασσαράτας ἠγλαΐζετο τέσσαρσιν υἱοῖς, οἳ ἦσαν ἀπόρροιαι τοῦ Βισνοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

1. Ἐλθὼν ὁ ὅσιος Βισβαμίτρας, ᾔτησε παρὰ τοῦ βασιλέως Δασσαράτα τὸν Ῥάμαν, παῖδα ἔτι ὄντα, εἰς διατήρησιν τῆς θυσίας, τῆς μὴ τελουμένης ἐξ αἰτίας τῶν ἐναντίων δαιμόνων [2]· τῶν γὰρ μεγαλουργῶν ἡ μικρὰ ἡλικία οὐ θεωρεῖται.

2. Ὁ δὲ Δασσαράτας, ὁ σεβόμενος τοὺς σοφοὺς καὶ θείους ἄνδρας, ἔδωκε τῷ ὁσίῳ τόν τε Ῥάμαν καὶ τὸν Λαξμάναν, οὓς μετὰ πολλοῦ πόνου ἐκτήσατο· ἡ γὰρ αἴτησις

σεως τοῦ πλούτου καὶ μεταδόσεως τρυφᾷ καὶ ἐν γῇ καὶ ἐν οὐρανῷ· ὅτε δὲ ὁ ἄνθρωπος χρῆται ἀρετῇ οὐκ εἰς κτῆσιν πλούτου ἢ δοξης, ἀλλὰ εἰς λύτρωσιν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, τότε κτᾶται τὴν ἀθανασίαν, σύνεστι δηλ: ἀεὶ τῷ ἀθανάτῳ Θεῷ.

(1) Τέσσαρες τρόποι προσήκοντες τῷ βασιλεῖ εἰσιν, ἡ διαλλαγὴ, ἡ δασμοφορία, ἡ πρὸς τοὺς ἐχθροὺς διχόνοια, καὶ ἡ μάχη.

(2) Δαίμονες δύω, Μαρίτσας, καὶ Συβαχοῦς, ἐρχόμενοι, ἔρριπτον μιάσματα εἰς τὴν θυσίαν τοῦ Βισβαμίτρα.

καὶ τῶν αἰτούντων αὐτὴν τὴν ζωήν, οὐδέποτε ἄπρακτος ἐγένετο ἐν τῇ γενεᾷ τοῦ Ραγγοῦ.

3. Πρὶν δ' ὁ βασιλεὺς προστάξῃ τὴν διακόσμησιν τῶν ὁδῶν τῆς πόλεως εἰς ἔξοδον τοῦ Ράμα καὶ τοῦ Λαξμάνα, ὁ μὲν ἄνεμος ἐξαίφνης ἐσάρωσε τὰς ἀγυιάς, τὰ δὲ νέφη ἔβρεξαν, καὶ ἄνθη πολλὰ ἔρριψαν.

4. Πεισθέντες οὖν τῇ προσταγῇ τοῦ πατρὸς ὁ Ράμας καὶ ὁ Λαξμάνας, τόξα φέροντες, προσέπεσον τοῖς ποσὶν αὐτοῦ εἰς προσκύνησιν· οὗ ἐκ τῶν ὀφθαλμῶν σταγόνες δακρύων ἔπεσον ἐπ' αὐτούς, οὕτω ταπεινῶς ἔχοντας, καὶ ἑτοίμους εἰς ἔξοδον ὄντας.

5. Ὑποβεβρεγμένοι δὲ τὴν κόμην ἀμφότεροι τοῖς ἐκ τῶν ὀφθαλμῶν τοῦ πατρὸς δάκρυσιν, ἠκολούθησαν τῷ ὁσίῳ Βισβαμίτρᾳ, οὓς ἰδεῖν ἔμενον πάντες ἐν ἀμφοτέροις τοῖς μέρεσι τῶν ἀγυιῶν.

6. Ἐπειδὴ δὲ ὁ Βισβαμίτρας [1] ἤθελε μόνον τὸν Ράμαν καὶ τὸν Λαξμάναν ἄνευ ἄλλων ἀκολούθων, διὰ τοῦτο ὁ βασιλεὺς οὐκ ἔδωκεν αὐτοῖς στρατιάν, ἀλλ' εὐλογίαν, ἣ ἱκανὴ ἦν εἰς διατήρησιν αὐτῶν.

7. Ἀψάμενοι δ' ἀμφότεροι τῶν ποδῶν τῶν τριῶν μητέρων, ἀκολουθοῦντες τοῖς βήμασι τοῦ πανεκλάμπρου Βισβαμίτρα, ἠγλαΐζοντο, καθὼς ἀγλαΐζονται ὁ Μαδδοῦς, καὶ ὁ Μαδδάνας [2], φερόμενοι κατὰ τὴν φορὰν τοῦ ἡλίου.

8. Καί τοι δὲ τὸ κίνημα τῶν ποδῶν καὶ τῶν χειρῶν αὐτῶν ἦν ταχὺ καὶ ἄτακτον, ἕνεκα τῆς παιδικῆς ἡλικίας, ἠγλαΐζετο ὅμως, καθὼς ἐν καιρῷ τῶν ὄμβρων τὸ φερό-

---

(1) Ὁ Βισβαμίτρας ἦν, ὥσπερ ἄλλος Μέντωρ.

(2) Μαδδοῦς, ὁ Μάρτιος, Μαδδάνας, ὁ Ἀπρίλλιος, οἳ θερμοὶ ὄντες, παρέπονται τῷ θερμοτέρῳ ἡλίῳ.

μενον μεθ' ὁρμῆς ῥεῦμα δύω ποταμῶν, οἳ ὀνομάζονται φερωνύμως, ὁ μὲν Οὐδέας, ὁ δὲ Βιδέας [1].

9. Ἐξ αἰτίας δὲ τῆς δυνάμεως τῶν διδαχθεισῶν καθ' ὁδὸν ὑπὸ τοῦ ὁσίου δύω ἐπῳδῶν, αἷς ὄνομα Βαλὰ, καὶ Ἀτιβαλὰ [2], οὐδαμῶς ἔπαθον οὔτε πόνῳ, οὔτε πείνῃ, ὥσπερ εἰ ἦσαν ἐν τῷ μαλακοστρώτῳ βασιλικῷ οἴκῳ καὶ παρὰ τῇ μητρί [3].

10. Καί περ εἰθισμένοι φέρεσθαι ἐπ' ὀχημάτων ὁ Ῥάμας καὶ ὁ Λαξμάνας, οὐκ ἠσθάνοντο τῆς πεζοπορίας, ὥσπερ ἐποχούμενοι ταῖς παλαιαῖς ἱστορίαις [4], ταῖς λεγομέναις ὑπὸ τοῦ παλαιὰ εἰδότος Βισβαμίτρα.

11. Αἱ μὲν λίμναι ἐθεράπευον αὐτοὺς τοὺς παῖδας ὕδασιν ἡδέσιν, οἱ δ' ὄρνεις κελαδήμασι, τὴν ἀκοὴν ἡδύνουσιν, οἱ δ' ἀέρες κόνει εὐόσμων ἀνθέων, τὰ δὲ πυκνὰ νέφη σκιᾷ.

12. Οἱ δ' ἀσκηταὶ οὐκ ἔλαβον πώποτε τοσαύτην ἡδονὴν ἐκ τῆς θεωρίας λιμνῶν, ἀγλαϊζομένων λωτοῖς, καὶ κατασκίων δένδρων, ἀπαλλακτικῶν τοῦ καύματος, ὅσην ἔλαβον ἐκ τῆς βραχείας θεωρίας αὐτῶν.

13. Τοξοφόρος δ' ὢν ὁ Ῥάμας, ἀφικόμενος εἰς τὸ ἄλσος, ἔνθα πάλαι ἀσκήσει ἐχρῆτο ὁ Κάμας [5], ἔφεδρος αὐτοῦ ἐγένετο τῷ ἀγλαῷ σώματι, ἀλλ' οὐ τῷ ἔργῳ.

---

(1) Οὐδέας, αὐξάνων, πλημμυρῶν· Βιδέας, διαῤῥηγνύων· διαῤῥήγνυσι γὰρ τὰς ὄχθας, φερόμενος μεθ' ὁρμῆς.

(2) Βαλὰ, εὐσθενής, Ἀτιβαλὰ δὲ, ὑπερσθενής.

(3) Ἡ φροντίζει τροφῆς τῶν παίδων.

(4) Αἱ παλαιαὶ ἱστορίαι, ἃς ἔλεγεν ὁ Βισβαμίτρας, ἀνέπαυον τὸν πόνον τῆς πεζοπορίας, ὥσπερ εἰ ἦσαν ὀχήματα, ἐφ' ὧν ὠχοῦντο.

(5) Κάμας λέγεται ὁ Ἔρως, ὃς, τοξοφόρος ἐστὶ καὶ ὡραῖος· καὶ ὁ Ῥάμας δὲ τοξοφόρος ὢν καὶ ὡραῖος, ἐφαίνετο, ὥσπερ ἄλλος Κάμας· κατὰ τὸ σῶμα μέν τοι, ἀλλ' οὐ κατὰ τὸ ἔργον· οὐ γὰρ ἦν διάστροφος, ὥσπερ ἐκεῖνος, ὃς διαστρέφει καὶ διαταράττει τὴν καρδίαν καὶ τῶν ἀσκητῶν.

14. Ἐν δέ τινι διόδῳ, ἣ ἦν ἀποκεκλεισμένη ὑπὸ μιᾶς δαίμονος [1], ἧς κατηράσατο ὁ Ἀγαστέας, ὡς ἤκουσαν παρὰ τοῦ Βισβαμίτρα ὁ Ῥάμας καὶ ὁ Λαξμάνας, ἀνειμένα ἔχοντες τὰ τόξα, ἐνέτειναν αὐτὰ, καὶ ἡτοίμασαν.

15. Ἀκούσασα δ' ἡ δαίμων τοῦ ἤχου τῆς ἐντεταμένης χορδῆς τῶν τόξων, ἀνεφάνη ἐξάπινα, παμμέλαινα οὖσα, καὶ κρανία, ὡς ἐλλόβια, ἔχουσα, ἐφαίνετο ὡς μέλαινα συννεφία, ὑφ' ἣν ἵπτανται λάροι [2].

16. Ὥσπερ δὲ θύελλα ἐκ νεκρικοῦ τόπου [3], ἐπῆλθεν ἡ δαίμων ἐναντίον τοῦ Ῥάμα μετὰ μεγάλης φορᾶς, διασαλευούσης τὰ δένδρα, καὶ μετὰ φωνῆς ἀγρίας, καὶ ῥακέων νεκρικῶν.

17. Ἰδὼν δ' αὐτὴν ὁ Ῥάμας, ἐπερχομένην, ἀνατεταμένην ἔχουσαν μίαν χεῖρα, καὶ ἐντόσθια ἀνθρώπεια περὶ τὴν ὀσφὺν, ὡς ζώνην, ἀφεὶς τὸν ἔλεον, ὃν δεῖ ἔχειν πρὸς τὴν θήλειαν [4], ἀφῆκεν ἐπ' αὐτὴν τὸ βέλος.

18. Ἡ δ' ἐκ τοῦ βέλους τοῦ Ῥάμα ὀπὴ ἐν τῷ, ὡς λίθῳ, σκληρῷ στήθει τῆς δαίμονος Ταταίκας, δίοδος ἐγένετο τοῦ θανάτου εἰς τὸν ἄβατον τόπον τῶν δαιμόνων [5].

19. Πληγεῖσα οὖν τὸ στῆθος ὑπὸ τοῦ βέλους, καὶ πεσοῦσα, διέσεισεν οὐ μόνον τὴν γῆν τοῦ ἑαυτῆς ἅλσους, ἀλλὰ καὶ πᾶσαν τὴν τοῦ Ῥαβάνα δόξαν, τὴν στερεὰν ἐκ τῆς νίκης κατὰ τῶν τριῶν κόσμων.

---

(1) Δαίμων, Ταταίκα τὸ ὄνομα, ἀπατῶσα τοὺς ἀνθρώπους τῇ εὐειδείᾳ καὶ ὡραιότητι, κατέτρωγεν αὐτούς· ὁ δὲ Ἀγαστέας κατηράσατο αὐτῆς, ἔχειν σῶμα πάνυ δυσειδὲς καὶ φρικῶδες.

(2) Τὰ κρεμάμενα κρανία, ὄντα λευκὰ, ἦσαν ὥσπερ Λάροι, οἳ ἵπτανται ὑπὸ συννεφίαν.

(3) Ἡ ἐξανισταμένη ἐκ νεκρικοῦ τόπου θύελλα, φέρει καὶ ῥάκη, ἃ παραρριμμένα εἰσὶ κατὰ τὸν νεκρικὸν τόπον.

(4) Νόμος ἐστὶ μὴ ἀνελεῖν θήλειαν.

(5) Δηλονότι ὁ θάνατος αὐτῆς, ἀρχὴ ἐγένετο τοῦ θανάτου τῶν δαιμόνων.

20. Καθὼς δὲ ἡ μοιχαλὶς, τρωθεῖσα τῷ ἀνυποίστῳ βέλει τοῦ Ἔρωτος, ἀλειλιμμένον ἔχουσα τὸ στῆθος κρόκῳ, πορεύεται εἰς τὸν οἶκον τοῦ ἐρωμένου, οὕτω καὶ αὕτη ἡ δαίμων, τρωθεῖσα τῷ βέλει τοῦ Ῥάμα, ἀλειλιμμένον ἔχουσα τὸ στῆθος αἵματι, ἐπορεύθη εἰς τὸν δόμον τοῦ Ἰάμα [1].

21. Ἔλαβε δ' ὁ Ῥάμας παρὰ τοῦ ὁσίου, ὃς ἦσθη ἐπὶ τῷ μεγάλῳ κατορθώματι, βέλος μετ' ἐπῳδῆς, ἀναιρετικὸν τῶν δαιμόνων, καθὼς ὁ κρύσταλλος πῦρ λαμβάνει παρὰ τοῦ ἡλίου, καυστικὸν τῶν ἀχύρων καὶ φρυγάνων.

22. Μετὰ ταῦτα ἐλθὼν ὁ Ῥάμας εἰς τὸ ἱερὸν ἄλσος, ἔνθα πάλαι ᾤκει ὁ Βαμάνας, ὡς ἤκουσε παρὰ τοῦ Βισβαμίτρα, περιχαρὴς ἐγένετο, καί περ μὴ ἐνθυμούμενος τὴν ἐν τῇ προτέρᾳ γενέσει μεγαλουργίαν [2].

23. Ἐντεῦθεν ἀφίκετο ὁ Βισβαμίτρας εἰς τὸ ἑαυτοῦ ἀσκητήριον, ἔνθα οἱ μὲν μαθηταὶ ἐποίησαν ὑποδοχὴν, τὰ δὲ δένδρα ἔσμιξαν τὰ φύλλα, ὡς χεῖρας εἰς τιμὴν, αἱ δ' ἔλαφοι ἀνέκυψαν εἰς θεωρίαν τοῦ ὁσίου [3].

24. Ἐνταῦθα, ἀρξαμένου τοῦ Βισβαμίτρα τελέσαι θυσίαν, ὁ Ῥάμας καὶ ὁ Λαξμάνας κατὰ διαδοχὴν διεφύλαττον αὐτὸν [4] ἐκ τῆς προσβολῆς τῶν δαιμόνων, καθὼς ὁ ἥλιος καὶ ἡ σελήνη, ἀνατέλλοντες κατὰ διαδοχὴν ἀπαλλάττουσι τὸν κόσμον ἐκ τοῦ σκότους.

25. Ἰδόντες δ' οἱ θυηπόλοι [5] τὸ θυσιαστήριον, μολυνθὲν θρόμ-

---

(1) Ἰάμας λέγεται ὁ ᾅδης.

(2) Οὐκ ἐνεθυμεῖτο, ὡς αὐτὸς ἦν πρότερον ὁ Βαμάνας, ὃς καθεῖλε τὸν Γίγαντα Βαλὴν, περὶ οὗ ἐρρέθη πρότερον.

(3) Τιμὴν ἔδειξαν δηλονότι καὶ λογικὰ καὶ ἄλογα ζῶα, καὶ αὐτὰ τὰ ἄψυχα δένδρα.

(4) Ὁ μὲν ἐφύλαττε τὴν ἡμέραν, ὁ δὲ τὴν νύκτα, καθὼς ὁ ἥλιος καὶ ἡ σελήνη ἀπαλλάττουσι τὸ σκότος, ὁ μὲν τὴν ἡμέραν, ἡ δὲ τὴν νύκτα.

(5) Ἑκκαίδεκα θυηπόλοι εἰσὶν ἐπὶ τῆς θυσίας τῶν σφαγίων· ὁ δὲ πρῶτος

βοις αἱμάτων, πίπτουσιν ἐξ αἰθέρος, διεταράχθησαν, καὶ ἐπαύσαντο τῆς ἱερουργίας· ἔπεσε δὲ καὶ ἡ ξυλίνη λαβὶς ἐκ τῆς χειρὸς τοῦ κρατοῦντος.

26. Ἐξελὼν δ' ἐκ τῆς φαρέτρας βέλος ὁ Ῥάμας, ἀναβλέψας εἶδεν ἐπὶ τοῦ αἰθέρος τὴν δύναμιν τῶν δαιμόνων, ὧν αἱ σημαῖαι διεσαλεύοντο ὑπὸ τοῦ ἀέρος τῶν πτερύγων ἐφιπταμένων γυπῶν [1].

27. Σκοπὸν δ' ἔθετο ὁ Ῥάμας καταβαλεῖν τοὺς δύω ἀρχηγοὺς τῶν δαιμόνων [2], καὶ οὐκ ἄλλους· ὁ γὰρ Γαρούδας, ὁ κατισχύων τῶν μεγάλων ὄφεων, οὐ φροντίζει τῶν ὕδρων, οἳ μικροί τε εἰσὶ, καὶ φάρμακον οὐκ ἔχουσι.

28. Προσαρμόσας δὲ τῷ τόξῳ ὁ τῆς τοξικῆς εἰδήμων Ῥάμας βέλος ὠκύθοον καὶ ἀνεμοφόρον [3], ἀπέῤῥιψε δι' αὐτοῦ πορῥωτάτω τὸν υἱὸν τῆς δαίμονος [4], ὡς φύλλον μεμαραμμένον, καί τοι πελώριος ἦν, ὡς ὄρος μέγα.

29. Τὸν δ' ἕτερον ἀρχηγὸν, ὃς ὠνομάζετο Σουβαχοῦς [5], καὶ ἔθεε τῇδε κἀκεῖσε μαγικῇ δυνάμει, διέτεμεν εἰς λεπτὰ δι' ἑτέρου ὀξέος βέλους· ἡ δὲ φορὰ τοῦ βέλους ἔῤῥιψεν αὐτὸν πόῤῥω τοῦ θυσιαστηρίου, βορὰν τοῖς πετεινοῖς.

30. Ἐπαινέσαντες δ' οἱ θυηπόλοι τὸ ἡρωϊκὸν κατόρθωμα

ἔχει λαβίδα, δι' ἧς χέει τὸ βούτυρον εἰς τὸ πῦρ, καὶ τὰ τεμάχη τῶν κρεάτων ῥίπτει, ἑπτὰ ὄντα.

(1) Λέγουσιν, ὡς θνήσκει ὁ ἄνθρωπος, ἐφ' οὗ γὺψ ἵπταται, ἢ ἐπ' οἴκου κάθηται.

(2) Οὗτοι οἱ ἀρχηγοὶ τῶν δαιμόνων, υἱοὶ ἦσαν τῆς προειρημένης δαίμονος Τατάκας· ὀνόματα δ' ἦν αὐτοῖς, Μαρίτσας, καὶ Σουβαχοῦς.

(3) Δι' ἐπῳδῆς τινος ῥιπτόμενον τὸ βέλος, φέρει ἄνεμον σφοδρὸν, καὶ ἐκριζοῖ οὐ μόνον δένδρα, ἀλλὰ καὶ ὄρη μεγάλα· ταύτην δὲ τὴν ἐπῳδὴν ἔμαθε παρὰ τοῦ Βισβαμίτρα.

(4) Μαρίτσας οὗτος ἐκαλεῖτο· ὃς ἔπεσεν ὠσθεὶς ἐκ τῆς φορᾶς τοῦ ἀνεμοφόρου βέλους εἰς τὴν νῆσον Ταπροβάνην, ἔνθα ἐβασίλευσεν ὁ Ῥαβάνας.

(5) Υἱὸς ἦν καὶ οὗτος τῆς δαίμονος ἐκείνης.

αὐτῶν τῶν ἀδελφῶν, οἳ ἀπήλλαξαν τὸ θυσιαστήριον ἐκ τῆς προσβολῆς τῶν δαιμόνων, ἐτέλεσαν, ὡς ἔδει, τὴν θυσίαν τοῦ Βισβαμίτρα, ὃς ἤσκει σιωπήν [1].

31. Μετὰ δὲ τὴν θυσίαν, λουσαμένου τοῦ Βισβαμίτρα, πεσόντες ὁ Ῥάμας καὶ ὁ Λαξμάνας, προσεκύνησαν αὐτόν· ὁ δὲ ἐπέθηκεν ἐπ' αὐτοὺς τὴν ἀσκητικὴν ἑαυτοῦ χεῖρα σὺν εὐλογίᾳ.

32. Ἐν τούτῳ ὁ βασιλεὺς τῆς Μιθιλᾶς χώρας μέλλων τελέσειν, θυσίαν, ἐκάλεσε τὸν Βισβαμίτραν. Πορευόμενος δ' ὁ ὅσιος, ἔφερε μεθ' ἑαυτοῦ καὶ αὐτοὺς τοὺς ἀδελφοὺς, οἳ ἔφεσιν εἶχον ἰδεῖν τὸ ἐξάκουστον τόξον ἐκείνου τοῦ βασιλέως [2].

33. Κατὰ δὲ τὴν ὁδὸν οἱ τρεῖς οὗτοι, κατέλυσαν κατὰ τὴν ἑσπέραν ἐν ἄλσει ἀγλαῶν δένδρων, ἐν ᾧ ἡ γυνὴ τοῦ ὁσίου Γαυτάμα, ἡ Ἀχιλεὰ [3], πάλαι ἐμίγη τῷ θεῷ Ἴνδρᾳ.

34. Ἐνταῦθα ἡ γυνὴ τοῦ Γαυτάμα, ἣ ἐγένετο λίθος πρὸ πολλοῦ, ἐπανέλαβε τὴν ἑαυτῆς ἀγλαὰν μορφήν· αὕτη δ' ἦν

---

(1) Ὅστις ποιεῖ θυσίαν, σιωπῇ χρῆται καὶ ἐγκρατείᾳ.

(2) Τόξον ἦν μέγα καὶ βαρὺ παρὰ τῷ βασιλεῖ ἐκείνῳ, ὃ εὐδεὶς ἄραι ἠδύνατο· ἐκήρυξε δ' ὁ βασιλεὺς, ὡς, ὅστις ἄραι δύναται ἐκεῖνο τὸ τόξον, τούτῳ ἐκδώσει τὴν ἑαυτοῦ θυγατέρα· ἦν δὲ τὸ τόξον ἐκεῖνο τοῦ θεοῦ Σίβα.

(3) Ἡ Ἀχιλεὰ ἦν πάνυ εὐειδής· ἀκούων δ' ὁ Ἴνδρας, ἠράσθη αὐτῆς· καὶ ἠρώτησε τὸν Ἴλιον, εἰ ἴδοι αὐτήν· ὁ δ' ἀπεκρίνατο, ὡς οὐδέποτε εἶδε τὴν Ἀχιλεὰν, ἐπειδὴ τὴν ἡμέραν οὐκ ἐξέρχεται, ἀλλὰ τὴν νύκτα. Ἠρώτησε δὲ καὶ τὴν Σελήνην, ὡς νυκτοποροῦσαν, ἡ δ' ἀπεκρίνατο καταφατικῶς. Λαβὼν δ' ὁ Ἴνδρας τὴν Σελήνην, ὡς ὁδηγὸν, ἦλθεν εἰς τὸ ἀσκητήριον τοῦ Γαυτάμα περὶ μέσας νύκτας, ἔνθα ἡ Σελήνη μετεμορφώθη εἰς ἀλεκτρυόνα, καὶ ἐκώκυσεν. Ὁ δὲ Γαυτάμας, ἀκούσας, ἐνόμισεν, ὡς ὄρθρος ἐστὶ, καὶ ἀναστὰς ἐβάδιζεν εἰς τὸν ποταμὸν, λουσόμενος. Ἐν τούτῳ ὁ Ἴνδρας, λαβὼν τὴν μορφὴν τοῦ Γαυτάμα, ἐμίγη τῇ Ἀχιλεᾷ. Περὶ δὲ τὸ μέσον τῆς ὁδοῦ, αἰσθόμενος ὁ Γαυτάμας, ὡς ἠπατήθη, ἐστράφη εὐθέως· καὶ ἰδὼν τὸν ἀλεκτρυόνα παρὰ τῇ θύρᾳ τοῦ ἀσκητηρίου, ὃς παρετήρει, ἔπληξεν αὐτὸν δορᾷ ἐλάφου, ἣν ἔφερεν. Ἐκ δὲ τῆς πληγῆς τοῦ ἐλαφείου δέρματος ἐγένετο ὁ σπίλος, ὃν ἔχει ἡ Σελήνη ἐν ἑαυτῇ.

χάρις τῆς κόνεως τῶν ποδῶν τοῦ Ῥάμα, τῆς ἐξαλειπτικῆς τῶν ἁμαρτημάτων.

35. Ἀκούσας δ' ὁ βασιλεὺς Ζανάκας ἐρχόμενον τὸν ὅσιον Βισβαμίτραν μετὰ τῶν υἱῶν τοῦ Δασσαράτα, ἐξῆλθεν εἰς ὑπάντησιν καὶ τιμὴν αὐτοῦ, ὃς ἦν, ὥσπερ ἐνσώματος ἀρετὴ[1] μετὰ τῆς κτήσεως, καὶ τῆς τρυφῆς[2].

36. Οἱ δ' ἐγκάτοικοι τῆς πόλεως Μιθιλᾶς ἔβλεπον ἀκορέσως αὐτοὺς τοὺς ἀγλαοὺς παῖδας, ὥσπερ δύω ἀστέρας ἐλθόντας ἐπὶ γῆς ἐξ οὐρανοῦ, καὶ ἔψεγον τοὺς ἑαυτῶν ὀφθαλμοὺς, ὅτι σκαρδαμύττουσι.

37. Τελεσθείσης δὲ τῆς θυσίας τοῦ βασιλέως, ὁ ὅσιος Βισβαμίτρας, καιρὸν εὑρὼν, διηγήσατο τῷ βασιλεῖ Ζανάκᾳ, ὡς ὁ Ῥάμας ἰδεῖν ἐφίεται τὸ θαυμαστὸν ἐκεῖνο τόξον.

38. Βλέπων δ' ὁ βασιλεὺς τὸ ἁβρὸν σῶμα ἐκείνου τοῦ παιδὸς, τοῦ ἐκ περιφανοῦς γένους καταγομένου, καὶ διανοούμενος τὸ δύσκαμπτον τοῦ τόξου, ἐθλίβετο τὴν καρδίαν ἐπὶ τῷ τεθέντι ἄθλῳ ὑπὲρ τῆς κόρης.

39. Καὶ, « Ὦ θειότατε, ἔφη· ὅ,τι ἔργον δυσκατέργαστόν » ἐστι μεγάλοις ἐλέφασιν, ἐν τούτῳ οὐ δύναμαι δοῦναι » τὴν ἐμαυτοῦ γνώμην ἐπὶ ματαίου τολμήματος μικροῦ » ἐλέφαντος.

40. « Πολλοὶ βασιλεῖς, σεβάσμιε πάτερ, ἀθληταὶ καὶ γυ- » μνασταὶ, κατηισχύνθησαν ἐκ τούτου τοῦ τόξου· καὶ » ταλανίσαντες τὰς χεῖρας ἑαυτῶν, ὧν τὸ δέρμα ἦν » σκληρὸν ἐκ τῆς πληγῆς τῆς χορδῆς, ἀνεχώρησαν ».

---

(1) Τρία εἰσὶ τὰ γενικὰ ἀγαθὰ καὶ συστατικὰ τῆς εὐδαιμονίας τοῦ ἀνθρώπου, ἡ Ἀρετὴ, ἡ Κτῆσις, καὶ ἡ Τρυφή· ἅ περ λέγονται ἐν ἑνὶ περιληπτικῷ ὀνόματι Τριβάργα, ὅ ἐστιν, ἡ Τριττὺς τῶν γενικῶν ἀγαθῶν.

(2) Ἐκ τῆς πράξεως τῆς ἀρετῆς γίνεται ὁ πλοῦτος· ἐκ δὲ τῆς χρήσεως τοῦ πλούτου ἡ τρυφὴ τῶν τῆς γῆς καὶ τῶν τοῦ οὐρανοῦ ἀγαθῶν, ὅταν θύῃ καὶ ἐλεῇ τοὺς χρείαν ἔχοντας.

41. Πρὸς ὃν ἐπεκρίνατο ὁ Βισβαμίτρας· « Οὐ δεῖ μακρηγορεῖν. Θεώρησον τὴν δύναμιν τούτου· ἡ δύναμις αὐτοῦ φανήσεται ἐπὶ τοῦ σοῦ τόξου, καθὼς ἡ τοῦ σκήπτοῦ φαίνεται ἐπὶ τοῦ ὄρους ».

42. Ὁ δὲ βασιλεὺς ἐκ τοῦ λόγου τοιούτου θεσπεσίου ἀνδρὸς ἐπίστευσε τῇ σωματικῇ δυνάμει τοῦ Ῥάμα, καί τοι ἦν παῖς, καθὼς πιστεύουσι τῇ καυστικῇ δυνάμει τοῦ σπινθῆρος τοῦ πυρός.

43. Προσέταξε δὲ πολλοῖς τῶν περιεστώτων ἀγαγεῖν πρὸς αὐτὸν ἐκεῖνο τὸ τόξον, καθὼς ὁ Ἴνδρας προστάττει τοῖς νέφεσιν ἀγαγεῖν πρὸς αὐτὸν τὸ οὐράνιον τόξον.

44. Ἰδὼν δ' ὁ Ῥάμας τὸ τόξον, ὃ ἦν ὥσπερ ὄφις κοιμώμενος, μέγας καὶ δειμαλέος, ἁψάμενος, ἦρεν αὐτό· διὰ τούτου τοῦ τόξου ὁ Σίβας ἔβαλε βέλος κατὰ τῆς θυσίας, ἣ ἔφευγε, λαβοῦσα μορφὴν ἐλάφου [1].

---

(1) Ὁ Σίβας ἔγημε Σατήν, τὴν θυγατέρα τοῦ Δάξα, υἱοῦ τοῦ Βραχμᾶ. Ἐλθόντος δέ ποτε τοῦ Δάξα εἰς τὴν σύνοδον τῶν θεῶν, ἅπαντες οἱ θεοὶ ἀνέστησαν εἰς ὑποδοχὴν καὶ τιμὴν αὐτοῦ· ὁ δὲ Σίβας οὐκ ἀνέστη εἰς τιμὴν τοῦ πενθεροῦ. Ὀργισθεὶς δ' ὁ Δάξας, ἐπέπληξεν αὐτὸν, ὡς ἀναιδῆ, ἀναίσχυντον, καὶ ἀλαζόνα. Μέλλων δὲ θυσίαν μεγάλην τελέσειν, ἅπαντας τοὺς θεοὺς ἐκάλεσεν εἰς εὐωχίαν πλὴν τοῦ Σίβα. Ἡ δὲ Σατὴ, βλέπουσα τὰς θεὰς, καὶ τοὺς θεοὺς, πορευομένους ἐν σιδηρίοις ὀχήμασιν ἐπὶ τὴν θυσίαν τοῦ Δάξα, ἠθέλησε καὶ αὐτὴ πορευθῆναι. Ὁ δὲ Σίβας ἐκώλυεν αὐτὴν, λέγων, ὡς ἀνοίκειόν ἐστιν, ἐπειδὴ οὐκ ἐκλήθη· ἡ δ' ἔφη, ὡς πορεύεται οὐκ εἰς τὴν θυσίαν, ἀλλὰ πρὸς τὴν ἑαυτῆς μητέρα. Ἐλθοῦσα δὲ, ἐδεξιώθη ὑπὸ τοῦ πατρὸς, ὃς καὶ εἶπεν, ὅτι καλῶς ἐποίησε, καὶ ἦλθε. Δεινοπαθοῦσης δὲ τῆς Σατῆς, ὅτι οὐκ ἐκλήθη, οὔτ' αὐτὴ, οὔθ' ὁ αὐτῆς ἀνὴρ, ὁ Δάξας ἀπεκρίνατο, ὡς ἐκεῖνος ἄτακτός ἐστι, καὶ ἄγριος, καὶ ἀπάνθρωπος, διαιτώμενος ἐν ὄρεσι, καὶ τόποις νεκρικοῖς. Ἀγανακτήσασα δ' ἐπὶ τούτοις τοῖς λόγοις ἡ Σατὴ, ἔρριψεν ἑαυτὴν εἰς τὸ τῆς θυσίας πῦρ, καὶ κατεκάη. Ἀκούσας δ' ὁ Σίβας, ἦλθε μετὰ δυνάμεως ἀκολούθων ἀλλοκότων, γαστροχείρων, καὶ στηθοκεφάλων, καὶ ἅπαντα ἐν ἀκαρεῖ ἄνω κάτω ἐποίησε, καὶ τὴν θυσίαν ἀνέστρεψε, καὶ κατέστρεψε, τῶν δὲ θεῶν ἄλλων μὲν πόδας, ἄλλων δὲ χεῖρας, καὶ ἄλλων ὀδόντας συνέτριψε, τὴν δὲ κεφαλὴν τοῦ Δάξα ἔκοψε, καὶ εἰς τὸ πῦρ ἔρριψεν. Ἡ δὲ

45. Βλεπόμενος δ' ὑπὸ τῆς συνόδου μετὰ θαύματος καὶ ἀσκαρδαμυκτὶ, εὐμαρῶς κάμψας τὸ τόξον, καί τοι ἦν μέγα καὶ σκληρὸν, ὡς ὄρος, ἔθετο τὴν χορδὴν, καθὼς ὁ Ἔρως κάμπτει τὸ ἐξ ἀνθέων ἁπαλὸν ἑαυτοῦ τόξον.

46. Ἐκ δὲ τῆς σφοδρᾶς ἑλκύσεως τῆς χορδῆς, διαῤῥαγὲν τὸ τόξον ἦχον μέγαν ἐποίησεν, ὡς ὁ σκηπτὸς, καὶ ἐξήγγειλε τῷ ὑπερχόλῳ Παρασσουράμα [1], ὡς ἡρωϊκοὶ Ξατραὶ πάλιν ἀνεφάνησαν.

47. Ἐπαινέσας δ' ὁ θεοδεὶς βασιλεὺς τὴν ἣν εἶδεν ῥώμην τοῦ Ῥάμα ἐπὶ τοῦ τόξου τοῦ Σίβα, ὑπέσχετο αὐτῷ δώσειν τὴν ἑαυτοῦ θυγατέρα, ἣ, ὡς ἡ Λαξμὴ, ἀγέννητος ἦν ἐκ μήτρας γυναικός [2].

48. Ὑπέσχετο δὲ δώσειν τῷ Ῥάμα ὁ ἀληθοεπὴς καὶ θεοειδὴς βασιλεὺς τὴν ἀγέννητον ἐκ μήτρας θυγατέρα ἔμπροσθεν τοῦ πανεκλάμπρου Βισβαμίτρα, ἵνα ᾖ μάρτυς, ὡς τὸ πῦρ, τοῦ γάμου [3].

θυσία, λαβοῦσα μορφὴν ἐλάφου, ἔφευγε δρόμῳ, καθ' ἧς ἔῤῥιψεν ὁ Σίβας βέλος, καὶ λαβόμενος αὐτῆς ἐκ τοῦ ὀπισθίου ποδὸς, περιέστρεφε. Παυσαμένου δὲ τοῦ χόλου τοῦ Σίβα, οἱ θεοὶ, συνελθόντες ἐδέοντο αὐτοῦ φείσασθαι τοῦ Δάξα. Λαβὼν δ' ὁ Σίβας κεφαλὴν τράγου, ἐσφαγμένου ἐπὶ θυσίᾳ, συνεκόλλησεν αὐτὴν τῷ λαιμῷ τοῦ Δάξα, ὃς ἀναζήσας ὕμνησε τὸν Σίβαν. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου μέχρι τοῦ νῦν ὁ ταλαίπωρος Δάξας τραγοκέφαλός ἐστι. Μετασωματωθεῖσα δ' ἡ Σατὴ, θυγάτηρ ἐγένετο τοῦ Ἰμαοῦ, καὶ ὠνομάσθη Παρβατὴ, ὅ ἐστιν, ὀρεινὴ, ἢ ὀρειγενὴς· ἣν ἔγημε πάλιν ὁ Σίβας.

(1) Ὁ Παρασσουράμας ἐχθρὸς ἦν τῶν Ξατρῶν, ἐπειδὴ ὁ χιλιόχειρ Ἀρζούνας ἀπέκτεινε τὸν πατέρα αὐτοῦ.

(2) Βαθέως σκάπτουσι, καὶ ἀροτριῶσι τὴν γῆν, ἐν ᾗ μέλλουσι θυσίαν ποιήσειν, καὶ καθαίρουσιν αὐτὴν, ἵνα μὴ ᾖ ὀστέα, ἢ ἄλλο τι μίασμα. Ἀροτριωμένης οὖν τῆς γῆς, ἐν ᾗ ἔμελλε θυσίαν ποιήσειν ὁ Ζανάκας, εὑρέθη ἐν γῇ κιβώτιον, ἐν ᾧ ἦν θήλυ βρέφος, ὅ περ ἔλαβεν ὁ βασιλεύς· ὠνομάσθη δὲ Σατὴ. Σατὴ δὲ λέγεται ὁ αὔλαξ. Ἡ Σατὴ ἦν γηγενὴς· ἡ δὲ Λαξμὴ ὑδρογενὴς.

(3) Ἐν τῷ μέσῳ τοῦ νυμφῶνος ἐν τῇ τελετῇ τοῦ γάμου πῦρ καίει, ἵνα ᾖ εἰς μαρτυρίαν.

49. Ἀπέστειλε δὲ τὸν ἑαυτοῦ σεβάσμιον ἱερέα πρὸς τὸν Δασσαράταν, ἐροῦντα ταῦτα· « Ὁ οἶκος τοῦ βασιλέως τῆς » Μιθιλᾶς ὑπόχρεώς σοι ἔσεται, ἐὰν κλίνῃς εἰς γάμον τοῦ » σεαυτοῦ υἱοῦ Ῥάμα, καὶ τῆς ἐκείνου θυγατρὸς Σητᾶς».

50. Ἐλθόντος δὲ τοῦ ἱερέως, ὁ λόγος αὐτοῦ ἦν κατὰ τὴν γνώμην τοῦ βασιλέως Δασσαράτα, ὃς ἐζήτει νύμφην κατάλληλον, καθὼς ὁ καρπὸς τοῦ οὐρανίου δένδρου ἐστὶ κατὰ τὴν ἔφεσιν τῶν ἀγαθῶν ἀνθρώπων [1].

51. Ἀκούσας δ' ὁ κραταιὸς καὶ φίλος τοῦ Ἴνδρα βασιλεὺς, τοῦ λόγου τοῦ Βραχμᾶνος, ὃν ἐτίμησεν, ὡς ἔδει, ἐξῆλθε μετὰ δυνάμεως πολλῆς, ἀποκρύπτων τὸν ἥλιον τῇ ἐξανισταμένῃ κόνει.

52. Καὶ ἐλθὼν εἰς τὴν Μιθιλάν, περιεκύκλωσεν αὐτὴν τῇ στρατιᾷ, ἐξ ἧς τὰ φυτὰ τῶν περὶ τὴν πόλιν κήπων ἐθλίβοντο [2]· ἠνείχετο δ' ἡ πόλις τῆς περικυκλώσεως καὶ θλίψεως τοῦ στρατοῦ, καθὼς ἡ γυνὴ ἀνέχεται τῆς περιπτύξεως καὶ θλίψεως τοῦ ἐρωμένου.

53. Ἀμφότεροι δ' ἐκεῖνοι οἱ βασιλεῖς, ὁ Δασσαράτας, καὶ ὁ Ζανάκας, οἱ ὄντες ἰσχυροὶ, ὡς ὁ Βαρούνας, καὶ ὁ Ἴνδρας, συνελθόντες, καὶ παρασκευασάμενοι πάντα τὰ δέοντα, ἐτέλεσαν γάμους μεγαλοπρεπεῖς κατὰ τὴν μεγάλην ἑαυτῶν δόξαν.

54. Καὶ ὁ μὲν Ῥάμας ἔγημε τὴν θυγατέρα τῆς γῆς, τὴν Σητὰν, ὁ δὲ Λαξμάνας τὴν θυγατέρα τοῦ βασιλέως, τὴν Οὐρμιλάν [3]· οἱ δὲ νεώτεροι ἀδελφοὶ, ὁ Βαράτας, καὶ ὁ

---

(1) Οἷον καρπὸν ἀγαπῶσιν οἱ ἐν οὐρανῷ, τοιοῦτον δίδωσι τὸ πάνδωρον ἐκεῖνο δένδρον.

(2) Ἄλλος μὲν ἔκοπτε κλάδους, ἄλλος δὲ ἐδρέπετο ὀπωρῶν καὶ ἀνθέων, κτλ.

(3) Μετὰ τὴν εὕρεσιν τῆς Σητᾶς ἐν γῇ, ὁ βασιλεὺς ἔσχεν ἑτέραν θυγατέρα ἐκ τῆς ἑαυτοῦ γυναικός.

Σατρούγνας, ἔγημαν τὰς δύω θυγατέρας τοῦ Κουσσαβδάζα [1].

55. Αἱ μὲν βασιλικαὶ κόραι, συζευχθεῖσαι βασιλικοῖς παισὶν, οἱ δὲ βασιλικοὶ παῖδες βασιλικαῖς κόραις, ἐπέτυχον τοῦ ἐφετοῦ· ἦν δ' αὕτη ἡ κατάλληλος σύζευξις νυμφίων καὶ νυμφῶν, καθὼς ἡ κατάλληλος σύζευξις τοῦ πρωτοτύπου τῆς λέξεως καὶ τῶν ἐν τῷ τέλει προστιθεμένων στοιχείων εἰς ἀπαρτισμὸν ἐννοίας [2].

56. Ἠγλαΐζοντο δ' οἱ τέσσαρες ἐκεῖνοι βασιλικοὶ παῖδες ἐκ γάμου ἀγλαῶν νυμφῶν, καθὼς οἱ τέσσαρες βασιλικοὶ τρόποι, ἡ διαλλαγὴ, ἡ δασμοφορία, ἡ διχόνοια, καὶ ἡ μάχη, ἀγλαΐζονται ἐκ τοῦ ἀγαθοῦ ἀποτελέσματος.

57. Τελέσας περιχαρῶς τοὺς γάμους τῶν ἑαυτοῦ τεσσάρων παίδων ἐν Μιθιλᾷ τῇ πόλει ὁ βασιλεὺς Δασσαράτας, ἐπανέστρεφεν εἰς τὴν οἰκείαν πόλιν, προπεμφθεὶς μέχρι τριῶν σταθμῶν ὑπὸ τοῦ βασιλέως Ζανάκα.

58. Κατὰ δὲ τὴν ὁδὸν σφοδρὸς ἄνεμος, πνέων ἀντιπρόσωπος [3], ἀνέτρεπε (ἀνέστρεφε) τὰς σημαίας, καὶ κατέθλιβε λίαν τὴν στρατιὰν, καθὼς ὁ ποταμὸς, σφοδρῶς ῥέων, καταστρέφει τὴν παρὰ τῇ ὄχθῃ γῆν.

59. Μετὰ ταῦτα ὁ ἥλιος, ἔχων ἅλω ἀμαυρὰν καὶ φοβερὰν [4], ἐφαίνετο, ὥσπερ ἀδάμας, πεπτωκὼς εἰς μέσον ὄφεως κυκλοτεροῦς, ἀναιρεθέντος ὑπὸ τοῦ Γαρούδα.

60. Ὁ δ' ὁρίζων, πλήρης ὢν κόνεως, καὶ νεφῶν ἐρυθρῶν κατὰ τὴν ἑσπέραν, καὶ ἱεράκων ἱπταμένων [5], δυσάρεστος ἐφαί-

---

(1) Ὁ Κουσσαβδάζας ἀδελφὸς ἦν τοῦ Ζανάκα.

(2) Τοῦτο θεωρεῖται ἐπὶ τῆς ἐτυμολογίας, καὶ ἐπὶ τῆς κλίσεως τῶν ὀνομάτων καὶ ῥημάτων.

(3) Κακὸς οἰωνὸς, τὸ πνέειν ἄνεμον κατὰ πρόσωπον.

(4) Κακὸς οἰωνὸς.

(5) Καὶ τοῦτο κακὸς οἰωνός.

νετο τῇ ὁράσει, καθὼς ἡ ἐν καταμηνίοις οὖσα γυνὴ, ἔχουσα ἀτημέλητον τὴν κόμην καὶ τὸ σῶμα, καὶ ἱμάτια καθημαγμένα [1].

61. Ἐν ᾧ δὲ μέρει ἑώῳ ἢ δυτικῷ ἦν ὁ ἥλιος, κατὰ τοῦτο Κυνόλυκοι, ἱστάμενοι, ὑλάκτουν φοβερῶς [2], ὥσπερ καλοῦντες τὸν Παρασσουράμαν, ἵνα χοὰς ποιήσειε τῷ ἑαυτοῦ πατρὶ ἐκ τοῦ αἵματος τῶν Ξατρῶν.

62. Ἰδὼν δ' ὁ ἐχέφρων βασιλεὺς ταῦτα τὰ ἀπαίσια σημεῖα, ἱκέτευσε (ἠρώτησε) τὸν πνευματικὸν πατέρα, τὸν Βασίσταν, ὑπὲρ ἀποτροπῆς αὐτῶν· ὁ δὲ, εἰπὼν, ὡς ἀγαθὸν τέλος ἔσεται, ἀπήλλαξε τὸν φόβον τοῦ βασιλέως.

63. Ἐξαίφνης δὲ φῶς μέγα ἀνεφάνη πρὸ τῆς στρατιᾶς πορευομένης· ἀνοίξαντες δ' ὕστερον οἱ ἐν τῷ στρατῷ τοὺς ὀφθαλμοὺς, οὓς πρότερον ἔκλεισαν, ἐκθαμβηθέντες, εἶδον ἀντὶ φωτὸς ἄνδρα.

64. Ἦν δ' οὗτος ὁ ἀνὴρ, ὁ Παρασσουράμας [3], ὃς Βραχμὰν μὲν ὢν ἐκ μέρους τοῦ πατρὸς, βραχμανικὸν εἶχε σπαρτίον, Ξατρὴς, δ' ἐκ μέρους τῆς μητρὸς, ἔφερε τόξον, καὶ ἦν ὥσπερ ὁ ἥλιος σὺν τῇ σελήνῃ, καὶ ὥσπερ τὸ Σάνδανον σὺν τῷ ὄφει.

65. Οὗτος, πεισθεὶς τῇ τοῦ πατρὸς προσταγῇ, ὃς ἦν σκληρὸς τὴν καρδίαν, καὶ ἐκ θυμοῦ ἐξῆλθε τῶν ὁρίων, ἔκοψε τὴν κεφαλὴν τῆς ἑαυτοῦ μητρὸς [4] τρεμούσης, καὶ οὕτω κατέ-

---

(1) Αἱ μὲν πτέρυγες εἰσιν, αἱ τρίχες, τὸ δὲ ἐρυθρὸν τῶν νεφῶν, τὸ αἷμα, ἡ δὲ κόνις, ἡ ἀλουσία καὶ ἀκαθαρσία τῆς ἐχούσης τὰ καταμήνια· οὐ γὰρ λούεται, οὐδὲ λαμπρὰ ἱμάτια φορεῖ, ἐν ὅσῳ ἔχει τὰ καταμήνια, οὐδ' ἔργον τι ποιεῖ· μένει δ' ἐν ἰδιαιτέρῳ τόπῳ, ἀκάθαρτος κρινομένη, καὶ ἄθικτος.

(2) Καὶ τοῦτο κακὸν σημεῖον.

(3) Ὁ μὲν πατὴρ τοῦ Παρασσουράμα ἦν Βραχμὰν, ἡ δὲ μήτηρ Ξατριανή· πρότερον γὰρ ὁ Βραχμὰν ἐλάμβανε θυγατέρα Ξατρῆ· νῦν δ' οὐκ ἔστιν ἔθος, καὶ νόμος.

(4) Ἡ Ρενουκὰ, πορευθεῖσα εἰς τὸν ποταμὸν ὑδρευσομένη, ἐβράδυνε, θεωροῦσα

βαλε πρῶτον τὴν εὐσπλαγχνίαν, καὶ μετέπειτα τὴν ὀφρὺν τῶν ἐν γῇ Ξατρῶν.

66. Οὗτος ὁ Παρασσουράμας ἠγλαΐζετο, ἔχων κρεμάμενον ἐπὶ τοῦ δεξιοῦ ὠτὸς κομβολόγιον, ὥσπερ μετρῶν δι' αὐτοῦ τὰς ὑπὲρ τὸν εἰκοστὸν ἀριθμὸν νίκας κατὰ τῶν Ξατρῶν.

67. Ὁ δὲ Δασσαράτας, γέρων ὢν, καὶ υἱοὺς ἔχων μικροὺς τῇ ἡλικίᾳ, ἐφοβήθη, ἰδὼν αὐτὸν τὸν Παρασσουράμαν, ὃς γνώμην ἔθετο ὀλέθρου τῆς τῶν Ξατρῶν φυλῆς ἐκ θυμοῦ, ὃν ἔσχεν ἐξ αἰτίας τοῦ θανάτου τοῦ ἑαυτοῦ πατρός.

68. Καὶ, « Ὦ! ἔλεγεν ἐν ἑαυτῷ· τὸ αὐτὸ ἔστιν ὄνομα, Ῥά- » μας[1], καὶ ἐπὶ τοῦ ἐμοῦ υἱοῦ, καὶ ἐπὶ τοῦ ἐμοῦ ἐχθροῦ· » ἀλλὰ τὸ μὲν ἐπὶ τοῦ υἱοῦ μου χαροποιόν ἐστι, τὸ δ' » ἐπὶ τοῦ ἐχθροῦ μου δειματοποιὸν, ὥσπερ ὁ ἀδάμας ὁ » ἐπὶ τοῦ ὅρμου, καὶ ὁ ἐπὶ τοῦ ὄφεως ».

69. Μὴ ἀντιβλέψας δ' ὁ Παρασσουράμας πρὸς τὸν Δασσαράταν, λέγοντα, « Τιμήσατε τὸν τιμῆς ἄξιον τοῦτον ἄνδρα» ἔτεινεν, ἔνθα ἦν ὁ Ῥάμας, τὸ ἑαυτοῦ φοβερὸν καὶ φλογερὸν ὅρμα ἐκ τοῦ οὗ εἶχε θυμοῦ κατὰ τῶν Ξατρῶν.

70. Τῷ μὲν οὖν Ῥάμᾳ, ὃς ἄφοβος ἦν ἱστάμενος πρὸ τοῦ μετώπου τοῦ στρατοῦ, εἶπεν ὁ Παρασσουράμας, ὃς τῇ μὲν ἐκράτει τὸ τόξον, τῇ δὲ τὸ βέλος, καὶ ἕτοιμος ἦν εἰς πόλεμον·

71. « Ἔχθρα μοι ἐστι πρὸς τὸ γένος τῶν Ξατρῶν διὰ τὴν

Γανδδάρβαν, παίζοντα ἐν ὕδασιν. Ἐπανελθούσης δὲ, καὶ ἐρωτηθείσης, μαθὼν τὴν αἰτίαν τῆς βραδύτητος ὁ Ζαμαδαγνὴς, εἶπε τῷ Παρασσουράμᾳ, κόψαι τὴν κεφαλὴν τῆς ἑαυτοῦ μητρός· ὁ δ' οὕτω καὶ ἐποίησεν. Ἡθεὶς δ' ἐπὶ τῇ ὑπακοῇ τοῦ υἱοῦ ὁ Ζαδαμαγνὴς, εἶπεν αὐτῷ, « Αἴτησον, ὅ,τι θέλεις·» ὁ δ' ᾔτησε τὴν ἀναζώωσιν τῆς μητρός· ἦν καὶ ἀνεζώωσεν ὁ ὅσιος.

(1) Ῥάμας ὠνομάζετο ὁ Παρασσουράμας· ἐπειδὴ δὲ εἶχε πέλεκυν, ὡς ὅπλον, διὰ τοῦτο ἐπωνομάσθη Παρασσουράμας, ὅ ἐστι, Πελεκυοράμας· ὁ γὰρ πέλεκυς Παρασσοῦ λέγεται ἰνδιστί.

» πρὸς τὸν ἐμὸν πατέρα κακουργίαν· διὰ τοῦτο πολλάκις
» ἐξολοθρεύσας αὐτοὺς, ἡσυχίαν εἶχον· ἤδη δ' ἀκούσας
» τὸ σὸν κατόρθωμα, ἀνέστην, ὥσπερ ὁ κοιμώμενος ὄφις
» πληγεὶς ῥάβδῳ.

72. « Τὸ τόξον τοῦ βασιλέως τῆς Μιθιλᾶς, ὃ πρότερον ἦν
» ἄκαμπτον ἄλλοις βασιλεῦσιν, ὑπὸ σοῦ διερράγη· τοῦτ'
» ἀκούσας ἔγωγε, νομίζω, ὡς συνετρίβη ὑπὸ σοῦ τὸ κέ-
» ρας μου, ὅ ἐστιν ἡ δύναμίς μου.

73. « Πρὶν σὺ γεννηθῆς, τὸ ὄνομα τοῦτο, Ῥάμας, λεγόμενον
» εἰς ἐμὲ ἀνεφέρετο· νῦν δὲ, σοῦ γεννηθέντος, ἀντιστρα-
» φὲν εἰς σὲ ἀναφέρεται, ὃ αἰσχύνην μοι φέρει.

74. « Δύω ἐχθροί μοι κρίνονται, τὸ αὐτὸ πταῖσμα πρά-
» ξαντες κατ' ἐμοῦ, τοῦ ἔχοντος βέλος, ὃ ἀμβλὺ οὐ
» γίνεται καὶ ἐπὶ τοῦ ὄρους· ὁ Ἀρζούνας, δηλονότι, ὃς
» ἀφείλετο τὴν τοῦ ἐμοῦ πατρὸς Δάμαλιν, καὶ σὺ, ὃς
» ἕτοιμος ἐγένου ἀφελέσθαι τὴν ἐμὴν φήμην.

75. « Ὅθεν, σοῦ ἀκαταμαχήτου μείναντος, ἡ κατὰ τοῦ
» ὀλέθρου τῶν Ξατρῶν μεγαλουργία μου οὐκ εὐαρεστεῖ
» μοι· αὕτη γὰρ δύναμις τοῦ πυρὸς κρίνεται, ἣ καίει
» καὶ τὸ ὕδωρ, ὡς ἄχυρον.

76. « Ἴσθι, ὡς τὸ τόξον ἐκεῖνο τοῦ Σίβα, ὃ διερράγη ὑπὸ
» σοῦ, ἐστερήθη τῆς δυνάμεως τῇ δυνάμει τοῦ Βισνοῦ [1]·
» καὶ τὸ ἐπὶ τῆς ὄχθης γὰρ μέγα δένδρον, οὗ ἡ ῥίζα
» ἐξεφάνη ἐκ τοῦ σφοδροῦ ῥεύματος τοῦ ποταμοῦ, μι-
» κρὸς ἄνεμος καταβάλλει.

---

(1) Λέγουσιν, ὡς πρότερον ἔκαμψεν αὐτὸ τὸ τόξον ὁ Παρασσουράμας· διὰ τοῦτο λέγει ἐντεῦθα, ὡς τὸ τόξον ἐκεῖνο τοῦ Σίβα ἐστερήθη τῆς δυνάμεως τῇ δυνάμει τοῦ Βισνοῦ, δηλονότι ἐμοῦ, ὃς ἀπόῤῥοιά εἰμι τοῦ Βισνοῦ· (καὶ αὐτὸς γὰρ ὁ Παρασσουράμας μία ἐστὶ τῶν δέκα ἐνσαρκώσεων τοῦ Βισνοῦ.) Οἱονεὶ ἔλεγεν, ἐξ οὗ ἔκαμψα ἐγὼ ἐκεῖνο τὸ τόξον, ἀδύνατον ἐγίνετο καὶ σαθρόν· καὶ διὰ τοῦτο οὐ διέῤῥηξας αὐτό.

77. « Ἔστω κατὰ μέρος ὁ πόλεμος· σὺ δὲ λάβε τοῦτό μου
» τὸ τόξον, καὶ κάμψας αὐτὸ, ἔνθες τὴν χορδὴν, καὶ
» ἕλκυσον αὐτήν. Εἰ δύνασαι τοῦτο ποιῆσαι, ἐγὼ ἐνι-
» κήθην ὑπὸ σοῦ τῇ ἰσοδυναμίᾳ τοῦ βραχίονος.

78. « Εἰ δὲ, καταπληττόμενος ἐκ τῆς πυροβολούσης ἀκω-
» κῆς τοῦ ἐμοῦ πελέκυος, δειλιᾷς, αἴτησον ἀσφάλειαν
» καὶ σωτηρίαν, συμμίξας τὰς χεῖρας, ὧν οἱ τύλοι ἐκ
» τῆς πληττούσης χορδῆς μάταιοί εἰσι ».

79. Ταῦτα εἰρηκότος τοῦ δεινωποῦ Παρασσουράμα, ὁ Ῥά-
μας, μειδιῶν ἅμα, καὶ τρέμων τὸ χεῖλος, ἔδωκε γεν-
ναίαν ἀπόκρισιν, ἣ ἦν ἡ λῆψις τοῦ τόξου ἀπὸ τῆς χειρὸς
ἐκείνου.

80. Λαβὼν δ' ὁ Ῥάμας τὸ ἀρχαῖον ἑαυτοῦ τόξον [1], ἔκμετρον
ἀγλαΐαν ἔλαβε· καὶ μόνον γὰρ ὂν τὸ νέφος ἀγλαΐαν ἔχει,
πολλῷ δὲ μᾶλλον ὅταν ἔχῃ καὶ τὸ οὐράνιον τόξον,
τὴν Ἶριν.

81. Θεὶς δ' αὐτὸς ὁ ῥωμαλέος Ῥάμας θάτερον κέρας τοῦ
τόξου κατὰ γῆς, καὶ κάμψας αὐτὸ, ἔθετο τὴν χορδήν· ὁ
δ' ἐχθρὸς τῶν Ξατρῶν Παρασσουράμας, ἀμαυρὸς ἐγέ-
νετο, καθὼς τὸ πῦρ, ὃ ἔχει μόνον καπνόν.

82. Τούτους ἀμφοτέρους, ἱσταμένους ἀντωπὸν, τὸν μὲν,
αὐξάνοντα κατὰ τὸ φῶς, τὸν δὲ, μειούμενον, ἔβλεπον οἱ
ἄνθρωποι, ὡς ἐν τῇ πανσελήνῳ κατὰ τὴν ἑσπέραν τὸν
ἥλιον καὶ τὴν σελήνην [2].

83. Ὁ δ' εὔσπλαγχνος, καὶ ὅμοιος τῷ Σκάνδᾳ Ῥάμας, βλέ-
πων τὸν Παρασσουράμαν, οὗ ἡ ὀφρὺς πέπτωκε, καὶ ἔχων
προσηρμοσμένον τῷ τόξῳ βέλος εὔστοχον, εἶρηκε·

---

(1) Τοῦτο τὸ τόξον ἦν τοῦ Βισνοῦ, ὃς ἔδωκεν αὐτὸ τῷ Παρασσουράμᾳ.

(2) Ὁ μὲν μειοῦται κατὰ τὸ φῶς, δύων, ἡ δὲ αὐξάνει, ἀνατέλλουσα.

84. « Καί τοι σὺ οὕτως ἀτιμάζεις με, οὐ δύναμαι ὅμως
» νηλεῶς ἀνελεῖν σε, ἐπειδὴ Βραχμὰν εἶ· εἰπὲ, τί ποιή-
» σω διὰ τοῦ βέλους τούτου, κωλύσω τὴν εἰς γῆν πε-
» ρίοδόν σου, ἢ τὴν εἰς οὐρανὸν ἄνοδόν σου; »

85. Πρὸς ὃν ἀπεκρίνατο ὁ ὅσιος· « Ἀληθῶς ἔγωγε γινώ-
» σκω σε ἀρχαῖον Θεόν· παρωργίσθης δ' ὑπ' ἐμοῦ,
» ἐπειδὴ ἠφιέμην ἰδεῖν διὰ πείρας τὴν ἐν σοὶ θείαν δύ-
» ναμιν, ὃς ἦλθες ἐπὶ γῆς.

86. « Ἐπαινετή ἐστιν ἡ ἧττα, ἡ γεγενημένη ὑπὸ σοῦ τοῦ
» Θεοῦ κατ' ἐμοῦ, ὃς σποδὸν ἐποίησα τοὺς πατρικοὺς
» ἐχθροὺς, καὶ πᾶσαν τὴν γῆν ἐδωρησάμην τῷ Βραχ-
» μᾶνι Κασσέπα.

87. « Ὦ ἄριστε τῶν ἐμφρόνων, φεῖσαι τῆς ἐφετῆς μοι εἰς
» γῆν περιόδου, ἣ γίνεται εἰς περιήγησιν καὶ προσκύ-
» νησιν ἁγίων τόπων· ἡ γὰρ εἰς οὐρανὸν ἄνοδος, κωλυ-
» θεῖσα, οὐ θλίψει ἐμὲ, τὸν μὴ ἐπιθυμοῦντα τρυφῆς ».

88. Εἰπὼν δ' ὁ Ῥάμας, « Ἔστω οὕτως », ἀντιβλέψας κατὰ
τὸ ἑῶον μέρος [1], ἔρριψε τὸ βέλος, ὃ ἐγένετο, ὡς μοχλὸς
δυσέκβλητος τῆς εἰς οὐρανὸν εἰσόδου τοῦ Παρασσουράμα,
καί τοι ἦν ἀνὴρ ἀρετῆς [2].

89. Εἰπὼν δὲ προσέτι ὁ Ῥάμας, « Συγγνώμην δὸς », ἥψατο
τῶν ποδῶν τοῦ ὁσίου· ἡ γὰρ πρὸς τοὺς νικηθέντας ἐχ-
θροὺς ταπείνωσις τῶν νικητῶν, εὐφημίας ἐστι πρόξενος.

90. « Ἐγὼ ἀπέβαλον, ἔφη ὁ Παρασσουράμας, τὴν ἐκ μέ-
» ρους τῆς μητρὸς φύσιν τῶν Ξατρῶν [3], ἔλαβον δὲ

---

(1) Κατὰ τὴν ἕω ὁ παράδεισός ἐστι τοῦ Ἰνδρα, καὶ ἡ βασιλεία αὐτοῦ.

(2) Διὰ τοῦτο φασι, μέχρι τοῦ νῦν εἰς γῆν περιπολεῖ ὁ Παρασσουράμας· ἀποκέκλεισται γὰρ αὐτῷ ἡ τοῦ οὐρανοῦ εἴσοδος.

(3) Δηλ: τὸ πολεμικὸν ἦθος.

» τὴν ἐκ μέρους τοῦ πατρὸς φύσιν τῶν Βραχμάνων [1]· » ὅθεν ἡ πρὸς ἐμέ σου παιδεία, χάρις μοι ἐγένετο· ὁ » γὰρ καρπὸς αὐτῆς ἄμωμός ἐστιν [2].

91. « Ἔστω αἴσιον καὶ ἀπαρεμπόδιστον τὸ ὃ θεῖον ἔργον » ἐκτελέσατε σύ τε καὶ ὁ Λαξμάνας [3] ». Εἰπὼν δὲ τελευταῖον, « Νῦν δ' ἄπειμι », ἄφαντος ἐγένετο ὁ ὅσιος.

92. Ἀπελθόντος δὲ τοῦ Παρασσουράμα, ὁ πατὴρ, ἀγκαλισάμενος στοργῇ τὸν νικητὴν υἱὸν, ἐνόμισεν, ὡς ἀνεγεννήθη [4]· ἡ δὲ πρόσκαιρος αὐτοῦ λύπη, χαρᾶς αἰτία ἐγένετο, καθὼς ἡ πίπτουσα βροχὴ, χαρᾶς αἰτία γίνεται τῷ καιομένῳ δένδρῳ ὑπὸ τοῦ πυρὸς τῆς ὕλης.

93. Διανύσας μὲν οὖν ὁ βασιλεὺς Δασσαράτας τὴν ὁδὸν, ἐν ᾗ σκηναὶ προπαρεσκευασμέναι ἦσαν χαρίεσσαι καθ' ἕκαστον σταθμὸν, εἰσέβη εἰς τὴν πόλιν Ἀϊοδδεὰν, ἧς τῶν οἴκων ἐν ταῖς θυρίσιν εἰς θεωρίαν τῆς Σητᾶς γυναῖκες ἀνέμενον, ὧν οἱ ὀφθαλμοὶ ἦσαν, ὡς λωτοί.

---

(1) Δηλ: τὸ ἱλαρὸν ἦθος.

(2) Ἡ εἰς γῆν δηλ: περίοδός μου, δι' ἧς θεωρήσω, καὶ προσκυνήσω τοὺς ἁγίους τόπους.

(3) Τὴν τοῦ Ῥαβάνα δηλαδὴ ἀναίρεσιν.

(4) Ἐνόμισεν, ὡς ἀνεγεννήθη ὁ Ῥάμας, σωθεὶς ἐκ τοῦ πιλέκυος τοῦ Παρασσουράμα.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

1. Τρυφήσας δὲ τῶν ἐφετῶν ὁ Δασσαράτας, καὶ διανύσας τὴν ὁδὸν τοῦ βίου, ἐγένετο ἐγγὺς τῆς λήξεως, καθὼς ὁ καίων λύχνος, πιὼν τὸ ἔλαιον, καὶ καταναλώσας τὸ θρυαλλίδιον, γίνεται περὶ τὴν ἕω ἐγγὺς τῆς ἀποσβέσεως.
2. Ἡ δὲ γεροντικὴ ἡλικία ἐν σχήματι τῆς πολιᾶς, ἐλθοῦσα πρὸς τὸ οὖς τοῦ Δασσαράτα, ὥσπερ φοβουμένη τὴν Καϊκεγὴν [1], εἶπεν αὐτῷ τοῦτο· « Τεθείσθω ἡ βασιλεία » ἐπὶ τοῦ Ῥάμα [2] ».
3. Διασπαρθεῖσα δ' ἡ φήμη τῆς βασιλικῆς χειροτονίας τοῦ Ῥάμα, ὃς ἦν πᾶσι ποθητὸς, εὐφραινεν ἕκαστον τῶν πολιτῶν, καθὼς ἡ ὑδραγωγία εὐφραίνει ἕκαστον τῶν φυτῶν τοῦ κήπου.
4. Ἀλλὰ τῇ περὶ τὴν βασιλικὴν χειροτονίαν τοῦ Ῥάμα λαμπρᾷ παρασκευῇ αἶσχος ἐποίησεν ἡ κακογνώμων Καϊκεγὴ διὰ τῶν ἑαυτῆς θερμῶν δακρύων καὶ τῶν τοῦ βασιλέως [3].
5. Καταπραϋνθεῖσα δ' αὕτη ἡ ὑπέρχολος ὑπὸ τοῦ βασιλέως, ἐξηρεύξατο δύω χάριτας, ἃς προϋπέσχετο αὐτῇ, καὶ ἐφάνη, ὥσπερ γῆ, ἡ καταβρεχθεῖσα ὑπὸ τοῦ Ἴνδρα, ἐξήγαγε δύω ἐχίδνας ἐξ ὀπῆς.
6. Καὶ εἰς μὲν πλήρωσιν τῆς μιᾶς χάριτος, ἐξορίαν τοῦ Ῥάμα εἰς ἔρημον δεκατεσσάρων ἐτῶν ἐποίησεν· εἰς δὲ πλή-

---

(1) Ἡ Καϊκεγὴ ἀντίζηλος ἦν τῆς Καουσαλεᾶς, ἧς υἱὸς ἦν ὁ Ῥάμας.

(2) Ἔννοια δηλ: αὐτῷ ἐγένετο χειροτονῆσαι βασιλέα τὸν Ῥάμαν· ἐπειδὴ ἐκεῖνος παρῆλιξ ἦν, καὶ ἐγγὺς θανάτου.

(3) Ὑπερφιλῶν τὴν Καϊκεγὴν ὁ βασιλεὺς, βλέπων αὐτὴν κλαίουσαν, ἔκλαιε καὶ αὐτός.

ρωσιν τῆς ἑτέρας, ἀλυσιτελῆ βασιλείαν τοῦ ἑαυτῆς υἱοῦ Βαράτα ἠθέλησεν [1].

7. Ὁ δὲ Ῥάμας πρότερον μὲν ἐδέξατο τὴν παρὰ τοῦ πατρὸς δοθεῖσαν βασιλείαν, κλαίων [2]· ὕστερον δ' ἐδέξατο τὴν ὑπὲρ τῆς ἐξορίας προσταγὴν αὐτοῦ, χαίρων.

8. Θαυμάζοντες δ' ἔβλεπον οἱ ἄνθρωποι τὴν αὐτὴν χροιὰν τοῦ προσώπου τοῦ Ῥάμα, ὅτε ἐφόρει τὰ ἀπαλὰ περιβόλαια, καὶ ὅτε ἐνεδύθη τὰ τραχέα, τὰ ἐκ φλοιῶν καὶ δερμάτων [3].

9. Ὁ μὲν οὖν Ῥάμας, θέλων τὸν πατέρα μὴ ἐκπεσεῖν τῆς ἀληθείας [4], συνὼν τῇ Σητᾷ καὶ τῷ Λαξμάνᾳ, εἰσῆλθεν εἰς τὴν ἔρημον, καὶ εἰς τὴν καρδίαν τῶν ἀγαθῶν ἀνθρώπων.

10. Θλιβόμενος δ' ὁ βασιλεὺς ἐπὶ τῇ διαζεύξει τοῦ Ῥάμα, καὶ ἐνθυμούμενος τὴν ἀρὰν, ἣν ἔλαβε παρὰ τοῦ ἀσκητοῦ ἐκείνου, οὗ τὸν υἱὸν ἐτόξευσε, μόνον τὸν θάνατον ἐνόμισεν ἀπαλλαγὴν τοῦ κακοῦ [5].

11. Ἡ δὲ βασιλεία, ἧς ὁ μὲν βασιλεὺς ἐτεθνήκει, οἱ δὲ βασιλικοὶ παῖδες ἀπεδήμουν [6], ὡς ἔρμαιον προὔκειτο τοῖς ἐχθροῖς, τοῖς παρατηροῦσι καιρὸν εὑρεῖν.

---

(1) Ἀλυσιτελῆ βασιλείαν ἠθέλησεν, ἐπειδὴ καὶ αὐτὴ χήρα ἐγένετο, ἀποθανόντος τοῦ βασιλέως, καὶ ὁ Ῥάμας τελευταῖον ἐβασίλευσε.

(2) Κλαίων ἐδέξατο τὴν βασιλείαν, ἐπειδὴ ὁ πατὴρ αὐτοῦ εἶχε σκοπὸν ἀναχωρῆσαι, καὶ μονάσαι μετὰ ταῦτα· χαίρων δ' ἐδέξατο τὴν ὑπὲρ τῆς ἐξορίας προσταγήν, ὑπακοὴν ποιῆσαι θέλων τῷ πατρί.

(3) Ἐξοριαθεὶς εἰς ἔρημον, ἐνεδύθη καὶ τὸ ἐρημικὸν ἔνδυμα.

(4) Μετὰ χαρᾶς ὑπήκουσε τῇ προσταγῇ, ἵνα μὴ γένοιτο ὁ πατὴρ αὐτοῦ παραβάτης τοῦ λόγου, καὶ τῆς ὑποσχέσεως, ἣν ἐποίησε πρὸς τὴν Καϊκεγήν.

(5) Ἀπέθανεν ἐκ λύπης.

(6) Οἱ μὲν δύω ἦσαν ἐν ἐρήμῳ, οἱ δ' ἕτεροι δύω ἐν τῷ πατρικῷ εἴκῳ τῆς Καϊκεγῆς.

12. Διὰ τοῦτο οἱ βουλευταὶ, μὴ ἔχοντες βασιλέα, μετεπέμψαντο εὐθὺς τὸν Βαράταν, ὄντα ἐν τῷ παλαικῷ οἴκῳ τῆς Καϊκεγῆς· οἱ δὲ πεμφθέντες οὐκ ἔδειξαν σημεῖον λύπης [1].

13. Ἐλθὼν δ' ὁ Βαράτας, καὶ ἀκούσας τὸν θάνατον τοῦ πατρὸς, ὡς ἐγένετο, οὐ μόνον ἀποστροφὴν τῆς ἑαυτοῦ μητρὸς ἐποίησεν, ἀλλὰ καὶ τῆς βασιλείας.

14. Ἐπορεύθη δὲ μετὰ στρατοῦ, δακρυρροῶν, εἰς ἀναζήτησιν τοῦ Ῥάμα· καὶ μαθὼν παρὰ τῶν ἐρημιτῶν, εἶδε τὸ ἄλσος, ἔνθα ἦν ὁ Ῥάμας μετὰ τοῦ Λαξμάνα.

15. Ἀναγγείλας δὲ τῷ Ῥάμᾳ, ὃς ᾤκει ἐν ἄλσει τοῦ ὄρους Σιτρακούτα, τὸν τοῦ πατρὸς θάνατον, ἐκάλεσεν αὐτὸν εἰς διοίκησιν τῆς βασιλείας, ἣν αὐτὸς οὐκ ἀνεδέξατο.

16. Μὴ θέλοντος δὲ τοῦ Ῥάμα, ὃς πρεσβύτερος ἦν, ἀναδέξασθαι τὴν βασιλείαν, ὁ Βαράτας παράνομον ἑαυτὸν ἐνόμιζεν, ἂν αὐτὸς αὐτὴν ἀναδέξηται, νεώτερος ὤν [2].

17. Γνοὺς δὲ τὸν Ῥάμαν, μὴ δυνάμενον ἐξελθεῖν τῆς προστα-γῆς τοῦ μακαρίτου πατρὸς, ᾔτησε τελευταῖον τοὺς δύω κοθόρνους αὐτοῦ, ἵν' εἶεν, ὡς ἔφοροι τῆς βασιλείας.

18. Κατανεύσαντος δὲ τοῦ Ῥάμα, λαβὼν ἄδειαν ὁ Βαράτας, ἀνέστρεψεν οὐκ εἰς τὴν μητρόπολιν Ἀϊδδεὰν, ἀλλ' εἰς κώμην, Νανδὴν τὸ ὄνομα, καὶ διῴκει τὴν βασιλείαν, ὡς παρακαταθήκην τοῦ Ῥάμα.

19. Ἐξάλειψιν δέ πως ἐποίει τοῦ ἁμαρτήματος τῆς ἑαυτοῦ μητρὸς, δεικνύων μέγα σέβας πρὸς τὸν πρεσβύτερον ἀδελφὸν, καὶ ἐπιστροφὴν τῆς βασιλείας.

20. Διατρίβων δ' ὁ Ῥάμας μετὰ τοῦ Λαξμάνα καὶ τῆς Σητᾶς

---

(1) Μυστικὸν ἐφύλαξαν τὸν θάνατον τοῦ βασιλέως.

(2) Παράνομον κρίνεται, ἂν ὁ νεώτερος ἀδελφὸς ἔλθῃ εἰς γάμον πρὶν τοῦ πρεσβυτέρου, καὶ ἂν ἀναδέξηται τὴν βασιλείαν, τοῦ πρεσβυτέρου ζῶντος, καὶ ἀξίου ὄντος.

ἐν ἐρήμῳ, καὶ τὰ ἐν ἐρήμῳ φυόμενα ἐσθίων[1], καὶ περ νέος ὢν, φιλησυχίαν ὅμως εἶχε καὶ ζωὴν γερόντων βασιλέων, ἀρνησαμένων τὸν κόσμον.

21. Καί ποτε ὁ Ῥάμας, ἀναπαυόμενος ἐκ πόνου ὑπὸ δένδρον μέγα, οὗ ἡ σκιὰ ἀμετάστατος ἦν θείᾳ δυνάμει, ἐκοιμᾶτο ἐν ἀγκάλῃ τῆς Σητᾶς.

22. Κολοιὸς δέ τις, ἐλθὼν, ἔνυξεν ὄνυξι τοὺς μαστοὺς τῆς Σητᾶς, ὥσπερ φθονῶν τοῖς τῶν ὀνύχων τοῦ ἀνδρὸς ἐρωτικοῖς νυγμοῖς.

23. Ἐξεγερθεὶς δ' ὁ Ῥάμας ὑπὸ τῆς Σητᾶς, ἔῤῥιψε κατὰ τοῦ κολοιοῦ κάρφος, ὡς βέλος· ὁ δὲ, φοβούμενος, καὶ πλανώμενος[2], εὗρεν ἀπαλλαγὴν τοῦ θανάτου διὰ τῆς ἐξορύξεως ἑνὸς ὄμματος.

24. Φοβούμενος δ' ὁ Ῥάμας, μή πως πάλιν ἔλθοι ὁ Βαράτας, πλησίον οὔσης τῆς Ἀϋδδεᾶς, ἀνεχώρησεν ἀπὸ τοῦ ὄρους Σιτρακούτα, ἔνθα αἱ ἔλαφοι ἥδοντο, βλέπουσαι αὐτόν.

25. Πορευόμενος δὲ κατὰ τὸ νότιον μέρος, ἔμενε παρὰ τοῖς ἀσκητηρίοις ἀναχωρητῶν καὶ ὁσίων φιλοξένων, καθὼς ὁ ἥλιος παρὰ τοῖς Ζωδίοις, τρεπόμενος κατὰ τὸν νότον.

26. Ἡ δὲ Σητὰ, ἀκολουθοῦσα τῷ Ῥάμᾳ, ἐφαίνετο, ὡς ἡ Λαξμὴ, τουτέστιν, ἡ βασιλικὴ δόξα, ἥ, καί τοι ἐκωλύθη ὑπὸ τῆς Καϊκεγῆς, ἀκολουθεῖ τῷ ἀξίῳ ἀσπασίως.

---

(1) Ῥίζας καὶ λάχανα.

(2) Ὁ κολοιὸς, πλανώμενος περὶ τὴν γῆν καὶ περὶ τὸν οὐρανὸν, κατέφυγε καὶ εἰς τὸν Βραχμᾶν καὶ εἰς τὸν Ἴνδραν εἰς ἀπαλλαγὴν τοῦ κάρφους, ὃ περ ἐπήρχετο κατ' αὐτοῦ, ὡς βέλος θανατηφόρον, ἀλλ' οὐδεμίαν εὗρε σωτηρίαν. Τελευταῖον δὲ ἐπανέστρεψε πρὸς τὸν Ῥάμαν, παρακαλῶν αὐτὸν εἰς ἐξιλέωσιν. Ὁ δὲ Ῥάμας εἶπεν αὐτῷ, ὡς οὐδέποτε τὸ βέλος αὐτοῦ ἐγένετο ἀνεμώλιον. Εἰς δὲ διατήρησιν τῆς ζωῆς τοῦ κολοιοῦ, ἱκετεύοντος, τὸ κάρφος ἐξώρυξεν ἕνα τῶν ὀφθαλμῶν αὐτοῦ. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου, φασὶν, ἅπαντες οἱ κολοιοὶ τῷ ἑτέρῳ ὄμματι βλέπουσιν. Ἀστεῖον τοῦτο τὸ τερατούργημα τοῦ Ῥάμα.

27. Διὰ δὲ τοῦ εὐόσμου χρίσματος, ὃ ἐδόθη αὐτῷ παρὰ τῆς Ἀνουσουΐας [1], γυναικὸς τοῦ Ἀτρῆ, ἐποίει τοὺς βομβυλίους ἀφιέναι τὰ ἄνθη τοῦ ἄλσους, καὶ φοιτᾶν πρὸς αὐτήν.

28. Δαίμων δέ τις, Βιράδδας τοὔνομα, ἔχων σῶμα, ὡς τὸ περὶ τὴν ἑσπέραν νέφος [2], ἀποκλείσας τὴν ὁδὸν τοῦ Ῥάμα, ἔστη ἐναντίον, καθὼς ὁ Ῥαχοῦς ἵσταται ἐναντίον τῆς σελήνης.

29. Ἥρπαξε δὲ τὴν Σητὰν αὐτὸς ὁ κακοποιὸς δαίμων ἐκ μέσου τοῦ Ῥάμα καὶ τοῦ Λαξμάνα, καθὼς ὁ καιρὸς τῆς ἀνομβρίας ἁρπάζει τὴν βροχὴν ἐκ μέσου τοῦ Νάββα καὶ τοῦ Ναββασέο. [3].

30. Ἀποκτείναντες δὲ τὸν δαίμονα ὁ Ῥάμας καὶ ὁ Λαξμάμανας, ἔθαψαν αὐτὸν ἐν γῇ, ἵνα μὴ τοῖς ἐπὶ γῆς μίασμα γένοιτο ἐκ τῆς δυσοσμίας.

31. Τῇ δὲ προσταγῇ τοῦ Ἀγαστέα ἐπαύσατο τῆς πλάνης ὁ Ῥάμας, καὶ ἔμεινεν ἐν ἄλσει, ᾧ ὄνομα Πανσαβατή, καθὼς ὁ Βινδδεᾶς ἐκ τῆς προσταγῆς τοῦ Ἀγαστέα, ἔμεινεν ἐν τῇ ἑαυτοῦ φύσει, μὴ ὑπερβαίνων τὰ ὅρια.

32. Ἐνταῦθα ἡ νεωτέρα ἀδελφὴ τοῦ Ῥαβάνα, (ᾗ ὄνομα Σουρπανακκὰ), ἔρωτι τρωθεῖσα, προσῆλθε τῷ Ῥάμᾳ, καθὼς ὁ ὄφις, καύματι θλιβεὶς, προσέρχεται τῷ Σανδάνῳ.

33. Καὶ εἰποῦσα τὸ ἑαυτῆς γένος, ἠθέλησεν ἄνδρα λαβεῖν τὸν Ῥάμαν ἔμπροσθεν τῆς Σητᾶς· ὁ γὰρ ἔρως τῶν γυναικῶν, ἐξαφθείς, οὐκ οἶδε τὸν προσήκοντα καιρόν.

34. Ὁ δὲ στιβαρὸς ἔχων ὤμους Ῥάμας, εἶπε πρὸς αὐτὴν τὴν ἐρωτόλημπτον· « Ἐγὼ ἔχω γυναῖκα, ᾧ μειρακίσκη, πο- » ρεύθητι πρὸς τὸν νεώτερόν μου ἀδελφόν. »

---

(1) Ἔδωκε προσέτι τῇ Σητᾷ ἡ Ἀνουσουΐα καὶ δύω περιβόλαια, ἃ περ ἀεὶ ἦσαν ἄχραντα καὶ ἄσπιλα.

(2) Ἐρυθρομέλαν.

(3) Ἰουλίου, καὶ Αὐγούστου, ὅτε καιρὸς ὄμβρων ἐστί.

35. Ἐλθοῦσα δὲ, πρὸς τὸν Λαξμάναν, καὶ ἀποδοκιμασθεῖσα ὑπ' αὐτοῦ ἐπὶ προφάσει, ὡς ἐπορεύθη πρότερον πρὸς τὸν Ῥάμαν, ἦλθε πάλιν πρὸς τὸν Ῥάμαν, καθὼς ἡ ῥοὴ τοῦ ποταμοῦ, ποτὲ μὲν εἰς ταύτην, ποτὲ δ' εἰς ἐκείνην τὴν ὄχθην ἔρχεται.

36. Ἡ δὲ Σητὰ, γελάσασα, ἤγαγεν αὐτὴν, τὴν ἐν βραχεῖ οὖσαν ἤρεμον, εἰς παροξυσμὸν, καθὼς ἡ ἀνατέλλουσα σελήνη ἄγει εἰς αὔξησιν τὸ ἠρεμοῦν κύμα τοῦ ὠκεανοῦ ἐκ νηνεμίας.

37. « Ἰδὲ τὴν ἐμὴν δύναμιν, εἶπεν· καρπὸν ὅσον οὔπω λήψῃ » τούτου τοῦ κατ' ἐμοῦ γέλωτος· ἡ γὰρ σὴ ἀτιμία ἡ πρὸς » ἐμὲ, ἥ εἰμι, ὡς λέαινα, εἰς θάνατον ἔσεται σοὶ ἢ εἰ, ὡς » ἔλαφος ».

38. Τοιαῦτα εἰποῦσα πρὸς τὴν Σητὰν, ἡ ἠγκαλίσατο ἐκ φόβου τὸν Ῥάμαν, μορφὴν ἔλαβε φρικώδη κατὰ τὸ ὃ εἶχεν ὄνομα, Σουρπανακκά [1].

39. Ὁ δὲ Λαξμάνας, ἀκούσας αὐτῆς, πρότερον μὲν ἐχούσης φωνὴν γλυκεῖαν, ὡς κόκκυγος, ὕστερον δὲ ἀγρίαν, ὡς κυνολύκου, ἐνόησεν, ὡς φαρμακίς ἐστι.

40. Καὶ εἰσελθὼν εὐθέως εἰς τὴν καλύβην, ἔλαβε μάχαιραν· καὶ γυμνώσας αὐτὴν, ἐποίησεν ἐκείνην τὴν φρικώδη δὶς τοσοῦτον κακόμορφον, ἀποτεμὼν τὴν ῥίνα.

41. Ἡ δὲ, ἱσταμένη ἐν αἰθέρι, ἐπίπληξιν αὐτοῖς ἐποίει διὰ τοῦ δακτύλου, ὃς ἦν, ὥσπερ σιδηροῦν ἐλεφαντόκεντρον, καὶ ὄνυχας εἶχεν, ὡς κόσκινα, καὶ κονδύλους σκληροὺς, ὡς γόνατα καλάμου.

42. Καὶ ἐλθοῦσα ταχέως εἰς τὴν πόλιν Ζανασθάναν [2], διη-

---

(1) Κοσκινόνυξ.

(2) Νῦν λέγεται Νασσίκα. Ὁ Ῥαβάνας ἐκυρίευε τῆς Ταπροβάνης νήσου, καὶ πολλοῦ μέρους τῆς Ἰνδικῆς Χερσονήσου.

γήσατο, ὡς εἶχε, πρὸς τοὺς ἐκεῖ ἀρχηγοὺς τὴν πρὸς τοὺς Τιτᾶνας νεωστὶ γεγενημένην ἀτιμίαν ὑπὸ τοῦ Ῥάμα.

43. Οἱ δὲ, ἀκούσαντες, ἔθεντο αὐτὴν τὴν ῥινότμητον πρὸ τῆς στρατιᾶς, ὡς ὁδηγόν· τοῦτο δ' ἦν αὐτοῖς, ἐρχομένοις κατὰ τοῦ Ῥάμα, κακὸς οἰωνός [1].

44. Ἰδὼν δ' ὁ Ῥάμας αὐτοὺς τοὺς ἀλαζόνας, ἐπερχομένους ἐν ὅπλοις, ἔθετο τὴν μὲν Σητὰν ἐν τῇ χειρὶ τοῦ Λαξμάνα, τὴν δ' ἐλπίδα τῆς νίκης ἐπὶ τοῦ τόξου.

45. Ὁ μὲν Ῥάμας ἦν εἷς· οἱ δὲ Τιτᾶνες ἀναρίθμητοι· ὅσοι δ' ὅμως ἦσαν ἐκεῖνοι κατὰ τὸν ἀριθμὸν, ἐν τοσαύταις μορφαῖς ἔβλεπον τὸν Ῥάμαν ἐν πολέμῳ [2].

46. Ὁ ἀγαθὸς τὰ πολεμικὰ Ῥάμας οὐκ ἠνέσχετο τοῦ Δουσσάνα [3], τοῦ σταλθέντος ἐπ' αὐτὸν ὑπὸ τῶν κακῶν Τιτάνων [4], καθὼς ὁ ἀγαθὸς ἀνὴρ οὐκ ἀνέχεται τοῦ αἴσχους, τοῦ ῥιφθέντος ἐπ' αὐτὸν ὑπὸ τῶν κακῶν ἀνθρώπων.

47. Τρισὶ δὲ βέλεσιν ἀλλεπαλλήλοις ἔκτεινε καὶ τὸν Δουσσάναν, καὶ τὸν Χάραν [5], καὶ τὸν Τρισσούραν [6]· ἔπεσον δὲ καὶ οἱ τρεῖς ἐν ταὐτῷ, ὥσπερ εἰ τὰ βέλη συνάμα ἐῤῥίφθησαν ἐκ τοῦ τόξου.

48. Καὶ ἡ μὲν ζωὴ αὐτῶν κατεβρώθη ὑπὸ τῶν ὀξέων βελῶν τῶν ἐξελθόντων ἐκ τοῦ ἑτέρου μέρους τοῦ σώματος, καὶ ἀναιμάκτων μεινάντων [7], ὡς πρότερον· τὸ δ' αἷμα κατεπόθη ὑπὸ τῶν πετεινῶν.

---

(1) Τὸ θεῖναι λελωβημένον πρόσωπον πρὸ τοῦ στρατοῦ.

(2) Ῥάμας ἔβλεπον τοσούτους, ὅσοι ἦσαν ἐκεῖνοι.

(3) Δουσσάνας, αἰσχρός.

(4) Ὁ Δουσσάνας, ὁ Χάρας, καὶ Τρισσούρας, ἀρχηγοὶ ἦσαν τῶν Τιτάνων.

(5) Χάρας, ὄνος.

(6) Τρισσούρας, τρικέφαλος.

(7) Ἐκ τῆς ταχείας βολῆς καὶ ἐκβολῆς οὐ καθημάχθησαν τὰ βέλη.

49. Κρατουμηθείσης ἐκείνης τῆς μεγάλης στρατιᾶς τῶν Γιγάντων τοῖς ξυροειδέσι βέλεσι τοῦ Ῥάμα, οὐδὲν ἄλλο ἑωρᾶτο, ἀλλ' ἢ ἱστάμενα σώματα ἀκέφαλα.

50. Ἡ στρατιὰ τῶν δαιμόνων, ἡ προτρέψασα εἰς πόλεμον τὸν βρέχοντα βέλη Ῥάμαν, ὕπνον ὕπνωσε βαθὺν ὑπὸ σκιὰν γυπῶν, ὥστε μὴ ἐγερθῆναι τοῦ λοιποῦ.

51. Μόνη δ' ἡ Σουρπανακκὰ, σωθεῖσα, ἐγένετο τῷ Ῥαβάνα κακάγγελος τῶν ἀναιρεθέντων ἐκείνων δαιμόνων τοῖς βέλεσι τοῦ Ῥάμα.

52. Ὁ δὲ Ῥαβάνας ἔκ τε τῆς πρὸς τὴν ἀδελφὴν ὕβρεως καὶ ἐκ τοῦ θανάτου τῶν ἑαυτοῦ στρατηγῶν ἐνόμισεν, ὡς ὁ Ῥάμας ἔθετο τὸν ἑαυτοῦ πόδα ἐπὶ τῶν δέκα κεφαλῶν αὐτοῦ [1].

53. Ἀπατήσας δ' ὁ Ῥαβάνας τὸν Ῥάμαν καὶ τὸν Λαξμάναν διὰ τοῦ δαίμονος Μαρίτσα [2], τοῦ λαβόντος μορφὴν ἐλάφου, ἥρπασε τὴν Σητὰν, ᾧ ἐμποδὼν ἐγένετο καθ' ὁδὸν ἐν βραχεῖ ὁ βασιλεὺς τῶν γυπῶν [3].

---

(1) Δεκακέφαλος ἦν ὁ Ῥαβάνας.

(2) Οὗτος ἦν ὁ Μαρίτσας, ἐκεῖνος ὁ δαίμων, ὃν ἔρριψεν ὁ Ῥάμας διὰ τῆς βολῆς τοῦ ἀερίου βέλους, ὡς διὰ σφενδόνης, εἰς Ταπροβάνην, ὡς πρότερον ἐρρέθη. Οὗτος διὰ προσταγῆς τοῦ Ῥαβάνα, λαβὼν μορφὴν ἐλάφου χρυσοειδοῦς εἰς ἀπάτην, ἦλθεν, ἔνθα ἦν ὁ Ῥάμας. Ἰδοῦσα δ' ἡ Σητὰ χρυσῆν ἔλαφον, ἠθέλησεν αὐτὴν ἔχειν εἰς διατριβήν. Πορευθεὶς δ' ὁ Ῥάμας κατόπιν τῆς ἐλάφου, ἀφῆκε τὸν Λαξμάναν φύλακα τῆς Σητᾶς. Ἡ μὲν οὖν ἔλαφος ἔφευγεν εἰς τὴν ὕλην, ὁ δὲ Ῥάμας ἐδίωκεν. Ἐν τούτῳ φωνῆς γοερᾶς ἤκουσεν ἡ Σητὰ, λεγούσης, « Τά-» χυνον, ὦ Λαξμάνα » καὶ φοβηθεῖσα, εἶπε τῷ Λαξμάνᾳ, πορευθῆναι, καὶ ἰδεῖν, τί ἐγένετο. Ἀπελθόντος δὲ τοῦ Λαξμάνα, ἐλθὼν ὁ Ῥαβάνας, ἥρπασε τὴν Σητάν. Ἀφάντου δὲ γενομένης τῆς χρυσῆς ἐλάφου, ἐπαναστρέψαντες ὁ Ῥάμας, καὶ ὁ Λαξμάνας, οὐκ εἶδον τὴν Σητάν.

(3) Οὗτος ὁ γὺψ ὠνομάζετο Ζαταΐους, καὶ τῷ Δασσαράτᾳ ἦν γνωστός· ὃς, διαγνοὺς τὴν Σητὰν καθ' ὁδὸν, ἀντέστη τῷ Ῥαβάνα, καὶ κοπεὶς τὰς πτέρυγας ὑπ' ἐκείνου, ἔπεσε κατὰ γῆς ἡμιθανής.

54. Ἐρευνῶντες δ' ὁ Ῥάμας καὶ ὁ Λαξμάνας τὴν Σητὰν, εἶδον τὸν γύπα, πεπτωκότα ἄνευ πτερύγων, ὃς ἀντήμειψε τὴν φιλίαν τοῦ Δασσαράτα διὰ τῆς ἑαυτοῦ ψυχῆς, ἣ ἦν μέχρι τοῦ λάρυγγος.

55. Καὶ ἀναγγείλας αὐτοῖς διὰ μὲν τοῦ στόματος τὴν ὑπὸ τοῦ Ῥαβάνα ἁρπαγὴν τῆς Σητᾶς, διὰ δὲ τῶν τραυμάτων τὴν ἑαυτοῦ μεγαλουργίαν, ἀπέπνευσεν.

56. Οἱ δὲ, λύπην νέαν λαβόντες ἐπὶ θανάτῳ φίλου ἀδόλου τοῦ ἑαυτῶν πατρὸς, ἐτέλεσαν αὐτῷ, ὡς πατρὶ, πάντα τὰ νενομισμένα μετὰ θάνατον [1].

57. Ἐκ δὲ τῆς συμβουλῆς δαίμονος Καβάνδδα [2], ὃς, ἀναιρεθεὶς ὑπὸ τοῦ Ῥάμα, ἐλύθη ἐκ τοῦ δεσμοῦ τῆς ἀρᾶς, φιλία μεγάλη ἐγένετο τοῦ Ῥάμα μετὰ τοῦ Πιθήκου Σουγρήβα, ὃς ἦν ὁμοιοπαθής.

58. Ἀποκτείνας δὲ τὸν γενναῖον Βάλιν ὁ Ῥάμας, ἔθετο ἐπὶ τοῦ τόπου ἐκείνου τὸν Σουγρήβαν, ὃς διὰ πολλοῦ ἐπιθυμίαν εἶχε, καθὼς τεθέασιν ἕτερον στοιχεῖον ἐπὶ τοῦ τόπου ἑτέρου στοιχείου [3].

---

(1) Κατέκαυσαν τὸ σῶμα αὐτοῦ, καὶ χοὰς προσήνεγκαν.

(2) Οὗτος ὁ Καβάνδδας, Γανδδάρβας ἦν πρώην, τουτέστι, μουσικὸς τῶν θεῶν, ὃς ἔκ τινος ἀρᾶς ἐγένετο δαίμων· ἦν δὲ ἀκέφαλος μὲν, σταδιοχειρ δὲ· πολλῶν γὰρ σταδίων μακρὰς εἶχε χεῖρας, αἷς περιελάμβανε τὸν προστυχόντα, καὶ κατέτρωγε. Τυχὼν δὲ καὶ ὁ Ῥάμας ἐν μέσῳ τῶν ἐκτεταμένων χειρῶν αὐτοῦ, ἀπέκτεινεν αὐτόν· ὃς, ἀναλαβὼν τὴν προτέραν ἑαυτοῦ θείαν φύσιν, εἶπε τῷ Ῥάμᾳ εἰς εὐχαριστίαν τῆς ἑαυτοῦ λυτρώσεως ἀπὸ τῆς δαιμονιώδους φύσεως. « Ἐν » ὄρει Ῥισσεμούκκα Πίθηξ ἐστὶ, Σουγρήβας τοὔνομα, πρώην βασιλεὺς τῶν Πι» θήκων, οὗ καὶ τὴν γυναῖκα καὶ τὴν ἀρχὴν ἥρπαξεν ὁ Βάλις, ὃς ἀδελφὸς αὐ» τοῦ ἐστι. Μεγάλην δ' ἀναμοιβήν σοι ποιήσει αὐτὸς ὁ Σουγρήβας, ἂν ἀντίλη» ψιν δῷς αὐτῷ, ὃς ἐστιν ὁμοιοπαθής σοι. » Σουγρήβας μεθερμηνεύεται καλλίλαιμος. Καβάνδδας δὲ, ἀκέφαλος. Πῶς δ' ἄρα ἔτρωγε, καὶ ἔβλεπεν, ἀκέφαλος ὤν; Πίστευε, καὶ μὴ ἐρεύνα.

(3) Τοῦτο θεωρεῖται ἐπὶ τῶν ἀντιστοίχων.

59. Καθὼς δὲ οἱ λογισμοὶ τοῦ θλιβομένου Ῥάμα περιεφέροντο τῇδε κἀκεῖσε, οὕτω καὶ οἱ Πίθηκοι [1], προσταχθέντες ὑπὸ τοῦ βασιλέως Σουγρήβα [2], περιήρχοντο τῇ δὲ κἀκεῖσε εἰς ἀναζήτησιν τῆς Σητᾶς.

60. Ἰδὼν δ' ὁ Χανουμὰν τὸν Σαμπάτην [3] παρὰ τῇ ἀκτῇ τοῦ ὠκεανοῦ, καὶ μαθὼν παρ' αὐτοῦ περὶ τῆς Σητᾶς, διεπέρασε τὸν ὠκεανὸν [4], καθὼς ὁ ἀπαθὴς διαπερᾷ τοῦτον τὸν κόσμον.

61. Ἐρευνῶν δ' ὁ Χανουμὰν, εἶδε τὴν Σητὰν ἐν τῇ Λαγκᾷ [5], ἣ ἦν περικυκλουμένη ὑπὸ θηλέων δαιμόνων, ὥσπερ ζωηφόρος βοτάνη ὑπὸ φαρμακερῶν βοτανῶν.

62. Καὶ ἔδωκεν αὐτῇ τὸν δακτύλιον τοῦ Ῥάμα εἰς σημεῖον πίστεως [6]· ἡ δ' ἔχυσεν εὐθέως δάκρυα χαρᾶς, ἃ ἦν ὡς ὑποδοχὴ τοῦ δακτυλίου.

63. Παρηγορήσας μὲν οὖν τὴν Σητὰν ὁ Χανουμὰν ταῖς παρὰ τοῦ Ῥάμα ἀγαθαῖς ἀγγελίαις, ἔκτεινε τὸν Ἄξαν [7], καὶ

---

(1) Τῶν σταλθέντων Πιθήκων ἀρχηγὸς ἦν ὁ Χανουμὰν, ὃς βουλευτὴς ἦν καὶ στρατηγὸς τοῦ Σουγρήβα· ἦν δὲ φρονιμώτατος, ῥωμαλεώτατος, καὶ ἡρωϊκώτατος· διὸ καὶ λέγεται κατ' ἐξοχὴν Μαχαβήρας, ὅ ἐστι, μέγας ἥρως. Αὐτός ἐστιν ὁ παρ' Ἰνδοῖς Ἡρακλῆς.

(2) Ὁ Σουγρήβας υἱὸς ἦν τοῦ Ἡλίου, ὁ δὲ Χανουμὰν υἱὸς τοῦ ἀέρος.

(3) Ὁ Σαμπάτης ἦν Γὺψ, ἀδελφὸς τοῦ εἰρημένου Ζαταϊοῦ, ὃς καὶ εἶπε τῷ Χανουμᾶνι, ὡς ἡ Σητά ἐσιν ἐν τῇ Ταπροβάνῃ.

(4) Διεπέρασε τὸν πορθμὸν, πηδήσας.

(5) Λαγκὰ λέγεται ἡ Ταπροβάνη, καὶ ἡ βασιλεύουσα πόλις.

(6) Κατ' ἰδίαν τοῦτο ἐποίησεν ὁ Χανουμὰν, λαβὼν μορφὴν μικρὰν ἐν νυκτὶ, ὅτε οἱ δαίμονες ἐκοιμῶντο· ἐγένετο τὸ σῶμα μικρὸς, ὥσπερ κώνωψ, ἢ μυῖα· ἕτεροι δέ φασιν, ὥσπερ στρουθίον.

(7) Ὁ Χανουμὰν μετὰ τὸ ἰδεῖν τὴν Σητὰν, ἀνέσπασε πάντα τὰ φυτὰ τοῦ κήπου, ἐν ᾧ ἐφυλάττετο ἡ Σητά. Ἐλθὼν δ' ὁ Ἄξας, ὃς νεώτερος ἦν υἱὸς τοῦ Ῥαβάνα, ἀνῃρέθη ὑπὸ τοῦ Χανουμᾶνος. Ἦλθε δ' ἔπειτα ὁ Μεγανάδας, ὃς ἦν πρεσβύτερος υἱὸς τοῦ Ῥαβάνα, κατὰ τοῦ Χανουμᾶνος, ὃς ἠνέσχετο δεθῆναι πρὸς καιρὸν, καὶ ἀχθῆναι πρὸς τὸν Ῥαβάναν. Ὁ δὲ ἐπέταξε τυλίξαι περὶ τὴν οὐρὰν τοῦ Χα-

ὄνομα μέγα ἔλαβεν· ἀνασχόμενος δ' ἔπειτα πρὸς καιρὸν τῶν δεσμῶν, κατέκαυσε τὴν πόλιν Λαγκάν.

64. Κατορθώσας δὲ ταῦτα, ἀνέστρεψε, καὶ ἔδωκε τῷ Ῥάμᾳ εἰς σημεῖον πίστεως ἀδάμαντα, ὃν ἔλαβε παρὰ τῆς Σητᾶς· ἐκ δὲ τοῦ ἀδάμαντος ἐνόμισεν ὁ Ῥάμας, ὡς αὐτὴ ἡ καρδία τῆς Σητᾶς ἦλθε σωματικῶς.

65. Θεὶς δὲ τὸν ἀδάμαντα ἐπὶ τοῦ στήθους, ἄκραν ἡδονὴν ἔλαβεν ἐκ τῆς θίξεως, καὶ ἐνόμισεν, ὡς αὐτὴν ἠγκαλίσατο τὴν ἐρασμίαν ἐκτὸς τῶν μαστῶν.

66. Ἀκούσας μὲν οὖν τὰ κατὰ τὴν Σητὰν ὁ Ῥάμας, ὃς ἐν ἀδημονίᾳ ἦν τοῦ συνεῖναι αὐτῇ, ἐνόμισεν, ὡς μικρὰν τάφρον, τὴν θάλασσαν, ἣ περιέῤῥει τὴν Λαγκάν.

67. Ἔξοδον δ' ἐποίησεν ἐκ τοῦ ὄρους Ῥησσεμούκκα εἰς καταστροφὴν τοῦ ἐχθροῦ· ἠκολούθουν δ' αὐτῷ ἀναρίθμητοι Πίθηκοι [1] οὐ μόνον ἐπὶ γῆς, ἀλλὰ καὶ ἐπὶ τοῦ αἰθέρος διὰ τὴν κατὰ τὴν ὁδὸν ὀχλαγωγίαν.

68. Ἐλθόντος δὲ τοῦ Ῥάμα ἐπὶ τὴν ἀκτὴν τοῦ ὠκεανοῦ, ἦλθε πρὸς αὐτὸν ὁ Βιβῤῥησσάνας [2], ὥσπερ παρακινηθεὶς ὑπὸ τῆς ἑαυτοῦ ἀγαθῆς τύχης, ἐλθούσης φιλοφρόνως εἰς τὸν νοῦν αὐτοῦ.

νευμᾶνες ἐθόνια, βεβρεγμένα ἐλαίῳ, καὶ κατακαῦσαι αὐτόν. Ὡς δὲ ἀνήφθη τὸ πῦρ, ἀναπηδήσας ὁ Χανουμὰν, κατέκαυσε τὴν πόλιν Λαγκὰν, πηδῶν ἀφ' ἑνὸς οἴκου εἰς ἄλλον· κἄπειτα καταπηδήσας εἰς τὴν θάλασσαν, κατέσβεσε τὸ ἐν τῇ οὐρᾷ πῦρ.

(1) Ἠκολούθησαν τῷ Ῥάμᾳ Πίθηκοι μετὰ τοῦ ἑαυτῶν βασιλέως Σουγρήβα· ἠκολούθησαν δὲ πρὸς τούτοις καὶ Ἄρκτοι, ὧν βασιλεὺς ἦν Ζαμβουβὰν τοὔνομα· καὶ οὗτος γὰρ σύμμαχος ἐγένετο τοῦ Ῥάμα. Ἔστι δὲ τοῦτο ἀλληγορικόν· οὐ γὰρ ἦσαν πίθηκοι καὶ ἄρκτοι κατὰ τὴν φύσιν, ἀλλ' ἄνδρες ὀρεινοὶ καὶ ἄγριοι.

(2) Ὁ Βιβῤῥησσάνας νεώτερος ἀδελφὸς ἦν τοῦ Ῥαβάνα, ὑφ' οὗ ἀπεβλήθη καὶ ἐμισήθη, ἐπειδὴ συνεβούλευσεν ἀποπέμψασθαι τὴν Σητάν· καὶ ἐλθὼν πρὸς τὸν Ῥάμαν, βασιλεὺς ἐγένετο τῆς Ταπροβάνης μετὰ τὸν θάνατον τοῦ Ῥαβάνα.

69. Ὁ δὲ Ῥάμας ὑπέσχετο αὐτῷ δώσειν τὴν βασιλείαν τῶν Τιτάνων, ὃ καὶ ἐγένετο ἐμπράκτως· τὰ γὰρ ὀρθῶς πραττόμενα ἐν προσήκοντι καιρῷ, ἀγαθὸν τέλος ἔχει.

70. Τῇ δὲ βοηθείᾳ τῶν Πιθήκων γέφυραν ἐπὶ τῆς θαλάσσης ἐποίησε λιθίνην [1], ἣ ἐφαίνετο ὥσπερ ὄφις Σέσσας, ἐξελθὼν ἐκ τοῦ βυθοῦ εἰς ἀνάπαυσιν τοῦ Βισνοῦ.

71. Διαπεράσας δὲ τὴν θάλασσαν ὁ Ῥάμας διὰ τῆς γεφύρας, ἐπολιόρκησε τὴν Λαγκὰν διὰ τῶν Πιθήκων· οἳ, κύκλῳ ὄντες, ἐφαίνοντο ἐκ τοῦ χρυσοειδοῦς ἑαυτῶν χρώματος, ὡς δεύτερον χρυσοῦν τεῖχος [2].

72. Ἐνταῦθα φρικτὸς πόλεμος συνεκροτήθη τῶν Πιθήκων καὶ τῶν Τιτάνων· καὶ φωνὴ νίκης ἐξηκούετο ἐξ ἀμφοτέρων τῶν στρατῶν, τοῦ τε Ῥάμα καὶ τοῦ Ῥαβάνα.

73. Καὶ τὰ μὲν δένδρα συνέθλων τοὺς μοχλοὺς τῶν δαιμόνων· οἱ δὲ λίθοι συνέτριβον τοὺς κοπάνους [3], οἱ δ' ὄνυχες ὑπερίσχυον τῶν ὀξέων ὅπλων· τὰ δ' ὄρη συνεπίεζον τοὺς μεγάλους ἐλέφαντας.

74. Ἰδούσης δὲ τῆς Σητᾶς κεκομμένην κεφαλὴν [4] τοῦ Ῥάμα, καὶ διαταραχθείσης τὴν ψυχήν, ἡ Τριζατὰ ζωὴν ἔδωκεν αὐτῇ, εἰποῦσα, ὡς μαγία τοῦτο.

75. Ἀκούσασα γὰρ ἡ Σητὰ, ἣ πρότερον νομίσασα, ὡς ἀλη-

---

(1) Οἱ Πίθηκοι ῥίπτοντες λίθους μεγάλους, ἐγεφύρωσαν τὸν πορθμόν.

(2) Ἡ Λαγκὰ χρυσοῦν εἶχε τεῖχος.

(3) Τὰ ὅπλα τῶν Πιθήκων ἦσαν δένδρα καὶ λίθοι, δι' ὧν συνέτριβον τοὺς μοχλοὺς καὶ τοὺς κοπάνους, οὓς εἶχον, ὡς ὅπλα, οἱ δαίμονες οἱ δ' ὄνυχες τῶν Πιθήκων ὀξύτεροι ἦσαν τῶν ὀξέων ὅπλων τῶν δαιμόνων· τὰ δὲ ῥιπτόμενα ὄρη κατέσπαζον τοὺς ἐλέφαντας τῶν Τιτάνων.

(4) Ὁ Ῥαβάνας κεκομμένην κεφαλὴν ὁμοίαν τῇ τοῦ Ῥάμα ἔδειξε τῇ Σητᾷ· ἡ δὲ Τριζατὰ, (ἦ ἦν γραῦς δαίμων ἀγαθοφυὴς καὶ φιλόφρων, καὶ πολλάκις παρηγόρει τὴν Σητὰν, καὶ θάρρος αὐτῇ ἐδίδου) εἶπεν, ὡς μαγία ἐστὶ τοῦτο. Τριζατὰ ἑρμηνεύεται Τριπλόκαμος.

ὑης ἐστιν ὁ θάνατος τοῦ Ῥάμα, αἰσχύνην ἐλογίζετο τὴν ζωὴν, ἀφῆκε τὴν μεγάλην λύπην, πιστεύσασα, ὡς ζῇ ὁ ἐράσμιος ἀνήρ.

76. Ὡς ἐνύπνιον δ' ἐγένετο ἐν ἀκαρεῖ ἡ πίεσις τοῦ Λαξμάνα, ἡ γεγενημένη ὑπὸ τοῦ ἐξ ὄφεως βρόχου τοῦ Μεγανάδα [1]· ὁ γὰρ ὄφις, ὁ ὤν, ὡς βρόχος, διελύθη ἐκ τοῦ καταπτάντος Γαρούδα.

77. Ὁ μὲν δὴ Μεγανάδας ἔτρωσε λόγχῃ τὸν Λαξμάναν κατὰ τὸ στῆθος· ὁ δὲ Ῥάμας, καίτοι ἦν ἄτρωτος, διερράγη ὅμως τὴν καρδίαν ἐκ λύπης.

78. Ἰαθεὶς δ' ὁ Λαξμάνας ἐκ τῆς βοτάνης [2], ἣν ἤγαγεν ὁ ἀερογενὴς Χανουμὰν, πάλιν θρῆνον καὶ ὀλολυγὴν ἐποίησε [3] ταῖς γυναιξὶ τῆς Λαγκᾶς τοῖς ἑαυτοῦ βέλεσιν.

79. Οὐδὲν δ' ἴχνος ἔλιπεν οὔτε τοῦ τόξου τοῦ Μεγανάδα, ὃ ἦν μέγα, ὡς τὸ τόξον τοῦ Ἴνδρα, οὔτε τῆς φωνῆς αὐτοῦ [4], ἣ ἦν, ὡς βροντὴ, καθὼς ἡ ὥρα τῆς Σαράδας οὐδὲν ἴχνος ἀφίησιν οὔτε τῆς Ἴριδος, οὔτε τῆς βροντῆς τοῦ νέφους.

80. Ὁ δὲ Ῥαβάνας, μόλις ἐξεγείρας τὸν ἑαυτοῦ νεώτερον ἀδελφὸν Κουμβακάρναν [5], ἐξ ὕπνου βαθέος, ἐξέπεμψεν αὐτὸν εἰς μάχην, δυσκαταμάχητον ὄντα.

---

(1) Ὁ Μεγανάδας, ὁ πρεσβύτερος υἱὸς τοῦ Ῥαβάνα, ῥίψας ὄφιν, ὡς βρόχον, περιέλαβε τὸν Λαξμάναν, καὶ καταπιέζων ἔσυρεν αὐτόν· καταπτάντος μέντοι τοῦ θείου ἀετοῦ, ὅς ἐστιν ὀφιοφάγος, φοβηθεὶς ὁ ὄφις, διελύθη καὶ ἔφυγε. Μεγανάδας ἑρμηνεύεται νεφόφωνος, ἢ βροντόφωνος.

(2) Ὁ ἰατρὸς εἶπεν, ὡς ἡ δεῖνα βοτάνη ἰαματικὴ ἐστιν, ἡ φύεται ἐν ὄρει Δρίνᾳ· σταλθεὶς δ' ὁ Χανουμὰν εἰς κομιδὴν τῆς βοτάνης, ἀνέσπασεν ὅλον τὸ ὄρος, καὶ ἤγαγεν αὐτό· εὑρὼν δ' ὁ ἰατρὸς τὴν βοτάνην ἴασατο τὸν Λαξμάναν.

(3) Δηλονότι πολλοὺς Τιτᾶνας ἀνεῖλεν, ὧν αἱ γυναῖκες θρῆνον ἐποίουν.

(4) Δηλονότι καὶ τὸ τόξον τοῦ Μεγανάδα συνέτριψε, καὶ αὐτὸν ἀπέκτεινε.

(5) Ὁ Ῥαβάνας μετὰ τὸν θάνατον τοῦ ἑαυτοῦ υἱοῦ Μεγανάδα ἀνεχώρησεν

81. Ὁ δὲ πεισθεὶς τῇ προσταγῇ τοῦ πρεσβυτέρου ἀδελφοῦ, ἐλθὼν, ἀναρίθμους Πιθήκους ἀπέκτεινεν ἀνδρείους· καὶ ζωγρήσας τὸν βασιλέα αὐτῶν Σουγρήβαν, ἤγαγεν αὐτὸν εἰς τὴν πόλιν Λαγκάν.

82. Παθὼν δὲ τὸ αὐτὸ πάθος τῆς ἑαυτοῦ ἀδελφῆς ὑπὸ τοῦ Σουγρήβα[1], ἐπῆλθε κατὰ τοῦ Ῥάμα ῥινότμητος καὶ καθημαγμένος, ὡς ὄρος μέγα, ὁ ἔχει διορυγὴν διὰ τὴν ἐξαγομένην ἐρυθρὰν γῆν.

83. Ἐπειδὴ δ' ὁ Κουμβακάρνας, φίλυπνος ὢν ἐξηγέρθη τοῦ ὕπνου ὑπὸ τοῦ ἀδελφοῦ παρὰ καιρὸν, διὰ τοῦτο κατηνέχθη εἰς ὕπνον μακρὸν τοῖς βέλεσι τοῦ Ῥάμα[2].

84. Καὶ ἄλλοι δὲ πολλοὶ Τιτᾶνες ἔπιπτον, μὴ ἀνιστάμενοι, εἰς τὸ μέσον τῶν πιθηκείων ταγμάτων· καὶ πολὺς κονιορτὸς ἔπιπτε, μὴ ἀνιστάμενος, εἰς τοὺς ποταμοὺς τῶν τιτανείων αἱμάτων.

85. Πάλιν δ' ἦλθεν ἐξ οἴκου εἰς τὸ στάδιον τοῦ πολέμου ὁ Ῥαβάνας[3], γνώμην θεὶς τοιαύτην· « Ὁ κόσμος σήμερον » ἤτοι ἄνευ τοῦ Ῥαβάνα ἢ ἄνευ τοῦ Ῥάμα ἔσεται ».

86. Ἰδὼν δ' ὁ Ἴνδρας τὸν μὲν Ῥάμαν πεζὸν, τὸν δὲ Ῥαβάναν ἐφ' ἅρματος, ἔπεμψε τῷ Ῥάμα τὸ ἑαυτοῦ ἅρμα ἐζευγμένον ἵπποις ξανθοῖς.

87. Ὁ δὲ Ῥάμας, ἁψάμενος τῆς χειρὸς τοῦ θείου ἡνιόχου,

ἀπὸ τοῦ πολέμου· καὶ ἐλθὼν οἴκαδε, μόλις ἐξήγειρεν ἐξ ὕπνου τὸν ἑαυτοῦ νεώτερον ἀδελφὸν Κουμβακάρναν, ὃν καὶ ἐπέστειλεν εἰς πόλεμον. Οὗτος ὁ Κουμβακάρνας μίαν μόνην ἡμέραν ἔξυπνος ἦν· ἐξ δὲ μῆνας ἦν κατακείμενος ἐν ὕπνῳ. Κουμβακάρνας ἐφερμηνεύεται σταμνόωτος, ἢ πιθόωτος· ὦτα γὰρ εἶχε μεγάλα, ὡς σταμνία, ἢ πιθάρια.

(1) Ὁ Σουγρήβας ἔτεμε τὴν ῥῖνα τοῦ Κουμβακάρνα, καὶ ἀπέδρασε.

(2) Τουτέστιν, ἀνῃρέθη.

(3) Ἀκούσας ὁ Ῥαβάνας τὸν θάνατον τοῦ Κουμβακάρνα, πάλιν ἦλθεν εἰς τὴν γῆν τοῦ πολέμου.

ἀνέβη ἐπὶ τὸ νικητικὸν ἅρμα, οὗ ἡ σημαία ἐκυμαίνετο ὑπ᾽ ἀμβροσίου ἀέρος, πνέοντος ἐκ τοῦ οὐρανίου Γάγγου.

88. Ἐνέδυσε δ᾽ ὁ Ματαλὴς [1] τὸν Ῥάμαν τὸν θώρακα τοῦ Ἴνδρα, ἐν ᾧ τὰ ὅπλα τῶν δαιμόνων ἀδρανῆ ἐγίνοντο, ὡς φύλλα λωτοῦ.

89. Ἦλθε δὲ τελευταῖον ὁ καιρὸς τῆς μονομαχίας, τῆς διὰ πολλοῦ προσδοκωμένης ὑπὸ τοῦ Ῥαβάνα καὶ ὑπὸ τοῦ Ῥάμα, ἔνθα ἔμελλε δειχθήσεσθαι ἡ δύναμις καὶ ἡ ἀνδραγαθία αὐτῶν.

90. Καί τοι δ᾽ ὁ Ῥαβάνας οὐκ εἶχε περὶ ἑαυτὸν Τιτᾶνας, ὡς πρότερον [2], καὶ μόνος ἦν, ἐφαίνετο ὅμως, ὅτι ἐν μέσῳ ἦν πολλῶν, διὰ τὰς πολλὰς, ἃς εἶχε, χεῖρας καὶ κεφαλάς [3].

91. Οὐ μὴν ἀλλὰ καὶ ὁ Ῥάμας ἐλογίζετο, ὡς ὁ Ῥαβάνας [4], καὶ εἷς ὢν, ἀντὶ πολλῶν ἐστιν, ὃς ἐνίκησε τοὺς θεοὺς, καὶ τῷ Σίβα προσήνεγκε τὰς ἑαυτοῦ κεφαλὰς, ὡς θύματα, καὶ τὸν Καϊλάσαν τὸ μέγα ὄρος ἐβάσταξεν ἐν χερσὶ, παίζων.

92. Θυμωθεὶς μὲν οὖν λίαν ὁ Ῥαβάνας, ἐνέπηξε βέλος τῷ τοῦ Ῥάμα δεξιῷ βραχίονι, ὃς παλμὸν εἶχε [5], σημαντικὸν τῆς ἐντεύξεως τῆς Σητᾶς.

93. Τοῦ δὲ Ῥάμα τὸ βέλος διέπειρε τὸ στῆθος τοῦ Ῥαβάνα, καὶ ἐνεπάγη τῇ γῇ, ὥσπερ θέλον μηνύσαι ἀγαθὸν μήνυμα τοῖς ὑπὸ γῆν ὄφεσιν.

94. Ηὔξανε δ᾽ ἡ ἔρις τῆς νίκης αὐτῶν, οἳ τοῖς ὅπλοις διερ-

---

(1) Ὄνομα τοῦ θείου ἡνιόχου.

(2) Ἅπαντες ἔθανον ἐν πολέμῳ.

(3) Δεκακέφαλις ἦν καὶ εἰκοσάχειρ.

(4) Ἐλογίζετο, ὡς ὁ Ῥαβάνας ἡρωϊκὸς, καρτερικὸς, καὶ ἰσχυρός ἐστιν.

(5) Ὁ παλμὸς τῆς δεξιᾶς χειρὸς κατὰ τὸν μυῶνα ἀγαθός ἐστιν οἰωνός.

ῥήγνυον τὰ ἀλλήλων ὅπλα, καθὼς αὐξάνει ἡ ἔρις τῶν διαφερομένων, οἳ ἀναιροῦσι τοῖς λόγοις τοὺς ἀλλήλων λόγους.

95. Ἡ δ' ἐν μέσῳ νίκη ἀμφίβολος ἦν διὰ τὴν ἰσοδυναμίαν ἀμφοτέρων, καθὼς ἡ νίκη δύω ἐλεφάντων μαχομένων ἀμφίβολός ἐστιν, ἐν ὅσῳ ἀνυπέρβατόν ἐστι τὸ μεσότοιχον [1].

96. Τὰ δὲ ῥιπτόμενα βέλη ἀλλήλων οὐχ ὑπέφερον τὴν βροχὴν τῶν ἀνθέων [2], τὴν καταφερομένην ἀμοιβαδὸν ὑπὸ τῶν Θεῶν καὶ ὑπὸ τῶν ἀντιθέων δαιμόνων, χαιρόντων ἐπὶ τῇ ἀμφιῤῥεπεῖ νίκῃ.

97. Ἔβαλλε δ' ὁ Ῥαβάνας κατὰ τοῦ Ῥάμα τὴν Σαταγγὴν [3], ἣ εἶχε κέντρα σιδηρᾶ, καὶ ἦν, ὡς Κουτασσαλμαλή [4]· τοῦτο δὲ τὸ ὅπλον ἐλαφυραγώγησε παρὰ τοῦ Ἰάμα.

98. Ὁ δὲ Ῥάμας τοῖς βέλεσι, τοῖς ἔχουσιν ἀκίδας, ὡς ἡμισέληνα, κατέκοψεν, ὡς Καδαλὴν [5], καὶ τὴν Σαταγγὴν ἐκείνην, πρὶν ἔλθῃ εἰς τὸ ἅρμα, καὶ τὴν ἐλπίδα ὁμοῦ τῆς νίκης τοῦ Ῥαβάνα.

---

(1) Χῶμα ἀνιστᾶσιν· ἐξ ἑκατέρου δὲ τοῦ μέρους οἱ ἐλέφαντες μονομαχοῦσι, συμπλέκοντες τὰς προβοσκίδας, καὶ ὠθοῦντες ἀλλήλους τοῖς ὤμοις· ὁπότερος δ' ὑπερισχύσας, ὑπερβῇ τὸ μεσότοιχον, ἐκεῖνος ἐστὶν ὁ νικητής.

(2) Ποτὲ μὲν οἱ θεοὶ ἔῤῥεχον ἄνθη ἐπὶ τὸν Ῥάμαν, ὅτε ἐτίτρωσκε τὸν Ῥαβάναν· ποτὲ δὲ οἱ δαίμονες ἐπὶ τὸν Ῥαβάναν, ὅτε ἐτίτρωσκε τὸν Ῥάμαν· αὐτὰ δὲ τὰ ἄνθη, ὡς ἐμπόδιον, ἦν, καὶ διὰ τοῦτο οὐκ ἀρεστὰ ἦν τοῖς βέλεσιν.

(3) Σαταγγὴ ἐφερμηνεύεται Πολυόλεθρος· ἔστι δὲ ῥόπαλον παχὺ καὶ στιβαρὸν, ἔχον πέριξ κέντρα σιδηρᾶ· τοιούτῳ ὅπλῳ χρῆται ὁ Ἰάμας, ὃς ἐστιν ὁ Ἀϊδονεὺς, ὃν νικήσας ὁ Ῥαβάνας, ἐλαφυραγώγησε παρ' αὐτοῦ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο τὸ ῥόπαλον.

(4) Κουτασσαλμαλὴ, δένδρον ἀκανθῶδες.

(5) Καδαλὴ, φυτὸν, οὗ τὸ στέλεχος ἁπαλόν ἐστι.

99. Ἔθετο δὲ τελευταῖον ἐπὶ τοῦ τόξου ὁ τοξικὸς Ῥάμας τὴν ἀσφαλῆ Βραχμάστραν[1] εἰς θάνατον τοῦ μισοθέου Ῥαβάνα, ἣ ἔμελλε γενήσεσθαι ἄκος, ἑλκυστικὸν τοῦ βέλους, τοῦ ἐπὶ τὴν καρδίαν τῆς Σητᾶς.

100. Ἐκεῖνο δὲ τὸ βέλος, διαιρεθὲν ἐν τῷ αἰθέρι εἰς δέκα ϛόματα πυροειδῆ (γλώσσας πυροειδεῖς), ἐφαίνετο, ὥσπερ τὸ πολυκέφαλον σῶμα τοῦ φοβεροῦ δράκοντος Σέσσα.

101. Δι' ἐκείνου τοῦ δεκακεφάλου βέλους, ὃ ἐρρίφθη δι' ἐπῳδῆς, ἔτεμεν ἐν ταὐτῷ ὁ Ῥάμας τὰς δέκα κεφαλὰς τοῦ Ῥαβάνα, ὃς οὐκ ἤσθετο τοῦ ἄλγους τῆς τομῆς[2].

102. Ἡ δὲ πληθὺς τῶν ἐπὶ γῆς κεφαλῶν τοῦ ἀναιρεθέντος Ῥαβάνα, ἐφαίνετο, ὥσπερ ἡ εἰκὼν τοῦ κατὰ τὴν ἕω ἡλίου[3], ἣ γίνεται πολυάριθμος ἐν κυμαίνοντι ὕδατι.

103. Καί τοι δὲ οἱ θεοὶ ἔβλεπον πεπτωκυίας τὰς κεφαλὰς τοῦ Ῥαβάνα, ἡ καρδία ὅμως αὐτῶν ἐδίσταζε, δεδιττομένων, μὴ πάλιν συμμαχείησαν τοῖς λαιμοῖς.

104. Βροχὴ δ' εὐώδης ἀνθέων ἔπιπτεν ἐξ οὐρανοῦ ἐπὶ τῆς κεφαλῆς τοῦ Ῥάμα, ἣ μετ' ὀλίγον ἔμελλε δέξεσθαι βασιλικὸν στέμμα· οἱ δὲ βομβύλιοι ἀφέντες τοὺς κροτάφους, ἐξ ὧν ἔῤῥει εὐώδης χυμὸς τῶν ἐλεφάντων, τῶν ἐφόρων τοῦ κόσμου θεῶν, ἐφοίτων ἐπὶ τὴν ἀνθοβολίαν.

105. Ὁ δ' ἡνίοχος τοῦ Ἴνδρα, λαβὼν ἄδειαν παρὰ τοῦ Ῥάμα, ὃς παρέλυσε τὴν χορδὴν τοῦ τόξου, καὶ ἐτέλεσε τὸ θεῖον ἔργον, ἀνήγαγεν εἰς τὸν οὐρανὸν τὸ ἅρμα, τὸ ἐζευγμένον χιλίοις ξανθοῖς ἵπποις, καὶ ἔχον ἐμπεπηγ-

---

(1) Βραχμάστρα ἑρμηνεύεται θεῖον βέλος, ὅπερ ῥιπτόμενον, οὐδέποτε ἁμαρτάνει.

(2) Οὐκ ἤσθετο διὰ τὴν ὀξύτητα.

(3) Ἐρυθρὸς ὁ ἥλιος κατὰ τὴν ἕω, ἐρυθραὶ καὶ αἱ κεφαλαὶ τοῦ Ῥαβάνα, ὡς καθημαγμέναι.

μένα ἐν τῷ κοντῷ τῆς σημαίας βέλη, ἐν οἷς ἦν ἐγγεγλυμμένον τὸ ὄνομα τοῦ Ῥαβάνα.

106. Παραλαβὼν δ' ἔπειτα ὁ Ῥάμας τὴν Σητὰν, ἡ ἐφάνη ἐν πυρὶ ἄχραντος [1], καὶ παραδοὺς τῷ εὐμενεῖ Βιβθησσάνα τὴν βασιλείαν τοῦ Ῥαβάνα, συνὼν τῷ Λαξμάνᾳ καὶ τῷ Βιβθησσάνᾳ καὶ τῷ Σουγρήβᾳ, ἐπανεζεύγνυεν ἐπὶ τὴν Ἀϊοδδεὰν, ἐποχούμενος ἐπὶ τοῦ πολυτίμου φορείου τοῦ κατατροπωθέντος Ῥαβάνα [2].

---

(1) Ἡ Σητὰ ἐβλήθη εἰς τὸ πῦρ, ὡς εἰς δοκίμιον· ἐξελθοῦσα δὲ τοῦ πυρὸς ἀπήμαντος, ἀπείρατος ἐφάνη τοῦ λέχους τοῦ Ῥαβάνα.

(2) Τοῦτο τὸ φορεῖον ἐλαφυραγώγησεν ὁ Ῥαβάνας παρὰ τοῦ Κουβέρα· ὠνομάζετο δὲ Πουσπάκα, ὅ ἐστιν, ἀνθηρόν· ἦν δ' αὐτοκίνητον, καὶ αἰθεροβατικὸν, καὶ χωρητικὸν ἁπάσης τῆς τοῦ Ῥάμα στρατιᾶς.

ΚΕΦΑΛΑΙΟΝ Β'.

1. Ὁ δὲ χαριτόνυμος Ῥάμας, ὁ ὢν αὐτὸς ὁ Βισνοῦς, φερόμενος ὑπὸ τοῦ θείου φορείου ἐν αἰθέρι, ὃς ἐστιν ἡ ἕδρα αὐτοῦ, ἰδὼν τὸν ὠκεανὸν, ἔλεγε τῇ Σητᾷ τάδε·
2. « Ἴδε τὸν ἀφρίζοντα ὠκεανὸν, ὃς διεχωρίσθη εἰς δύω
» διὰ τῆς ἐμῆς γεφύρας μέχρι τοῦ παρὰ τῇ ἀκτῇ ὄρους
» Μαλαΐα, καθὼς διὰ τοῦ Γαλαξίου διαχωρίζεται εἰς δύω
» ὁ οὐρανὸς [1], ὅς ἐστι καθαρὸς καὶ λαμπρὸς τοῖς ἄστρα-
» σιν ἐν ὥρᾳ Σαράδᾳ.
3. « Ἁρπαγέντος τοῦ ἵππου τοῦ Βασιλέως Σαγάρα, ὃς
» ἤθελε θύσαι αὐτὸν, καὶ τεθέντος παρὰ τῷ Καπίλᾳ ἐν
» τῷ ὑποχθονίῳ κόσμῳ, αὕτη ἡ θάλασσα ἐγένετο ὑπὸ
» τῶν προπατόρων ἡμῶν, σκαπτόντων τὴν γῆν εἰς εὕρε-
» σιν ἐκείνου τοῦ συληθέντος ἵππου [2].
4. « Ἐκ ταύτης τῆς θαλάσσης αἱ ἀκτῖνες τοῦ ἡλίου ὕδωρ
» συλλαμβάνουσιν· ἐν ταύτῃ τῇ θαλάσσῃ πολύτιμα
» πράγματα γεννῶνται [3]. Αὕτη ἡ θάλασσα φέρει τὸ
» πῦρ, οὗ, ὡς καυστικὸν ξύλον, τὸ ὕδωρ ἐστὶν· ἐκ ταύ-
» της τῆς θαλάσσης ἡ ἀμβροσία σελήνη ἐγεννήθη.
5. « Καθὼς ἡ φύσις τοῦ Βισνοῦ, ὃς λαμβάνει πολλὰς
» ἰδιότητας καὶ μορφὰς [4], ἀκατάληπτός ἐστι κατὰ τὴν

---

(1) Ἀφρώδης ὁ ὠκεανὸς, ἀστερόεις ὁ οὐρανός· κυάνεος ὁ ὠκεανὸς, κυάνεος καὶ ὁ οὐρανός.

(2) Ἐσυλήθη ὑπὸ τοῦ Ἴνδρα· οἱ δὲ υἱοὶ τοῦ Σαγάρα, ἑξηκοντακισχίλιοι τὸν ἀριθμὸν, κατέσκαψαν τὴν γῆν εἰς εὕρεσιν τοῦ ἵππου· ἐκ δὲ τῆς διορυγῆς ἐκείνης ἐγένετο ἡ θάλασσα. Περὶ τούτου ἐρρέθη καὶ πρότερον.

(3) Μαργαρίται, καὶ κοράλλια.

(4) Καθὼς θεωρεῖται ἐπὶ τῶν τριῶν προσώπων τῆς θεότητος, καὶ ἐπὶ τῶν ἐκείνων ἐνσαρκώσεων.

» ποιότητα καὶ κατὰ τὴν ποσότητα, οὕτω καὶ ἡ τῆς
» θαλάσσης, ἡ πολύποιός [1] ἐστιν, ἀπέραντος καὶ ἀπεριό-
» ριστος.

6. « Ἐπὶ ταύτης τῆς θαλάσσης ἀνεπαύετο ὑπνῶν ὁ Βισ-
» νοῦς [2], συλλαβὼν τὸ πᾶν ἐν ἑαυτῷ ἐν τῷ τέλει τοῦ
» αἰῶνος, καὶ ὑμνεῖτο ὑπὸ τοῦ πρώτου Βραχμᾶ, καθη-
» μένου ἐπὶ λωτοῦ, ὃς ἀνεφύη ἐκ τοῦ ὀμφαλοῦ αὐτοῦ
» τοῦ Βισνοῦ.

7. « Εἰς τοῦτον τὸν ὠκεανὸν κατέφυγον πολλὰ ὄρη, φο-
» βούμενα τὸν Ἴνδραν, ὃς ἔκοπτε τὰς πτέρυγας αὐτῶν,
» καθὼς οἱ βασιλεῖς, κατα διωκόμενοι ὑπ᾽ ἐχθρῶν, κα-
» ταφεύγουσιν εἰς δίκαιον βασιλέα.

8. « Ταύτης τῆς θαλάσσης τὸ διειδὲς ὕδωρ, ὃ ἐπλημμύ-
» ρησεν ἐν τῷ τέλει τοῦ αἰῶνος, καὶ κατεπόντισε τὸ
» τὸ πᾶν, ἐγένετο ἐν βραχεῖ ὡς περιδέραιον κόσμημα
» τῆς γῆς [3], ὅτε ἐξήγετο ἐκ τοῦ βυθοῦ ὑπὸ τοῦ ἀρχε-
» γόνου Θεοῦ [4].

9. Οὗτος ὁ ὠκεανὸς, ὁ ἀπαράβλητος κατὰ τὴν γυναικα-
» ρεστίαν [5], πίνει τοὺς ποταμοὺς, εἰσβάλλοντας, προσ-
» βάλλων, ὡς χεῖλος, τὸ κύμα τοῖς στόμασιν αὐτῶν,
» καὶ ποτίζει αὐτοὺς, οἳ ἠνεωγμένα ἔχουσι τὰ στόματα
» εἰς τὸ δέχεσθαι τὸ κύμα αὐτοῦ [6].

---

(1) Ἐν ἄλλῳ μὲν μέρει γεννᾷ κοράλλια, ἐν ἄλλῳ δὲ μαργαρίτας.

(2) Οὐκ ἐργάζεται, καὶ διὰ τοῦτο ἀναπαύεται.

(3) Ὅτε κατὰ πρῶτον ἀνεφάνη ἡ κορυφὴ τῆς γῆς, τὸ πέριξ ὕδωρ ἐφαίνετο, ὡς ὁ ὅρμος ἐκ μαργάρων.

(4) Ὅτε ἔλαβε μορφὴν κάπρου.

(5) Γυναῖκες λέγονται οἱ ποταμοὶ τοῦ ὠκεανοῦ, ὡς συμμιγνύμενοι αὐτῷ· ἅπαντι δὲ τοῖς ποταμοῖς ἀρέσκει, καὶ διὰ τοῦτο προσέρχονται αὐτῷ ἐν ταὐτῷ, καὶ συμμίγνυνται αὐτοθελῶς· ὁ δ᾽ ἔχων πολλὰς γυναῖκας οὐκ ἀρέσκει ἐν ταὐτῷ πάσαις.

(6) Καὶ φιλεῖ ὁηλονότι, καὶ ἀντιφιλεῖται.

10. « Ταῦτα τὰ μεγάλα κήτη, δεχόμενα τὸ τοῦ ποταμοῦ
» ὕδωρ μετὰ τῶν ἰχθύων ἐν κηχρηνόσι τοῖς στόμασι,
» καταδύονται, καὶ πάλιν ἀναδύονται, καὶ ὑπεράλλον-
» ται τῶν κυμάτων τῆς θαλάσσης.

11. « Ἴδε τὸν ἀφρὸν τῆς θαλάσσης, ὃς διηρέθη εἰς δύω
» ὑπὸ τῶν ἀναδυομένων κροκοδείλων, οἱ, ἔχοντες ἀφρὸν
» ἐν ἑκατέρᾳ παρειᾷ, φαίνονται, ὡς ἐλέφαντες, οἳ ἔχου-
» σιν οὐραῖα ῥιπίδια, κρεμάμενα ὑπὸ τῶν ὤτων ἐπ'
» ἀμφοτέρας τὰς παρειάς.

12. « Οὗτοι οἱ ὕδροι, οἱ ἐκτεταμένοι δι' ἀνεμοφαγίαν, οὐ-
» δεμίαν ἔχουσι διαφορὰν μεγάλων κυμάτων· διακρί-
» νονται ὅμως ἐκ τῶν ὧν ἔχουσιν ἐπὶ κεφαλῆς ἀδαμάν-
» των, οἳ ὑπερλάμπουσι ταῖς ἀκτῖσι τοῦ ἡλίου.

13. « Ἴδε τὰ δένδρα τῶν κοραλλίων, ἃ ὅμοιά εἰσι τοῖς
» χείλεσί σου κατὰ τὸ χρῶμα· ἴδε, πῶς, ἐν ταῖς κορυ-
» φαῖς αὐτῶν τῶν κοραλλίων, φερόμενοι ἐκ τῶν σφο-
» δρῶν κυμάτων, διεπερονήθησαν κατὰ τὰ στόματα
» πολλοὶ κόγχοι, οἳ μόλις ἐκπίπτουσιν.

14. « Ἴδε τὸ νέφος, ὃ ἦλθεν εἰς πόσιν ὕδατος, περιφερόμε-
» νον ἐκ τῆς ἐν τῇ θαλάσσῃ σφοδρᾶς δίνης· ἐκ δὲ τού-
» του φαίνεται, ὡς ἡ θάλασσα πάλιν περιδινεῖται ὑπὸ
» τοῦ ὄρους Μανδάρα.

15. « Ἴδε τὸν ἁλμυρὸν ὠκεανὸν χαλκίνῳ τροχῷ ἐοικότα·
» ἴδε πῶς ὁ σμικρὸς αὐτοῦ αἰγιαλός, ἄλσεσι Ταμαλῶν
» καὶ τοιούτων ἄλλων μελαινόμενος, μακρόθεν φαίνεται
» ὡς ἰώδης γραμμὴ ἐπὶ τοῦ στόματος τοῦ τροχοῦ [1].

---

(1) Τὸ δίστιχον τοῦτο, παραλειφθὲν παρὰ τοῦ ἀοιδίμου Γαλανοῦ, μετεφράσθη ἐκ τῆς Λατιν. μεταφράσεως τοῦ σοφοῦ Ἀδόλφου, Φριδερίκου Στενσλέρου (ἐν Λονδίνῳ, τῷ 1832) ὑπὸ τοῦ σοφοῦ Καθηγητοῦ τοῦ Πανεπιστημίου Κ. Ἀσωπίου.

16. » Ὁ ἐκ τῆς ἀκτῆς πνέων ἀὴρ, ἐκόσμησε τὸ πρόσωπόν
» σου, ὦ μεγαλόφθαλμε, τῇ κόνει τῶν ἀνθέων Κετα-
» κῆς[1], ὥσπερ εἰ ἤδει ἐμὲ, μὴ φέροντα τὸ ἀκόσμητον
» τοῦ προσώπου σου, ὅτε διψῶ φιλῆσαι τὸ ἐρυθρόν σου
» χεῖλος.

17. « Ἡμεῖς αὐτοὶ ἤλθομεν αὐθωρὸν τῇ ταχείᾳ φορᾷ τοῦ
» φορείου ἐπὶ τὸν αἰγιαλὸν τοῦ ὠκεανοῦ, οὗ ἐπὶ τῆς
» ψάμμου πολλοί εἰσι μαργαρίται διεσκορπισμένοι ἐκ
» τῶν ἠνεωγμένων ὀστρέων, καὶ πολλὰ δένδρα καρπο-
» φόρα, Ποῦγαι, θάλλουσιν.

18. « Ἐνατένισον, ὦ εὔμηρε, καὶ εὐόφθαλμε, στρέψασα τὸ
» πρόσωπον εἰς τοὐπίσω· αὕτη γὰρ ἡ γῆ σὺν τοῖς δέν-
» δροις φαίνεται, ὡς ἐξέρχεταί πως ἐκ τῆς διϊσταμένης
» θαλάσσης.

19. « Θεώρησον, ὅπως ποτὲ μὲν τὸ θεῖον φορεῖον φέρε-
» ται δι' ὁδοῦ πορευομένων θεῶν, ποτὲ δὲ νεφῶν, καὶ
» ἄλλοτε ἀέρων· οἷα ἐστὶν ἡ ἔφεσις τῆς ἐμῆς ψυχῆς,
» τοιαύτη καὶ ἡ φορὰ τοῦ φορείου[2].

20. « Οὗτος ὁ αἰθέριος ἀὴρ, ὁ εὐώδης ἐκ τοῦ χυμοῦ τοῦ ἐλέ-
» φαντος τοῦ Ἴνδρα, καὶ ἀναψυκτικὸς ἐκ τῶν κυμάτων
» τοῦ οὐρανίου Γάγγου, ἐξικμάζει τὸν ἐκ τῆς μεσημ-
» βρίας ἱδρῶτα τοῦ προσώπου σου.

21. « Τὸ περιαστράπτον τοῦτο νέφος, οὗ ἔθιζεν ἡ σὴ χείρ,
» ἂν ἐξέτεινας ἔξω τῆς θυρίδος τοῦ φορείου εἰς διατρι-
» βὴν καὶ παιδιὰν, δεύτερόν πως περικάρπιον δίδωσί
» σοι, ὅ ἐστιν ἡ περιφερομένη ἀστραπή.

22. « Οὗτοι οἱ ῥακένδυτοι ἀναχωρηταὶ, μαθόντες τὴν Ζανα-

---

(1) Λευκὴ ἐστιν ἡ κόνις τῆς Κετακῆς, καὶ εὐώδης.

(2) Τὸ θεῖον φορεῖον φέρεται, ἔνθα ἐφίεται ὁ ἀναβάτης.

» σθάναν ἐλευθέραν κακῶν [1], ἐλθόντες, κατῴκησαν ἕκα-
» στος τὰς ἰδίας κατοικίας, τὰς διὰ πολλοῦ καταλει-
» φθείσας, ἀνεγείραντες νέας καλύβας.

23. « Οὗτός ἐστιν ὁ τόπος, ἔνθα, ἀνιχνεύων σε, εἶδον ἓν σου
» περιπέζιον [2], πεπτωκὸς κατὰ γῆς, ὅπερ οὐδένα ἦχον
» ἐποίει, ὥσπερ εἰ ἐλυπεῖτο ἐκ τῆς διαζεύξεως τοῦ λω-
» τίου σου ποδός [3].

24. « Καθ' ἣν ὁδὸν ἦγέ σε ὁ δαίμων Ῥαβάνας, ταύτην
» ταῦτα τὰ δένδρα, ὡς μὴ δυνάμενα λαλῆσαι, ἐδεί-
» κνυον συμπαθῶς ἐμοὶ διὰ τῶν κλάδων, ὧν τὰ φύλ-
» λα ἐσείοντο [4].

25. « Αἱ ἔλαφοι αὗται, ἀφεῖσαι τὴν νομὴν, ἐσήμαινον ἐμοὶ,
» ὃς ἦν ἀγνὼς τῆς σῆς πορείας, στρέφουσαι τὰ ὄμματα
» κατὰ τὸ δυτικὸν μέρος, καὶ εἰς τὰ ἄνω νεύουσαι τὰ
» βλέφαρα.

26. « Ἰδοὺ πόρρωθεν καθαρᾶται ἡ οὐρανομήκης κορυφὴ τοῦ
» ὄρους Μαλεβάνος [5], ἔνθα τὰ μὲν νέφη ἔβρεχον ὕδωρ,
» τὰ δ' ὄμματά μου δάκρυα διὰ τὴν σὴν διάζευξιν.

27. « Ἐν τούτῳ τῷ ὄρει ἄνευ τῆς σῆς παρουσίας οὐκ ἀρε-
» στάμοι ἦν ταῦτα· ἡ ἡδεῖα ὀσμὴ τῆς γῆς [6] τῶν ἀνίκ-

---

(1) Ἐλευθέρα ἦν κακῶν, ἕνεκα τῆς ἀπουσίας τῶν Τιτάνων καὶ τυράννων, οὓς ἐξωλόθρευσεν ὁ Ῥάμας.

(2) Τὰ ἐν Ἰνδίᾳ περιπέζια κωδωνίσκους ἔχουσι, καὶ διὰ τοῦτο ἦχον ποιοῦσι κινούμενα.

(3) Ἡ Σητὰ, ἀγομένη ὑπὸ τοῦ Ῥαβάνα, κατὰ τὴν ὁδὸν διέσπειρεν ἓν ἕκα-στον τῶν ἑαυτῆς κοσμημάτων εἰς ἀναγνωρισμόν.

(4) Ὁ μὲν κλάδος, ὡς χείρ, τὸ δὲ φύλλον, ὡς δάκτυλος.

(5) Ὁ Μαλεβὰν τὸ ὄρος πλησίον κεῖται τοῦ Ῥισσεμούκκα, ἔνθα ὁ Ῥάμας διέτριψε τέσσαρας Μῆνας ἐν τῇ ὥρᾳ τῆς ἐπομβρίας.

(6) Ἡ γῆ τῶν ἀνίκμων λιμνῶν, ὅτε κατὰ πρῶτον ὕεται, εὐωδίαν τινὰ ἀνα-δίδωσιν.

» μων λιμνῶν, τῆς κατὰ πρῶτον ὑομένης, καὶ ἡ τῶν
» ἀνθέων τῆς Καδάμβας, καὶ ἡ γλυκεῖα φωνὴ τῶν
» ταώνων.

28. « Ἐν τούτῳ τῷ ὄρει κατὰ τὴν νύκτα αἱ βρονταὶ, αἱ
» ἀντηχοῦσαι ἐν τοῖς σπηλαίοις, ἀγανάκτησιν καὶ λύ-
» πην μοι παρεῖχον, μόνῳ ὄντι· ἐνεθυμούμην γὰρ, ὡς
» πρότερον, ὅτε ἐβρόντα, σὺ μὲν φόβον εἶχες, καὶ
» ἔτρεμες, ἐγὼ δέ σε ἠγκαλιζόμην.

29. « Κατὰ τοῦτο τὸ ὄρος βλέπων τὰ ἐρυθρὰ ἄνθη τῆς
» Καδαλῆς, εἰς ἃ ἀνεφέρετο ἡ ἀναθυμίασις τῆς ὑομένης
» γῆς, ἐνεθυμούμην τὰ ἀγλαά σου ὄμματα, ἃ ἐγένοντο
» ἐρυθρὰ ἐκ τοῦ καπνοῦ τοῦ ἐν τῷ γάμῳ πυρὸς, καὶ
» ἐταραττόμην, μὴ βλέπων σε.

30. « Ἡ ἐμὴ ὅρασις, ὥσπερ διψῶσα ἐκ μακρᾶς ὁδοῦ, ἀσκαρ-
» δαμυκτὶ βλέπει τοῦτον τὸν ποταμὸν Πανπᾶν, οὗ ἐν
» μὲν τοῖς ὕδασι γέρανοι νήχονται, ἐν δὲ ταῖς ὄχθαις
» σύμφυτοι πεφύκασι κάλαμοι.

31. « Κατὰ τοῦτον γὰρ τὸν ποταμὸν, διεζευγμένος σοῦ
» τῆς ἐρασμίας συζύγου, ἔβλεπον φίλτρῳ ζεύγη χηνα-
» λωπέκων ἀδιάζευκτα ὄντα, καὶ διδόντα ἀμοιβαίως
» τοῖς ἀλλήλων στόμασι κόνιν τῶν λωτῶν, καὶ ἐνεθυ-
» μούμην σε.

32. « Ἰδὼν ἐγὼ τότε τοῦτον τὸν λεπτὸν κλάδον τοῦ παρὰ
» τῇ ὄχθῃ Ἀσσόκα, ὃς ἔχει ἀνθέων ὑποκεκλιμένους βλα-
» στοὺς, ὡς μαστοὺς, φαντασίαν ἔσχον, ὅτι σὺ εἶ, καὶ
» διὰ τοῦτο ἤθελον περιπτύξασθαι, δακρυῤῥοῶν [1]· ἀλλ'
» ἐκωλύθην ὑπὸ τοῦ Λαζμάνα.

33. « Αὗται αἱ ἴλαι τῶν γεράνων, αἱ ἐπὶ τοῦ ποταμοῦ Γο-

---

(1) Ἐκ τούτου ἐννοεῖται, ὡς ὁ ἐρῶν, διαζευχθεὶς τῆς ἐρωμένης, φαντάζεται αὐτὴν παροῦσαν, καὶ παράφρων γίνεται.

» δαβαρῆ, ἀκούσασαι τοῦ ἤχου τῶν κρεμαμένων ἐκ
» τῶν πλαγίων τοῦ φορείου χρυσῶν κωδώνων, ἀνέπτη-
» σαν εἰς τὸν αἰθέρα, ἐρχόμεναι ὡς εἰς ὑποδοχήν σου.

34. « Αὕτη ἡ ὕλη Πανσαβατὴ, ἔνθα αἱ ἔλαφοι ἀνύψωσαν
» τὰς κεφαλὰς, θεωροῦσαι, μετὰ πολὺν χρόνον ὀφθεῖσα,
» εὐφραίνει μου τὴν καρδίαν· ἐν ταύτῃ γὰρ τὰ μικρὰ
» φυτὰ τῆς Ἄμρας ηὐξήθησαν, ἀρδευόμενα ὕδατι ἐν
» ὑδρίᾳ ὑπὸ σοῦ, τῆς ὀσφὺν λεπτὴν ἐχούσης.

35. « Κατὰ ταύτην τὴν Πανσαβατὴν παρὰ τῷ ποταμῷ
» Γοδαβαρῇ, ὅτε ἀνέστρεφον ἐκ θήρας, ἀναψυχόμενος
» τῷ ἐκ τῶν κυμάτων πνέοντι ἀέρι, ἐνθυμοῦμαι, ὡς
» ὕπνωττον ἐν μέσῳ κατασκίων καλάμων, τιθέμενος
» τὴν ἐμαυτοῦ κεφαλὴν ἐπὶ τῆς σῆς ἀγκάλης.

36. « Οὗτός ἐστιν ὁ τόπος τῆς ἀσκήσεως τοῦ ἐπὶ γῆς Ἀγα-
» στέα [1], τοῦ καθαίροντος τὸ θολὸν ὕδωρ· ὃς μόνῳ σο-
» βαρῷ βλέμματι κατέῤῥιψεν ἐκ τοῦ θρόνου τοῦ Ἴνδρα
» τὸν βασιλέα Ναχούσσαν.

37. « Ὀσφρανθεὶς ἔγωγε τοῦ καπνοῦ τοῦ τῆς σπονδῆς πυρὸς
» τούτου τοῦ εὐφήμου ὁσίου, ὃς μεμιγμένος ἐστὶ κνίσ-
» σῃ βουτύρου, καὶ ἀναφέρεται εἰς τὸ φορεῖον, ἐλεύθερος
» ἐπιθυμιῶν ἐγενόμην τὴν καρδίαν, καὶ ἁγνός.

38. « Ἰδοὺ, ὦ τιμία, πόῤῥωθεν φαίνεται ἡ χαρίεσσα λίμνη
» τοῦ ὁσίου Σατακάρνα [2], ἣ ὄνομα Παντσαψαρὰ, ἐν

---

(1) Οὗτος ὁ Ἀγαστέας ἠγγαρεύθη, καὶ ἐτέθη ὑπὸ τὸ φορεῖον τοῦ Ναχούσσα, καὶ διὰ τοῦτο κατηράσατο αὐτοῦ, ὃς καὶ ἔπεσεν εὐθέως ἐκ τοῦ ὕψους, καὶ ἐγένετο δράκων. Ἔστι καὶ ἀστὴρ, ἔχων τὸ αὐτὸ ὄνομα, ὅς ἐστιν ὁ Κάνωπος· οὗτος ὁ ἀστὴρ ἀνατέλλει κατὰ τὸν Ὀκτώβριον, ὅτε οἱ ὄμβραι παύονται, καὶ οἱ ποταμοὶ καθαροὶ γίνονται.

(2) Ὁ Σατακάρνας σκηναγωγίαν εἶχε μεγάλην, συναγελαζόμενος τοῖς ἐλάφοις, καὶ νεμόμενος πάαν, ὡς ἔλαφος. Φοβηθεὶς δ' ὁ Ἴνδρας, ἔπεμψε πέντε νύμφας θελξινόους· αἱ, ἐξαπατήσασαι τὸν Σατακάρναν ταῖς ἑαυτῶν ὄψεσι, καὶ εἶκον

» μέσῳ οὖσα δασέων τόπων, ὥσπερ λαμπρὰ σελήνη ἐν
» μέσῳ πολλῶν νεφῶν.

39. « Οὗτος πάλαι, συνὼν τοῖς ἐλάφοις, καὶ νεμόμενος πόαν,
» ἐξαπατηθεὶς ὑπὸ τοῦ Ἴνδρα, ὃς φοβεῖται τὴν μεγάλην
» ἄσκησιν καὶ σκληραγωγίαν, περιεκλείσθη, ὡς ἐν πα-
» γίδι, ἐν χορείᾳ πέντε ὡραίων νυμφῶν.

40. « Οὗτός ἐστιν ὁ ἦχος τῶν μουσικῶν ὀργάνων καὶ ἀσ-
» μάτων, ἐν τῷ μεγαλοπρεπεῖ οἴκῳ ἐκείνου τοῦ Σατα-
» κάρνα, τῷ ὄντι ἀφανεῖ ἐν μέσῳ τῶν ὑδάτων, ὁ διήκων
» μέχρι τοῦ αἰθέρος, καὶ ἀντηχῶν ἐν τῷ ὑπερώῳ τοῦ
» φορείου ἡμῶν.

41. « Οὗτος ὁ ἄλλος ἀσκητὴς καὶ ἐγκρατὴς, ᾧ ὄνομα Σου-
» τήξνας, σκληραγωγίαν καὶ ἄσκησιν ποιεῖ, ἐν μέσῳ ὢν
» τεσσάρων πυρῶν, καὶ τὸν ἥλιον ἔχων ἄνωθεν καίοντα
» τὸ μέτωπον.

42. « Τοῦτον τὸν Σουτήξναν, ὃν ἐφοβεῖτο ὁ Ἴνδρας, οὐδα-
» μῶς ἴσχυσαν καταβαλεῖν αἱ ἀπατηλαὶ ἴυγγες τῶν
» νυμφῶν, τὸ ἡδὺ μειδίαμα, καὶ ἡ ἐρωτικὴ βολὴ τῶν
» ὀμμάτων, καὶ ἡ ἀνακάλυψις τῶν ἀποκρύφων μελῶν.

43. « Οὗτος ὁ Σουτήξνας, ὁ ἔχων τὴν ἀριστερὰν χεῖρα
» ἀνατεταμένην ἀεὶ [1], ἐξέτεινεν ὡς ἔδει τὴν δεξιὰν,

λαμπρὸν ἀνεγείρασαι ἐν λίμνῃ, συνήδοντο αὐτῷ, ᾄδουσαι, χορεύουσαι, καὶ ὄργανα μουσικὰ κρτύουσαι. Διὸ τοῦτο ἡ λίμνη ἐκείνη ὠνομάσθη Παντσαψαρὰ, τουτέστι, Πεντάνυμφος, ἢ Πενταννηρίς.

(1) Καὶ τοῦτο μία ἄσκησις, τὸ ἔχειν ἀνατεταμένην τὴν ἑτέραν χεῖρα, ἢ ἀμφοτέρας· τοῦτο δὲ ποιοῦσι κατ' ὀλίγον, ἀνυψοῦντες τὴν χεῖρα, καὶ ἔχοντες αὐτὴν ἀκίνητον· μετὰ δὲ χρόνον ἡ χεὶρ ὀρθοστατεῖ, καὶ ξηρὰ μένει, καὶ οὐ δύναται συστέλλεσθαι, γιγνομένων τῶν νεύρων σκληρῶν. Εἰσὶ δ' οἳ τοῦτο ποιοῦσιν εἰς ἀνθρωπαρέσκειαν, καὶ χρηματολογίαν· ἀλειφομένη γὰρ ἔπειτα ἡ τοιαύτη ξηρὰ χεὶρ ἐλαίῳ καθ' ἑκάστην, καὶ τριβομένη, ἀποκαθίσταται, ὡς πρότερον. Ὁ δ' ἔχων τοιαύτην ξηρὰν καὶ ὀρθίαν χεῖρα, λέγεται Οὐρδδβαχοῦς, ἔστιν, Ὀρθόχειρ.

» εἰς τιμὴν ἐμοῦ ἣ ἔχει Μαλὰν (κομβολόγιον [1]) καὶ τὰς
» ἐλάφους κνήθει [2], καὶ Κούσσαν κόπτει [3].

44. « Οὗτος ὁ Σουτήξνας, προσδεξάμενος τὸν ἐμὸν εὐλαβῆ
» ἀσπασμὸν διὰ τῆς ὑπονεύσεως τῆς ἑαυτοῦ κεφαλῆς,
» ἐπειδὴ ἐχεμυθίαν ἀσκεῖ, πάλιν ἔτεινε τὴν ὅρασιν πρὸς
» τὸν ἥλιον, ὃς ἦν ἀποκεκρυμμένος ὑπὸ τοῦ ἐπιπρος-
» θοῦντος φορείου.

45. « Τοῦτό ἐστι τὸ ἀσκητικὸν καὶ καθαρτικὸν ἄλσος τοῦ
» πυρολάτρου Σαραββάγκα [4], ὃς, θεραπεύσας τὸ πῦρ
» διὰ πολλοῦ σπονδαῖς, ἔθυσε καὶ τὸ ἑαυτοῦ σῶμα, τὸ
» ὂν καθαρὸν τῇ ἐγκρατείᾳ.

46. « Καθὼς ἡ ἀρετὴ (ἀγαθότης) τῶν γονέων μένει ἐν τοῖς
» ἀγαθοῖς υἱοῖς, οὕτω καὶ ἡ πρὸς τοὺς ξένους ξενία τού-
» του τοῦ πυρολάτρου μένει μέχρι τῆς σήμερον ἐν τοῖς
» δένδροις, ἃ ἀπαλλάττουσι τὸν κάματον τῶν ὁδοιπό-
» ρων τῇ ἑαυτῶν σκιᾷ, καὶ καρποὺς ἡδεῖς διδόασιν.

47. « Οὗτος ὁ Σιτρακούτας, ὦ σύμμετρε τὸ σῶμα, ἕλκει
» μου τὰ ὄμματα, ὧν, ὥσπερ μέγας ταῦρος, οὗ ἡ μὲν
» φάραγξ ἐστὶν, ὡς στόμα, ὁ δ' ἦχος τῶν ἐκρεόντων
» ὑδάτων, ὡς μύκημα, αἱ δὲ κορυφαὶ, ὡς κέρατα, τὰ δ'
» ἐπὶ τῶν κορυφῶν νέφη, ὡς χοῦς ἐπὶ τῶν κεράτων τοῦ
» Ταύρου, διορύττοντος τοὺς ὄχθους.

48. « Αὕτη ἡ Μανδακινὴ, ὁ ποταμὸς, ὁ παρὰ τῷ ὄρει Σι-

---

(1) Ἔχει Μαλὰν, τουτέστι, προσεύχεται.

(2) Τὰς ἐλάφους κνήθει, τουτέστιν, ἐλεεῖ τὰ ζῶα.

(3) Κούσσαν κόπτει, τουτέστιν, ἐργάζεται. Κούσσα, πόα τις, ἣ νομίζεται ἱερὰ καὶ καθαρὰ, ἐφ' ἧς κάθηνται, ὑποστρωννύντες, οἱ ἀσκητικῇ ζωῇ χρώμενοι, καὶ ὅτε προσφέρουσι τὴν σπονδὴν τῷ πυρὶ, ἔχουσιν ἐν μέσῳ τῶν δακτύλων ὀλίγην ταύτης τῆς πόας.

(4) Οὗτος πρότερον ἔμπροσθεν τοῦ Ῥάμα καὶ τῆς Σιτᾶς ἑκάτη, γέρων ὤν.

» τρακούτᾳ ῥέων, καὶ καθαρὸν ὕδωρ ἔχων, καὶ ῥεῦμα
» ἤρεμον, καὶ λεπτὸς ὁρώμενος ἐκ τοῦ ὑψηλοῦ αἰθέρος,
» φαίνεται, ὥσπερ ὅρμος ἐκ μαργάρων περὶ τὴν δείρην
» τῆς γῆς[1].

49. « Αὕτη ἡ παρὰ τῷ ὄρει Ταμάλα, ἐκεῖνό ἐστι τὸ καλὸν
» δένδρον, οὗ τὰ ἁπαλὰ φύλλα συλλαμβάνων, ἐποίουν σοι
» ἐνώτια, ἀγλαΐζοντα τὰς λευκάς σου παρειάς, ὡς κριθὴ
» χλοάζουσα.

50. « Τοῦτο τὸ ἄλσος ἐστὶ, τὸ ὀνομαστὸν καὶ θαυμαστὸν
» ἀσκητήριον τοῦ Ἀτρῆ, ἔνθα θηρία ἐστὶν ἀβλαβῆ, ἀκίν-
» δυνα, καὶ ἥμερα, καὶ καρποὶ γίνονται ἐν δένδροις ἄνευ
» ἀνθέων.

51. « Ταύτην δὲ τὴν Μανδακινὴν, ἣ ἐτέθη ἐπὶ τῆς κεφαλῆς
» ὑπὸ τοῦ Σίβα, καὶ χρυσοῦς λωτοὺς εἶχεν, ὧν οἱ ἑπτὰ
» ὅσιοι Βραχμᾶνες ἐδρέποντο, ἤγαγεν ἐνθάδε ἐκ τοῦ οὐ-
» ρανοῦ ἡ Ἀνουσουΐα, ἡ παράκοιτις τοῦ Ἀτρῆ, εἰς λοῦσιν
» τῶν ἀσκήσει χρωμένων.

52. « Καθὼς δὲ οἱ ἀσκηταὶ, ἤρεμοι καθήμενοι ἐν ἕδρᾳ καὶ
» ἀκίνητοι, θεωρίαν ποιοῦσιν, οὕτω καὶ τὰ δένδρα ταῦτα
» φαίνονται ὥσπερ ἐν θεωρίᾳ, ἀκίνητα ὄντα καὶ ἀσά-
» λευτα, ἕνεκα τῆς νηνεμίας.

53. « Αὕτη ἐστὶν ἡ Βάτα ἐκείνη[2], ᾗ εὐχωλὴν ἐποίησας πρό-
» τερον· ἔχουσα δὲ φύλλα πράσινα, καὶ καρποὺς ἐρυθροὺς,
» φαίνεται, ὥσπερ σωρὸς σαπφείρων, καὶ ἀνθράκων,
» πολυτίμων λίθων.

54. « Θεώρησον, ὅπως τὰ ὕδατα τοῦ Γάγγου καὶ τοῦ Ἰα-
» μουνᾶ, συμμιγέντα, πῇ μὲν φαίνονται, ὥσπερ ὁρμαθοὶ

---

(1) Τὸ μὲν ὄρος ἐστὶν, ὡς κεφαλὴ, ἡ δ' ὑπώρεια, ὡς δείρη τῆς γῆς.

(2) Ἡ Βάτα, δένδρον ἐστὶ μέγα, οὗ ὁ καρπὸς ἐρυθροειδὴς ἐστι καὶ [illegible].

» μαργάρων ὁμοῦ καὶ σαπφείρων, πῇ δὲ, ὥσπερ στέφα-
» νοι λωτῶν λευκῶν, καὶ κυανῶν[1].

55. « Θεώρησον, ὅπως, μιγνυμένη ἡ Γαγγὰ καὶ ἡ Ἰαμουνὰ,
» πῇ μὲν φαίνεται, ὥσπερ ἴλη λευκῶν καὶ κυανῶν χη-
» νῶν, πῇ δὲ, ὥσπερ χρίσμα τῆς γῆς ἐκ Σανδάνου λευ-
» κοῦ, ἐφ' οὗ εἰσι γραφαὶ ἐκ μέλανος Ἀγαλλόχου[2].

56. « Θεώρησον, ὅπως τὸ ὕδωρ τοῦ Γάγγου, συμμιγὲν τῷ
» τοῦ Ἰαμουνᾶ, ποικίλον ἐστὶ, καὶ πῇ μὲν φαίνεται, ὥσπερ
» τὸ ἐπὶ γῆς σέλας τῆς σελήνης μετὰ τῆς σκιᾶς τῶν
» δένδρων, πῇ δὲ, ὥσπερ τὸ λευκὸν καὶ ἀραιὸν νέφος, οὗ
» ἐν μέσῳ διαφαίνεται οὐρανός.

57. « Θεώρησον, ὦ ἄμωμε κατὰ τὸ σῶμα, ὅπως τὸ τοῦ
» Γάγγου ὕδωρ, συμμιγνύμενον τῷ τοῦ Ἰαμουνᾶ, φαί-
» νεται ὥσπερ τὸ κεχρισμένον σποδῷ σῶμα τοῦ Σίβα,
» ἐφ' οὗ ἐστιν, ὡς κόσμημα, ὄφις μέλας.

58. « Ὅσοι, λουσάμενοι ἐν τῇ συνελεύσει τῶν ὑδάτων τοῦ
» Γάγγου καὶ τοῦ Ἰαμουνᾶ, καθαροὶ ἐγένοντο τὴν καρ-
» δίαν, τούτοις οὐ γίνεται μετασωμάτωσις μετὰ θάνα-
» τον, εἰ καὶ ἄπειροί εἰσι τῆς θεωρίας καὶ θείας γνώσεως.

59. « Αὕτη ἐστὶν ἡ πόλις τοῦ βασιλέως[3] τῶν τὴν ὕλην
» οἰκούντων, ἔνθα ἐγὼ μὲν ἐποίησα ἀσκητικοὺς πλοκά-
» μους, ἐκβαλὼν τὸ διάδημα, ὁ δὲ Σουμάντας[4] ἔκλαυ-

---

(1) Τὸ μὲν ὕδωρ τοῦ Γάγγου λευκὸν φαίνεται, τὸ δὲ τοῦ Ἰαμουνᾶ κυάνεον.

(2) Ὥσπερ γυνή ἐστιν ἡ γῆ· αἱ γὰρ γυναῖκες τῆς Ἰνδίας εἰώθασι χρίειν τὸ μέτωπον Σανδάνῳ λευκῷ, ἐπὶ δὲ τούτου γράφειν ἄνθη καὶ βλαστοὺς Ἀγαλλόχῳ, ὅ ἐστι μέλαν· ἄμφω δ' ἐστὶν εὐώδη.

(3) Γούχας ὠνομάζετο.

(4) Ὁ Σαμάντας ἦν εἷς τῶν βουλευτῶν τοῦ Δασσαράτα, ὃς συνώδευσε τῷ Ῥάμα μέχρι ταύτης τῆς πόλεως, ἣ ἦν ἐν δάσει μεταξὺ τῆς Αἰοδδεᾶς, καὶ τῆς Ηραίαγας. Ὁ Σουμάντας ἐλέγετο καὶ Σουμάντρας, ὃς καὶ βουλευτὴς καὶ ἁρματηλάτης ἦν τοῦ Δασσαράτα.

» σεν, εἰπών· « Ὦ Καϊκεγὴ, ἐπληρώθη τὸ θέλημά σου ».

60. « Αὕτη ἐστὶν ἡ Δεβὰ [1], ἧς πηγή ἐστιν ἡ Βραχμασάρα » λίμνη, ὡς λέγουσιν οἱ σοφοὶ, καθὼς πηγή ἐστι τοῦ » νοὸς ἡ ἰδέα τῆς ὕλης, ὡς λέγει ἡ Βέδα· ἐκείνης δὲ » τῆς λίμνης ἡ κόνις τῶν χρυσῶν λωτῶν προσκολλᾶται » τοῖς στήθεσι τῶν γυναικῶν τῶν Ἰαξῶν.

61. « Αὕτη ἡ Δεβὰ φέρει τὰ νάματα πλησίον τῆς μητρο- » πόλεως Ἀϊοδδεᾶς, ἃ ἐγένοντο ἀγνιστικὰ ὑπὸ τῶν ἀπο- » γόνων τοῦ Ἰξβακοῦ, οἳ ἐλούοντο μετὰ τὰς ἱπποθυσίας, » καὶ στήλας τῶν σφαγίων ἐνεπήγνυον κατὰ τὴν ὄχ- » θην [2].

62. « Ταύτην τὴν Δεβὰν λογίζομαι, ὡς κοινὴν τροφὸν πάν- » των τῶν βασιλέων τῆς Κοσσάλας χώρας, οἳ ἀνε- » παύοντο ἐν ταῖς ψάμμοις αὐτῆς, ὡς ἐν ἀγκάλαις, καὶ » ἀνετρέφοντο τῷ ὕδατι, ὡς γάλακτι.

63. « Αὕτη ἡ Δεβὰ, ἣ κατελείφθη ὑπὸ τοῦ τιμίου ἐκείνου » βασιλέως Δασσαράτα ὥσπερ ἡ ἐμὴ μήτηρ, ἰδοῦσά με » ἐπιδημοῦντα, φαίνεται, ὥσπερ εἰ θέλει ἀγκαλίσασθαί » με τοῖς ἀνεγειρομένοις ἀναψυκτικοῖς κύμασιν, ὡς » χερσίν.

64. « Ἐπειδὴ πρόσθεν κονιορτὸς ἀνίσταται ἐκ γῆς ἐρυθρὸς, » ὡς ὁ ἥλιος κατὰ τὴν ἑσπέραν, διὰ τοῦτο συμπεραίνω, » ὡς ὁ Βαράτας ἔρχεται εἰς ὑπάντησιν μετὰ στρατοῦ, » μαθὼν τὰ τῆς ἐλεύσεώς μου παρὰ τοῦ Χανουμᾶνος [3].

---

(1) Δεβὰ, ποταμὸς μέγας, ὃς παραῤῥέει τῇ Ἀϊοδδεᾷ· λέγεται δὲ καὶ Σαραϊοῦ· ἐξέρχεται δὲ ἐκ τῆς Βραχμασάρας λίμνης, ἥ ἐστι κατὰ τὸν Ἰμαὸν, ἔνθα κεῖται ἡ χώρα τοῦ Κουβέρα, τοῦ θεοῦ τοῦ πλούτου, οὗ οἱ ἀκόλουθοι λέγονται Ἰάξαι.

(2) Ὅσα εἰσὶ τὰ σφάγια, τοσαῦται καὶ αἱ στῆλαι, ἐν αἷς δίενται.

(3) Ὁ Χανουμὰν προαπεστάλθη εἰς Ἀϊοδδεὰν, εὐαγγελισόμενος τὴν ἔλευσιν τοῦ Ῥάμα.

65. « Οὗτος ὁ ἀγαθὸς Βαράτας ἀναμφιλόγως ἐμοὶ, τῷ
» φυλάξαντι τὴν ἣν γνώμην ἐθέμην, παραδώσει τὴν
» βασιλείαν ἀμώμητον, καθὼς ὁ Λαξμάνας παρέδωκέ
» μοι σὲ ἄχραντον, ἀναστρέψαντι μετὰ τὸν θάνατον τοῦ
» Δουσσάνα καὶ τῶν λοιπῶν.

66. « Ἰδοὺ ὁ Βαράτας ἔρχεται εἰς ὑποδοχὴν καὶ τιμὴν
» ἐμοῦ, πεζὸς, καὶ ῥακενδύτης, γέρουσι συνὼν βουλευ-
» ταῖς, καὶ ἔχων τὸν μὲν Βασσίσταν προπορευόμενον,
» τὸν δὲ στρατὸν παρεπόμενον.

67. « Αὐτὸς χάριν ἐμοῦ, καί περ ἔχων τὴν βασιλείαν ἐν
» χερσὶν, ὡς γυναῖκα ἐν ἀγκάλαις, ἣν παρέδωκεν αὐτῷ
» ὁ πατήρ μου, οὐκ ἐτρύφησεν αὐτῆς, ἀλλ' ἐν τοσούτοις
» ἔτεσιν ἄκρᾳ ἐγκρατείᾳ ἐχρήσατο, καί περ νέος ὤν ».

68. Τοιαῦτα εἰπόντος τοῦ Ῥάμα, τὸ φορεῖον, ἅτε θεῖον καὶ νοητικὸν, νοῆσαν τὴν γνώμην τοῦ Ῥάμα, κατέβη ἀπὸ τοῦ αἰθέρος ἐπὶ γῆς, θεωρούμενον μετὰ θαύματος ὑπὸ τῶν συνόντων τῷ Βαράτᾳ.

69. Ἁψάμενος δ' ὁ Ῥάμας τῆς χειρὸς τοῦ ἐπιδεξίου εἰς θεραπείαν Σουγρήβα, κατέβη ἀπὸ τοῦ φορείου διὰ τῆς κλίμακος, κεκοσμημένης πολυτίμοις λίθοις, ἡγουμένου τοῦ Βιβθησσάνα, καὶ δεικνύοντος ἕκαστον βαθμόν.

70. Προσκυνήσας δὲ τὸν πνευματικὸν πατέρα Βασσίσταν εὐλαβῶς, ἠγκαλίσατο, δακρυβρόων, τὸν ἀδελφὸν Βαράταν μετὰ τὸ προσδέξασθαι τὴν προσφορὰν αὐτοῦ, καὶ ὠσφράνθη τῆς κορυφῆς αὐτοῦ [1], ἣ οὐκ ἀνεδέξατο τὸ βασιλικὸν χρίσμα καὶ στέμμα, ὃ ἔδωκεν ὁ πατήρ.

---

(1) Ὁ πατὴρ καὶ ἡ μήτηρ, ἀγκαλιζόμενοι τὸν υἱόν, ὀσφραίνονται τῆς κορυφῆς αὐτοῦ, καθὼς ἡ δάμαλις τοῦ μόσχου· ἔστι δὲ τοῦτο σημεῖον φίλτρου. Τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὁ πρεσβύτερος ἀδελφὸς, ἐς κρίνεται σεβάσμιος, πρὸς τὸν νεώτερον.

71. Ἱλαρῷ δ' ὄμματι καὶ εὐπροσηγορίᾳ καὶ ἡδυλογίᾳ καθιλάρυνε λίαν τοὺς γέροντας βουλευτὰς, προσκυνοῦντας, οἳ εἶχον σχῆμα πένθιμον, καὶ γένεια καθειμένα [1], ὥσπερ αἱ Βάται [2] ἔχουσι καθειμένα ῥιζοειδῆ ἐκφύματα.

72. Εἰπόντος δὲ τοῦ Ῥάμα, « Οὗτος μέν ἐστιν ὁ βασιλεὺς » τῶν Πιθήκων καὶ τῶν Ἄρκτων, ὁ βοηθός μοι ἐν ἀνάγ» καις, οὗτος δὲ ὁ ἀδελφὸς τοῦ Ῥαβάνα, ὁ πρόμαχος » ἐν πολέμοις », ὁ Βαράτας, ἀφεὶς τὸν Λαξμάναν, προσεκύνησεν ἐκείνους.

73. Μετὰ δ' ἐκείνους, ἀναλαβὼν ὁ Βαράτας τὸν Λαξμάναν, κλίνοντα τὴν κεφαλὴν [3], καὶ προσκυνοῦντα, ἠγκαλίσατο αὐτὸν σφοδρῶς, ὥσπερ θλίβων τὸ ἑαυτοῦ στῆθος τῷ στήθει ἐκείνου, ὃ ἦν σκληρὸν ἐκ τῆς οὐλῆς τοῦ τραύματος, ὃ ἔλαβε παρὰ τοῦ Ῥαβάνα.

74. Προσταγῇ δὲ τοῦ Ῥάμα οἱ ἄρχοντες τῶν Πιθήκων, ἀνθρωπείαν μορφὴν λαβόντες, ἀνέβησαν ἐπὶ μεγάλους ἐλέφαντας, ὧν ῥεόντων χυμὸν εὐώδη ἐκ τῶν κροτάφων, ἡδονὴν ἐλάμβανον οἱ Πίθηκοι, ὥσπερ ἐν ὄρεσι διαιτώμενοι.

75. Ὁ δὲ κύριος τῶν δαιμόνων, ὁ Βιββησσάνας, προσταχθεὶς ὑπὸ τοῦ Ῥάμα, ἀνέβη καὶ αὐτὸς, καὶ οἱ περὶ αὐτὸν εἰς ἅρματα, ἃ ἦσαν ἀσυγκρίτως ὑπέρτερα, καί περ χειρότευκτα, τῶν ἁρμάτων τῶν δαιμόνων, τῶν δαιμονικῇ μαγίᾳ κατεσκευασμένων.

---

(1) Οὔτε κοσμήματα εἶχον, οὔτε τὸ γένειον ἐξυρημένον, καθως καὶ ὁ Βαράτας, διὰ τὴν ἔξοριαν τοῦ Ῥάμα.

(2) Βάτα, δένδρον μέγα, οὗ ἐκ τῶν κλάδων ῥιζοειδεῖς βλαστοὶ ἐκφύονται, καὶ καταβαίνοντες κατ' ὀλίγον ἐνριζοῦνται τῇ γῇ.

(3) Ὁ Λαξμάνας νεώτερος ἦν τοῦ Βαράτα, καὶ διὰ τοῦτο ἔκλινε τὴν κεφαλὴν, δεικνύων σέβας πρὸς τὸν πρεσβύτερον ἀδελφόν.

76. Ἀνέβη δὲ πάλιν ὁ Ῥάμας μετὰ τοῦ Λαξμάνα καὶ Βαράτα τὸ αἰθέριον ὄχημα, τὸ ἔχον λαμπρὰν σημαίαν, καὶ ἐφαίνετο, ὥσπερ σελήνη ἐν μέσῳ νέφους ἀστραπηφόρου ἐν νυκτὶ μετὰ τῶν ἀστέρων Ἑρμοῦ, καὶ Διός [1].

77. Ὁ δὲ Βαράτας προσεκύνησε τὴν περιχαρῆ Σητὰν [2], ἡ ἐξήχθη ὑπὸ τοῦ Ῥάμα ἐκ τῆς δουλείας τοῦ Ῥαβάνα, καθὼς ἡ μὲν γῆ ἐκ τοῦ βυθοῦ τῆς θαλάσσης ὑπὸ τοῦ Βισνοῦ [3], ἡ δὲ σελήνη ἐκ τῆς συννεφίας ὑπὸ τῆς ὥρας Σαράδας.

78. Καὶ τὸ ζεῦγος τῶν ποδῶν τῆς Σητᾶς, τὸ ὂν σεβάσμιον, ὡς καταφρονῆσαν τῆς προσκυνήσεως τοῦ Ῥαβάνα [4], καὶ ἡ κεφαλὴ τοῦ Βαράτα, ἡ οὖσα σεβασμία, ὡς ἔχουσα ἀσκητικοὺς πλοκάμους διὰ τὴν πρὸς τὸν Ῥάμαν ἀγάπην, σμιχθέντα ἀμφότερα [5], ἀγνιστικὰ ἐγένοντο ἀλλήλων.

79. Ὁ δὲ σεβαστὸς Ῥάμας, ὁδὸν ποιήσας ἑπταστάδιον ἐπὶ τοῦ Πουσπάκα φορείου, βάδην βαίνοντος, ἡγουμένης τῆς στρατιᾶς, κατέλυσε πλησίον τῆς Ἀϊοδδεᾶς ἐν περιφανεῖ κήπῳ, ἔνθα ὁ Σατρούγνας εὐτρέπισε σκηνὴν μεγαλοπρεπῆ.

---

(1) Ἡ μὲν Σελήνη ἐστὶν ὁ Ῥάμας, ὁ δ' Ἑρμῆς καὶ ὁ Ζεὺς, ὁ Λαξμάνας καὶ ὁ Βαράτας, τὸ δὲ νέφος, τὸ φορεῖον, ἡ δ' ἀστραπή, ἡ σημαία.

(2) Ὁ νεώτερος ἀδελφὸς σέβεται καὶ προσκυνεῖ οὐ μόνον τὸν πρεσβύτερον ἀδελφὸν, ἀλλὰ καὶ τὴν γυναῖκα αὐτοῦ.

(3) Ὅτε ἔλαβε μορφὴν κάπρου.

(4) Ἡ Σητὰ οὐκ ἠθελε παντελῶς γαμετὴ γενέσθαι τοῦ Ῥαβάνα, ὃς ἐκολάκευεν αὐτὴν, προσπίπτων τοῖς ποσὶν αὐτῆς.

(5) Ἡ κεφαλὴ τοῦ προσκυνοῦντος θίγει τῶν ποδῶν τοῦ προσκυνουμένου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

1. Ἐν ἐκείνῳ τῷ κήπῳ εἶδον τὰς ἑαυτῶν μητέρας ὁ Ῥάμας καὶ ὁ Λαξμάνας, αἳ εἶχον πρόσωπον μεμαραμμένον, καὶ σχῆμα πένθιμον ἐκ τοῦ θανάτου τοῦ ἑαυτῶν ἀνδρὸς, ὡς δύω ἀναδενδράδες ἐκ τῆς τομῆς τοῦ δένδρου, ὃ περιπτύσσονται.
2. Ἀμφότεροι δ' οὗτοι οἱ ἐχθροκτόνοι καὶ μεγαλουργοὶ προσεκύνησαν κατὰ τάξιν ἀμφοτέρας τὰς μητέρας, αἳ οὐκ εἶδον σαφῶς τοὺς υἱοὺς ἐκ τῆς σκοτιζούσης τὴν ὅρασιν δακρυρροΐας· ἔγνωσαν δ' ὅμως αὐτοὺς ἐκ τῆς ἡδονῆς τῆς περιπτύξεως αὐτῶν.
3. Τούτων δὲ τῶν μητέρων τὰ ψυχρὰ δάκρυα τῆς χαρᾶς ἀπέβαλον τὰ θερμὰ δάκρυα τῆς λύπης, καθὼς τὰ ἐκ τῆς χιόνος ψυχρὰ ῥεύματα ἀποβάλλουσι τὴν ἐκ τοῦ καύματος θερμότητα τῶν ὑδάτων τῆς Γαγγᾶς καὶ τῆς Δεβᾶς.
4. Θίγουσαι δὲ τῶν οὐλῶν τῶν ἐν τοῖς σώμασι τῶν υἱῶν τραυμάτων, ἃ ἔλαβον ἐκ τῶν ὅπλων τῶν Γιγάντων, ἠλέουν, νομίζουσαι, ὡς πρόσφατόν ἐστι, καὶ οὐκ ἤθελον καλεῖσθαι ἡρωοτόκοι[1], καί τοι αὕτη ἡ προσηγορία ἐφετή ἐστι ταῖς γυναιξὶ τῆς φυλῆς τῶν Ξατρῶν.
5. Πεσοῦσα δ' ἡ Σητὰ, προσεκύνησεν εὐλαβῶς τὰς γυναῖκας τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου Δασσαράτα, εἰποῦσα· « Ἀτυχής εἰμι ἐγὼ, ἡ πολλὰ δεινὰ ἐνεγκοῦσα τῷ » ἐμαυτῆς ἀνδρί[2] ».

---

(1) Ἡ μήτηρ ἡ τεκοῦσα υἱὸν ἥρωα, Ἰνδιστὶ λέγεται Βηρασοῦ, ὅ ἐστιν, ἡρωοτόκος· λέγεται καὶ Βηραματὰ, ὅ ἐστιν, ἥρως μήτηρ.

(2) Οἱονεὶ ἔλεγεν, ἐξ οὗ συνεζεύχθην τῷ Ῥάμᾳ, καὶ εἰς ἐξορίαν ἐστάλθη, καὶ πολλὰ δεινὰ ἔπαθεν ἐκεῖνος· ἀτυχὴς ἄρα ἐγὼ εἰμι καὶ ἀπορφάς.

6. Αἱ δ' εἶπον φιλοστόργως καὶ ἀληθῶς πρὸς αὐτὴν τὴν ἀξίαν φιλοστοργίας· « Ἀνάστα, τέκνον· ὁ γὰρ σὸς ἀνὴρ » καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκ τῆς σῆς ἀρετῆς ἀπέφυγον τὰ » μεγάλα δεινά ».

7. Μετὰ δὲ ταῦτα ὕδασιν ἐν χρυσαῖς ὑδρίαις, ἀχθεῖσιν ἐξ ἁγίων τόπων, ἐλούσαντο τὸν Ράμαν, τὸν κολοφῶνα τῆς γενεᾶς τοῦ Ραγγοῦ, οἱ γέροντες βουλευταὶ καὶ Βραχμᾶνες, ὃν ἐλούσαντο πρότερον δάκρυσι χαρᾶς αἱ μητέρες.

8. Ταῦτα τὰ ὕδατα ἤγαγον[1] οἱ ἀρχηγοὶ τῶν Δαιμόνων καὶ τῶν Πιθήκων ἐκ τῶν τεσσάρων θαλασσῶν καὶ λιμνῶν, καὶ ποταμῶν, ἃ ἐχύθησαν εἰς τὴν κορυφὴν τοῦ νικητοῦ, καθὼς τὰ τῶν νεφῶν εἰς τὴν κορυφὴν τοῦ ὄρους Βινδδεᾶ.

9. Καὶ πρότερον μὲν ὁ Ράμας ἠγλαΐζετο πολὺ, καὶ ἄξιος ἦν θεωρίας, φέρων ἀσκητικὴν σκευήν· τότε δὲ μᾶλλον ἠγλαΐζετο καὶ ἐλαμπρύνετο, λαμπρὰν ἔχων καὶ βασιλικὴν στολήν.

10. Συνὼν δὲ τοῖς ἄρχουσι, καὶ τοῖς Γίγασι, καὶ τοῖς Πιθήκοις, καὶ τῇ στρατιᾷ, καὶ εὐφραίνων τοὺς πολίτας ἤχοις μουσικῶν ὀργάνων, εἰσέβη εἰς τὴν βασιλεύουσαν, ἧς ἐκ μὲν τῶν ὑψηλῶν οἴκων ὄρυζα πεφρυγμένη ἔπιπτεν, ὡς βροχὴ, ἐπὶ δὲ τῶν θυρῶν ἀρπεδόνες ἦσαν φύλλων.

11. Ἦν δὲ καθήμενος ἐφ' ἅρματος, ἔχων ἑκατέρωθεν μὲν τὸν Λαξμάναν, καὶ τὸν Σατρούγναν, ῥιπίζοντας αὐτὸν ῥιπιδίοις οὐραίοις, ὄπισθεν δὲ τὸν Βαράταν, κρατοῦντα τὸν βασιλικὸν οὐρανίσκον· ἐφαίνοντο δ' οὗτοι οἱ ἀδελφοὶ ὥσπερ οἱ τέσσαρες βασιλικοὶ τρόποι ἐνσώματοι.

12. Ἡ δὲ ἀναθυμίασις τοῦ καιομένου ἀγαλλόχου ἐν οἴκοις, διασκεδαζομένη ὑπὸ τοῦ ἀέρος, ἐφαίνετο, ὥσπερ πλοκα-

(1) Ταχέως ἤγαγον, ἅτε αἰθεροβατοῦντες.

μὶς τῆς πόλεως[1] ἐκείνης, διαλυομένη ὑπὸ τοῦ Ῥάμα, ἀναστρέψαντος ἐξ ἐρήμου.

13. Αἱ δὲ γυναῖκες τῆς πόλεως, κλίνουσαι τὰς κεφαλὰς, καὶ ἐνοῦσαι τὰς παλάμας, ἠσπάζοντο ἐκ τῶν θυρίδων τὴν Σητὰν, ἐφ' ἁρμαμάξης καθημένην, καὶ ἀγλαὰ ἄμφια περιβαλλομένην, ἃ ἔδωκαν αὐτῇ αἱ πενθεραὶ, παρασκευασάμεναι.

14. Ἠγλαΐζετο δ' ἡ Σητὰ, ἔχουσα τὸ λάμπον ἐκεῖνο χρίσμα[2], καὶ διαμένον ἀεὶ ἀνεξάλειπτον, ὅπερ ἔδωκεν αὐτῇ ἡ Ἀνουσουΐα, ὥσπερ δεικνυομένη πρὸς τὴν πόλιν ὑπὸ τοῦ ἀνδρὸς, ὡς ἐν πυρί ἐστι πάλιν, ὡς ἐν δοκιμίῳ, ὅτι καθαρά ἐστι καὶ ἄμωμος.

15. Δοὺς δ' οἰκήματα μετὰ πάντων τῶν ἀναγκαίων τοῖς συμμάχοις καὶ εὐμενέσιν ὁ τῆς εὐμενείας θησαυρὸς Ῥάμας, εἰσέδυ, δακρυῤῥοῶν, τὸν κεκοσμημένον καὶ διευθετημένον οἶκον τοῦ θανόντος πατρός.

16. Προσκυνήσας δὲ τὴν μητέρα τοῦ Βαράτα, ἀπήλειψε τὴν αἰσχύνην αὐτῆς, εἰπών· « Ὦ μῆτερ, εἰ θεωρεῖται ἀκριβῶς, » σόν ἐστι τοῦτο τὸ ἀγαθὸν ἔργον, ὅτι ὁ ἐμὸς πατὴρ οὐκ » ἐκπέπτωκε τῆς ἀληθείας, ἣ αἰτία ἐστὶ τῆς ἀπολαύσεως » τοῦ οὐρανοῦ ».

17. Τοιούτοις δὲ καὶ τοσούτοις κεκαρυκευμένοις πολυειδέσι βρώμασιν ἐθεράπευσε τὸν Σουγρήβαν καὶ τὸν Βιβθησσάναν[3], ὥστε ἐκείνους θαυμάζειν λίαν ἐν καρδίᾳ, καί τοι ἠδύναντο πολυποίκιλα παρασκευάσασθαι μόνῃ τῇ ἐννοίᾳ.

---

(1) Ἡ πόλις ἐστὶν, ὡς γυνὴ, ἡ οὐ κτενίζεται, οὐδὲ κοσμεῖται, ἐν ὅσῳ ἀποδημεῖ ὁ ἀνήρ· ὅταν δ' ἐπιδημήσῃ, τότε ἡ γυνὴ διαλύει τὸν πλόκαμον, καὶ κτενίζεται, καὶ κοσμεῖται.

(2) Τὸ λάμπον ἐκεῖνο χρίσμα, ὡς πῦρ ἦν.

(3) Ὁ μὲν γὰρ Βιβθησσάνας δαίμων ἦν, ὁ δὲ Σουγρήβας υἱὸς τοῦ Ἡλίου.

18. Ὑποδεξάμενος δὲ, καὶ προσκυνήσας τοὺς θείους καὶ ὁσίους Βραχμᾶνας, τοὺς ἐλθόντας εἰς εὐλογίαν, ἤκουσε παρ' αὐτῶν τὰ ἐκ γενέσεως κατορθώματα τοῦ ἀναιρεθέντος ἐχθροῦ Ραβάνα, ἅπερ ἐμεγάλυνον τὰ κατορθώματα αὐτοῦ τοῦ Ράμα [1].

19. Ἀπελθόντων δὲ τῶν ὁσίων Βραχμάνων, ὁ Ῥάμας, τιμήσας δωρήμασι διὰ τῶν χειρῶν τῆς Σητᾶς τοὺς ἡγεμόνας τῶν Δαιμόνων καὶ τῶν Πιθήκων, ἀπέπεμψεν αὐτοὺς οἴκαδε· οἳ ἐκ τρυφῆς οὐκ ἤσθοντο τοῦ διελθόντος ἡμίσεος μηνὸς (καθ' ὃν διέτριψαν ἐν Ἀϊοδδεᾷ).

20. Προσέταξε δὲ καὶ τῷ θείῳ ἐκείνῳ φορείῳ, τῷ ἄνθει τοῦ οὐρανοῦ, ὃ ἐσκύλευσε παρὰ τοῦ ἀντιθέου Ραβάνα μετὰ τῆς ζωῆς αὐτοῦ, ἀπελθεῖν πάλιν εἰς ὑπηρεσίαν καὶ χρῆσιν τοῦ θεοῦ Κουβέρα, τοῦ κυρίου τοῦ Καϊλάσα, καὶ ἐπανελθεῖν, ὅταν μνησθῇ αὐτοῦ.

21. Οὕτως οὖν ὁ Ῥάμας, τελειώσας τὴν ἐν ἐρήμῳ διαγωγὴν κατὰ τὴν τοῦ πατρὸς προσταγὴν, καὶ ἀναδεξάμενος τὴν βασιλείαν, καθὼς τὴν αὐτὴν κλίσιν εἶχεν εἰς τὴν τριττὺν τῶν ἀγαθῶν [2], εἰς τὴν ἀρετὴν, εἰς τὴν κτῆσιν, καὶ εἰς τὴν τρυφὴν, οὕτω καὶ εἰς τοὺς τρεῖς ἀδελφούς [3].

22. Τὴν αὐτὴν δὲ τιμὴν καὶ θεραπείαν ἐδείκνυεν ὁ Ῥάμας πρὸς τὰς τρεῖς μητέρας, καθὼς ὁ θεῖος ἀρχιστράτηγος Σκάνδας πρὸς τὰς ἓξ μητέρας, ὧν τοὺς μαστοὺς ἐθήλαζε τοῖς ἓξ στόμασιν.

23. Ἀποστρεφομένου μὲν τὴν πλεονεξίαν, ὁ λαὸς ἐγένετο πλούσιος· κολάζοντος δὲ τοὺς κακοὺς, ἐνησχολεῖτο ἀδεῶς τοῖς ἑαυτῶν ἐπιτηδεύμασιν· ὁδηγοῦ δ' ὄντος εἰς πρᾶξιν

---

(1) Ὅτε μέγας ἐστὶν ὁ νικηθεὶς, μείζων κρίνεται ὁ νικήσας.

(2) Δηλονότι μέτριος ἦν εἰς χρῆσιν ἑνὸς ἑκάστου τῶν τριῶν ἀγαθῶν.

(3) Δηλονότι ἓξ ἴσου ἠγάπα τοὺς τρεῖς ἀδελφούς.

τῆς ἀρετῆς, ὁ λαὸς ἐνόμιζεν αὐτὸν, ὡς πατέρα· ἀπαλλάττοντος δὲ τὰ δεινὰ, ἐνόμιζεν αὐτὸν, ὡς υἱόν.

24. Ἐθεώρει μὲν κοινῶς ἐν διατεταγμένῳ καιρῷ τὰς ὑποθέσεις τοῦ λαοῦ καὶ τὰς τῆς βασιλείας· ἐτρύφα δ' ἰδίως μετὰ τῆς Σητᾶς, ὥσπερ συνὼν τῇ Λαξμῇ, ἡ ἐπιθυμοῦσα τρυφῆς, ἔλαβε τὸ ἀγλαὸν σῶμα τῆς Σητᾶς.

25. Καὶ τὰ δεινὰ δὲ, ἃ ἔπαθον πάλαι ἐν ἐρήμῳ, ἐρχόμενα εἰς ἐνθύμησιν, ἡδοναὶ καὶ τρυφαὶ ἐγίγνοντο τῷ Ῥάμᾳ καὶ τῇ Σητᾷ, οἳ καθηδυπάθουν, ὡς ἐφίεντο, ἐν περικαλέσι καὶ περιφανέσιν οἴκοις.

26. Ἡ δὲ Σητὰ χαροποιὰ ἐγένετο τῷ ἀνδρὶ αὐτῆς διὰ τοῦ ἑαυτῆς προσώπου, ὃ εἶχεν ἄμματα μὲν μᾶλλον ἀγλαὰ, παρειὰς δὲ ὠχρὰς, καὶ ἐσήμαινεν ἄνευ τοῦ ἐξειπεῖν, ὡς ἐγκυμονοῦσά ἐστιν.

27. Αἰσθόμενος δ' ὁ Ῥάμας, ὡς ἔγκυός ἐστιν ἡ Σητὰ, ἀναλαβὼν αὐτὴν τὴν λεπτόσωμον ἐν ἀγκάλαις, ἔχουσαν τὰς θηλὰς τῶν μαστῶν μᾶλλον μελαίνας, καὶ αἰσχυνομένην, ἠρώτησεν, εἴ τινος ἐπιθυμοῖ.

28. Ἡ δ' ἐπεθύμησεν ἐλθεῖν πάλιν εἰς ἅλση τὰ παρὰ τῇ ὄχθῃ τοῦ Γάγγου, ἔνθα φύεται Νηβάρα εἰς τροφὴν, καὶ Κούσσα εἰς στρωμνήν· αἱ δὲ θυγατέρες τῶν ὁσίων ἀνδρῶν συμπαίζουσι τοῖς ἀγρίοις ζώοις καὶ θηρίοις.

29. Ἔνευσε δ' εἰς τὴν ἔφεσιν αὐτῆς ὁ Ῥάμας· καὶ ἐπιθυμῶν θεωρῆσαι τὴν ἐπίχαριν Ἀϊοδδεὰν, ἀνέβη μετὰ τῶν περὶ ἑαυτὸν εἰς τὴν στέγην τοῦ οἴκου, τοῦ διήκοντος εἰς τὰ νέφη.

30. Εὐφραίνετο δὲ, θεωρῶν τὰς μὲν λεωφόρους πλήρεις οὔσας ἐργαστηρίων, τὴν δὲ Δεβὰν, πλεομένην ναυσὶ, τοὺς δὲ παρὰ τῇ πόλει κήπους, ὀχλουμένους πολίταις, θρυπτομένοις, καὶ τερπομένοις.

31. Ἐνταῦθα αὐτὸς ὁ ἔγκριτος τῶν εὐφραδῶν καὶ ἀγαθοερ-

γῶν, αὐτὸς ὁ μακρόχειρ, καὶ νικητὴς ἀνδρείων ἐχθρῶν, ἠρώτησεν ἀγαθὸν (ἔμπειρον) ὠτακουστήν· « Τί λέγου-
» σιν οἱ ἄνθρωποι περὶ ἐμοῦ ; »

32. Βιασθεὶς δ' ὁ Ὠτακουστὴς, ἀπεκρίνατο· « Ὦ βασιλεῦ,
» πάντα τὰ σὰ ἔργα ἐπαινοῦσιν οἱ πολῖται, ἐκτὸς τού-
» του, ὅτι ἔλαβες πάλιν τὴν βασίλισσαν, ἣ ἦν ἐν τῷ
» οἴκῳ τοῦ Ῥαβάνα ».

33. Τοιαύτῃ βαρείᾳ δυσφημίᾳ πληγεὶς ὁ ἀνὴρ τῆς Σητᾶς, διερράγη τὴν καρδίαν, καθὼς ὁ ἡμμένος σίδηρος, πλητ-τόμενος σιδηρᾷ σφύρᾳ, καὶ τοιαῦτα ἀνέστρεφε κατὰ νοῦν·

34. « Παραβλέψω ταύτην τὴν κατ' ἐμοῦ δυσφημίαν ; ἢ
» ἀποδιώξω τὴν ἀνέγκλητον γυναῖκα ; » Ἠπόρει δὲ, πό-τερον πράξῃ, τρεπόμενος ποτὲ μὲν εἰς τοῦτο, ποτὲ δ' εἰς ἐκεῖνο, ὥσπερ ἡ κρεμαστή.

35. Σκεψάμενος δὲ, ὡς οὐδεὶς ἄλλος τρόπος ἐστὶν ἀποφυγῆς τῆς κατηγορίας, ἠθέλησεν ἀποφυγεῖν αὐτὴν διὰ τῆς ἀπο-διώξεως τῆς γυναικός· ἡ γὰρ εὐφημία τῶν εὐφήμων τι-μιωτέρα ἐστὶ καὶ αὐτοῦ τοῦ σώματος, πολλῷ μᾶλλον τῶν ἄλλων ἐφετῶν.

36. Δύσθυμος τοίνυν γενόμενος, συγκαλέσας τοὺς ἑαυτοῦ ἀδελφοὺς, (οἳ, ἰδόντες τὸ λυπηρὸν αὐτοῦ πρόσωπον, δύ-σθυμοι ἐγένοντο καὶ αὐτοὶ) διηγήσατο αὐτοῖς τὴν καθ' ἑαυτοῦ κακὴν φήμην, προσθεὶς καὶ τάδε·

37. « Ἴδετε, ὁποῖον στίγμα καὶ μίασμα ἐξ ἐμοῦ, τοῦ ἀεὶ
» ποιοῦντος ἔργα ἄμωμα, ἐγένετο τῷ βασιλικῷ καὶ
» ἱερῷ γένει ἡμῶν, τῷ καταγομένῳ ἀπὸ τοῦ Ἡλίου,
» καθὼς τῷ λαμπρῷ κατόπτρῳ ἐκ τῆς ἄχνης τῆς βρο-
» χῆς, τῆς ὑπὸ τοῦ ἀέρος σκιδναμένης.

38. « Ταύτην τὴν κατὰ πρῶτον κατ' ἐμοῦ κακὴν φήμην,
» ἣ διεσπάρθη εἰς τὴν γλῶσσαν παντὸς ἀνθρώπου, κα-
» θὼς ἡ σταγὼν τοῦ ἐλαίου εἰς τὴν ἐπιφάνειαν τοῦ

» ὕδατος, οὐ δύναμαι φέρειν, ὡς ὁ μέγας ἐλέφας τὸν » στύλον τοῦ δεσμοῦ.

39. « Καί τοι ἡ Σητὰ ἑτοίμη ἐστὶν, εἰς τὸ δοῦναι καρπὸν, » ἐγκαταλείψω ὅμως αὐτὴν, καταφρονήσας, εἰς ἐξάλει- » ψιν ταύτης τῆς μομφῆς καὶ τοῦ στίγματος, καθὼς » ἐγκατέλιπον πρότερον τὴν γῆν, εἰς διατήρησιν τῆς » προσταγῆς τοῦ πατρός.

40. « Ἐγὼ καλῶς οἶδα, ὡς ἡ Σητὰ ἄχραντός ἐστι καὶ » ἀμίαντος, ἀλλ' ἡ κατηγορία τῶν ἀνθρώπων ἰσχυρο- » τέρα παρ' ἐμοὶ κρίνεται· καὶ ἡ σκιὰ γὰρ τῆς γῆς, » ἡ ἐπὶ τῆς σελήνης, λέγεται ὑπὸ τῶν κοινῶν ἀνθρώ- » πων, ὡς κηλὶς καὶ μελανότης πέφυκε τῆς καθαρᾶς » σελήνης [1].

41. « Ὁ πόνος μου, ὁ γενόμενος εἰς ἀναίρεσιν τοῦ δαίμονος » Ῥαβάνα, οὐκ ἐγένετο μάταιος, ἐπειδὴ ἐγένετο εἰς » ἄμυναν τοῦ ἐχθροῦ [2]. Τί δαί; ὁ ὄφις εἰς ἔφεσιν πό- » σεως αἵματος δάκνει, παροξυνθεὶς τὸν ἄνθρωπον, οὗ » τῷ ποδὶ ἐπατήθη; ἢ εἰς ἄμυναν;

42. « Ὅθεν αὕτη ἡ ἐμὴ γνώμη οὐκ ἐμποδιστέα ἐστιν ὑφ' » ὑμῶν, εὐσπλάγχνων ὄντων, εἰ ἔφεσίς ἐστιν ὑμῖν τῆς » ἐμῆς ζωῆς, ἢ ἔσεται, ὅταν ἐξαχθῇ οὗτος ὁ κοινὸς » λόγος, ὁ ἐμπεπηγμένος, ὡς ἧλος, ἐν τῇ ἐμῇ καρδίᾳ ».

43. Τοιαῦτα τοῦ βασιλέως Ῥάμα εἰρηκότος, καὶ τοιαύτην

---

(1) Οἱ ἀστρονόμοι λέγουσιν, ὡς ἡ ἐν τῇ Σελήνῃ φαινομένη κηλὶς καὶ μελανότης, σκιά ἐστι τῆς γῆς· κοινῶς ὅμως λέγεται οὐ σκιὰ τῆς γῆς ἐκ συμβάματος, ἀλλὰ κηλὶς καὶ στίγμα ἐκ φύσεως.

(2) Ἵνα μὴ εἴπῃ τις τῶν ἀδελφῶν, διὰ τί τοσοῦτον πόλεμον ἐποίησε διὰ τὴν Σητάν; διὰ τοῦτο ἐπάγει ἐνταῦθα, ὡς πόλεμον ἐποίησεν οὐ δι' αὐτὴν, ἀλλὰ δι' ἄμυναν· καὶ φέρει παράδειγμα τὸν ὄφιν, ὃς δάκνει τὸν ἄνθρωπον, οὗ τῷ ποδὶ ἐπατήθη, οὐκ εἰς πόσιν αἵματος αὐτοῦ, ἀλλ' εἰς ἄμυναν.

ἀμετάθετον γνώμην κατὰ τῆς Σητᾶς ἐσχηκότος, οὐδεὶς τῶν ἀδελφῶν ἐκείνων οἷός τε ἦν ἤτοι ἐπισχεῖν αὐτὸν, ἢ συναινέσαι αὐτῷ.

44. Σκεψάμενος δὲ τὸν Λαξμάναν ἀγαθὸν ὄντα, καὶ ὑπήκοον τῇ προσταγῇ, παραλαβὼν κατ᾽ ἰδίαν αὐτὸν αὐτὸς ὁ ἀδόμενος ἐν τοῖς τρισὶ κόσμοις, καὶ τὴν ἀλήθειαν λέγων, ἐπέταξεν οὕτως, εἰπών·

45. « Ἐπειδὴ ἡ γυνὴ τοῦ ἀδελφοῦ σου, γαργαλιζομένη ὑπὸ » τῆς ἐγκυμοσύνης, ἐπιθυμεῖ τῆς ἐν ἐρήμῳ διατριβῆς, » διὰ τοῦτο σὺ αὐτὸς, παραλαβὼν αὐτὴν ἐφ᾽ ἅρματος » ἐπὶ τοιαύτῃ προφάσει, ἄφες ἐν τῷ ἀσκητηρίῳ τοῦ » ὁσίου Βαλμήκη [1] ».

46. Ἀκούων δ᾽ ὁ Λαξμάνας, ὡς ὁ Παρασσουράμας ἀπέτεμε τὴν κεφαλὴν τῆς ἑαυτοῦ μητρὸς ἐκ τῆς προσταγῆς τοῦ πατρὸς, ὡς ἐχθρὸς, ἐδέξατο τὴν προσταγὴν τοῦ πρεσβυτέρου ἀδελφοῦ· ἡ γὰρ προσταγὴ τῶν σεβασμίων ἀπαράβατός ἐστι.

47. Τὴν δὲ Σητὰν, ἡ ἐχάρη, ἀκούσασα πεπληρωμένου τοῦ ἑαυτῆς θελήματος, ἀναβιβάσας ἐφ᾽ ἅρματος, ἐζευγμένου ἵπποις εὐηνίοις καὶ εὐαγώγοις, ὧν τὰς ἡνίας ὁ Σουμάντρας ἐκράτει, ἐξῆλθε τῆς πόλεως.

48. Θεωροῦσα δ᾽ ἡ Σητὰ, ἀγομένη, τόπους ἀγλαοὺς, καὶ εὐθαλεῖς, ἔχαιρε, λέγουσα· « Χαροποιός μοι ἐγένετο ὁ » ἀγαπητός μοι ἀνήρ· » οὐκ ᾔδει δὲ, ὡς ἐκεῖνος ἀφῆκε τὸ ἁπαλὸν καὶ γλυκὺ τῆς φύσεως, καὶ ἔλαβε τὸ σκληρὸν καὶ πικρόν.

49. Ὁ γὰρ Λαξμάνας ἔκρυπτεν ἀνὰ τὴν ὁδὸν τὸ μέλλον

---

(1) Οὗτος ἦν μέγας ὅσιος καὶ φιλόσοφος, μονάζων ἐν ἄλσει παρὰ τῷ Γάγγῃ, καὶ πρόεδρος ὢν ἄλλων πολλῶν, ἡσυχαστικὸν βίον βιούντων. Τοῦτον ἐγίνωσκεν ἡ Σητὰ, θεασαμένη, ὅτε πρότερον διέβη ἐκεῖθεν ὁ Ῥάμας εἰς τὴν ἔρημον.

γενήσεσθαι τῇ Σητᾷ δεινόν· ἡ δὲ, αἰσθομένη πάλλοντος τοῦ δεξιοῦ ὀφθαλμοῦ [1], ὃς οὐκ ἔμελλεν ὄψεσθαι εἰσέτι τὸν ποθητὸν ἄνδρα, ὑπενόησεν, ὡς κακόν τι σημαίνει ὁ παλμός.

50. Ἡ μὲν οὖν Σητὰ, ἧς τὸ λώτιον πρόσωπον ἐμαράνθη ἐκ τῆς λύπης τῆς ἐκ τοῦ ἀπαισίου τούτου οἰωνοῦ, ηὔχετο ἐκ καρδίας, λέγουσα· « Ἀγαθὸν γένοιτο τῷ Ῥάμᾳ καὶ » τῷ Λαξμάνᾳ ! »

51. Ὁ δὲ Λαξμάνας, ὁ βουλόμενος καταλιπεῖν ἐν ἐρήμῳ τὴν σεμνὴν γυναῖκα τοῦ ἀδελφοῦ, προσταχθεὶς ὑπ' αὐτοῦ, ἐκωλύετό πως ὑπὸ τῆς Γαγγᾶς, φαινομένης ἀπέναντι, διὰ τῶν ἀνυψουμένων κυμάτων, ὡς διὰ χειρῶν.

52. Στήσαντος δὲ τοὺς ἵππους τοῦ ἡνιόχου, καταβιβάσας ὁ Λαξμάνας ἀπὸ τοῦ ἅρματος τὴν γυναῖκα τοῦ ἀδελφοῦ, διεβίβασεν αὐτὴν, φέρων εἰς τὸ πέραν ἐπὶ καλοῦ πορθμείου, ὃ ἤγαγον πορθμεῖς, καθὼς ὁ ἀληθοεπὴς φέρει εἰς πέρας τὴν ἑαυτοῦ ὑπόσχεσιν.

53. Μὴ δυνάμενος δὲ λαλῆσαι, τοῦ φάρυγγος πληρωθέντος δακρύων, ἃ οὐκ ἐξήγαγεν ἐκ τῶν ὀφθαλμῶν, μόλις ἐξηρεύξατο τὴν ὀλεθρίαν προσταγὴν τοῦ βασιλέως, καθὼς τὸ νέφος ἐξάγει χάλαζαν φθοροποιὰν ἐσπαρμένῃ γῇ.

54. Ἔπεσε δ' εὐθὺς ἡ Σητὰ ἐπὶ γῆς, ἐξ ἧς ἐγεννήθη, πληγεῖσα ὑπὸ σκληροῦ λόγου, τὰ δὲ κοσμήματα [2] αὐτῆς διεσκορπίσθησαν, καθὼς ἡ ἀναδενδρὰς, πληγεῖσα ὑπὸ σφοδροῦ ἀνέμου, πίπτει ἐπὶ γῆς, ἐξ ἧς ἀνεφύη, τὰ δ' ἄνθη αὐτῆς διασκορπίζονται.

55. Ἡ δὲ μήτηρ γῆ οὐκ ἠνέωξε τοὺς οἰκείους κόλπους, εἰς τὸ δέξασθαι τὴν θυγατέρα, ἐπειδὴ ἀμφιβολίαν εἶχε, λέ-

---

(1) Ὅταν ὁ ἀριστερὸς ὀφθαλμὸς τῆς γυναικὸς πάλλῃ, ἀγαθὸν προσημαίνει· ὅταν δὲ ὁ δεξιὸς, κακόν· τοὐναντίον δὲ θεωρεῖται ἐπὶ τοῦ ἀνδρός.

(2) Οἱ μαργαρίται καὶ οἱ ἀδάμαντες.

γουσα ἐν ἑαυτῇ· « Πῶς ὁ Ῥάμας, ὦ θύγατερ, ὁ ἐκ με-
» γάλους γένους τοῦ Ἰξδακοῦ καταγόμενος, καὶ μεγάλα
» κατορθώσας, ἐγκαταλίποι ἄν σε αὐτὴν οὕτωσὶ ἁπλῶς; »

56. Ἡ δ' ἀνάληψις τῶν αἰσθήσεων, ἣ ἐγένετο δι' ἀναψυκτι-
κῶν τρόπων τοῦ Λαξμάνα, δεινοτέρα ἦν τῆς ἀναισθη-
σίας· ἀναίσθητος μὲν γὰρ οὖσα, οὐκ ᾐσθάνετο λύπης,
ἀναλαβοῦσα δὲ, ἐθλίβετο σφόδρα τὴν ψυχήν.

57. Οὐδεμίαν δὲ κακολογίαν ἔλεγεν ἡ ἀγαθὴ κατὰ τοῦ
Ῥάμα, καί τοι ἀπέβαλεν αὐτὴν ἄνευ ἐγκλήματος· ἔψε-
γε δὲ λίαν τὸ ἑαυτῆς σῶμα, ὡς κακοῦργον, διότι ἀνέχε-
ται τῶν δεινῶν, καὶ οὐ θνήσκει.

58. Παρηγορήσας δὲ τὴν Σητὰν ὁ Λαξμάνας, ἔδειξεν αὐτῇ
τὴν εἰς τὸ ἀσκητήριον τοῦ Βαλμήκη ὁδὸν, εἰπών· « Σύγ-
» γνωθί μοι, βασίλισσα, τοῦ σκληροῦ ἔργου, οὗ ἐποίη-
» σα ἐκ προσταγῆς τοῦ βασιλέως, ᾧ ὑπεξούσιός εἰμι· »
καὶ πεσὼν, προσεκύνησεν αὐτήν.

59. Ἡ δὲ Σητὰ, ἀναστήσασα αὐτὸν, ἔλεξε τάδε· « Ἐγὼ
» ἦσθην ἐπὶ σοὶ, ὦ ἀγαθέ· ζώης ἐπὶ μήκιστον· σὺ γὰρ
» ὑπήκοος εἶ τῷ πρεσβυτέρῳ ἀδελφῷ Ῥάμα, καθὼς ὁ
» Βισνοῦς τῷ πρεσβυτέρῳ ἀδελφῷ Ἴνδρα.

60. « Προσένεγκε τὰς ἐμὰς προσκυνήσεις ταῖς ἐμαῖς πεν-
» θεραῖς κατὰ τάξιν, καὶ δεήθητι αὐτῶν ἐξ ἐμοῦ, ἵν'
» εὔχωνται ἐκ καρδίας ὑπὲρ τοῦ γόνου τοῦ ἑαυτῶν
» υἱοῦ, ὃς ἐν τῇ ἐμῇ ἐστι γαστρί.

61. « Τῷ δὲ Ῥάμα τά δε εἰπὲ ἐξ ἐμοῦ· « Ἔστιν ἆρα νό-
» μιμον, ἢ ἁρμόδιον τῇ σῇ γενεᾷ, ὅτι ἐγκατέλιπες ἐμὲ
» ἐκ ψιλῆς ἀκοῆς φήμης κακῆς [1], καί περ φανεῖσαν κα-
» θαρὰν καὶ ἄμωμον ἐν πυρί ;

(1) Οὐκ ἐγένετο δηλονότι οὔτ' ἐκ νόμου, οὔτ' ἐκ βουλῆς τῆς σῆς γενεᾶς, ἀλλ' ἐκ τῆς γνώμης μόνης τῆς σῆς· ὅ ἐστιν ἄνομον καὶ ἄδικον.

62. « Ἦ ἄξιόν ἐστι λογίσασθαι, ὅτι αὕτη ἡ ἐγκατάλειψις
» οὐκ ἔστι σὴ γνώμη, τοῦ ὄντος εὐγνώμονος, καὶ ἀγα-
» θόφρονος, ἀλλὰ καρπὸς τῶν ἐν τῇ προτέρᾳ μου γενέ-
» σει παραπτωμάτων, ὡς δύσφορος σκηπτός ;

63. « Ἦ ἐπειδὴ πάλαι ἀποδιώξας αὐτὴν τὴν Ἀξιμὴν, τοὐ-
» τέστι, τὴν βασιλείαν, προσελθοῦσάν σοι, ἀνεχώρησας
» μετ' ἐμοῦ εἰς ἔρημον, διὰ τοῦτο νῦν ἐξ ὀργῆς καὶ
» ζηλοτυπίας οὐκ ἀνεκτή εἰμι, οἰκοῦσα ἐν τῷ σῷ οἴκῳ,
» ἐκείνῃ τῇ Ἀξιμῇ, ἥ ἐστι σὺν σοί ;

64. « Πῶς δ' ἂν ἐγὼ, ἡ γεγενημένη καταφυγὴ τῶν γυ-
» ναικῶν τῶν ἀναχωρητῶν, τῶν θλιβομένων ὑπὸ τῶν
» δαιμόνων, πορευθείην νῦν πρὸς ἄλλον εἰς καταφυγὴν,
» σοῦ ὄντος ἐν λαμπρότητι καὶ δόξῃ ;

65. « Ἆρα ἐφρόντισα ἂν ταύτης τῆς κακῆς ζωῆς, τῆς οὔ-
» σης ματαίας, ἕνεκα τῆς σῆς παντελοῦς διαζεύξεως,
» εἰ μὴ ἦν ἐμπόδιον ὁ ἐν ἐμοὶ γόνος σου, ὁ ὢν ἄξιος
» φροντίδος καὶ περιθάλψεως ;

66. « Ἴσθι, ἐγὼ μετὰ τὸν τόκον φροντίδα ἔξω καὶ ἐπιμέ-
» λειαν, ἄσκησιν ποιῆσαι, τείνουσα τὴν ὅρασιν πρὸς τὸν
» ἥλιον, ἵνα ἐν τῇ παλιγγενεσίᾳ πάλιν σὺ αὐτὸς ἀνήρ
» μοι γένῃ, καὶ μὴ ᾖ διάζευξις [1].

67. « Ἐπειδὴ ὁ νομοθέτης Μανοῦς διατάττει, ὡς χρεών
» ἐστι τῷ βασιλεῖ φροντίζειν καὶ προστατεύειν τῶν
» τεσσάρων φυλῶν, καὶ τῶν τεσσάρων τάξεων καὶ δια-
» γωγῶν, διὰ τοῦτο ἐγὼ, εἰ καὶ ἐδιώχθην ὑπὸ σοῦ,
» ἀξία εἰμὶ τῆς σῆς φροντίδος καὶ προστασίας, ὡς μία
» ἀσκήτρια, ἐν ἐρήμῳ διάγουσα ».

---

(1) Οἱονεὶ ἔλεγεν, σκληραγωγίαν ἔξω, καὶ εὔξομαι, ἵνα πάλιν ἐν τῇ παλιγγενεσίᾳ ἐγὼ μὲν γυνὴ γένωμαι σή, σὺ δ' ἀνὴρ ἐμός, καὶ ἀδιάζευκτοι ὦμεν. Ἐκ δὲ τούτου γνωρίζεται τὸ εὔγνωμον καὶ φίλανδρον τῆς Σητᾶς.

68. Εἰπὼν δ' ὁ Λαξμάνας, « Οὕτως ἐρῶ, ὡς εἴρηκας » ἀνεχώρησεν· ἔξω δὲ τῆς ὁράσεως γενομένου, ἡ Σητὰ, θλιβομένη ἐκ πολλοῦ βάρους τῆς λύπης, ἐθρήνει μεγαλοφώνως, καθὼς ἡ Κουραρή [1].

69. Καὶ τῇ ἐρήμῳ δὲ θρῆνος πολὺς ἐγένετο, ἡ ὁμοιοπαθοῦσα ἦν τῇ Σητᾷ· οἱ μὲν γὰρ ταῶνες ἐγκατέλιπον τὸν χορόν· τὰ δὲ δένδρα ἔρριψαν τὰ ἄνθη· αἱ δ' ἔλαφοι ἀφῆκαν τὴν ληφθεῖσαν πόαν.

70. Ἐξελθὼν δ' ὁ σοφὸς Βαλμήκης εἰς συλλογὴν Κούσσης καὶ φρυγάνων, ἀκούσας θρήνου, εὔθυνε τὰ διαβήματα εἰς τὴν φωνὴν, καὶ ἦλθε πρὸς τὴν Σητάν· οὗτός ἐστιν, οὗ ὁ ἐκ λύπης λόγος πρὸς ὀρνιθοθήραν, ὃν εἶδεν, ὄρνιν ἀνελόντα, ἐγένετο στίχος ἔμμετρος [2].

71. Ὃν ἰδοῦσα ἡ Σητὰ, ἐπαύσατο τοῦ θρήνου, καὶ ἀποσμήξασα τὰ ἐν ὀφθαλμοῖς δάκρυα, προσεκύνησεν αὐτόν· ὁ δὲ, σκεψάμενος αὐτὴν ἔγκυον, ηὔξατο αὐτῇ υἱὸν, κατὰ εἶπεν·

---

(1) Εἶδος ὀρνέου, οὗ τὸ κελάδημα ὥσπερ θρηνῳδία ἐστί.

(2) Ὁ Βαλμήκης, ἰδὼν Ὀρνιθοθήραν ἀνελόντα ὄρνιν, ἔφη αὐτῷ, λυπηθείς· « Μηδέποτέ σοι, ὦ οὐτιδανὲ καὶ φαυλόβιε, τιμὴ καὶ ὑπόληψις ἔστω παρ' ἀν- » θρώποις· ἐπειδὴ τὸ μὲν τοῦ ζεύγους τῶν ὀρνέων ἀνεῖλες, τὸ δὲ, χῆρον ἐποίη- » σας, αἱματοχαρὴς ὤν. » Οὗτος ὁ λόγος ἀεί ἦν ἀνὰ τὸ στόμα τοῦ Βαλμήκη, ἐπειδὴ ἔκρινεν, ὡς ἔμμετρος ἦν. Ἀκούσαντες δὲ καὶ ἄλλοι ἐλλόγιμοι συνήνεσαν. Ἐλθὼν δὲ καὶ ὁ Βραχμᾶς, εἶπεν αὐτῷ· « Ὑπ' ἐμοῦ σὺ ἐνεπνεύσθης, εἰς τὸ συγ- » γράψαι ἐμμέτρως τὸν βίον τοῦ Ῥάμα. » Ἐξ ἐκείνου δὲ τοῦ χρόνου τὸ ἔμμετρον τοῦ λόγου ἔλαβεν ἀρχήν. Ὁ δὲ Βαλμήκης πατὴρ τῆς ποιητικῆς κρίνεται· διὸ καὶ λέγεται· « Ὁ μὲν Βαλμήκης ἐγέννησε τὸν ποιητικὴν, ὁ δὲ Βεάσας ἀνέθρεψε καὶ » ηὔξησεν, ὁ δὲ Καλιδάσας ἔγημεν αὐτήν. » Ὁ μὲν Βαλμήκης, ποιητής ἐστι τῆς Ραμαϊάνας, ἥ ἐστιν ἡ ζωὴ καὶ πολιτεία τοῦ Ῥάμα, ὁ δὲ Βεάσας, τῶν ἀρχαιολογικῶν καὶ θεογονικῶν βιβλίων, ὁ δὲ Καλιδάσας, τῆς παρούσης Ραγγουβάνσας, ἣ ἐπαινεῖται καὶ θαυμάζεται διὰ τὸ ὑψηλὸν τῆς φράσεως, διὰ τὸ δεινὸν τῆς συντάξεως, καὶ διὰ τὸ ἀνθηρὸν τῆς λέξεως.

72. « Ἐγὼ νοερῶς οἶδα, ὡς ἀπεβλήθης ὑπὸ τοῦ οἰκείου ἀν-
» δρὸς, ὃς ἐταράχθη ἐκ ψευδοῦς διαβολῆς· ἀλλὰ μὴ
» θλίβου, νόμιζε δὲ, ὡς ἐν τῷ πατρικῷ οἴκῳ εἶ, εἰ καὶ
» μακρὰν εἶη.

73. « Ἀγανάκτησίς μοι ἐστὶ πρὸς τὸν Ῥάμαν, ὃς, καί τοι
» ἀνέσπασε τὴν ἄκανθαν τῶν τριῶν κόσμων, τοὐτέστι,
» τὸν Ῥαβάναν, καὶ ἀληθῆ λέγει, καὶ ἑαυτὸν οὐκ ἐπαι-
» νεῖ [1], πρὸς σὲ ὅμως ἄτοπα ἔπραξεν ἀκρίτως.

74. « Ὅ,τε πενθερός σου, ὁ μεγάλην ἔχων φήμην, φίλος
» μοι ἦν, καὶ ὁ πατήρ σου [2], ὁ τοῖς ἀγαθοῖς φρόνησιν
» διδούς· σὺ δὲ κορωνὶς εἶ τῶν σωφρόνων καὶ φιλάνδρων
» γυναικῶν· τὶ δ' ἄλλο ἐστὶ, δι' ὃ οὐκ ἂν εἴης ἀξία
» τῆς ἐμῆς φιλοστοργίας [3].

75. « Ἄφοβος τοίνυν δίαγε ἐν ταύτῃ τῇ ἐρήμῳ, ἣ ἔχει θη-
» ρία ἥμερα ἐκ τῆς συνοικήσεως ὁσίων ἀνδρῶν· ἐνταῦ-
» θα δὲ πάντα τὰ νομιζόμενα τῷ γεννηθησομένῳ σοι
» υἱῷ γενήσονται.

76. « Λουομένης δὲ ἐν τῇ Ταμασᾷ, ἣ ἀπαλλάττει τὴν
» ἄγνοιαν καὶ τὰ πάθη, καὶ ὄχθας ἔχει πλήρεις κατα-
» σκηνωμάτων ὁσίων ἀνδρῶν, καὶ λατρείαν ποιούσης
» τῷ Θεῷ ἐπὶ τῆς παρακειμένης ψάμμου, ἄνεσις ἔσε-
» ται τῇ σῇ ψυχῇ.

77. « Αἱ δὲ θυγατέρες τῶν ὁσίων, φέρουσαι πρὸς σὲ ἄνθη
» καὶ ὀπώρας, ἃ ἐν ἑκάστῃ ὥρᾳ τοῦ ἔτους γίνονται,
» καὶ καρπὸν αὐτοφυῆ, ὃν ἡμεῖς ἐσθίομεν, καὶ ἡδέα λα-
» λοῦσαι, τέρψουσι σὲ τὴν νεοπαθῆ.

---

(1) Οὐκ ἔστι φίλαυτος καὶ μεγάλαυχος.

(2) Θεόφρων ἦν ὁ Ζανάκας.

(3) Κατὰ πάντα δηλονότι τρόπον ἄξία εἶ τῆς ἐμῆς φιλοστοργίας καὶ προ-
στασίας.

78. « Πρὶν δὲ τέκῃς υἱὸν, ἀρδεύουσα ὕδατι ἐν ὑδρίᾳ ὅσον » δύνασαι φέρειν, καὶ αὐξάνουσα τὰ τοῦ ἀσκητηρίου » μικρὰ φυτὰ, ὡς υἱοῦ τρεφομένου καὶ αὐξανομένου, » ἡδονὴν ἕξεις ἀναμφιβόλως ».

79. Λαβὼν δὲ τὴν Σητὰν ὁ εὔσπλαγχνος Βαλμήκης, χαρεῖσαν ἐπὶ τῇ χάριτι αὐτοῦ, ἤγαγεν αὐτὴν κατὰ τὴν ἑσπέραν εἰς τὸ ἑαυτοῦ ἀσκητήριον, ἐν ᾧ ἦν θηρία ἥμερα· παρὰ δὲ τῷ θυσιαστηρίῳ ἔλαφοι ἐκάθηντο.

80. Παρέδωκε δ' αὐτὴν τὴν περιπαθῆ ταῖς ἀσκητρίαις, χαρείσαις ἐπὶ τῇ αὐτῆς ἀφίξει, καθὼς οἱ κατοιχόμενοι ἀφιᾶσι ταῖς βοτάναις λείψανον τῆς καταποθείσης ἐσχάτης μοίρας τῆς σελήνης ἐν τῇ ἕνῃ καὶ νέᾳ [1].

81. Αἱ δὲ ἀσκήτριαι, μετὰ τὴν ὑποδοχὴν καὶ περιποίησιν, ἔδωκαν τῇ Σητᾷ κατὰ τὴν νύκτα εἰς κατοίκησιν καλύβην, ἐν ᾗ ἦν λύχνος, καίων, καὶ στρῶμα, ὡς κλίνη, ἐκ δερμάτων ἐλαφείων.

82. Ἐνταῦθα οἰκοῦσα ἡ Σητὰ, λουομένη καθ' ἑκάστην, καὶ ξενίζουσα τοὺς ξένους, ὡς νόμος, καὶ φλοιώδη φορέματα φοροῦσα, ἔτρεφε τὸ ἑαυτῆς σῶμα τοῖς ἐν ἀγρῷ φυομένοις, εἰς διαμονὴν τοῦ γένους τοῦ ἀνδρός [2].

83. Ἐπανελθὼν δ' ὁ Λαξμάνας, διηγήσατο τῷ Ῥάμα, ὡς ἐτέλεσε τὴν προσταγὴν αὐτοῦ, καὶ ὡς ἡ Σητὰ ἐλυπεῖτο

---

(1) Ἐν τῇ Βέδᾳ λέγεται, ὡς οἱ θεοὶ καθ' ἑκάστην ἡμέραν μοίραν τῆς ἀμβροσίας τῆς Σελήνης πίνουσι, καὶ διὰ τοῦτο ἡ Σελήνη φθίνει· τὴν δ' ἐσχάτην μοίραν τῆς φθινούσης Σελήνης, κατὰ τὴν ἕνην καὶ νέαν, πίνουσιν οἱ κατοιχόμενοι, ἀφιέντες λείψανα, ὡς ζώπυρον· ἐκ δὲ τοῦ ἀπολειφθέντος ζωπύρου πάλιν αὔξάνει καὶ πληροῦται ἡ Σελήνη εἰς τροφὴν τῶν βοτανῶν καὶ τῶν λοιπῶν φυτῶν· ἐκ γὰρ τῆς ἀμβροσίας τῆς Σελήνης, φασὶ, θάλλει πᾶν φυτόν. Καθὼς δὲ ἡ Σελήνη φθίνει καθ' ἑκάστην, καὶ μειοῦται, ὡς καταπινομένη, οὕτω καὶ ἡ Σητὰ, μεμαραμμένη ἦν, καὶ ξηρὰ, ὥσπερ καταποθεῖσα τοῖς πάθεσιν.

(2) Ἔτρεφε τὸ ἑαυτῆς σῶμα εἰς τροφὴν τοῦ γόνου, ὃν εἶχεν ἐν γαστρί.

καὶ ἔκλαιε, καὶ πάντα τὰ λοιπὰ, βουλόμενος ἐνεγκεῖν αὐτὸν εἰς μεταμέλειαν.

84. Εὐθέως δ' ὁ Ῥάμας δάκρυα ἔχυσε πολλὰ, καθὼς ἡ ἐν Δεκεμβρίῳ σελήνη βρέχει δρόσον· ἡ γὰρ Σητὰ ἐξεβλήθη οὐκ ἐκ τῆς καρδίας τοῦ Ῥάμα, ἀλλ' ἐκ τῆς οἰκίας, ὡς φοβουμένου τὴν κακὴν φήμην τῶν ἀνθρώπων.

85. Ἐπισχὼν δὲ τὴν λύπην, ὡς ἔμφρων, ἐκυβέρνα τὴν μεγάλην βασιλείαν, ἧς ἐξ ἴσου ἐτρύφων οἱ ἀδελφοὶ, ἀνέραστος ὢν ἡδυπαθειῶν, καὶ ἄγρυπνος εἰς προστασίαν τῶν τεσσάρων φυλῶν, καὶ τῶν τεσσάρων τάξεων, καὶ διαγωγῶν.

86. Ἀποβαλόντος δὲ τοῦ Ῥάμα τὴν γυναῖκα, τὴν οὖσαν μίαν, καὶ ἀγαθὴν, ὡς φοβουμένου τὴν κατηγορίαν, ἡ Λαξμὴ, τοὐτέστιν, ἡ βασιλεία, εὐφραίνετο ἀταράχως ἐν ἀγκάλαις αὐτοῦ, ὡς μὴ ἔχουσα ἀντίζηλον.

87. Ὁ μὲν δὴ Ῥάμας, ἀποβαλὼν τὴν Σητὰν, οὐκ ἔγημεν ἄλλην γυναῖκα· θυσίας δ' ἐποίει, ἔχων τὴν εἰκόνα τῆς Σητᾶς[1]· ἡ δὲ Σητὰ, ἀκούουσα ταῦτα τὰ περὶ τοῦ ἀνδρὸς, ἠνείχετο τῆς δυσανέκτου λύπης τῆς διαζεύξεως.

---

(1) Χρυσῆν εἰκόνα τῆς Σητᾶς ἐποίησε, καὶ ἔχων αὐτὴν, ἐτέλει θυσίας· ἄνευ γὰρ γυναικὸς οὐ γίνεται οὔτε θυσία, οὔτε πυρολατρία.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

1. Ἐγκαταλιπὼν τὴν Σητὰν ὁ βασιλεὺς τῆς γῆς Ῥάμας, ἐτρύφα μόνης τῆς γῆς, ἧς ὡς ζώνη ἐστὶ ἐκ μαργάρων, καὶ ἀδαμάντων, ὁ ὠκεανός [1].
2. Καί ποτε ἀναχωρηταὶ, ἡσυχάζοντες παρὰ τῇ Ἰαμουνᾷ, καταφυγὴν ζητοῦντες, ἦλθον πρὸς τὸν Ῥάμαν, τὸ ἄξιον καταφύγιον, ἐπειδὴ αἱ θυσίαι αὐτῶν ἐλυμαίνοντο ὑπὸ δαίμονος, Λαβάνα τ' ὄνομα.
3. Σκεψάμενος γὰρ τὸν Ῥάμαν προστάτην, οὐκ ἠμύναντο τὸν δαίμονα τῇ ἑαυτῶν δυνάμει· τότε γὰρ δεικνύουσι τὴν ἑαυτῶν δύναμιν, οἱ ἔχοντες ὅπλον τὴν ἀρὰν, ὅτε οὐκ ἔστι προστάτης.
4. Ὁ μὲν οὖν Ῥάμας ὑπέσχετο αὐτοῖς ἄμυναν τοῦ ἐναντίου· ἡ γὰρ ἐπὶ γῆς παρουσία τοῦ Θεοῦ γίνεται εἰς προστασίαν τοῦ νόμου καὶ τοῦ δικαίου.
5. Οἱ δὲ ἐξηγήσαντο τῷ Ῥάμᾳ τρόπον θανάτου τοῦ ἀντιθέου δαίμονος, ὡς, ἔχων μὲν ὁ Λαβάνας ἔγχος ἐν χειρὶ, δυσκαταμάχητός ἐστιν, ὢν δ' ἄνευ ἔγχους, εὐκαταμάχητος.
6. Χαριζόμενος δ' ὁ Ῥάμας τοῖς ὁσίοις ἀνδράσιν, ἐπέταξε τῷ Σατρούγνᾳ [2] στρατεῦσαι, βουλόμενος αὐτὸν ποιῆσαι φερώνυμον ἐκ τοῦ ὀλέθρου τοῦ ἐχθροῦ.
7. Πᾶς δέ τις τῶν ἀπογόνων τοῦ Ραγγοῦ, ἥρως ἦν καὶ δυνατὸς ἀνελεῖν τὸν ἐχθρὸν, καθὼς τὸ ἀπηγορευμένον ἀναιρεῖ τὸ νενομοθετημένον [3].

---

(1) Ἡ γῆ ἐστιν, ὡς μεγάλη νῆσος μέσον τοῦ ὠκεανοῦ.

(2) Σατρούγνας μεθερμηνεύεται Ἐχθρολέτωρ.

(3) Νενομοθετημένον ἐστὶ γῆμαι γυναῖκα· ἀπηγορευμένον δὲ γῆμαι τὴν ἀδελφὴν τοῦ πατρὸς ἢ τῆς μητρός.

8. Λαβὼν δ' ὁ Σατρούγνας εὐχὴν νίκης παρὰ τοῦ πρεσβυτέρου ἀδελφοῦ, ἐπορεύετο ἐφ' ἅρματος θαρραλέος, θεωρῶν ἄλση ἀνθηρὰ καὶ εὐώδη.

9. Ἐκ δὲ τῆς προσταγῆς τοῦ Ῥάμα στρατὸς ἐπηκολούθει τῷ Σατρούγνα εἰς ἐκτέλεσιν τοῦ σκοποῦ· ἦν δ' αὐτὸς ὁ στρατὸς, ὡς ὁ πλεονασμὸς παρὰ τοῖς γραμματικοῖς [1].

10. Ἔχων δ' αὐτὸς ὁ ἄριστος τῶν ἡρώων τοὺς ὁσίους ἄνδρας, προπορευομένους, καὶ ἡγεμόνας τῆς ὁδοῦ, ἠγλαΐζετο, ὡς ὁ ἥλιος, ἔχων προπόλους τοὺς ἑξηκοντακισχιλίους Βαλακκιλέας [2].

11. Πορευομένου δὲ τοῦ Σατρούγνα, σταθμὸς αὐτῷ ἐγένετο κατὰ συγκυρίαν καὶ ἐν τῷ ἀσκητικῷ ἄλσει τοῦ Βαλμήκη· αἱ δ' ἐν αὐτῷ ἔλαφοι ἔστησαν, ἀκούουσαι τοῦ ἐκ τοῦ ἅρματος ἤχου [3].

12. Ὁ δ' ὅσιος ἐξένισεν αὐτὸν, κεκμηκότα ἐκ πορείας, ἐξαιρέτοις βρώμασι καὶ πόμασι καὶ ἄλλοις ἀναγκαίοις, ἃ παρεσκευάσατο τῇ δυνάμει τῆς ἑαυτοῦ ἀρετῆς.

13. Ἐν ἐκείνῃ δὲ τῇ νυκτὶ ἡ ἔγκυος γυνὴ τοῦ ἀδελφοῦ τοῦ Σατρούγνα ἔτεκε διδύμους υἱοὺς ἀγαθοὺς, καθὼς ἡ γῆ τὸν θησαυρὸν καὶ τὸν στρατόν [4].

14. Ἀκούσας δ' ὁ Σατρούγνας, ὡς υἱοὶ ἐγένοντο τῷ ἀδελφῷ, εὔθυμος ἐγένετο· καὶ περὶ τὴν ἕω προσκυνήσας τὸν Βαλμήκην, καὶ λαβὼν ἄδειαν, ἀνεχώρησεν ἐφ' ἅρματος.

---

(1) Καθὼς ὁ πλεονασμὸς ἐστιν οὐκ εἰς ἐκτέλεσιν ἐννοίας, ἀλλ' εἰς εὐφράδειαν, οὕτω καὶ ὁ στρατὸς ἦν οὐκ εἰς ἐκτέλεσιν νίκης, ἀλλ' εἰς εὐπρέπειαν.

(2) Ἑξηκοντακισχίλιοι ὅσιοι ἄνδρες δακτυλιαῖοι, Βαλακκιλέαι τοὔνομα, προπορεύονται τοῦ ἅρματος τοῦ Ἡλίου. Οὗτος ὁ μῦθός ἐστιν ἐν τῇ Βέδᾳ· ἐγεννήθησαν δὲ ἐκ τῶν τριχῶν τοῦ Βραχμᾶ.

(3) Ὡς ἐγίνετο ἐκ τῶν κωδωνίσκων.

(4) Ἡ γῆ λέγεται γυνὴ τοῦ βασιλέως· διδύμους δ' υἱοὺς ἔχει, τὸν θησαυρὸν καὶ τὸν στρατόν,

15. Ἐν ᾧ δ' ὁ Σατρούγνας ἀφίκετο εἰς τὴν Λαβαναπούραν [1], ὁ Λαβάνας ὁ υἱὸς τῆς Κουμβδηνασῆς [2] ἀνέστρεφεν ἐκ τοῦ δάσους, φέρων θήραν πολλὴν, ὥσπερ φόρον.

16. Ἦν δ' ὁ Λαβάνας κατὰ τὸ χρῶμα, ὡς ὁ καπνὸς, στέατος ὄζων, καὶ πυρρόθριξ ὢν, καὶ κρεωφάγους ἔχων ἀκολούθους· ἦν, ὥσπερ κινητὴ νεκρικὴ πυρά [3].

17. Σκοπήσας δ' ὁ Σατρούγνας τὸν Λαβάναν, μὴ ἔχοντα ἔγχος, ἀντέστη αὐτῷ· εὐχερὴς γάρ ἐστιν ἡ νίκη τοῖς ἐπερχομένοις κατ' ἐχθρῶν, ἀφροντιστούντων.

18. Ὁ δὲ Λαβάνας ἐξεφώνησε πρὸς τὸν Σατρούγναν· « Ἰδὼν » ὁ Βραχμᾶς, ὡς τὸ σημερινὸν βρῶμα οὐκ ἔστιν ἀρκε- » τὸν τῇ ἐμῇ γαστρὶ, ἔπεμψέ σε πρὸς ἐμὲ, ὥσπερ φο- » βηθείς. »

19. Οὕτως ἀπειλήσας τῷ Σατρούγνᾳ ὁ δαίμων, βουλόμενος αὐτὸν ἀνελεῖν, ἀνέσπασεν εὐμαρῶς μέγα δένδρον, ὡς κύπερον, καὶ ἔρριψεν αὐτὸ ἐπ' αὐτόν.

20. Ὁ δὲ Σατρούγνας ὀξέσι βέλεσι κατέκοψεν εἰς λεπτὰ αὐτὸ τὸ δένδρον, ἐν μέσῳ τῆς ὁδοῦ, πρὶν ἐφίκηται· μόνη δὲ ἡ κόνις τῶν ἀνθέων ἐφίκετο ἐπὶ τὸ σῶμα αὐτοῦ.

21. Ἀπράκτου δὲ τοῦ δένδρου γεγενημένου, ὁ δαίμων ἔβαλεν ἐπὶ τὸν Σατρούγναν πέτραν μεγάλην παρακειμένην, ἥπερ ἦν, ὥσπερ πυγμὴ τοῦ Ἰάμα [4].

22. Ἀντικρουσθεῖσα δ' ἡ πέτρα ἐκείνη βέλει τοῦ Ἴνδρα [5], ὃ λαβὼν, ἔβαλεν ὁ Σατρούγνας, ἐγένετο θρύμματα, λεπτότερα τῆς ψάμμου.

---

(1) Λαβαναπούρα, πόλις τοῦ Λαβάνα.

(2) Κουμβδηνασὴ μεθερμηνεύεται Σταμνόῤῥιν.

(3) Ἡ πυρὰ, ἡ καίουσα τὰ νεκρὰ σώματα, καπνὸν μέλανα, καὶ κνίσσαν ἀναδίδωσι, καὶ ξανθὴν ἔχει φλόγα.

(4) Ἄφευκτός ἐστιν ἡ πυγμὴ τοῦ Ἰάμα, καὶ θανατηφόρος.

(5) Βέλος τοῦ Ἴνδρα ἐστὶν ὁ κεραυνὸς, ὃν ἔῤῥιψε δι' ἐπωδῆς ὁ Σατρούγνας.

23. Ἀνατείνας δὲ τὴν δεξιὰν χεῖρα ὁ δαίμων, ἔτρεχεν ἐπὶ τὸν Σατρούγναν, ὡς ὄρος μέγα, ἔχον ἐπὶ κορυφῆς Τάλαν, φερόμενον ὑπὸ σφοδροῦ ἀνέμου [1].

24. Διαπαρεὶς δὲ τὴν καρδίαν βέλει Βισνοῦ [2] ὑπὸ τοῦ Σατρούγνα, πεσὼν, σεισμὸν τῇ γῇ ἐποίησε, τὸν δὲ τρόμον τῆς καρδίας τῶν ἀναχωρητῶν ἀφείλετο.

25. Καὶ ἐπὶ μὲν τοῦ σώματος τοῦ ἀναιρεθέντος δαίμονος ἵλαι ὀρνέων ἔπιπτον· ἐπὶ δὲ τῆς κεφαλῆς τοῦ ἀνελόντος Σατρούγνα θεῖα ἄνθη βροχηδόν.

26. Τηνικαῦτα αὐτὸς ὁ ἥρως, ἀνελὼν τὸν δαίμονα Λαβάναν, ἔγνω, ὡς ὁμομήτριος ἀδελφός ἐστι τοῦ μεγαλουργοῦ Λαξμάνα, τοῦ δοξασθέντος ἐπὶ τῇ ἀναιρέσει τοῦ Μεγανάδα (τοῦ ἀνελόντος τὸν Μεγανάδαν).

27. Ἐπαινουμένου δὲ ὑπὸ τῶν ἀναχωρητῶν, ὧν τὸ θέλημα ἐπληρώθη, ἡ κεφαλὴ αὐτοῦ ἐξ αἰδοῦς ἦν ὑποκεκλιμένη, ἢ ἐξ ἀνδραγαθίας ἦν ἐπῃρμένη.

28. Οὗτος, ὁ ἔχων κτῆμα τὴν μετριότητα [3], καὶ στολὴν τὴν ἀνδρείαν, καὶ μορφὴν ἡδεῖαν, ἐδείματο παρὰ τῇ ὄχθῃ τῆς Ἰαμουνᾶς πόλιν, ἣν καὶ ὠνόμασε Μαδδουράν [4].

29. Αὕτη δ' ἡ πόλις, ἡ κτισθεῖσα ὥσπερ ἐξ οὐρανοσταλάκτου ὕλης, ἠγλαΐζετο τῇ τῶν πολιτῶν εὐδαιμονίᾳ, τῇ αὐξανούσῃ ἐκ τῆς εὐνομίας.

30. Ὢν δὲ ἐπὶ τοῦ οἴκου ὁ Σατρούγνας, ἥδετο, θεωρῶν τὴν

---

(1) Ἡ μὲν ἀνατεταμένη χεὶρ ἦν, ὡς ἡ Τάλα, ἥ ἐστι δένδρον ὑψηλὸν, ὡς ὁ φοίνιξ, τὸ δὲ σῶμα αὐτοῦ, ὡς ὄρος.

(2) Βέλει δηλ: θείῳ.

(3) Οὐκ ἦν πλεονέκτης, ἀλλὰ μέτριος ἐν πᾶσιν.

(4) Μαδδουρὰ, ἡδεῖα, λέγεται καὶ Μαθουρὰ, (ἀπαλλακτικὴ τῶν δεινῶν).

Ἰαμουνὰν, ἔχουσαν ὄρνεις χηναλώπεκας· ἐφαίνετο γὰρ, ὥσπερ πλεξὶς τῆς γῆς, ἔχουσα χρυσᾶ κοσμήματα [1].

31. Ὁ δὲ Βαλμήκης, ὁ ὢν φίλος τοῦ Δασσαράτα καὶ τοῦ Ζανάκα, ἐτέλεσε χάριν αὐτῶν πᾶν εἶδος εὐχολογίας τοῖς διδύμοις υἱοῖς τῆς Σητᾶς, ὡς ἐνενόμιστο [2].

32. Ἐπειδὴ δὲ, ὅτε ἦσαν ἐν γαστρὶ, ὁ ὅσιος διὰ τῆς προσθίξεως Κούσσης [3] καὶ βοείης οὐρᾶς ἐξήλειφε τὸ ἐν γαστρὶ δεινὸν, διὰ τοῦτο ὠνόμασεν αὐτοὺς, τὸν μὲν Κούσσαν, τὸν δὲ Λάβαν.

33. Διδάξας δὲ τούτους, παῖδας ὄντας, τὴν Βέδαν, καὶ πᾶν εἶδος μαθήσεως, ἐδίδαξεν αὐτοὺς, βούπαιδας ὄντας, καὶ τὸ ἑαυτοῦ ποίημα, τὴν Ραμαϊάναν, ἥ ἐστιν ἡ πρώτη ποίησις παρὰ τοῖς ποιηταῖς.

34. Ἀμφότεροι δ' οὗτοι, ἄδοντες πρὸ τῆς ἑαυτῶν μητρὸς τὰ ἡδέα κατορθώματα τοῦ Ράμα, ἀνέψυχον μικρόν τι τὸ ἄλγος αὐτῆς, ὃ εἶχε διὰ τὴν διάζευξιν τοῦ Ράμα.

35. Καὶ οἱ ἄλλοι δὲ τρεῖς υἱοὶ τοῦ Δασσαράτα, οἱ ὄντες λαμπροὶ, ὡς οἱ τρεῖς πυρσοὶ τοῦ ἀσβέστου πυρὸς [4], ἔσχον ἕκαστος δύω υἱοὺς ἐκ τῶν ἑαυτῶν γυναικῶν.

36. Ἐπιθυμῶν δ' ὁ Σατρούγνας ἰδεῖν τὸν πρεσβύτερον ἀδελφὸν, ἔθετο τοὺς πολυμαθεῖς υἱοὺς αὐτοῦ, τὸν Σατρουγ-

---

(1) Ἡ Ἰαμουνά ἐστιν, ὥσπερ πλεξὶς, ἡ δὲ γῆ, ὡς γυνή· οἱ δὲ χηναλώπεκες, ὥσπερ κοσμήματα χρυσᾶ, ἃ τιθέασιν αἱ γυναῖκες ἐπὶ τῆς πλεξίδος.

(2) Εὐχολογίαι γίνονται, ὅτε βρέφος γεννᾶται, καὶ ὅτε ὄνομα αὐτῷ τίθεται.

(3) Ἡ βοτάνη Κούσσα καὶ ἡ βοεία οὐρὰ ἁγνιστικὰ καὶ καθαρτικὰ κρίνονται καὶ διὰ τοῦτο ἐπάδοντες θίγουσι τοῦ πάσχοντος σώματος, ἢ μέλους διὰ τῆς Κούσσας, ἢ διὰ τῆς βοείας οὐρᾶς. Ἁγιάζοντες πρσέτι ὕδωρ, ἐμβάπτουσι δέσμην Κούσσας, καὶ ῥαίνουσι τὸν πάσχοντα εἰς ἀπαλλαγὴν τοῦ πάθους. Ἡ δὲ βοεία οὐρὰ Λάβα λέγεται.

(4) Τρία εἰσὶ τὰ χωνευτήρια τοῦ ἀσβέστου πυρός.

γατὴν [1], καὶ τὸν Σουβαχοῦν [2], τὸν μὲν ἐν τῇ πόλει Μαδδουρᾷ, τὸν δὲ ἐν τῇ Βιδισσᾷ.

37. Ἵνα δὲ μὴ ὀχληρὸς εἴη τῷ Βαλμήκῃ, ἐπαναστρέφων, οὐκ ἦλθεν εἰς τὸ ἀσκητήριον αὐτοῦ, ἔνθα αἱ ἔλαφοι ἵσαντο, ἀκούουσαι τῆς ἀδομένης Ῥαμαϊάνας ὑπὸ τῶν υἱῶν τῆς Σητᾶς.

38. Εἰσῆλθε δὲ εἰς τὴν Ἀϊοδδεὰν, τὴν ἔχουσαν ἀγλαὰς καὶ κεκοσμημένας τὰς ἀγυιὰς, ὁρώμενος ὑπὸ τῶν πολιτῶν μετὰ μεγάλης στοργῆς (ἀγάπης) διὰ τὸν θάνατον τοῦ Λαβάνα.

39. Καὶ ἐλθὼν εἰς τὰ βασίλεια, εἶδε τὸν Ῥάμαν, ὃς ἦν μόνης τῆς γῆς ἀνὴρ διὰ τὴν ἐγκατάλειψιν τῆς Σητᾶς, συνόντα τοῖς βουλευταῖς ἐν τῷ βουλευτηρίῳ.

40. Χαίρων δ' ὁ Ῥάμας, ἐπήνει τὸν ὀλέτορα τοῦ Λαβάνα, κεκλιμένην ἔχοντα τὴν κεφαλὴν, καθὼς ὁ Ἴνδρας ἐπήνει τὸν Κρισνᾶν, χαίρων ἐπὶ τῷ ὀλέθρῳ τοῦ Καλανεμῆ [3].

41. Ἐρωτηθεὶς δ' ὁ Σατρούγνας, ἀφηγήσατο τῷ Ῥάμᾳ πάντα, πλὴν τῆς γεννήσεως διδύμων υἱῶν αὐτοῦ· οὕτω γὰρ προσετάγη ὑπὸ τοῦ πρώτου ποιητοῦ Βαλμήκη, ὃς ἔμελλεν ἐγχειρίσειν αὐτῷ αὐτοὺς ἐν δέοντι καιρῷ.

42. Καί ποτε Βραχμάν τις χωρικὸς, ἐνεγκὼν ἐν ἀγκάλαις τὸν υἱὸν ἑαυτοῦ, τεθνεῶτα παῖδα ὄντα, καὶ θεὶς αὐτὸν παρὰ τῇ βασιλικῇ θύρᾳ, ἐθρήνει, λέγων·

43. « Ἀξία ἐλέους εἰ, ὦ γῆ! χωρισθεῖσα γὰρ τοῦ Δασσα-» ράτα, καὶ εἰς χεῖρας ἐλθοῦσα τοῦ Ῥάμα, δεινὰ δυσ-» φόρητα πάσχεις! »

44. Ἀκούσας δ' ὁ Ῥάμας τὴν αἰτίαν τῆς λύπης τοῦ Βραχμᾶνος, ἠσχύνθη· οὐ γὰρ πρότερον ὁ θάνατος ἤρχετο εἰς

---

(1) Σατρουγγατὴς, ἐχθρολέτωρ.

(2) Σουβαχοῦς, καλλιβραχίων.

(3) Δαίμων ἦν ὁ Καλανεμὴς οὗτος, ὃν ἀπέκτεινεν ὁ Κρισνᾶς.

τὴν χώραν (ἥπτετο τῆς χώρας) τοῦ Ἰξβακοῦ παρὰ καιρόν [1].

45. Παραμυθησάμενος δὲ τὸν λυπούμενον Βραχμᾶνα, καὶ εἰπών, « Ὑπόμεινον μικρόν τι », ἀνεμνήσθη τοῦ ὀχήματος τοῦ Κουβέρα, βουλόμενος ἐλθεῖν κατὰ τοῦ Ἰάμα.

46. Ὅπλα δὲ λαβὼν ὁ Ῥάμας, καὶ ἀναβὰς τὸ θεῖον ὄχημα, ἐπορεύετο· ἀπέναντι δ' αὐτοῦ φωνὴ ἐν αἰθέρι ἠκούσθη, λέγουσα·

47. « Ὦ βασιλεῦ, ἐν τῷ λαῷ σου ἄνομόν τι γίνεται· ἐρευ- » νήσας οὖν, ἐξάλειψον αὐτὸ, καὶ τεύξῃ τοῦ οὗ ἐπι- » ποθεῖς [2] »

48. Ἐκ τοιαύτης θείας φωνῆς ἐρευνῶν ὁ Ῥάμας τὸ ἐν τῷ λαῷ κακὸν, ἤρχετο ἀπὸ τόπου εἰς τόπον ἐπὶ τοῦ ἐναερίου ὀχήματος, οὗ ἡ σημαία ἐκύμαινεν ἐκ τῆς ταχείας φορᾶς.

49. Εἶδε δέ τινα, ἀσκήσει χρώμενον, κρεμάμενον κατὰ κεφαλῆς ἀπὸ κλάδου δένδρου, καὶ ἐρυθρὰ ἔχοντα τὰ ὄμματα ἐκ τοῦ καπνοῦ τοῦ πυρός.

50. Καὶ ἐρωτηθεὶς αὐτὸς ὁ Καπνοπότης τὸ ὄνομα καὶ τὴν φυλὴν, εἶπεν, ὡς Σαμβούκας ὀνομάζεται, καὶ Σούδρας ἐστὶ τὴν φυλὴν καὶ ἐφίεται τυχεῖν τοῦ οὐρανοῦ.

51. Σκεψάμενος δ' ὁ Ῥάμας, ὡς αὐτὸς ἄξιός ἐστιν ἀποκεφαλισμοῦ, ὡς κακὰ προξενῶν τῷ λαῷ, διότι οὐκ ἔχει ἄδειαν ἄσκησιν ποιεῖν [3], ἥψατο τοῦ ὅπλου.

52. Καὶ ἐχώρισεν ἀπὸ τοῦ λαιμοῦ τὴν κεφαλὴν αὐτοῦ, ἣ εἶχε κεκαυμένας τὰς τρίχας τοῦ προσώπου ἐκ τῆς φλο-

---

(1) Οὐκ ἀπέθνησκε νέος πρὸ τοῦ γέροντος.

(2) Τῆς ἀναζωώσεως δηλ: τοῦ υἱοῦ τοῦ Βραχμᾶνος.

(3) Οὐκ ἔστιν ἐξουσία τῷ Σούδρᾳ ἀσκῆσει χρῆσθαι· ἔργον δ' αὐτοῦ ἐστι θεάρεστον, ἡ δουλία, καὶ πιστὴ θεραπεία.

γὸς τοῦ πυρὸς, καθὼς ὁ λωτὸς τὰ φύλλα ἐκ τῆς χιόνος καὶ τῆς πάχνης.

53. Λαβὼν δὲ τὴν προσήκουσαν ποινὴν ὁ Σούδρας παρὰ τοῦ βασιλέως, ἔτυχε τῆς τῶν ἀγαθῶν ἐν οὐρανῷ χώρας, (τῆς ἐν οὐρανῷ στάσεως) [1], ἣς οὐκ ἠδύνατο τυχεῖν διὰ σκληραγωγίας, ἣ οὐ προσῆκεν αὐτῷ.

54. Αἰθεροβατῶν δ' ὁ Ῥάμας, συνέτυχε καθ' ὁδὸν τῷ πανεκλάμπρῳ Ἀγαστέᾳ, καθὼς ἡ Σαράτα ὥρα συντυγχάνει τῇ λαμπρᾷ Σελήνῃ.

55. Ἔδωκε δὲ τῷ Ῥάμᾳ ὁ Ἀγαστέας θεοπρεπὲς ψέλλιον ἐκ μαργάρων καὶ ἀδαμάντων, ὃ ἔδωκεν αὐτῷ, ὡς λύτρον, ὁ καταποθεὶς Ὠκεανός [2].

---

(1) Ὅστις κακοῦργος τυγχάνει ποινῆς, πορεύεται εἰς τὸν οὐρανόν.

(2) Ὁ Μιτραβαρούνας, μέγας ἦν ἐπ' ἀρετῇ, ἀσκήσει χρώμενος ἐν ἐρήμῳ. Καί ποτε ὁ γόνος αὐτοῦ ἔῤῥευσεν, ὃν καὶ ἔθετο ἐν στάμνῳ· ἐκ δ' ἐκείνου τοῦ ἐν τῇ στάμνῳ γόνου ἐγένετο ὁ Ἀγαστέας· δι' ἣν αἰτίαν ἐπωνομάσθη Κουμβασαμβάβας, ὅ ἐστι, σταμνογενής. Οὗτος ὁ Ἀγαστέας εἶχε στόμαχον πυροειδῆ, καὶ πεπτικὸν ἐς ὑπερβολήν· διὰ τοῦτο οἱ θεοὶ παρεκάλεσαν αὐτὸν, καταπιεῖν τὸν Ὠκεανὸν, ἐπειδὴ οἱ ἀντίθεοι γίγαντες κατέφευγον εἰς αὐτὸν ἐν καιρῷ κινδύνου, καὶ ἐκρύπτοντο. Ὁ μὲν οὖν Ἀγαστέας κατέπιε τὸν Ὠκεανόν· ὁ δὲ, ἱκέτης αὐτῷ ἐγένετο, εἰπὼν, ὡς οὐκ ἔτι καταφύγιον ἔσεται τοῖς ἀντιθέοις Γίγασιν. Αἰσθόμενος δ' ὁ Ἀγαστέας, ὡς κατέπεψε τὸν Ὠκεανὸν, ἐξήγαγεν αὐτὸν διὰ τῆς οὐρήθρας· ἐκ δὲ ταύτης τῆς αἰτίας ἁλμυρὸς ἐγένετο ὁ Ὠκεανὸς, ὃς καὶ ἔδωκε τῷ Ἀγαστέᾳ, ὡς λύτρον, καὶ ψέλλιον ἐκ μαργάρων καὶ ἀδαμάντων θαυμασίων. Ἔστι δὲ καὶ ἕτερον μέγα κατόρθωμα τοῦ Ἀγαστέα, δεῖγμα τῆς θαυμαστῆς εὐπεψίας αὐτοῦ. Δύω δαίμονες ἀδελφοὶ, καλούμενοι, ὁ μὲν, Ἰλβάλας, ὁ δὲ, Βαταπὴς, κακὸν ἐποίουν τοῖς ἐν ἐρήμῳ ἀναχωρηταῖς καὶ ἀσκηταῖς τοιούτῳ τρόπῳ. Ὁ μὲν Βαταπὴς σχῆμα ἐλάμβανε τράγου· ὁ δὲ Ἰλβάλας ἐκάλει ἀναχωρητὴν εἰς ἑστίασιν. Ἐλθόντος δὲ τοῦ κεκλημένου, ἔσφαζε τὸν τραγόμορφον δαίμονα ὁ Ἰλβάλας, καὶ παρασκευασάμενος δεῖπνον, εἱστία τὸν κεκλημένον ἀναχωρητὴν, καὶ μετὰ ταῦτα ἔκραζε, λέγων· «Ἔξελθε, Βαταπή.» ὁ δὲ, διαῤῥηγνύων τὴν κοιλίαν τοῦ φαγόντος, ἐξήρχετο· καὶ οὕτω κατέτρωγον ἀμφότεροι οἱ ἀδελφοὶ δαίμονες τὸν ταλαίπωρον ἐκεῖνον ἀσκητήν. Τὴν αὐτὴν δὲ μηχανὴν ἔπραξαν καὶ πρὸς τὸν Ἀγαστέαν εἰς ὄλεθρον ἑαυτῶν· φαγὼν γὰρ ὁ Ἀγαστέας τὸ κρέας τοῦ τραγομόρ-

56. Ἔχων δὲ τὸ ψέλλιον ἐκεῖνο ὁ Ῥάμας ἐν χειρὶ, ἢ οὐ περιελάμβανε τὸν λαιμὸν τῆς Σητᾶς, ἐπανέκαμψε· πρὶν δὲ τῆς ἐπανακάμψεως ὁ θανὼν υἱὸς τοῦ Βραχμᾶνος ἐπανέλαβε τὸ ζῆν.

57. Ἔχων δὲ ζῶντα τὸν υἱὸν ὁ Βραχμὰν, ἀπέσμηξε διὰ τοῦ ἐπαίνου τὴν πρὸς τὸν Ῥάμαν ῥηθεῖσαν πρότερον κατηγορίαν, ὡς σώσαντα τὸν παῖδα καὶ ἀπὸ τῶν χειρῶν τοῦ Ἰάμα.

58. Θέλοντος δὲ ποιῆσαι ἱπποθυσίαν, οἱ βασιλεῖς τῶν δαιμόνων, τῶν πιθήκων, καὶ τῶν ἀνθρώπων, ἐλθόντες ἔδωκαν αὐτῷ δῶρα, καθὼς τὰ νέφη διδόασιν ὄμβρον τῷ καρπῷ τῆς γῆς.

59. Κληθέντες δὲ καὶ οἱ ἅγιοι Βραχμᾶνες, ἦλθον πρὸς αὐτὸν ἀπανταχόθεν, ἀφέντες τὰ ἑαυτῶν οἰκήματα τά τε ἐν γῇ καὶ τὰ ἐν οὐρανῷ (οὐ μόνον οἱ ἐν γῇ οἰκοῦντες, ἀλλὰ καὶ οἱ ἐν οὐρανῷ).

60. Τηνικαῦτα ἡ Ἀϊοδδεὰ, ἡ ἔχουσα τέσσαρας πύλας, ὡς στόματα, καὶ προκειμένους θεατὰς πολλοὺς, ἐφαίνετο, ὡς τὸ σῶμα τοῦ τετραπροσώπου Βραχμᾶ, τοῦ ἔχοντος προκείμενα πλάσματα πολλά [1].

61. Καὶ ἡ διάζευξις δὲ τῆς Σητᾶς ἀπὸ τοῦ Ῥάμα, ἀξιέπαινος ἦν· ἐπειδὴ αὕτη ἦν χρυσῆ παρὰ τῷ Ῥάμᾳ, θύοντι, καὶ ἄλλην γυναῖκα μὴ ἔχοντι.

62. Ἄφθονα δ' ἦν πάντα, καὶ πλείω τοῦ δέοντος, τὰ προσή-

φου δαίμονος Βαταπῆ, κατέπεψεν αὐτὸ εὐθέως· καὶ διὰ τοῦτο οὐκ ἠδυνήθη ὁ καταβρωθεὶς καὶ καταπεφθεὶς τραγόμορφος δαίμων ἀναζῆσαι, καὶ ἐξελθεῖν διὰ τῆς κοιλίας. Οὕτως ὁ Βαταπὴς ἀπώλετο, καὶ μετ' ἐκεῖνον ὁ Ἰλβάλας ἐκ λύπης.

(1) Ἡ μὲν τετράπυλος πόλις ἦν, ὡς ὁ τετραπρόσωπος Βραχμᾶς, οἱ δὲ πρὸ τῆς πόλεως θεατὶ καὶ θιασῶται, ὡς τὰ προκείμενα πλάσματα τοῦ πλαστουργοῦ Βραχμᾶ.

κοντα τῇ τελουμένῃ θυσίᾳ· φύλακες δὲ οἱ δαίμονες αὐτοὶ, οἱ ὄντες λυμάντορες τῆς θυσίας.

63. Οἱ δὲ παῖδες τῆς Σητᾶς, ὅτε Κούσσας, καὶ ὁ Λάβας, προσταχθέντες ὑπὸ τοῦ διδασκάλου, περιερχόμενοι εἰς τὴν ὁμήγυριν, ᾖδον τὴν Ῥαμαϊάναν, ἣν ἐποίησεν ὁ ὅσιος Βαλμήκης.

64. Τί δ' ἦν, δι' ὃ οὐκ ἐθέλγετο ἡ καρδιὰ τῶν ἀκουόντων [1]; καὶ ἡ φωνὴ γὰρ τῶν παίδων ἦν γλυκεῖα, καὶ ἡ ποίησις τοῦ Βαλμήκη ἡδεῖα, καὶ τὰ κατορθώματα τοῦ Ῥάμα μεγάλα.

65. Ἀκούσας δ' ὁ ἡλιογενὴς Ῥάμας παρὰ τῶν ἰδόντων τὴν εὐμορφίαν, καὶ παρὰ τῶν ἀκουσάντων τῆς εὐφωνίας τῶν παίδων, εἶδε καὶ αὐτὸς, καὶ ἤκουσε μετὰ χαρᾶς καὶ θαύματος.

66. Ἡ δὲ σύναδος, προσεκτικῶς ἀκούουσα τῆς ᾠδῆς, καὶ δάκρυα χέουσα, ἐφαίνετο, ὥσπερ φυτεία, ἀκλόνητος οὖσα ἐκ νηνεμίας, καὶ δρόσον περὶ τὴν ἕω στάζουσα.

67. Βλέποντες οὖν οἱ περιεςῶτες τὴν ὁμοιότητα τῆς μορφῆς αὐτῶν τῶν παίδων καὶ τοῦ Ῥάμα, ἣ διέφερε μόνῃ τῇ ἡλικίᾳ καὶ τῇ στολῇ, ἐξίσταντο, ἐνατενίζοντες ἀσκαρδαμυκτί.

68. Οὐκ ἐθαύμασαν δὲ τοσοῦτον ἐπὶ τῇ εὐφυΐα τῶν παίδων, ὅσον ἐπὶ τῇ καταφρονήσει τῶν μεγάλων δωρημάτων, ἃ ἐδωρήσατο αὐτοῖς ὁ Ῥάμας, χαίρων [2].

69. Ἐρωτηθέντες δ' οἱ παῖδες πρὸς τοῦ βασιλέως, « Τίς ὁ » διδάσκαλος ὑμῶν εἰς τὴν μουσικὴν καὶ τίνος ποιητοῦ ἡ » ποίησίς ἐστιν αὕτη; » ἀπεκρίναντο, ὡς « ὁ Βαλμήκης » ἐστὶ καὶ ὁ ποιητὴς, καὶ ὁ διδάσκαλος. »

---

(1) Πάντα δηλ: ἦν θελκτικά.

(2) Ὁ Ῥάμας πολλὰ τοῖς παισὶν ἐδωρήσατο· οἱ δὲ οὐκ ἐδέξαντο αὐτά.

70. Παραλαβὼν δ' ὁ Ῥάμας τοὺς ἑαυτοῦ ἀδελφοὺς, προσῆλθε τῷ θεσπεσίῳ Βαλμήκῃ, πρὸς ὃν καὶ εἶπεν· « Ἐκτὸς τοῦ » ἐμαυτοῦ σώματος, ἅπασαν τὴν βασιλείαν ἐχαρισά- » μην σοι ».

71. Ὁ δ' εὔσπλαγχνος Βαλμήκης ἔλεξε πρὸς αὐτόν· « Οὗτοι » οἱ παῖδες, υἱοί σου εἰσὶν ἐκ τῆς Σητᾶς· ἐπανάλαβε αὐ- » τήν· τοῦτο ἐγὼ θέλω ».

72. « Ὦ πάτερ, ἔφη, αὐτὴ ἡ νύμφη σου ἐνώπιον ἡμῶν ἀγνὴ, » καὶ ἀμόλυντος ἐδείχθη ἐν πυρί· ἀλλ' ὁ ἐνταῦθα λαὸς » ἀμφιβάλλει ὡς ἄμωμός ἐστιν, ἕνεκα τῆς δυστροπίας » καὶ ἀσελγείας τοῦ Ῥαβάνα.

73. « Πίστιν οὖν δότω ἡ Σητὰ καὶ βεβαίωσιν τῷ λαῷ, ὡς » σώφρων ἐστὶν, ἐγὼ δὲ δέξομαι αὐτὴν καὶ τοὺς αὐτῆς » παῖδας κατὰ τὴν προσταγήν σου. »

74. Τοιαύτην γνώμην δόντος τοῦ Ῥάμα, ὁ Βαλμήκης μετεπέμψατο ἐκ τοῦ ἀσκητηρίου τὴν Σητὰν διὰ τῶν ἑαυτοῦ μαθητῶν, καθὼς τὴν τελειότητα [1] διὰ τῶν ἑαυτοῦ ἀγαθῶν ἔργων.

75. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, συγκαλέσας ὁ Ῥάμας τοὺς ἐγκατοίκους τῆς πόλεως, ἐκάλεσε τὸν ὅσιον Βαλμήκην εἰς πίστωσιν καὶ βεβαίωσιν τῆς ἀληθείας.

76. Ὁ δὲ Βαλμήκης παρέστη τῷ Ῥάμᾳ μετὰ τῆς Σητᾶς, τῆς ἐχούσης δύω παῖδας, καθὼς τῷ Ἡλίῳ μετὰ τῆς Γαϊατρῆς [2], τῆς ἐχούσης δύω τόνους.

---

(1) Τὴν θαυματουργίαν.

(2) Γαϊατρὴ λέγεται ὕμνος τις εἰς τὸν Ἥλιον, ὃν λέγουσι μυστικῶς οἱ Βραχμᾶνες, ὅτε λούονται, καὶ προσεύχονται, ἀποβλέποντες πρὸς τὸν Ἥλιον· ἔστι δὲ στίχος, συνιστάμενος ὑπὸ τριῶν ποδῶν, καὶ δύω τόνους ἔχει, ἀδόμενος, τὴν ὀξεῖαν, καὶ τὴν βαρεῖαν, ἢ τὴν ἀνιοῦσαν, καὶ τὴν κατιοῦσαν, καὶ τοι ἡ λοιπὴ Βέδα, ᾀδομένη, τρεῖς τόνους, ἢ τάσεις τῆς φωνῆς ἔχει, τὴν ὀξεῖαν, τὴν βαρεῖαν, καὶ τὴν περισπωμένην, ἢ τὴν ἀνιοῦσαν, τὴν κατιοῦσαν, καὶ τὴν μέσην.

77. Παραστάσα δ' ἡ Σητὰ, ἐγνωρίσθη, ὡς σώφρων ἐστὶν, ἐκ τοῦ σεμνοῦ ἑαυτῆς σχήματος· ἐνδύματα γὰρ εἶχεν ὑπέρυθρα, καὶ ὄμματα προσερηρισμένα τῇ γῇ.

78. Τηνικαῦτα οἱ παρεστῶτες πάντες, ἐπισχόντες τὰ ὄμματα ἀπὸ τῆς ὁράσεως, ἔκλιναν κάτω τὰς κεφαλὰς, καθὼς αἱ καλάμαι τῆς ὀρύζης ἔχουσι κεκλιμένους τοὺς πεπείρους στάχυας.

79. Ὁ μὲν οὖν ὅσιος Βαλμήκης, καθήμενος ἐν καθέδρᾳ, εἶπε πρὸς τὴν Σητάν· « Ὦ θύγατερ, πρὸ τῶν ὀφθαλμῶν τοῦ » οἰκείου ἀνδρὸς ἀνύποπτον ποίησον τὸν λαὸν, ὅτι κα- » θαρὰ εἶ καὶ ἀμίαντος. »

80. Ἡ δὲ Σητὰ, λαβοῦσα ὕδωρ καθαρὸν ἐν παλάμῃ, ὃ ἤγαγε μαθητὴς τοῦ ὁσίου, καὶ πιοῦσα ὀλίγον, ἐξηρεύξατο λόγον ἀληθῆ·

81. « Ὦ θεὰ Γῆ, ἔφη, εἰ σώφρων εἰμὶ καὶ φίλανδρος ἔργῳ » καὶ λόγῳ καὶ διανοίᾳ, ἀξία εἶ δέξασθαί με ἐν τοῖς » οἰκείοις κόλποις. »

82. Τοιαῦτα εἰπούσης ἐκείνης τῆς σώφρονος, φῶς πολὺ ἐξῆλθεν ἐξαίφνης, ὡς ἀστραπὴ, ἐκ γεγονότος χάσματος τῆς Γῆς.

83. Ἐνταῦθα ἡ ὠκεανόζωνος Γῆ ἀνεφάνη ἐν σχήματι γυναικὸς, καθημένης ἐν θρόνῳ ἐπὶ τῆς κεφαλῆς τοῦ δράκοντος, Σέσσα.

84. Καὶ δεξαμένη τὴν Σητὰν ἐν ἀγκάλαις, ἀφορῶσαν εἰς τὸ πρόσωπον τοῦ ἀνδρὸς, εἰσῆλθεν εἰς τὸ χάος, τοῦ Ῥάμα ἀναβοῶντος· « Μή, μή! »

85. Ὁ δὲ Βασσίας, ὁ γινώσκων τὴν δύναμιν τοῦ πεπρωμένου, κατέπαυσε τὸν κατὰ τῆς Γῆς θυμὸν τοῦ Ῥάμα, ὃς τόξου λαβόμενος, ἐπαναλαβεῖν ἤθελε τὴν Σητάν.

86. Μετὰ δὲ τὴν θυσίαν, ἀποπέμψας ὁ Ῥάμας τιμηθέντας, ὡς ἔδει, τοὺς ἐλθόντας ἁγίους Βραχμᾶνας, καὶ φίλους

βασιλεῖς, ἔθετο τὴν τῆς Σητᾶς ἀγάπην ἐν τοῖς υἱοῖς αὐτῆς.

87. Τὴν δὲ χώραν Σινδδοῦν, ἣν ἔδωκεν ὁ Ἰουδδαζίτας [1] τῷ Ῥάμᾳ, ἔδωκεν ὁ Ῥάμας τῷ Βαράτᾳ μετὰ πολλοῦ θησαυροῦ καὶ στρατοῦ [2].

88. Νικήσας δ' ἐν πολέμῳ τοὺς Γανδδάρβας ὁ Βαράτας, ἐκώλυσεν αὐτοὺς ὁπλοφορεῖν· ἐπέτρεψε δ' ἔχειν μόνην κιθάραν.

89. Χειροτονήσας δὲ βασιλεῖς τοὺς βασιλείας ἀξίους ὄντας υἱοὺς ἑαυτοῦ, τὸν Τάξαν, καὶ τὸν Πουσκάλαν, ἐν πόλεσιν, ἃς ἔκτισεν ἐπὶ τῷ ὀνόματι αὐτῶν, ἐπανέζευξε πρὸς τὸν Ῥάμαν.

90. Οὐ μὴν ἀλλὰ καὶ ὁ Λαξμάνας διὰ τῆς προσταγῆς τοῦ Ῥάμα βασιλεῖς ἐποίησε τῆς χώρας Καραπάθας τοὺς δύω υἱοὺς αὐτοῦ, τὸν Ἀγκάδην, καὶ τὸν Σανδρακετοῦν.

91. Οὗτοι οἱ τέσσαρες βασιλεῖς, ὧν οἱ υἱοὶ βασιλεῖς ἐχειροτονήθησαν, ἐτέλεσαν ἕκαστος τὰ νόμιμα ταῖς ἑαυτῶν μητράσιν, αἳ ἐπορεύθησαν εἰς τὴν χώραν τῶν οἰκείων ἀνδρῶν [3].

92. Ἐλθὼν δ' ὁ Χρόνος πρὸς τὸν Ῥάμαν ἐν σχήματι ὁσίου ἀνδρὸς, ἔφη αὐτῷ· « Ὅστις, ἐλθὼν, ἴδῃ ἡμᾶς, συνδια-» λεγομένους ἰδίᾳ, τοῦτον ἄνελε. »

93. Συναινέσαντος δε τοῦ Ῥάμα, ὁ Χρόνος δείξας τὴν ἑαυτοῦ μορφὴν, εἶπεν αὐτῷ· « Ἄγε εἰς τὸν οὐρανόν· προσταγὴ » γάρ ἐστι τοῦ Βραχμᾶ. »

---

(1) Ἰουδδαζίτας, νικητὴς ἐν πολέμῳ.

(2) Τῆς μητρὸς τοῦ Βαράτα ἀδελφὸς ἦν ὁ Ἰουδδαζίτας, ὃς, κύριος ὢν τῆς χώρας Σινδοῦς, καὶ μὴ δυνάμενος αὐτὴν φυλάξαι ἐκ τῆς ἐπιδρομῆς τῶν Γανδδαρβῶν, ἐχαρίσατο αὐτὴν τῷ Ῥάμᾳ, ὁ δὲ Ῥάμας τῷ Βαράτᾳ. Γανδδάρβαι λέγονται οἵ τε οὐράνιοι καὶ ἐπίγειοι μουσικοί.

(3) Ἀπέθανον δηλονότι.

94. Ἐν τούτῳ ὁ Λαξμάνας, θυροφύλαξ ὢν, καί τοι ἐγίνωσκε τὴν συμφωνίαν αὐτῶν, εἰσῆλθεν, ἐπειδὴ ἐφοβήθη τὴν ἀρὰν τοῦ Δουρβάσα [1], ὃς ἤθελεν ἐντυχεῖν τῷ Ῥάμᾳ·

95. « Ἀποχώρει ταχέως, Λαξμάνα, ἔφη ὁ Ῥάμας, ἵνα μὴ ἡ » ἀναίρεσις τῆς ἀληθείας· ἡ γὰρ ἀποβολὴ καὶ ὁ θάνατος » ταὐτόν ἐστι παρὰ τοῖς σπουδαίοις ἀνδράσιν. »

96. Ἐλθὼν δ' ὁ Λαξμάνας ἐπὶ τὴν ὄχθην τῆς Δεβᾶς, ἀφῆκε τὸ ἑαυτοῦ σῶμα, ὡς εἰδήμων τῆς ἐγκρατείας τῆς πνοῆς [2], καὶ ἀπέδειξεν ἀληθῆ τὸν λόγον τοῦ πρεσβυτέρου ἀδελφοῦ [3].

97. Ἀνελθόντος εἰς τὸν οὐρανὸν τοῦ Λαξμάνα, ὃς ἦν ἓν μέλος ἐκείνης τῆς τετρακτύος τῶν ἀδελφῶν, ὁ Ῥάμας κεχαυνωμένος ἦν καὶ ἐκλελυμένος ἐπὶ γῆς, ὡς ὁ τρίπους νόμος [4].

98. Ἀποδείξας δ' ὁ Ῥάμας τοὺς υἱοὺς ἑαυτοῦ βασιλεῖς, τὸν μὲν ἐχθροδάμαντα Κούσσαν ἐν τῇ Κουσσαβατῇ πόλει, τὸν δὲ Λάβαν, ἐν τῇ Σαραβατῇ, τὸν ἡδύνοντα τοὺς ἀγαθοὺς διὰ τῆς ἡδυλογίας,

99. Ἐξῆλθε τῆς πόλεως κατὰ τὸ βόρειον μέρος, ἡγουμένου τοῦ ἀσβέστου πυρὸς, καὶ ἀκολουθούντων τῶν ἀδελφῶν καὶ πάντων τῶν πολιτῶν ἐκ τῆς πρὸς αὐτὸν ἀγάπης, ὧν οἱ οἶκοι ἔμειναν κενοί.

---

(1) Ὁ Δουρβάσας ἦν ἀσκητὴς, καὶ λίαν ὀξύθυμος.

(2) Λέγουσιν, ὡς οἱ ἐγκρατεῖς τῆς πνοῆς ἀνάγουσιν εἰς τὸν ἐγκέφαλον τὴν πνοὴν, ἣ ἐξάγεται διὰ τῆς κορυφῆς τῆς κεφαλῆς, διαῤῥηγνυμένης αὐτομάτως· ἔστι δὲ καὶ τοῦτο μία ἄσκησις.

(3) Ὃς εἶπεν, ὡς ἀναιρέσει τὸν εἰσελθόντα.

(4) Τέσσαρές εἰσιν αἱ γενικαὶ ἀρεταὶ, ἐφ' ὧν, ὡς ἐπὶ ποδῶν, ἵσταται ὁ νόμος· ἡ ἀλήθεια, ἡ εὐσπλαγχνία, ἡ ἀνοχὴ, καὶ ἡ δόσις· διὰ τοῦτο ὁ νόμος λέγεται τροπολογικῶς τετράπους.

100. Οὐ μὴν ἀλλὰ καὶ οἱ πίθηκοι, καὶ οἱ δαίμονες αὐτοί, γνόντες τὴν γνώμην τοῦ Ῥάμα [1], ἥψαντο τῆς ὁδοῦ αὐτοῦ, ἡ βεβρεγμένη [2] ἦν τοῖς ἁδροῖς δάκρυσι τοῦ λαοῦ.

101. Ὥσπερ δὲ κλίμαξ τοῦ οὐρανοῦ, τοῖς ἀκολουθήσασιν ἐγένετο ἡ Δεβὰ [3] ὑπὸ τοῦ πρὸς τοὺς εὐσεβεῖς εὐσπλάγχνου Ῥάμα, ὃς ἦν ἐν τῷ θείῳ ὀχήματι ἀναμένων.

102. Ἐπειδὴ δὲ συνεθλίβοντο, εἰσβαίνοντες ἀγεληδὸν εἰς τὸν ποταμὸν, λουσόμενοι, διὰ τοῦτο ὠνομάσθη ἐκεῖνος ὁ ἅγιος τόπος Γοπρατάρα [4].

103. Οἱ μὲν οὖν Πίθηκοι καὶ αἱ Ἄρκτοι, οἱ ἔχοντες ἀπόῤῥοιαν τῶν θεῶν, ἔτυχον τῆς ἰδίας θείας φύσεως· οἱ δὲ πολῖται ἐγένοντο θεοί, ὧν εἰς οἴκησιν ὁ θεὸς Ῥάμας ἕτερον ἔκτισεν οὐρανόν.

104. Οὕτως ὁ ἐνανθρωπήσας Θεὸς, ἐκτελέσας τὸ αἴτημα τῶν θεῶν διὰ τῆς ἀναιρέσεως τοῦ δεκακεφάλου Ῥαβάνα, (ἀνελὼν τὸν δεκακέφαλον Ῥαβάναν χάριν τῶν θεῶν), καὶ ἀφεὶς, ὡς δύω τρόπαια, τὸν μὲν Βιββησσάναν ἐν τῷ μεσημβρινῷ ὄρει, τὸν δὲ Χανουμᾶνα [5] ἐν τῷ ἀρκτῴῳ, ἔλαβε τὴν ἑαυτοῦ θείαν φύσιν, ἥ ἐστι τὸ ἔρεισμα παντὸς τοῦ κόσμου.

---

(1) Γνώμην εἶχεν ἀνελθεῖν εἰς τὸν οὐρανόν.

(2) Κατάβροχος.

(3) Πρῶτον ἐλούοντο, καὶ καθαροὶ ἐγένοντο, καὶ ἔπειτα ἀνέβαινον τὸ θεῖον ὄχημα.

(4) Γοπρατάρα λέγεται ἡ εἰς τὸν ποταμὸν πορεία, ἔνθα ἐρχομένη ἡ ἀγέλη τῶν βοῶν, πίνει ὕδωρ.

(5) Λέγουσιν, ὡς ὁ Βιββησσάνας, καὶ ὁ Χανουμὰν ζῶσιν ἐν ἐκείνοις τοῖς ὄρεσιν μέχρι τῆς σήμερον, καὶ διὰ τοῦτο λέγονται φείζωοι. Τρικούτα λέγεται τὸ μεσημβρινὸν ὄρος, ἔστι δὲ ἐν τῇ νήσῳ Ταπροβάνῃ· τὸ δὲ ἀρκτῶον ὄρος, ὁ Ἰμαὸς ἐστιν.

ΚΕΦΑΛΑΙΟΝ ις'.

1. Οἱ δ' ἑπτὰ ἡρωϊκοὶ ἀπόγονοι τοῦ Ραγγοῦ[1] ἀπέδειξαν τὸν Κούσσαν κληρονόμον τῆς ἐξαιρέτου περιουσίας τοῦ Ράμα, ὡς ὄντα πρῶτον καὶ κατὰ τὴν γέννησιν καὶ κατὰ τὰς ἀρετὰς[2]· ἴδιον γὰρ ἦν τῆς γενεᾶς αὐτῶν ἡ φιλαδελφία.
2. Ηὔξησαν δ' οὗτοι οἱ ὀκτὼ βασιλεῖς τὴν πρόσοδον, προσκείμενοι γεφυρῶν κατασκευῇ, προστασίᾳ γεωργίας καὶ ἐμπορίας, οἰκισμῷ ἀοικήτου γῆς, καὶ ἄλλοις τοιούτοις ἐπωφελέσιν ἔργοις, μὴ ὑπερβαίνοντες τοὺς ἀλλήλων ὅρους τῆς διαμερισθείσης γῆς, καθὼς αἱ θάλασσαι τοὺς ἰδίους ὅρους.
3. Οὗτοι οὖν οἱ ὀκτὼ, οἱ ἀεννάως δωρούμενοι, καὶ τὸ εἶναι ἔχοντες ἐκ τῆς ἀπορροίας τοῦ Βισνοῦ[3], ἐπολλαπλασιάσθησαν ἐπὶ γῆς, καθὼς οἱ ὀκτὼ θεῖοι ἐλέφαντες, οἱ ἀεννάως ῥέοντες χυμὸν εὐώδη, καὶ τὸ εἶναι ἔχοντες ἐκ τῆς Βέδας Σάμας[4].
4. Καί ποτε ἐν μεσονυκτίῳ, ἀγρυπνῶν ὁ Κούσσας ἐπὶ κλίνης ἐν τῷ κοιτῶνι, ἀμυδροῦ ὄντος τοῦ φωτὸς τοῦ λύχνου, εἶδε γυναῖκα, ἣν οὐδέπω πρότερον εἶδε, ῥυπαρὰ ἔχουσα φορέματα, ὥσπερ ὄντος τοῦ ἀνδρὸς αὐτῆς ἐν ξένῃ γῇ.

---

(1) Οἱ ἑπτὰ υἱοὶ τῶν τεσσάρων υἱῶν τοῦ Δασσαράτα.

(2) Ὁ Κούσσας, πρεσβύτερος υἱὸς ἦν τοῦ Ῥάμα, τοῦ πρεσβυτέρου υἱοῦ τοῦ Δασσαράτα.

(3) Ἐκ τῶν τεσσάρων δηλ: ἀδελφῶν, οἳ ἦσαν ἀπόῤῥοια τοῦ Βισνοῦ.

(4) Τοῦ Βραχμᾶ ἄδοντος τὴν Βέδαν Σάμαν, οἱ ὀκτὼ θεῖοι ἐλέφαντες ἐγένοντο, οἱ ὄντες ἐρείσματα τῶν ὀκτὼ μερῶν τῆς γῆς, ἐξ ὧν καὶ οἱ λοιποὶ ἐγένοντο.

5. Ἔστη δ' αὕτη ἔμπροσθεν τοῦ Κούσσα, ὃς ἦν λαμπρὸς, ὡς ὁ Ἴνδρας, καὶ νικητὴς τῶν ἐχθρῶν, καὶ στρατὸν πολὺν εἶχε, καὶ πλοῦτον κοινὸν τοῖς ἀγαθοῖς ἀνδράσι· καὶ ἐνώσασα τὰς παλάμας, ἔφη· « Νίκα, βασι-» λεῦ ».

6. Ἀνεγείρας δ' ὁ βασιλεὺς τὸ ἥμισυ τοῦ σώματος ἐκ τῆς κλίνης, καὶ καθήσας, θαυμάζων, ἔφη πρὸς αὐτὴν, ἡ εἰσέδυ εἰς τὸ δωμάτιον, τῶν θυρῶν κεκλεισμένων, καθὼς εἰς τὸ κάτοπτρον ἡ τοῦ βλέποντος σκιά.

7. « Τίς εἶ, ὦ ἀγαθὴ, ἡ εἰσελθοῦσα εἰς οἶκον, πανταχόθεν » κεκλεισμένον; οὐ γὰρ φαίνεται ἐπὶ σοὶ θεία δύναμις· » φέρεις γὰρ σχῆμα λυπηρὸν, καθὼς ὁ μεμαραμμένος » λωτὸς ἐκ πάχνης.

8. « Τίς; ἢ τίνος γυνή; ἢ τί τὸ αἴτιον τῆς πρὸς ἐμέ σου » ἀφίξεως; λέξον σαφῶς· λόγισαι δὲ, ὡς ἡ καρδία τῶν » σωφρόνων ἀπογόνων τοῦ Ῥαγγοῦ οὐδαμῶς κλίνει πρὸς » ἀλλοτρίαν γυναῖκα. »

9. Ἡ δ' ἀπεκρίνατο πρὸς αὐτόν· « Ἴσθι, ὦ βασιλεῦ, ως » ἐγὼ, ἡ μὴ ἔχουσα νῦν ἄνδρα, εἰκών εἰμι (ἰδέα) » ἐκείνης τῆς πόλεως, ἧς, ἀνεγκλήτου οὔσης, τοὺς » οἰκήτορας ἀνήγαγε μεθ' ἑαυτοῦ εἰς τὸν οὐρανὸν ὁ » σὸς πατήρ.

10. « Ἐγὼ, ἡ διὰ τὴν γεγενημένην μοι εὐδαιμονίαν ἐκ τῆς » εὐνομίας, ὑπερέβαινον καὶ τὴν Θεούπολιν [1], ἐλεεινὴν » νῦν ἔχω κατάστασιν, καί τοι σὺ, ὁ καταγόμενος ἀπὸ » τοῦ Ἡλίου, πολυδύναμος εἶ βασιλεύς.

11. « Τὰ ἐν τῷ περιβόλῳ ὑψηλὰ οἰκοδομήματά μου, ἐρεί-» πια ἐγένοντο, μὴ ὄντος δεσπότου· καὶ ὁμοία εἰμὶ τῇ

(1) Τὴν Ἀμαραβατήν.

» ἑσπέρα, καθ' ἣν ὁ μὲν ἥλιος ἔδυσε, τὰ δὲ νέφη διε-
» σκεδάσθησαν ὑπὸ σφοδροῦ ἀνέμου [1].

12. « Αἱ λεωφόροι μου, ἃς πρότερον ὤδευον ἐν νυξὶ γυναῖ-
» κες, πρὸς ἐραστὰς πορευόμεναι, καὶ ἦχον ποιοῦσαι
» διὰ τῶν περιπεζίων, νῦν ὁδεύονται ὑπὸ κυνολύκων,
» οἳ ἐρευνῶσι σαρκίνην βορὰν, καὶ ὑλακτοῦσι.

13. « Τὸ ὕδωρ τῶν ἀγλαῶν λιμνῶν μου, πρότερον μὲν πλητ-
» τόμενον παλάμαις γυναικῶν, παιζουσῶν [2], ἦχον ἀπε-
» τέλει μουσικοῦ τυμπάνου· νῦν δὲ πληττόμενον κέρασιν
» ἀγρίων βουβάλων, θρῆνον ἐξάγει [3].

14. « Οἱ ἐν ἐμοὶ ὄντες ἥμεροι ταῶνες, ἄγριοι ἐγένοντο·
» καταπεσούσης γὰρ τῆς ἐκ ξύλων ποιηθείσης κοίτης
» αὐτῶν, ἐπὶ δένδρων τὴν κοίτην ἔχουσι [4]· μὴ ἀκούον-
» τες δὲ ἦχου τυμπάνου [5], ἀμελεῖς τοῦ χοροῦ ἐγένοντο
» καὶ κεκαυμένοι εἰσὶ τὰς οὐρὰς ἐκ τοῦ πυρὸς τῆς
» ὕλης [6].

15. « Ἐν ταῖς βαθμίσι τῶν κλιμάκων μου, ἐν αἷς πρότερον
» γυναικῶν πόδες ἐτίθεντο, βεβαμμένοι βαφῇ ἐρυθρᾷ,
» νῦν τίγρεων πόδες τίθενται, πεφοινιγμένοι ἐκ τοῦ
» αἵματος ἐλάφων, ἀναιρουμένων.

16. « Οἱ γεγραμμένοι ἐν λιμῶνι λωτῶν ἐπὶ τῶν τοίχων

---

(1) Ὁ μὲν Ἥλιος, ὁ δεσπότης καὶ βασιλεὺς, τὰ δὲ νέφη, τὰ ὑψηλὰ οἰκοδομήματα.

(2) Πρὸς ταῖς ἄλλαις παιδιαῖς ἐν Ἰνδίᾳ, μία ἐστὶ καὶ ἡ ἐν ὕδασι ποταμῶν, ἢ λιμνῶν.

(3) Οὐ ποιεῖ ἦχον χαρᾶς, ἀλλὰ λύπης δηλονότι.

(4) Ἐκ ξύλων καλύβην ποιοῦσιν, ἐφ' ἧς τὴν κοίτην ποιοῦσι κατὰ τὴν νύκτα οἱ ἐν οἴκῳ ὄντες ἥμεροι ταῶνες.

(5) Ἂν τις κρούῃ τύμπανον, ὁ ταὼς χορεύει.

(6) Ἐκ ξηρῶν κλάδων δένδρων, ἢ καλάμων, συντριβομένων ὑπ' ἀνέμου, πῦρ ἐν τῷ δάσει ἐξάπτεται αὐτομάτως.

» τῶν οἰκιῶν μου ἐλέφαντες [1], ὧν εἰς τὰ στόματα οἱ
» θήλεις καυλοὺς λωτῶν ἐτίθεσαν ταῖς προβοσκίσι λαμ-
» βάνοντες, συντετριγμένοι νῦν φαίνονται τὰς κεφαλὰς
» ὑπ' ὀνύχων λεόντων, οἳ ἐνόμιζον αὐτοὺς ζῶντας.

17. « Τὰ κιονόκρανα, τὰ ὄντα εἰς σχῆμα γυναικῶν, καὶ
» κεχρωματισμένα, ἐκ τοῦ χρόνου μελανοειδῆ ἐγένον-
» το [2] τῶν δὲ μαστῶν καλύμματά εἰσιν αἱ ἀφειμέναι
» λεβηρίδες τῶν ὄφεων.

18. « Αἱ τῆς σελήνης ἀκτῖνες, αἱ οὖσαι λευκαὶ, ὡς μαρ-
» γαρίται, οὐκ ἀγλαΐζονται ἐν τῇ νυκτὶ, ὡς πρότερον,
» ἐπὶ τῶν τοίχων τῶν οἰκιῶν, ὧν ἡ κονία ἐκ τοῦ χρόνου
» μέλαινα ἐγένετο, καὶ χλοὴ ἔστιν ὅπου ἐξεφύη.

19. « Τὰ ἐν τοῖς κήποις μου φυτὰ, ὧν οἱ κλάδοι εἵλκοντο
» μετὰ προσοχῆς ὑπὸ γυναικῶν εἰς συλλογὴν ἀνθέων,
» καταθλίβονται νῦν, καὶ κατακόπτονται ὑπὸ πιθήκων,
» ὥσπερ ὑπ' ἀγρίων ἀνθρώπων.

20. « Αἱ θυρίδες, αἳ πρότερον ἐν μὲν νυκτὶ ἔλαμπον ἐκ
» λύχνων φωτεινῶν, ἐν δ' ἡμέρᾳ ἐκ λαμπρῶν προσώπων
» γυναικῶν, καὶ θυμίαμα εὐῶδες ἐξέπεμπον, νῦν σκοτει-
» ναί εἰσι, καὶ κεκαλυμμέναι ἀραχνίοις.

21. « Θλίβομαι, βλέπουσα τὴν Δεβὰν ἄχαριν καὶ ἀτερπῆ·
» καὶ γὰρ αὐτῆς τὰ μὲν ὕδατα ἄμοιρά εἰσι τῆς εὐωδίας
» τῶν εὐόσμων ἀλειμμάτων τῶν λουομένων· ἡ δὲ ψάμ-
» μος ἄνευ λατρευτῶν [3]· ἡ δ' ὄχθη, ἐξηγριωμένη καλά-
» μοις τε καὶ θάμνοις.

---

(1) Εἰώθασι γράφειν ἐν τοῖς πλαγίοις τῶν θυρῶν λειμῶνας ἀνθέων, καὶ ἐλέφαντας, καὶ ἄλλα τοιαῦτα ζῶα, ἐν καιρῷ γάμου.

(2) Διὰ τῶν χρωμάτων σχηματίζουσι τὰ ἄμφια· ἐξαλειφθέντος δὲ τοῦ χρώματος, γυμνά πως ἐγένοντο τὰ κιονόκρανα ἐκεῖνα, τὰ ὄντα γυναικόμορφα.

(3) Μετὰ τὸ λούσασθαι προσεύχονται καὶ λατρεύουσι τῷ Θεῷ ἐπὶ τῆς ψάμμου.

22. « Ὅθεν ἄξιος εἰ ἀφεῖναι ταύτην τὴν πόλιν, καὶ ἐλθεῖν » πρὸς ἐμὲ τὴν μητρόπολιν τῶν σῶν προγόνων, καθὼς ὁ » σὸς πατὴρ ἀφῆκε τὸ ἀνθρώπειον σῶμα, ὃ ἔλαβεν οἰ- » κονομικῶς, καὶ ἦλθεν εἰς τὴν ἑαυτοῦ θείαν φύσιν ».

23. Ὁ μὲν οὖν κορυφαῖος τῶν ἀπογόνων τοῦ Ραγγοῦ ἔνευσεν εἰς τὸν λόγον αὐτῆς, χαίρων· ἡ δὲ, γνοῦσα ἐκ τοῦ σημείου τοῦ προσώπου τοῦ βασιλέως, ὡς ἐγένετο, ὃ ἤτησεν, ἄφαντος (ἀφανὴς) ἐγένετο.

24. Περὶ δὲ τὴν ἕω ἐν συνεδρίῳ διηγήσατο ὁ βασιλεὺς τοῦτο τὸ ὑπερφυὲς ὕπαρ τοῖς Βραχμᾶσιν· οἱ δὲ, ἀκούσαντες, ὡς ἡ μητρόπολις αὐτοπροσώπως ἠθέλησεν αὐτὸν βασιλέα, ἐμακάρισαν αὐτόν.

25. Χαρισάμενος δὲ τὴν πόλιν Κουσσαβατὴν τοῖς εἰδόσι τὴν Βέδαν Βραχμᾶσιν, ἔξοδον ἐποίησε πανοικὶ ἐν αἰσίᾳ ἡμέρᾳ κατὰ τὴν Ἀϊοδδεὰν, συνὼν στρατῷ πολλῷ, ὡς ὁ ἄνεμος, πλήθει νεφῶν (πολλοῖς νέφεσιν).

26. Ὥσπερ δὲ μητρόπολις κινουμένη, ἐφαίνετο ἡ στρατιὰ, πορευομένη, ἧς αἱ μὲν ὑψηλαὶ σημαῖαι ἦσαν, ὡς δένδρα τῶν κήπων· οἱ δὲ μεγάλοι ἐλέφαντες, ὡς πύργοι· αἱ δ' ἅμαξαι, ὡς οἰκίαι.

27. Φερόμενος δ' ὁ βαθὺς οὗτος στρατὸς εἰς τὴν ἀρχαίαν κατοικίαν ὑπὸ τοῦ Κούσσα, τοῦ ἔχοντος λευκὸν οὐρανίσκον, ἐφαίνετο, ὥσπερ ὠκεανὸς [1], φερόμενος ἐπὶ τὴν ἀκτὴν ὑπὸ τῆς ἀνατελλούσης πλησιφαοῦς σελήνης [2].

28. Πορευομένου δὲ τούτου μετὰ τοσούτου στρατοῦ, ἐφαίνοντο ἐκ τῆς ἀνελθούσης βαθείας (πολλῆς) κόνιος, ὡς ἡ γῆ

---

(1) Ὁ στρατὸς ἦστιν, ὡς ὁ Ὠκεανὸς, ὁ δὲ οὐρανίσκος, ὡς ἡ πλησιφαὴς Σελήνη.

(2) Ἡ φερομένη στρατιὰ ἦν, ὥσπερ ἡ ἄμπωτις τῆς θαλάσσης, ἡ φερομένη ἀφοδρότερον ἐπὶ τὴν ἀκτὴν, ὅτε πλήρης ἐστὶν ἡ Σελήνη.

ἀνῆλθεν εἰς τὸν οὐρανὸν, μὴ δυναμένη ἀνασχέσθαι τοῦ βάρους αὐτοῦ τοῦ πολυπληθοῦς στρατοῦ.

29. Ἐπειδὴ δὲ ἡ στρατιὰ ἐν τῷ αὐτῷ χρόνῳ ἐκ μὲν τοῦ ὄπισθεν καταλύματος ἐξελθεῖν ἡτοιμάζετο, ἐν δὲ τῷ μέσῳ ἐπορεύετο, εἰς δὲ τὸ ἔμπροσθεν κατάλυμα ἀφικνουμένη κατέλυε, διὰ τοῦτο, ὅπου τις ἔβλεπε, συνεχῆ καὶ ἀδιάλειπτον ἔβλεπε στρατιάν [1].

30. Ἐκ δὲ τοῦ καταῤῥέοντος μανικοῦ χυμοῦ τῶν ἐλεφάντων, καὶ ἐκ τῶν καταπατούντων ποδῶν τῶν ἵππων τούτου τοῦ βασιλέως, ἡ μὲν ἐν ὁδῷ κόνις, πηλὸς ἐγίνετο, ὁ δὲ πηλὸς, κόνις.

31. Ζητοῦσα δ' ὁδὸν ἡ στρατιὰ, διερχομένη τὸν Βινδδεὰν, εἰς πολλὰ μέρη ἐμερίσθη· καὶ βοὴν πολλὴν ποιοῦσα, ἠχὼ ἀπετέλει ἐν τοῖς σπηλαίοις, καθὼς ἡ Ναρμαδά [2].

32. Διεπέρασε δ' ὁ βασιλεὺς τὸν Βινδδεὰν, λαβὼν προσφορὰς παρὰ τῶν ὀρειαύλων. Καὶ αἱ μὲν ἄντυγες τῶν τροχῶν τοῦ ἅρματος αὐτοῦ ἐγένοντο ἐρυθραὶ ἐκ τοῦ ἐν ὄρει ἐρυθροῦ χοός· ἡ δὲ τοῦ στρατοῦ βοὴ συνεμίγη τῷ τῶν μουσικῶν ὀργάνων ἤχῳ.

33. Καὶ ἐλθὼν, προσεκύνησε τὸν ναυσίπορον Γάγγην, τὸν αἴτιον γεγενημένον τῆς ἐπιτεύξεως τοῦ οὐρανοῦ τοῖς προγόνοις αὐτοῦ, τοῖς ἀποτεφρωθεῖσιν ἐκ τοῦ θυμοῦ τοῦ Καπίλα.

34. Διαβαίνοντος δὲ τὸν Γάγγην, ὃς ἐγεφυρώθη δι' ἐλεφάντων, αἱ κινούμεναι πτέρυγες τῶν ἐν αἰθέρι ἱπταμένων χηνῶν ἐγένοντο αὐτῷ αὐτοσχέδιοι οὐραῖαι ῥιπίδες.

35. Μετὰ δέ τινας ἡμέρας, διανύσας τὴν ὁδὸν παρεγένετο

---

(1) Δηλονότι ἄπειρος ἦν ὁ στρατὸς καὶ ἄμετρος.

(2) Ναρμαδὰ, ποταμὸς, ὃς ἐξέρχεται ἐκ τοῦ Βινδδιὰ τοῦ ὄρους.

ἐπὶ τὴν ὄχθην τῆς Δεβᾶς, ἔνθα ἐθεάσατο στήλας πολλὰς, ἀνεγερθείσας εἰς μνήμην τῶν τελεσθεισῶν θυσιῶν τῶν ἀπογόνων τοῦ Ῥαγγοῦ.

36. Ὁ δ' ἐν τοῖς κήποις τῆς μητροπόλεως ἀὴρ, διασείσας τοὺς κλάδους ἀνθοφόρων φυτῶν, καὶ θίξας τῶν ψυχρῶν κυμάτων τῆς Δεβᾶς, ὑπήντησε τῷ Κούσσᾳ [1], ὃς ἦν κεκμηκὼς μετὰ τοῦ στρατοῦ.

37. Ἐστρατοπέδευσε δὲ ἐν τοῖς ὁρίοις τῆς πόλεως αὐτὸς ὁ ἰσχυρὸς βασιλεὺς, ὃς ἦν τοῖς μὲν ἐχθροῖς, ἐν καρδίᾳ ἦλος, τοῖς δ' οἰκείοις φίλος, καὶ τῆς ἑαυτοῦ γενεᾶς κορυφαῖος.

38. Τεχνῖται δὲ πολλοὶ, προσταχθέντες ὑπὸ τοῦ βασιλέως, ἀνεκαίνισαν διὰ παντοίας ὕλης τὴν παλαιωθεῖσαν ἐκείνην πόλιν, καθὼς τὰ νέφη διὰ τῆς βροχῆς ἀναψύχουσι τὴν κατακαυθεῖσαν γῆν ὑπὸ τοῦ ἡλίου.

39. Μετὰ δὲ τὴν ἀνακαίνισιν ἐγκαίνια τῆς πολυτελεῖς ναοὺς ἐχούσης πόλεως ἐποίησε [2] διὰ Βραχμάνων εἰδημόνων, καὶ θυσίαν ἐτέλεσε μετὰ σφαγίων αὐτὸς ὁ ἡρωϊκὸς ἀπόγονος τοῦ Ῥαγγοῦ.

40. Εἰσελθὼν δ' εἰς τὴν βασιλικὴν οἰκίαν ἐκείνης τῆς πόλεως, καθὼς ὁ ἐραστὴς εἰς τὴν καρδίαν τῆς ἐρωμένης, ἔδωκε καὶ τοῖς περὶ ἑαυτὸν πᾶσιν οἰκίας, κατ' ἀξίαν καὶ κατὰ τάξιν.

41. Ἠγλαΐζετο δ' ἐκείνη ἡ πόλις ἱπποστασίοις, καὶ ἐλεφαντοστασίοις, καὶ παντοίοις πρασίμοις ἐν ἀγοραῖς καὶ ἐν ἐργαστηρίοις, καθὼς ἀγλαΐζεται ἡ γυνὴ κοσμήμασι παντοίοις ἐν πᾶσι τοῖς μέλεσιν.

---

(1) Ἔθος ἐστὶν ἐξέρχεσθαι εἰς ὑπάντησιν τοῦ ἐρχομένου.

(2) Εἰκόνας ὄφεως, καὶ χελώνης, καὶ τῆς γῆς ποιοῦσιν ἐκ χρυσοῦ, καὶ ἐνθάπτουσι τῇ γῇ, ὅπου κτίζεται νέα πόλις, ἢ κῆπος, ἢ οἶκος, ἢ ναός.

42. Οἰκῶν δ' ὁ Κούσσας ἐν ἐκείνῃ τῇ πόλει τῶν ἀπογόνων τοῦ Ῥαγγοῦ, τῇ ἐπανελθούσῃ εἰς τὴν ἀρχαίαν ἑαυτῆς λαμπρότητα, λαμπρότερον ἑαυτὸν ἐνόμιζε καὶ αὐτοῦ τοῦ Ἴνδρα καὶ τοῦ Κουβέρα.

43. Ἦλθε δ' ἡ ὥρα τοῦ θέρους, ἐροῦσά πως τῷ βασιλεῖ τὴν πρέπουσαν τῷ καιρῷ στολὴν τῶν γυναικῶν, περιβόλαιον δηλονότι λεπτὸν, καὶ τῇ πνοῇ αἰρόμενον, καὶ πέπλον πεποικιλμένον, καὶ ὅρμον λευκὸν ἐκ μαργάρων[1].

44. Ἀφέντος δὲ τοῦ Ἡλίου τὴν Μεσημβρίαν, καὶ ἐλθόντος εἰς τὴν Ἄρκτον, ἡ Ἄρκτος δάκρυα ἔχυσε χαρᾶς, ἅ ἐςι τὸ ὕδωρ τῆς ἀναλυομένης χιόνος[2] ὑπὸ τοῦ καύματος τοῦ ἡλίου.

45. Ἡ μὲν ἡμέρα θερμὴ ἐγένετο ὑπὲρ τὸ μέτρον, ἡ δὲ νὺξ βραχεῖα, καθὼς ἐν διχονοίᾳ καὶ διαφωνίᾳ ὁ μὲν ἀνὴρ ἐκ θυμοῦ ἐξάπτεται, ἡ δὲ γυνὴ ἐκ λύπης ἰσχνὴ γίνεται καὶ μαραίνεται[3].

46. Τὸ ὕδωρ τῶν ἐν οἴκοις καὶ κήποις λιμνίσκων καὶ δεξαμενῶν εἰς παιδιὰν, ἀπολεῖπον καθ' ἑκάστην τοὺς βαθμοὺς τῶν κλιμάκων[4], καὶ τοὺς καυλοὺς τῶν λωτῶν ἔχον ὑπερανεστηκότας, μέχρι τῶν γυναικείων γλουτῶν ἐγένετο.

47. Τῶν καλύκων τῶν ἐν κήποις ἀνθέων τῆς Μαλλικᾶς[5]

---

(1) Ἐπωμίδα πεποικιλμένην, καὶ πέπλον λεπτὸν, καὶ τῇ πνοῇ αἰρόμενον.

(2) Τὸ ὕδωρ τῆς ἀναλυομένης χιόνος ὑπὸ τοῦ καύματος τοῦ Ἡλίου ἦν, ὥσπερ δάκρυα χαρᾶς τῆς Ἄρκτου, ἥ ἐστιν, ὡς γυνὴ τοῦ ἐπιδημήσαντος Ἡλίου, ὅς ἐςιν, ὡς ἀνήρ· ἡ γὰρ γυνὴ, ἐπιδημήσαντος τοῦ ἀνδρὸς, δάκρυα χαρᾶς χέει. Ὁ Ἰμαὸς, ἔνθα ἐστὶ χιὼν, κατὰ τὸ βόρειόν ἐστι μέρος, ἔνθα ἔρχεται ὁ Ἥλιος ἐν ταῖς θερινα ῖς τροπαῖς.

(3) Τὸ πρωτότυπον χάριν ἔχει πολλὴν, ἐπειδὴ ὁ ποιητὴς παίζει, καὶ πρὸς τὴν λέξιν καὶ πρὸς τὸ γένος.

(4) Ἐν τῷ θέρει τὸ ἐν λίμναις καὶ φρέασιν ὕδωρ μειοῦται· πειοῦσι δ' ἐκ πετρῶν ἢ κεράμων κύκλῳ ἢ ἐν μέρει τῆς λίμνης κλίμακας εἰς κατάβασιν.

(5) Μαλλικὰ, ἀνθοφόρον φυτὸν, οὗ τὰ ἄνθη διεκπετάννυνται κατὰ τὴν ἑσπέραν ἐν ὥρᾳ θέρους· κοινῶς λέγεται Βελά.

διεκπετανυμένων κατὰ τὴν ἑσπέραν, καὶ εὐοσμίαν ἐκπεμπόντων, φοιτῶν ὁ βομβύλιος ἐφ' ἕκαστον, ἐβόμβει, ὥσπερ εἰ ἐμέτρει τὰ ἄνθη.

48. Τὸ ἄνθος τῆς Σιρήσσας[1] οὐκ ἔπιπτεν εὐθέως ἐπὶ γῆς, ἐκ τοῦ ὠτὸς τῶν γυναικῶν ἐξολισθαῖνον· προσεκολλᾶτο γὰρ τῇ παρειᾷ αὐτῶν, ἣ ἦν ἱδρωμένη, καὶ τοῖς τοῦ ἀνδρὸς ὄνυξι νενυγμένη.

49. Οἱ πλούσιοι κατέπαυον (ἀνέψυχον) τὸ καῦμα, ἀνακείμενοι ἐπὶ περικειμένων ἐν οἴκοις κλινῶν ἐκ μαρμάρων, ἀλληλιμμένων τετριμμένῳ Σανδάνῳ, ἐν οἷς ἦσαν ὕδραυλοι, ὕδωρ ἀναβρύοντες, καὶ ψεκάζοντες.

50. Ὁ Ἔρως, ὁ γενόμενος ἀδύνατος ἐκ τῆς ἀπουσίας τοῦ ἔαρος[2], δύναμιν ἔσχεν ἐκ τῆς εὐωδίας τῶν γυναικείων τριχῶν, αἳ ἐθυμιῶντο ἀρωματικοῖς, ὑποβεβρεγμέναι μετὰ τὸ λουτρὸν, καὶ ἄνθη εἶχον Μαλλικᾶς ἐμπεπηγμένα.

51. Οἱ μακροειδεῖς ἀνθώδεις βλαστοὶ τοῦ δένδρου Ἀρζούνα, οἱ ἔχοντες ὑπόξανθον κόνιν, ἐφαίνοντο, ὥσπερ τμήματα τῆς χορδῆς τοῦ τόξου τοῦ Ἔρωτος, ὃς κατεκάη ὑπὸ τοῦ Σίβα, θυμωθέντος.

52. Πάντα τὰ πάθη τῶν ἐρωτικῶν καὶ ἡ δυπαθῶν[3] ἐξηλείφοντο ὑπὸ τῆς ὥρας τοῦ θέρους, ἐν ᾗ ἦσαν ἁπαλὰ καὶ εὐώδη φύλλα τῆς Σαχακάρας[4], καὶ ποτὸν ἐκ χυμοῦ ἑφθοῦ σακχαροκαλάμου, καὶ ῥοδόσταγμα.

---

(1) Σιρήσσα, δένδρον, οὗ τὸ ἄνθος μικρόν ἐστι καὶ λεπτόν.

(2) Ἐν τῷ ἔαρι ὁ Ἔρως νεάζει· ἐν δὲ τῷ θέρει ὀσφραινόμενοι οἱ ἄνθρωποι τοιαύτης εὐώδους κόμης, εἰς ἔρωτα παρωξύνοντο· αἱ γὰρ γυναῖκες τῆς Ἰνδίας εἰώθασι μετὰ τὸ λούσασθαι θυμιᾶν ἀρωματικοῖς τὰς τῆς κεφαλῆς τρίχας, ὑποβεβρεγμένας, καὶ ἄνθη ἐντιθέναι, πλοκαμίδα ποιήσασαι.

(3) Τὸ καῦμα καὶ ἡ δίψα.

(4) Εἶδος δένδρου λαμβας.

53. Ἐν ἐκείνῳ τῷ δεινῷ καιρῷ τοῦ θέρους δύω λίαν ἀγαπητοὶ ἐγένοντο, ἡ ἄρτι ἀνατέλλουσα σελήνη, καὶ ὁ ἄρτι βασιλεύων Κούσσας, οἱ ὄντες δυνατοὶ ἀπαλλάττειν τὰ πάθη τῶν ἀνθρώπων [1].

54. Ὄρεξις μὲν οὖν ἐγένετο τῷ Κούσσᾳ κατὰ τὸ θέρος παιδιὰν ποιῆσαι μετὰ γυναικῶν ἐν τοῖς ὕδασι τῆς Δεβᾶς, ἐν οἷς ἀγλαοὶ χῆνες ἐνήχοντο, καὶ ἄνθη ἐφέροντο, ἐμπίπτοντα ἐκ τῶν περὶ τὴν ὄχθην δένδρων.

55. Ἀφίκετο δὲ μεγαλοπρεπῶς αὐτὸς, ὁ ὢν δυνατὸς ὡς ὁ Βισνοῦς, εἰς τὴν Δεβὰν, ἧς κατὰ μὲν τὴν ὄχθην σκηναὶ ἦσαν βασιλικαὶ, ἐκ δὲ τοῦ βάθους οἱ κροκόδειλοι ἐσαγηνεύθησαν ὑπὸ τῶν ἁλιέων.

56. Οἱ δ' ἐν τῷ ποταμῷ χῆνες ἀνέπτησαν εὐθέως, φοβηθέντες ἐκ τοῦ ἤχου τῶν κινουμένων περιπεζίων, καὶ τῶν προστριβομένων περιβραχιονίων τῶν γυναικῶν, συνθλιβομένων ἀλλήλαις ἐν τῷ εἰσέρχεσθαι ταχέως εἰς τὸν ποταμόν.

57. Ὢν δ' ἐπὶ νηὸς ὁ βασιλεὺς, καὶ θεωρῶν τὴν ὑδροπαιδιὰν αὐτῶν τῶν γυναικῶν, αἳ πρὸς ἀλλήλας ἐριστικῶς ἔῤῥαινον ὕδωρ, ἔλεγε πρὸς τὴν παρισταμένην, καὶ ῥιπίζουσαν αὐτόν [2].

58. « Ἰδὲ, ὅπως τὸ ῥεῦμα τοῦ ποταμοῦ ποικιλόχρουν ἐγέ-
» νετο ἐκ τῶν ἐξαλειφομένων διαφόρων ἀλειμμάτων [3]
» τῶν γυναικῶν μου, καθὼς ἡ ἑσπέρα, ἡ ἔχουσα νέφη,
» ποικιλόχρους γίνεται ἐκ τῶν ἀκτίνων τοῦ ἡλίου.

59. « Ἰδὲ, ὅπως ἡ ἐν τοῖς ὀφθαλμοῖς τῶν γυναικῶν τούτων

---

(1) Ἡ μὲν τὸ καῦμα, ὁ δὲ τὰ δεινά.

(2) Εἰς πᾶσαν ὑπηρεσίαν γυναῖκες ἦσαν τότε παρὰ τῷ βασιλεῖ.

(3) Πρῶτον ἀλείφονται ἐλαίῳ εὐώδει, ἢ κρόκῳ, ἢ σανδάνῳ, καὶ ἔπειτα λεύονται.

» μέλαινα βαφὴ ἐξηλείφθη ὑπὸ τῶν ὑδάτων τοῦ ναυ-
» σιπλόου ποταμοῦ, ἀντεπεισήχθη δὲ χρῶμα ἐρυθρὸν,
» ὡς τὸ τοῦ οἴνου [1].

60. « Αὗται αἱ γυναῖκες, μὴ δυνάμεναι φέρειν τὸ ἑαυτῶν
» σῶμα ἐκ τῶν παχέων γλουτῶν καὶ μαστῶν, μετὰ
» πόνου νήχονται ἐν ὕδασι, χάριν παιδιᾶς, χερσὶ κεκο-
» σμημέναις περιβραχιονίοις καὶ περικαρπίοις.

61. « Ταῦτα τὰ ἄνθη τῆς Σαρήσσας, τὰ ὄντα κοσμήματα
» ἐν τοῖς ὠσὶ τῶν ὑδροπαικτριῶν γυναικῶν, πίπτοντα
» ἐπὶ τοῦ ποταμοῦ, καὶ φερόμενα τῷ ῥεύματι, ἀπατῶ-
» σι τοὺς ἰχθύας, οἳ νομίζουσιν ὅτι Σιβάλαι εἰσί.

62. « Ἰδὲ, ὅπως οἱ μαργαρίται οὐ διακρίνονται, οἱ ἐκ τοῦ
» διαῤῥαγέντος ὄρμου διασκορπισθέντες ἐν ταῖς ἐπὶ τῷ
» στήθει τῶν γυναικῶν σταγόσι τῶν ῥιπτομένων ὑδά-
» των, αἳ ὅμοιαί εἰσι τοῖς μαργαρίταις.

63. « Τὰ ἐπὶ τῶν μελῶν τῶν γυναικῶν φερόμενα ὁμοιώ-
» ματα ὑπὸ τῶν ποιητῶν, παρόντα εἰσὶ, καὶ φαινόμε-
» να· τοῦ μὲν γὰρ βαθέος ὀμφαλοῦ ὁμοίωμά ἐστιν ἡ
» δίνη, τῆς δ' ὀφρύος, τὸ κύμα, τοῦ δὲ ζεύγους τῶν
» μαστῶν, τὸ ἀδιάζευκτον ζεῦγος τῶν χηναλωπέκων [2].

64. « Ὁ ἦχος τοῦ κρουομένου ὕδατος, ὡς τυμπάνου, μετὰ
» τοῦ ᾄσματος τούτων τῶν γυναικῶν ἡδέως ἐμβομβεῖ
» τοῖς ὠσὶ τῶν ἀκουόντων, καὶ ἐπαινεῖται ὑπὸ τῶν
» ἐν τῇ ὄχθῃ ταώνων, οἳ ᾄδουσιν, αἴροντες τὰς οὐρὰς,
» καὶ χορεύοντες.

65. « Ἰδὲ, ὅπως οὗτοι οἱ κωδωνίσκοι τῆς ζώνης, τῆς ἐπὶ

---

(1) Ἐρυθρὰ γίνονται τὰ ὄμματα τοῦ διὰ πολλῆς ὥρας λουομένου ἐν ποταμῷ.

(2) Ὁ βαθὺς καὶ στρογγύλος ὀμφαλὸς ἐπαινεῖται, καὶ ὁμοιοῦται τῇ δίνῃ· ἡ δ' ὀφρὺς ὁμοιοῦται τῷ κύματι καὶ τῷ τόξῳ, τὸ δὲ ζεῦγος τῶν μαστῶν τῷ ζεύγει τῶν χηναλωπέκων· δηλ: καὶ κῦμα ἐστί, καὶ δίνη, καὶ χηναλώπηξ.

» τοῦ λευκοῦ διαζώματος, τοῦ προσκεκολλημένου τοῖς » γλουτοῖς τῶν γυναικῶν φαίνονται, ὡς ἄστρα ἐν μέσῳ » τοῦ σεληνιακοῦ φωτὸς, καὶ ἦχον οὐκ ἀποτελοῦσιν, » ἐπειδὴ πλήρεις εἰσιν ὕδατος [1].

66. « Αὗται αἱ νεάνιδες, καταβεβρεγμέναι τὸ πρόσωπον » ὑπ' ἐκείνων, ἃς κατέβρεξαν, ῥάνασαι ὕδωρ διὰ τῶν » χειρῶν μετὰ χαρᾶς, στάζουσιν ἀπὸ τῶν οὔλων βο- » στρύχων σταγόνας ὕδατος, ξανθὰς οὔσας ἐκ τοῦ ἀλη- » λιμμένου κρόκου.

67. « Θεώρησον, ὅπως ἡ ἀγλαΐα αὐτῶν τῶν γυναικῶν καρ- » διόθελκτός ἐστιν, ὡς πρότερον, καί τοι ἐκ τῆς ἐν ὕδα- » σι παιδιᾶς ἡ διακόσμησις αὐτῶν διεφθάρη, ἥτε ἐπὶ » τῆς κόμης, καὶ ἡ ἐπὶ τοῦ μετώπου, καὶ ἡ ἐπὶ τῶν » ὠτίων ».

68. Καταβὰς δ' ὁ βασιλεὺς ἐκ τῆς νηὸς, ἔπαιζε σὺν ταῖς γυναιξὶν ἐν ὕδασιν, ἔχων ὅρμον ἐξ ἀνθέων, καθὼς ὁ ἐλέφας παίζει μετὰ θηλέων ἐλεφάντων, ἔχων ἐπ' ὤμων ἐρριμμένους λωτούς [2].

69. Αἱ δὲ γυναῖκες, συμμιγεῖσαι αὐτῷ τῷ λαμπρῷ, λίαν ἠγλαΐζοντο, καθὼς οἱ ἐν ὅρμῳ μαργαρῖται, ἀγλαοὶ ὄντες φύσει, μᾶλλον ἀγλαΐζονται, ἀγλαῷ συμμιγέντες σαπφείρῳ.

70. Κατέβρεχον δ' αὐτὸν ἐκ σιφωνίων χρυσῶν ὕδασι ξανθοῖς ἐκ κρόκου· οὕτω δ' ἔχων, λίαν ἠγλαΐζετο, καθὼς ἀγλαΐζεται τὸ ὄρος, ὑόμενον, τὸ ἔχον ἐρυθρὸν χοῦν.

71. Συλλουόμενος δ' ἐν τῷ ἀρίστῳ ποταμῷ, καὶ συνηδό-

---

(1) Τὸ μὲν λευκὸν διάζωσμά ἐστιν, ὡς τὸ σεληνιακὸν φῶς, εἰ δ' ἀργυροῖ καὶ στρογγύλοι κωδωνίσκοι, ὡς ἄστρα.

(2) Ὁ ἐλέφας, ἐσθίων, ἢ πίνων, ἀναῤῥίπτει μέρος διὰ τῆς προβοσκίδος καὶ ἐπὶ τῶν ὤμων, ὥσπερ παίζων.

μενος γυναιξὶν ἀγλααῖς, ἐφαίνετο, ὡς ἄλλος Ἴνδρας, ὃς συνήδεται καὶ συμπαίζει ταῖς θείαις νύμφαις ἐν τῷ οὐρανίῳ Γάγγῃ.

72. Ἐν τούτῳ, τὸ ἄξιον τιμῆς μιᾶς βασιλείας καὶ νικητικὸν ἐκεῖνο ψέλλιον, ὃ ὁ μὲν Ἀγαστέας ἔδωκε τῷ Ῥάμᾳ, ὁ δὲ Ῥάμας τούτῳ τῷ Κούσσᾳ, ἔπεσεν εἰς τὸ βάθος τοῦ ποταμοῦ ἀνεπαισθήτως, ὅτε ἔπαιζε.

73. Λουσάμενος δὲ, καὶ παίξας μετὰ τῶν γυναικῶν, ὡς ἠφίετο, ἐξέβη τοῦ ποταμοῦ· καὶ ἐλθὼν εἰς τὴν ἐν ὄχθῃ σκηνὴν, ἀναμφίαστος ὢν ἔτι, καὶ ἀκόσμητος, εἶδε τὴν ἑαυτοῦ χεῖρα κενὴν τοῦ θείου ἐκείνου ψελλίου.

74. Οὐκ ἔφερε δὲ τὴν στέρησιν αὐτοῦ τοῦ ψελλίου οὐ διὰ φιλοχρηματίαν, ἀλλὰ διότι ἦν πρόξενον νίκης, καὶ κτῆμα πατρικόν· αὐτὸς γὰρ ὁ γενναῖος, ἐξ ἴσου ἐνόμιζε καὶ τὸ ἐξ ἀνθέων καὶ τὸ ἐκ πολυτίμων λίθων κόσμημα.

75. Ἐπέταξε δ' εὐθέως ἐμπείροις κολυμβηταῖς καὶ σαγηνευταῖς εἰς ἔρευναν τοῦ πεσόντος ψελλίου· οἱ δὲ, ἐρευνήσαντες, καὶ ματαίως πονήσαντες, εἶπον τῷ βασιλεῖ, ἐλθόντες, μηδέν τι σημεῖον λύπης δείξαντες·

76. « Ὦ βασιλεῦ, πολυειδὴς ἔρευνα ἐγένετο· οὐχ εὑρέθη » ὅμως τὸ καταβυθισθὲν ἐξαίρετόν σου κόσμημα· πάν- » τως γε ἐκεῖνο κατεπόθη ὑπ' ὄφεως, ὃς οἰκεῖ ἐν βαθεῖ » λάκκῳ τοῦ ποταμοῦ, καὶ ὀνομάζεται Κουμούδας ».

77. Ἀκούσας δ' ὁ τοξικὸς καὶ γενναῖος Κούσσας, ἐνέτεινε τὸ τόξον· καὶ ἐλθὼν ἐπὶ τὴν ὄχθην εἰς τάχος, ἐρυθρὰ ἔχων τὰ ὄμματα ἐκ θυμοῦ, ἥψατο βέλους Γαρούδα [1], εἰς ὄλεθρον τοῦ ὄφεως.

78. Τεθέντος δὲ τοῦ βέλους ἐπὶ τῆς χορδῆς, ὁ λάκκος ἐκεῖ-

(1) Δι' ἰπωδῆς Γαρούδας ἐκ τοῦ βέλους ἐξέρχεται, ὃς ὀφιοφάγος ἐστί.

νος, ἐν ᾧ ἦν ὁ ὄφις, κύμα λάβρον ἐξέβρασεν, ὃ προσραγὲν τῇ ὄχθῃ, πάταγον μέγαν ἀπετέλεσε, καθὼς ὁ ἄγριος ἐλέφας, πίπτων εἰς ἀνεσκαμμένον λάκκον [1].

79. Ἐξ ἐκείνου δὲ τοῦ ταραττομένου λάκκου, ὃς ἀνετάραζε τοὺς κροκοδείλους, ἐξῆλθεν ἐξαίφνης μέγας ὄφις μετὰ κόρης, καθὼς ὁ Παριζάτας [2] μετὰ τῆς Λαξμῆς ἐκ τοῦ περιστρεφομένου ὠκεανοῦ ὑπὸ τῶν θεῶν.

80. Ἰδὼν δ' ὁ βασιλεὺς Κούσσας αὐτὸν τὸν ὄφιν παριστάμενον, καὶ κρατοῦντα τῇ χειρὶ τὸ ψέλλιον ἐκεῖνο, ἀφῆκε τὸ βέλος ἄπρακτον· οἱ γὰρ ἀγαθοὶ καταπραΰνουσι τὸν θυμὸν πρὸς τοὺς ταπεινῶς φερομένους.

81. Ὁ δὲ Κουμούδας, εἰδὼς αὐτὸν τὸν Κούσσαν, υἱὸν ὄντα τοῦ θεοῦ Ῥάμα, καὶ δαμαστὴν τῶν ἐχθρῶν, καὶ ἰσχυρὸν, κλίνας τὴν κεφαλὴν, προσεκύνησεν αὐτὸν ταπεινῶς, καὶ ἔλεξε τάδε·

82. « Ἔγωγε γινώσκω, ὡς σὺ ἐπ' ὀνόματι υἱοῦ ἄλλο σῶμα » ἔχεις τοῦ Βισνοῦ [3], ὃς ἐνηνθρώπησεν ἐπ' ὀλέθρῳ τῶν » τυράννων· πῶς ἂν οὖν ἐγὼ ἀποβάλοιμι τὴν χάριν σοῦ » τοῦ ὄντος ἀξίου τιμῆς καὶ θεραπείας [4];

83. « Αὕτη ἡ κόρη, ἐν χειρὶ ἔχουσα σφαίραν παιδικὴν, καὶ » παίζουσα, ἰδοῦσα πίπτον, ὡς μετέωρον φῶς ἐκ τοῦ » αἰθέρος, τὸ σὸν νικητικὸν κόσμημα, ἔλαβεν αὐτὸ, ὡς » ἄθυρμα.

84. « Ἐχέτω οὖν τοῦτ' αὐτὸ πάλιν ἡ σὴ χεὶρ, ἥ ἐστιν, ὡς » μοχλὸς, φυλακτικὴ τῆς γῆς, καὶ στιβαρὰ, καὶ ἐπι-

---

(1) Εἰς ὃν πίπτοντες οἱ ἄγριοι ἐλέφαντες ἁλίσκονται.

(2) Παριζάτας, δένδρον ἀνθοφόρον καὶ πάνδωρον, ὃ ἐτέθη ἐν οὐρανῷ.

(3) Ὄνομα μόνον δηλ: ἔχεις υἱοῦ· ὑπάρχεις δὲ αὐτὸς ὁ Βισνοῦς.

(4) Πῶς ἂν ἐγὼ παροργίσαιμι σὲ τὸν ἄξιον θεραπείας καὶ τιμῆς;

» μήκης μέχρι τῶν γονάτων, καὶ τύλους ἔχει τῶν πλη-
» γῶν τῆς χορδῆς τοῦ τόξου.

85. « Ἄξιος δὲ εἶ, ὦ βασιλεῦ, εὐμενῶς δέξασθαι καὶ ταύ-
» την τὴν νεωτέραν μου ἀδελφὴν, τὴν Κουμουδβατὴν
» τοὔνομα, ἣ αἰτεῖ ἄφεσιν τοῦ ἑαυτῆς ἐγκλήματος διὰ
» τῆς πρὸς τοὺς πόδας σου ἀδιαλείπτου θεραπείας ».

86. Εἰπόντος τοιαῦτα τοῦ Κουμούδα, καὶ ἐγχειρίσαντος τὸ ψέλλιον, ὁ βασιλεὺς ἀπεκρίνατο· « Σὺ ἄξιος ἐπαίνου εἶ
» καὶ ἐμὸς φίλος ». Ὁ δὲ Κουμούδας, συγκαλέσας τοὺς συγγενεῖς ἑαυτοῦ, συνέζευξε κατὰ νόμον τῷ βασιλεῖ τὴν κόρην, ἣ ἦν τὸ ἀγλάϊσμα τῆς ἑαυτῆς γενεᾶς.

87. Ἔμπροσθεν δὲ τοῦ ἐκλάμπρου πυρὸς ἥψατο ὁ βασιλεὺς εἰς σύζευξιν τῆς χειρὸς ἐκείνης, ἣ εἶχεν αἴσιον περικάρπιον ἐκ νήματος μαλλοῦ προβάτου [1]· ἐν ταὐτῷ δ' ἦχος μουσικῶν ὀργάνων ἐγένετο ἐν οὐρανῷ, ὃς διῆλθεν εἰς πᾶν μέρος τῆς γῆς· καὶ μετὰ ταῦτα, ἄνθη εὐωδέστατα ἔβρεχον τὰ νέφη.

88. Οὕτως, ὁ μὲν Κουμούδας οἰκεῖον καὶ ἀγχιστέα ἐποίησε τὸν Κούσσαν, τὸν υἱὸν τῆς Σητᾶς καὶ τοῦ Ῥάμα· ὁ δὲ Κούσσας τὸν Κουμούδαν, τὸν πέμπτον ἀπόγονον τοῦ Ταξάκα [2]. Καὶ ὁ μὲν Κουμούδας ἠλευθερώθη ἐκ τοῦ φόβου τοῦ Γαρούδα, τοῦ ἐχθροῦ τῶν ὄφεων· ὁ δὲ Κούσσας ἐκυβέρνα τὴν γῆν, ἐλευθέραν οὖσαν ἐκ τοῦ φόβου τῶν ὄφεων.

---

(1) Νῆμα ἐκ μαλλοῦ προβάτου τιθέασι περὶ τὸν καρπόν.

(2) Ταξάκας, βασιλεὺς τῶν ὄφεων.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

1. Ἐκ δὲ τοῦ Κούσσα ἡ Κουμουδβατὴ ἔσχεν υἱὸν, ᾧ ὄνομα ἐτέθη Ἀτίτης, καθὼς ἡ αἴσθησις ἔχει ἐνέργειαν ἐκ τοῦ ὄρθρου [1].
2. Λαμπρὰ δ' ἐποίησεν ὁ λαμπρὸς αὐτὸς υἱὸς ἀμφότερα τὰ γένη, τοῦτε πατρὸς καὶ τῆς μητρὸς, καθὼς ὁ λαμπρὸς ἥλιος ἀμφότερα τὰ μέρη τῆς Ἄρκτου καὶ τῆς Μεσημβρίας [2].
3. Ὁ δὲ πατὴρ, ὁ ἄριστος τῶν πεπαιδευμένων, πρῶτον μὲν ἐδίδαξεν τὸν υἱὸν πᾶσαν μάθησιν, προσήκουσαν τῇ γενεᾷ· ἔπειτα δὲ συνέζευξεν αὐτὸν κόραις βασιλικαῖς.
4. Ὢν δὲ καὶ αὐτὸς γνήσιος, ἥρως, καὶ ἐγκρατὴς, καὶ υἱὸν ἔχων γνήσιον, ἥρωα, καὶ ἐγκρατῆ, ἐνόμιζεν ἑαυτὸν διφυῆ, καὶ δίμορφον.
5. Βοηθήσας δὲ τῷ Ἴνδρᾳ ἐν πολέμῳ, ὡς ἦν ἔθος τῇ αὐτοῦ γενεᾷ, ἀνεῖλε τὸν Δουρζαΐαν [3], ἀρχηγὸν τῶν Τιτάνων, καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ.
6. Ἡ δὲ Κουμουδβατὴ, ἡ ἀδελφὴ τοῦ ὀφιομέδοντος Κουμούδα, συνεπορεύθη τῷ αὐτῆς ἀνδρὶ [4], καθὼς ἡ σεληνιακὴ αὐγὴ συμπορεύεται τῇ σελήνῃ.
7. Καὶ ὁ μὲν Κούσσας συνεκάθητο τῷ Ἴνδρᾳ ἐν τῷ αὐτῷ

---

(1) Ὅτε ὁ ἄνθρωπος ἐγείρεται κατὰ τὸν ὄρθρον, τότε αἱ αἰσθήσεις αὐτοῦ ἐνεργοῦσιν.

(2) Τοῦτο θεωρεῖται ἐν ταῖς θεριναῖς καὶ χειμεριναῖς τροπαῖς.

(3) Ὁ Κούσσας καὶ ὁ Δουρζαΐας, μονομαχοῦντες, ἀνῃρέθησαν ταῖς ἀλλήλων χερσί. Δουρζαΐας μεθερμηνεύεται Δυσνίκητος.

(4) Συγκατεκάη τῷ σώματι τοῦ θανόντος ἀνδρός.

θρόνῳ· ἡ δὲ Κουμουδβατὴ ἦν φίλη τῇ Σακῇ [1], καὶ συμπάρεδρος ὑπὸ τὸ πάνδωρον δένδρον, Παριζάταν.

8. Ἐψηφίσαντο δ' ἐπὶ τῆς βασιλείας τὸν υἱὸν τοῦ Κούσσα οἱ γέροντες βουλευταὶ, ἐνθυμούμενοι τὴν προτέραν προσταγὴν τοῦ πατρὸς, πορευομένου εἰς πόλεμον.

9. Οἱ δὲ τεχνίται κατεσκευάσαντο εἰς λοῦσιν καὶ χρίσιν αὐτοῦ τοῦ νέου βασιλέως καθέδραν νέαν, ὑψηλὴν, καὶ τετράπουν.

10. Καθημένῳ δ' αὐτῷ ἐπὶ τῆς καλῆς καθέδρας παρίσταντο καὶ ἄρχοντες, καὶ χρυσαῖ στάμναι πλήρεις ὑδάτων ἐξ ἁγίων τόπων.

11. Ἐκ δὲ τῆς ἡδείας ἁρμονίας τῶν κρουομένων καὶ ἐμπνεομένων μουσικῶν ὀργάνων συμπεραίνοντες ἦσαν (ἐτεκμαίροντο) οἱ ἄνθρωποι, ὡς ἡ εὐδαιμονία αὐτοῦ ἀδιάλειπτος καὶ ἀμετάπτωτος ἔσεται.

12. Ἐδέχετο δὲ τὴν νενομισμένην φωταγωγίαν τῆς λυχνίας [2], ἣ ἐγίνετο ὑπὸ τῶν γερόντων τῆς γενεᾶς· ἡ δὲ λυχνία ἔκειτο ἐπ' ἀγρώστιος, καὶ χλοερᾶς κριθῆς, καὶ φλοιοῦ δένδρου Πιππάλα ἐν δίσκῳ.

13. Βραχμᾶνες δ' ἔγκριτοι, ὧν ἀρχηγὸς ἦν ὁ ἱερουργὸς Βασσίσας, ἤρξαντο, πρῶτον λοῦσαι τοῦτον τὸν νικητικὸν, νικητικὰς ᾠδὰς λέγοντες ἐκ τῆς Βέδας Ἀρτάβας.

14. Ἡ δὲ λουτροχοΐα, ἡ καταφερομένη δαψιλῶς καὶ ἠχητικῶς ἐπὶ τῆς κορυφῆς αὐτοῦ, ἐφαίνετο, ὥσπερ ἡ Γαγγὰ, ἡ καταῤῥέουσα ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα [3].

---

(1) Σακὴ, παράκοιτις τοῦ Ἴνδρα.

(2) Λυχνίαν τρίφωτον ἢ πεντάφωτον ἢ ἑπτάφωτον προσφέρουσιν, ὡς λατρείαν, τῷ προσώπῳ τῶν σεβασμίων ἀνδρῶν καὶ τῶν θεῶν, καὶ θυμιῶσιν αὐτούς· ἀντὶ δ' ἐλαίου, βούτυρον τίθεται ἐν τῇ λυχνίᾳ, ἐπειδὴ ἐκ τοῦ βουτύρου ἡδεῖα ὀσμὴ ἐξέρχεται.

(3) Μυθολογοῦσιν, ὡς ὁ ποταμὸς Γάγγης ἐκρέει ἐκ τοῦ οὐρανοῦ, καὶ καταῤῥέει ἐπὶ τῆς κορυφῆς τοῦ Σίβα· ἐκεῖθεν δὲ ἐπὶ τῆς γῆς.

15. Ἐν ἐκείνῳ τῷ καιρῷ τοῦ λουτροῦ, ὑμνούμενος ὑπὸ τῶν ὑμνολόγων, ἠγλαΐζετο, καθὼς τὸ ὑδροφόρον νέφος, ὑμνούμενον ὑπὸ τῶν ὀρνέων, ἃ ὀνομάζονται Σατάκαι [1].

16. Μᾶλλον δ' ηὔξανεν ἡ ἀγλαΐα αὐτοῦ, λουομένου, ἐκ τῶν χεομένων ἁγνιστικῶν ὑδάτων σὺν ᾠδαῖς τῆς Βέδας, καθὼς ἡ λάμψις τῆς ἀστραπῆς ἐκ τῆς πιπτούσας βροχῆς [2].

17. Τοσοῦτον δὲ πλοῦτον ἔδωκε μετὰ τὸ λουτρὸν τοῖς λουτροχόοις καὶ ὑμνολόγοις, ὥστε δύνασθαι αὐτοὺς πολυτελεῖς τελέσαι θυσίας.

18. Ἦν δ' εὐχὴν ἐποίησαν αὐτῷ αὐτοὶ οἱ λαβόντες δῶρα, χαρέντες τὴν καρδίαν, αὕτη ἦν ἄχρηστος, ἐπειδὴ αὐτὸς πᾶν εἶχεν ἀγαθὸν ἐκ τῆς ἐν τῇ προτέρᾳ γεννήσει ἑαυτοῦ ἀρετῆς [3].

19. Ἐκέλευσε δ' ἐν τούτῳ λύσιν τῶν δεσμίων, ἄφεσιν τῶν καταδικασθέντων εἰς θάνατον, ἀζυγίαν τῶν ὑπὸ ζυγὸν ζώων, καὶ τῶν δαμάλεων ἀναμελξίαν.

20. Καὶ πάντες ὁμοῦ οἱ ἐπὶ παιδιᾷ ὄρνεις, οἱ ἐν κύρταις κεκλεισμένοι, ἐλευθερίας ἔτυχον, καὶ ἀπέπτησαν, ὅπῃ ἤθελον, ἐκ τῆς προσταγῆς αὐτοῦ.

21. Ἐκ δὲ τοῦ λουτροῦ ἦλθεν εἰς ἕτερον οἴκημα, ἔνθα ἦν λευκὴ κλίνη ἐλεφαντίνη, λαμπρῶς ἐστρωμένη, καὶ ἐκάθισεν ἐπ' αὐτῆς εἰς τὸ κοσμηθῆναι καὶ ἐνδυθῆναι.

22. Προσῆλθον δ' αὐτῷ οἱ κοσμηταὶ μετὰ διαφόρων κοσμημάτων· καὶ νίψαντες τὰς χεῖρας ὕδατι, ἐθυμίασαν ἀρωματικοῖς τὴν κόμην αὐτοῦ, καὶ ἄνικμον ἐποίησαν.

---

(1) Σατάκα, εἶδος ὀρνέου μικροῦ· λέγεται καὶ Σαράγκα, καὶ κοινῶς Παπιὰ ἐκ τῆς φωνῆς, ἣς ποιεῖ. Τοῦτο τὸ ὄρνεον χαίρει, ὅταν βρέχῃ, καὶ ἀνοῖγον τὸ στόμα αὐτοῦ, πίνει ὕδωρ βροχῆς.

(2) Πλέον λάμπει ἡ λάμψις τῆς ἀστραπῆς, ὅταν βρέχῃ.

(3) Ὅ,τι αὐτοὶ ηὔξαντο, τοῦτο αὐτὸς εἶχεν, εὐτυχίαν δηλ. καὶ πᾶν ἄλλο εὐκταῖον, ἃ ἦν καρπὸς τῆς ἐν τῇ προτέρᾳ γεννήσει ἀρετῆς αὐτοῦ.

23. Ἐπὶ δὲ τῆς κεφαλῆς αὐτοῦ ἔθεντο διάδημα, συμπεπλεγμένον μαργαρίταις, καὶ ἄνθραξι λαμπροῖς, καὶ περὶ τὸ μέσον ἔχον στέφανον ἐξ ἀνθέων.

24. Ἀλείψαντες δὲ τὸ σῶμα αὐτοῦ Σανδάνῳ, ὃ ἦν μεμιγμένον εὐώδει μόσκῳ, ἐποίησαν καὶ τὸ ἐν τῷ μετώπῳ γραφικὸν κόσμημα.

25. Κοσμηθεὶς δὲ, καὶ στεφανωθεὶς, καὶ ἐνδυθεὶς ἔνδυμα, ἔχον ἐντετυπωμένους χῆνας, λίαν ἀξιοθέατος ἐγένετο νυμφίος τῆς βασιλείας.

26. Ἡ δὲ σκιὰ αὐτοῦ ἐν τῷ χρυσῷ κατόπτρῳ, βλέποντος τὴν στολὴν, ἀγλαὰ ἐφαίνετο, καθὼς ἡ σκιὰ τοῦ οὐρανίου δένδρου ἐν τῷ χρυσῷ ὄρει Μερόῃ[1], ἀνατέλλοντος τοῦ ἡλίου.

27. Συνὼν δὲ περιπόλοις καὶ προπόλοις, φέρουσιν ἐν χερσὶ βασιλικὰ παράσημα[2], καὶ ὑμνούμενος ὑπὸ τῶν ὑμνολόγων ἦλθεν εἰς τὸ βουλευτήριον, τὸ ὂν ὅμοιον τῷ τοῦ Ἴνδρα.

28. Καὶ ἐκάθισεν ἐπὶ τοῦ πατρικοῦ θρόνου, οὗ ἡ μὲν κορυφὴ εἶχεν οὐρανίσκον, τὸ δ' ὑποπόδιον ἦν προσκυνούμενον ὑπὸ τῶν βασιλέων τῆς γῆς.

29. Ἠγλαΐζετο δὲ τὸ ἀγλαὸν βουλευτήριον ὑπὸ τούτου τοῦ λαμπροῦ βασιλέως, καθὼς τὸ ἀγλαὸν στῆθος τοῦ Βισνοῦ ὑπὸ τοῦ λαμπροῦ Καουστούββα[3].

30. Καθὼς ἡ διχόμηνος σελήνη μᾶλλον λαμπρύνεται, πλησιφαὴς γεγενημένη, οὕτω καὶ αὐτὸς ὁ βασιλικὸς υἱὸς, πληρεξούσιος βασιλεὺς γεγενημένος.

---

(1) Μερόη, μυθευομενον ὄρος κατὰ τὸν βορέαν, ἐνδιαίτημα θεῶν, οὗ ἐπὶ τῆς κορυφῆς ἐστιν ὁ οὐρανός.

(2) Βασιλὰ παράσημά εἰσι, τὸ σκιάδιον, τὰ ῥιπίδια, καὶ ἀργυραῖ ἡ χρυσαῖ ῥάβδοι.

(3) Καουστούβας, λίθος πολύτιμος.

31. Ἐπειδὴ δὲ ἦν ἀγλαὸς τὴν ὄψιν, καὶ πρῶτον μὲν ἐμειδία, ἔπειτα δ' ἐλάλει, διὰ τοῦτο οἱ περὶ αὐτὸν ἐνόμιζον, ὡς ἡ πίστις [1] ἔλαβε σῶμα ἐν αὐτῷ.

32. Ἐξιὼν δὲ, ἀπεδείκνυε τὴν πόλιν ἄλλην Ἀμαραβατήν· αὐτὸς μὲν γὰρ ἦν, ὁ Ἴνδρας, ὁ δ' ἐλέφας αὐτοῦ, ὁ Ἀϊραβάτας, ἡ δὲ σημαία, ἡ Καλπαδρούμα [2].

33. Καί τοι δὲ τὸ σκιάδιον ἐπὶ τῆς κορυφῆς ἦν αὐτοῦ μόνου, ἀπήλλαξεν ὅμως τὴν θλῖψιν τῆς κεκαυμένης καρδίας πάντων ἐπὶ τῷ θανάτῳ τοῦ προβασιλεύοντος Κούσσα [3].

34. Ἡ μὲν φλὸξ τοῦ πυρὸς φαίνεται μετὰ τὸν καπνὸν, αἱ δ' ἀκτῖνες τοῦ ἡλίου μετὰ τὴν ἀνατολήν· αὐτὸς δ' ὑπερβὰς τὴν φύσιν αὐτῶν τῶν λαμπροφανῶν, ἔδειξεν ἐν ταὐτῷ πᾶν εἶδος τῆς ἑαυτοῦ ἀρετῆς [4].

35. Αἱ γυναῖκες τῆς πόλεως παρηκολούθουν αὐτῷ δι' ὀφθαλμῶν ἀγάπης, καθὼς αἱ νύκτες διὰ τῶν λαμπρῶν ἀστέρων περιέρχονται τὸν ἀρκτῶον πόλον.

36. Οἱ δὲ θεοὶ τῆς Ἀϊοδδεᾶς, οἱ ἔχοντες ἀγλαοὺς ναοὺς, ἐλθόντες εἰς τὰ ἀγάλματα αὐτῶν αὐτοπροσώπως, ἐβράβευον αὐτῷ πάντα τὰ εὐκταῖα.

37. Πρὶν δ' ἄνικμος γένηται ἡ καταβεβρεγμένη ἐκείνη γῆ, ἔνθα ἐλούσατο, καὶ ἐχρίσθη βασιλεὺς, ἡ δυσανάσχετος δύναμις αὐτοῦ εἰς τὰ πέρατα τῆς γῆς διῆλθε.

---

(1) Δηλονότι τὸ θάρρος, καὶ ἡ ἀφοβία· πάντες γὰρ θαρραλέως προσήρχοντο αὐτῷ χαρίεντι ὄντι, καὶ εὐπροσίτῳ.

(2) Ἀϊραβάτας λέγεται ὁ ἐλέφας τοῦ Ἴνδρα. Καλπαδρούμα δὲ, τὸ οὐράνιον καὶ πάνδωρον δένδρον.

(3) Ἐπειδὴ ἐκυβέρνα καλῶς, διὰ τοῦτο ἀνάπαυσιν εἶχον πάντες, καὶ οὐκ ἐμέμνηντο τοῦ πρώην βασιλέως.

(4) Οὐ κατ' ὀλίγον καὶ κατὰ μέρος, ἀλλ' ἐν ταὐτῷ ἔλαμψαν πάντα τὰ ἀγαθὰ αὐτοῦ προτερήματα.

38. Τί δ' ἦν ἄξιον κατορθώσεως, ὅπερ οὐ κατώρθωσαν αἱ τῆς εὐχαὶ καὶ ἐπῳδαὶ τοῦ πνευματικοῦ πατρὸς Βασσίςα, καὶ τὰ βέλη αὐτοῦ τοῦ Τοξότου;

39. Συνὼν δὲ δικαίοις ἀνδράσι, καὶ προσέχων, ἐθεώρει ἀεὶ τὰς διαφορὰς τῶν ἐναγόντων καὶ τῶν ἐναγομένων εἰς ἀνακάλυψιν τῆς ἀληθείας.

40. Ἔνευε δὲ καὶ εἰς τὰ αἰτήματα τῶν φίλων καὶ οἰκείων, καὶ ἐφαίνετο ἐκ τῆς φαιδρότητος καὶ ἱλαρότητος τοῦ προσώπου ἑαυτοῦ, ὡς αὐτὰ ἐκτελέσει.

41. Τοῦ πατρὸς βασιλεύοντος, οἱ λαοὶ ἠύξησαν, καθὼς οἱ ποταμοὶ ἐν μηνὶ Ἰουλίῳ· τούτου δὲ βασιλεύοντος, ὑπερηύξησαν, καθὼς οἱ ποταμοὶ, ἐν μηνὶ Αὐγούστῳ.

42. Ὅ,τι ἔλεγε, τοῦτο οὐκ ἀνῄρει· ὅ,τι δ' ἐδωρεῖτο, τοῦτο οὐκ ἀφῄρει· ἐν τούτῳ δ' ὅμως ἦν ἐναντίος αὐτὸς ἑαυτῷ, ὅτι καταβάλλων τοὺς ἐχθροὺς, πάλιν ἀνεβίβαζεν αὐτούς[1].

43. Ἡ νεότης, ἡ εὐμορφία, καὶ ἡ βασιλεία, ἓν ἕκαστον τούτων αἴτιόν ἐστιν ἐπάρσεως· τούτῳ δ' ἐνόντα τὰ τρία ταῦτα ἀγαθὰ, οὐκ ἐπῆραν τὴν καρδίαν αὐτοῦ.

44. Ἐκ τοιούτων ἀρετῶν ἀγάπης, γεγενημένης τῷ λαῷ πρὸς αὐτὸν, καί τοι ἦν νέος βασιλεὺς, ἦν ὅμως στερεὸς καὶ ἀκλόνητος ἐπὶ τῆς βασιλείας, καθὼς τὸ ἐρριζωμένον δένδρον.

45. Ἐπειδὴ οἱ ἐξωτερικοὶ ἐχθροὶ πρόσκαιροί εἰσι, καὶ πόρρω ἀπέχουσι, διὰ τοῦτο κατὰ πρῶτον ἐνίκησε τοὺς ἐσωτερικοὺς καὶ διηνεκεῖς, οἵ εἰσιν ἕξ [2].

46. Καί τοι ἡ δόξα φύσει ἐστὶν ἀσταθὴς, σταθερὰ ὅμως ἦν ἐν τούτῳ, ὃς ἦν ἐπιῤῥεπὴς εἰς χάριν, καθὼς σταθερά ἐστιν ἡ χρυσῆ γραμμὴ ἐπὶ τῆς βασάνου.

---

(1) Φιλαλήθης ἦν, πειθήνιος, οἰκτίρμων, καὶ συγγνώμων.

(2) Ὁ Ἔρως, ὁ θυμὸς, ἡ πλεονεξία, ἡ προσπάθεια, ἡ ὑπερηφανία, καὶ ὁ φθόνος.

47. Ἐπειδὴ ἡ μὲν πολιτικὴ ἐπιστήμη μόνη, ἰδιόν ἐστι δειλῶν, ἡ δ' ἀνδρεία μόνη, ἴδιον θηρίων [1], διὰ τοῦτο οὗτος ἐτέλει πᾶν, χρώμενος ἀμφοτέραις, καὶ τῇ πολιτικῇ ἐπιστήμῃ, καὶ τῇ ἀνδρείᾳ.

48. Οὐδὲν ἦν ἀθέατον τούτῳ τῷ βασιλεῖ, οὗ οἱ κατάσκοποι διεσπαρμένοι ἦσαν πανταχοῦ, καθὼς οὐδὲ τῷ ἡλίῳ, οὗ αἱ ἀκτῖνες διακεχυμέναι εἰσὶν ἀπανταχοῦ.

49. Ὅ,τι ἦν ἐντεταλμένον καὶ νενομοθετημένον τοῖς βασιλεῦσι ποιεῖν ἐν παντὶ καιρῷ νυκτὸς καὶ ἡμέρας, τοῦτο οὗτος ἔπραττεν ἐπιμελῶς καὶ ἀδιστάκτως.

50. Ὅ,τι καθ' ἑκάστην ἐβουλεύετο σὺν τοῖς βουλευταῖς, τοῦτο οὐδέ ποτε γνωστὸν ἦν καὶ φανερὸν, ἐπειδὴ μυστικῷ τρόπῳ ἐγίγνετο.

51. Καί τοι ἐκάθευδε κατὰ τὸν καιρὸν, ἐγρηγόρει ὅμως διὰ τῶν ἑαυτοῦ κατασκόπων, οἳ ἦσαν διεσπαρμένοι καὶ ἐν τῇ ἰδίᾳ καὶ ἐν τῇ ἀλλοτρίᾳ γῇ, καὶ ἀλλήλους οὐ διεγίγνωσκον.

52. Φρούρια δυσάλωτα ἦσαν αὐτῷ, καί περ καταβάλλοντι καὶ καταδαμάζοντι τοὺς ἐχθρούς· ἀμέλει ὁ ἐλεφαντοκτόνος λέων οὐκ ἐκ φόβου ἔχει κοίτην σπήλαιον ὄρους.

53. Τὰ ἐπιχειρήματα αὐτοῦ, ἃ ἀπέβλεπον εἰς τὸ ἀγαθὸν, καὶ ἐθεωροῦντο ἐπιμελῶς καὶ ἀδιαλείπτως, ἤρχοντο εἰς ἔκβασιν κρυφίως [2], καθὼς εἰς πέπανσιν ἔρχεται κρυφίως ὁ στάχυς τῆς ὀρύζης, ἣ λέγεται Γαρββασσαλή [3].

---

(1) Ἡ πολιτικὴ ἐπιστήμη ἐστὶν, ἡ ἀλωπεκῆ, ἡ δ' ἀνδρεία, ἡ λεοντῆ.

(2) Ὅσον μέρος τῆς ὀχθης ἐστὶν ὑφ' ὕδωρ, πλημμυρούντων τῶν ποταμῶν, γεωργεῖται, καὶ σπείρεται ὑπὸ τῶν πορθμέων, καὶ ἀτέλειαν ἔχει.

(3) Ὁ στάχυς αὐτῆς τῆς ὀρύζης οὐ φύεται, ἀλλὰ κεκρυμμένος ἐστὶν ἐν τοῖς φύλλοις· ἐκ τοιαύτης ὀρύζης φόρος οὐ δίδοται τοῖς βασιλεῦσιν, ἐπειδὴ κρίνεται, ὡς χόρτος. Γαρββασσαλὴ ἑφερμηνεύεται Κρυφιόρυζα.

54. Καί τοι ἦν μέγας, καὶ πληρεξούσιος, οὐδέποτε ὧδευε κακὴν ὁδὸν, καθὼς ἐν τῇ αὐξήσει τῆς θαλάσσης ἡ ἄμπωτις οὐχ ὑπεράλλεται τῶν ὁρίων, ἀλλ' εἰσβάλλει εἰς τὸ στόμα τοῦ ποταμοῦ, ὡς εἰς ὁδὸν εὐθεῖαν [1].

55. Δυνατὸς ἦν καταπαῦσαι εὐθέως τὴν θλῖψιν τῶν ἑαυτοῦ φίλων καὶ ὑπηκόων· οὐκ ἐγίνετο ὅμως αὐτὸς αἴτιος τῆς θλίψεως ἐκείνης, ἧς ἀπαλλαγὴν ἔδει ποιῆσαι.

56. Καί τοι ἦν κραταιὸς, ἐξεστράτευε κατ' ἐκείνων, οἳ ἦσαν εὐκατάβλητοι· καὶ τὸ πῦρ γὰρ, καί τοι ἔχει βοηθὸν τὸν ἀέρα, οὐκ ἐπέρχεται κατὰ τοῦ ὕδατος.

57. Οὔτε τῆς ἀρετῆς ἠμέλει ἕνεκα τῆς κτήσεως καὶ τρυφῆς, οὔτ' αὐτῶν ἕνεκα τῆς ἀρετῆς, οὔτε τῆς κτήσεως ἕνεκα τῆς τρυφῆς, ἢ τῆς τρυφῆς ἕνεκα τῆς κτήσεως· ὁ αὐτὸς ἦν ἐν τοῖς τρισίν [2].

58. Ἐπειδὴ τῶν ὑποτελῶν βασιλέων οἱ μὲν πτωχοὶ καὶ ἀδύνατοι οὐδεμίαν βοήθειαν καὶ ἐπικουρίαν διδόασιν, οἱ δὲ πλούσιοι καὶ δυνατοὶ, ἀποστάται γίνονται, διὰ τοῦτο ἐν μέσῃ αὐτοὺς εἶχε στάσει (δυνάμει [3]).

59. Σκεπτόμενος τὴν ἑαυτοῦ δύναμιν καὶ τὴν τοῦ ἐχθροῦ, καὶ τὰ λοιπὰ πλεονεκτήματα, ἢ μειονεκτήματα, εἰ μὲν εὕρισκεν ἑαυτὸν δυνατώτερον τοῦ ἐχθροῦ, ἐστράτευε κατ' ἐκείνου· εἰ δὲ μὴ, ἡσυχίαν εἶχε.

60. Ἐπειδὴ πάντες ἀποβλέπουσι πρὸς τὸν ἔχοντα πλοῦτον,

---

(1) Ἐκ τῆς ἀμπτώτιος εἰσβαλλούσης εἰς τὸν ποτσμὸν, γίνεται ἡ παλίρροια.

(2) Τρία εἰσὶ τὰ γενικὰ ἀγαθά· ἡ ἀρετὴ, τουτέστιν ἡ πρᾶξις τῶν τοῦ νόμου, ἡ κτῆσις, τουτέστιν ἡ σύναξις πλούτου, καὶ ἡ τρυφὴ, τουτέστιν ἡ ἀπόλαυσις τοῦ πλούτου, καὶ πκσα ἄλλη ἡδυπάθεια· οὗτος δὲ ἐξ ἴσου ἐχρῆτο τοῖς τρισὶ, μέτριος ἦν δηλονότι ἐν ἅπασι.

(3) Οὔτε λίαν πτωχοὺς δηλ: καὶ ἀδυνάτους ἐποίει, οὔτε λίαν πλουσίους καὶ δυνατούς.

διὰ τοῦτο πλοῦτον συνέλεγε· καὶ τὸ νέφος γὰρ, τὸ ἔχον βροχὴν, ἀγαπᾶται ὑπὸ τῶν ὀρνέων, ἃ ὀνομάζονται Σατάκαι [1].

61. Τὰ μὲν ἐπιχειρήματα τοῦ ἐχθροῦ ἀνέστρεφε· τῶν δ' οἰκείων ἐπιχειρημάτων φροντίδα εἶχε· καὶ τὰ μὲν ἐλαττώματα καὶ μειονεκτήματα ἑαυτοῦ ἀπέκρυπτε· τοὺς δ' ἐχθροὺς κατέστρεφεν, ὅτε ἔβλεπε τὰ ἐλαττώματα καὶ μειονεκτήματα αὐτῶν.

62. Οὐδεμίαν διαφορὰν εἶχε τοῦ ἰδίου σώματος, ὃ ἐγεννήθη καὶ ἐτράφη ὑπὸ τοῦ πατρὸς, καὶ τοῦ στρατεύματος, ὃ συνελέχθη καὶ ἐτράφη, καὶ ἐγυμνάσθη εἰς τὴν ὁπλικὴν καὶ πολεμικὴν ὑπὸ τοῦ πατρός [2].

63. Ὁ μὲν ἐχθρὸς οὐκ ἴσχυεν ἀγαγεῖν εἰς ἑαυτὸν τὴν τριτὴν δύναμιν [3] αὐτοῦ, ὡς τὴν ἐπὶ τῆς κεφαλῆς τοῦ ὄφεως πολύτιμον λίθον· αὐτὸς δ' εἵλκυεν αὐτὴν ἀπὸ τοῦ ἐχθροῦ, καθὼς ὁ μάγνης τὸν σίδηρον.

64. Βασιλεύοντος τούτου, οἱ ἐμπορευόμενοι ἐν μὲν τοῖς ποταμοῖς ἦσαν, ὡς ἐν λίμναις· ἐν δὲ τοῖς δάσεσιν, ὡς ἐν κήποις· ἐν δὲ τοῖς ὄρεσιν, ὡς ἐν ἰδίοις οἴκοις [4].

65. Διαφυλάττων δὲ ἀπὸ κακοποιῶν καὶ κλεπτῶν καὶ τοὺς ἄσκησιν μετερχομένους, καὶ τοὺς βιωτικαῖς μερίμναις συμφυρομένους, ἐλάμβανε τὸ ἑκτημόριον τῆς ἀρετῆς αὐτῶν, καὶ τῆς περιουσίας [5].

66. Ἡ δὲ γῆ παρεῖχεν αὐτῷ μισθὸν ἀνάλογον τῇ προστασίᾳ [6].

---

(1) Αὐτὸς ὁ ὄρνις οὐ χαίρει, ὅταν βλέπῃ νέφος ἄνυδρον, ἀλλ' ὑδροφόρον.

(2) Καθὼς δηλ: ἐφρόντιζε τοῦ ἰδίου σώματος, οὕτω καὶ τοῦ στρατοῦ.

(3) Τριτὴ δύναμίς ἐστι τοῦ βασιλέως, ἡ βουλὴ, ἡ στρατιὰ, καὶ ἡ γάζα.

(4) Ἀφοβία δηλ: ἦν.

(5) Ὡς φόρον, λαμβάνει ὁ βασιλεὺς τὸ ἕκτον μέρος οὐ μόνον τῶν καρπῶν καὶ παντὸς ἄλλου, ἀλλὰ καὶ τῆς ἀρετῆς καὶ τῆς κακίας τῶν ἀνθρώπων.

(6) Πολὺν δηλ:

ἐκ μὲν γὰρ τῶν μεταλλειῶν ἐγέννα πολύτιμα πράγματα, ἐκ δὲ τῶν ἀγρῶν καρποὺς, ἐκ δὲ τῶν ὑλῶν ἐλέφαντας.

67. Ἐγίνωσκε δ' ἀκριβῶς αὐτὸς ὁ γενναῖος προσαρμόσαι (συζεῦξαι) τὰ ἓξ βασιλικὰ ἰδιώματα [1] τοῖς βασιλικοῖς πράγμασιν, ἃ ἔδει τελεσθῆναι.

68. Ἐχρῆτο δὲ κατὰ τάξιν καὶ τοῖς τέσσαρσι βασιλικοῖς τρόποις [2] οὐ μόνον πρὸς τοὺς ἐχθροὺς, ἀλλὰ καὶ πρὸς τοὺς φίλους συμμάχους· καὶ διὰ τοῦτο τέλειον ἀπελάμβανε τὸν καρπὸν αὐτῶν τῶν τρόπων.

69. Ἡ νίκη, ἡ ἐρχομένη πρὸς τὸν ἥρωα, ἤρχετο πρὸς αὐτὸν, ὡς γυνὴ πρὸς τὸν ἐρώμενον, ὃς πόλεμον ἐποίει νομίμως καὶ ἀπαρακαλύπτως, καί τοι πολλὰ πλάσματα καὶ στρατηγήματα ἐγίνωσκε.

70. Σπανίως δὲ πόλεμον συνεκρότει κατὰ τῶν ἐχθρῶν [3], οἳ ἔφευγον ἀπὸ τῆς δυνάμεως (προσώπου) αὐτοῦ, καθὼς οἱ ἐλέφαντες ἀπὸ τοῦ μανικοῦ ἐλέφαντος.

71. Ἡ μὲν σελήνη, αὐξάνουσα, μειοῦται, ὡσαύτως δὲ καὶ ὁ ὠκεανὸς [4]· οὗτος δ' ὁ βασιλεὺς, ηὔξανε μὲν, ὡς ἡ σελήνη, καὶ ὁ ὠκεανὸς, οὐδέποτε δὲ ἐμειοῦτο.

72. Οἱ σπουδαῖοι καὶ λίαν ἐνδεεῖς, ἐρχόμενοι πρὸς αὐτὸν εἰς αἴτησιν, τοσοῦτον χρυσίον ἐλάμβανον, ὥστε καὶ ἄλλοις μετεδίδοσαν, καθὼς τὰ νέφη, ἐλθόντα εἰς τὸν ὠκεανὸν,

---

(1) Ἓξ ἰδιώματα βασιλικά εἰσι ταῦτα· εἰρήνη, πόλεμος, στρατεία, ἀστρατεία, συμμαχία, καὶ στρατήγημα.

(2) Τέσσαρες βασιλικοὶ τρόποι εἰσὶν οὗτοι· διαλλαγὴ, δασμὸς, διχόνοια, καὶ παιδεία· ὅταν ὁ βασιλεὺς ἀποτύχῃ τῆς εἰρήνης διὰ τῶν τριῶν, τότε δεῖ χρῆσθαι βίᾳ καὶ ὅπλα αἴρειν, ὅ ἐστιν ὁ τέταρτος τρόπος.

(3) Ἡ δύναμις αὐτοῦ μόνη ὑπέτατε τοὺς ἐχθρούς.

(4) Ἡ αὔξησις καὶ μείωσις τοῦ ὠκεανοῦ θεωρεῖται ἐπὶ τῆς ἀμπτώτιος, ἡ αὐξάνει, αὐξανούσης τῆς σελήνης, καὶ μειοῦται, μειουμένης.

τοσοῦτον ὕδωρ λαμβάνουσιν, ὥστε καὶ τοῖς ἐν γῇ μεταδιδόασι.

73. Πράττων ἔργα ἐπαινετὰ, καὶ ἐπαινούμενος, ἠσχύνετο· καί τοι δ' ἐναντίος ἦν τοῖς ἐπαίνοις, ἡ φήμη ὅμως αὐτοῦ εἰς πᾶσαν τὴν γῆν διεσπάρθη.

74. Ἀπαλλάττων τὰ μὲν δεινὰ διὰ τῆς ἑαυτοῦ θέας [1], τὴν δ' ἄγνοιαν διὰ τῆς ὁδηγίας εἰς τὴν ἀλήθειαν, εἵλκυεν εἰς τὴν ἑαυτοῦ ἀγάπην τὸν λαὸν, καθὼς ὁ ἀνατέλλων ἥλιος, ὁ ἀπαλλάττων τὰ πάθη καὶ τὸ σκότος.

75. Αἱ μὲν ἀκτῖνες τῆς σελήνης οὐκ εἰσέρχονται εἰς τὸν ἡμεράνθη λωτὸν, οὐδὲ αἱ τοῦ ἡλίου εἰς τὸν νυκτάνθη· τούτου δὲ αἱ ἀρεταὶ καὶ εἰς τὴν καρδίαν τοῦ ἐχθροῦ εἰσήρχοντο [2].

76. Ὅ,τι κατόρθωμα τούτου τοῦ νικητοῦ ἐγίγνετο εἰς τελετὴν ἱπποθυσίας [3], τοῦτο νόμιμον ἦν, εἰ καὶ εἰς καταστροφὴν ἐγίγνετο τοῦ ἐχθροῦ.

77. Αὐξήσας καὶ μεγαλυνθεὶς τρόπῳ τῆς πολιτικῆς γνώσεως καὶ δυνάμει τοῦ θησαυροῦ καὶ στρατοῦ, βασιλεὺς τῶν βασιλέων ἐγένετο, καθὼς ὁ Ἴνδρας, Θεὸς τῶν θεῶν.

78. Διὰ τὴν ὁμοιότητα οἱ ἄνθρωποι ἠρίθμουν αὐτὸν πέμπτον μὲν ἐν τοῖς τέτσαρσι θεοῖς, τοῖς ἐφόροις τοῦ κόσμου [4],

---

(1) Διξάζουσιν, ὡς ὁ βασιλιὺς, ὁ ἥλιος, ὁ πυρολάτρης Βραχμὰν, ὁ Σανεασὶς, (ὁ ἀρνησάμενος τὰ τοῦ κόσμου) ἡ θάλασσα, καὶ ἡ δάμαλις, ἀπαλλάττουσι τὰ ἁμαρτήματα καὶ τὰ πάθη, βλεπόμενοι.

(2) Οἶδε καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν.

(3) Πρὸ τῆς ἱπποθυσίας ὁ βασιλεὺς στρατεύει, ἔχων τὸν τῆς θυσίας ἵππον ἔμπροσθεν ἀπολελυμένον, καὶ λαμβάνει δῶρα καὶ φόρον παρὰ τῶν λοιπῶν βασιλέων· ὅστις δ' ἐναντίος φανῇ, οὗτος πολεμεῖται, καὶ καταστρέφεται.

(4) Ὁ μὲν Ἴνδρας ἔφορός ἐστι τῆς ἀνατολῆς, ὁ δὲ Βαρούνας τῆς δύσεως, ὁ δὲ Κυβέρας τῆς ἄρκτου, ὁ δὲ Ἰάμας τῆς μεσημβρίας· ὅμοιος ἦν τούτοις κατὰ τὴν ἐφορίαν καὶ προστασίαν.

ἕκτον δὲ ἐν τοῖς πέντε στοιχείοις [1], ὄγδοον δὲ ἐν τοῖς ἑπτὰ ὄρεσιν [2].

79. Οἱ ὑποτελεῖς βασιλεῖς ἐτίθεντο τὸ ἐκδοθὲν πρόσταγμα αὐτοῦ ἐπὶ τῶν ἑαυτῶν κορυφῶν, αἳ ἦσαν ἐστερημέναι σκιαδίων, καθὼς οἱ θεοὶ τιθέασιν ἐπὶ κεφαλῆς τὸ πρόσταγμα τοῦ Ἴνδρα.

80. Τοσαῦτα δὲ πολλὰ δῶρα ἐδωρήσατο ἐν τῇ ἱπποθυσίᾳ τοῖς θυηπόλοις, ὥστε τὸ ὄνομα τοῦ Κουβέρα κοινὸν γενέσθαι τούτῳ [3].

81. Οἱ ἔφοροι τῆς γῆς θεοὶ ἔργον ἐποίουν ὑποτελῶν βασιλέων· ὁ μὲν γὰρ Ἴνδρας ἔβρεχε βροχήν· ὁ δὲ Ἰάμας ἐκώλυε τὴν ἐνέργειαν τῶν νοσημάτων [4]· ὁ δὲ Βαρούνας εὐπλοΐαν ἐδίδου τοῖς ἐν θαλάσσῃ πλέουσιν· ὁ δὲ Κουβέρας, ἐνθυμούμενος τὸ κατόρθωμα τοῦ προπάτορος αὐτοῦ Ῥαγγοῦ, πλήρωσιν ἐποίει τοῦ θησαυροῦ αὐτοῦ.

---

(1) Οἱ Ἰνδοὶ πρὸς τοῖς τέσσαρσι στοιχείοις τιθέασι καὶ ἕτερον πέμπτον, ὅ ἐστι τὸ κενὸν, ὁ αἰθήρ· τούτοις ὅμοιος ἦν κατὰ τὴν εὐεργεσίαν.

(2) Ἑπτὰ ὄρη μυθεύονται, ὡς ἧλοι τῆς γῆς, συνέχοντες αὐτήν.

(3) Ἅπαντες ὠνόμαζον αὐτὸν Κουβέραν, ὃς θεός ἐστι τοῦ πλούτου.

(4) Πάντων τῶν νοσημάτων βασιλεύς ἐστιν ὁ Ἰάμας· ἀρχιστράτηγος δὲ ὁ Πυρετός.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

1. Ἐγέννησε δ' υἱὸν αὐτὸς ὁ ἐχθρολέτωρ Ἀτίτης ἐκ τῆς θυγατρὸς τοῦ βασιλέως τῆς χώρας Νισσάδας, ὃς ὠνομάσθη Νισσάδας, καὶ ὅμοιος ἦν κατὰ τὴν δύναμιν τῷ ὄρει Νισσάδᾳ.
2. Ἔχαιρε δ' ὁ πατὴρ ἐπὶ τῷ υἱῷ, ὃς ἦλθεν εἰς νεανικὴν ἡλικίαν, καὶ ὑπερσθενὴς ἦν, καὶ ἱκανὸς εἰς προστασίαν τοῦ λαοῦ, καθὼς χαίρει πᾶσα ψυχὴ ζῶσα ἐπὶ τῷ ἀγαθῷ καὶ τελείῳ καρπῷ τῆς γῆς ἐκ τῆς ἐπομβρίας.
3. Τρυφήσας δ' ἐπὶ πολὺ τῶν ὑπὸ τὴν αἴσθησιν, παραδοὺς τῷ υἱῷ τὰ τῆς βασιλείας, ἀνῆλθεν εἰς τὸν οὐρανὸν, ὃν ἐκέρδησε διὰ τῶν καλῶν ἔργων καὶ διὰ τῶν θυσιῶν.
4. Ἐγένετο δ' αὐτὸς ὁ Νισσάδας μονάρχης τῆς γῆς καὶ τῆς θαλάσσης, εὐειδέστατος ὤν, καὶ ἡρωϊκώτατος, καὶ βαθὺς τὸν νοῦν, ὡς ὠκεανὸς, καὶ χεῖρας ἔχων μακρὰς καὶ στιβαρὰς, ὡς μοχλούς.
5. Μετὰ δὲ τὸν θάνατον τοῦ Νισσάδα, ὁ υἱὸς αὐτοῦ, ᾧ ὄνομα ἦν Νάλας, ἐδέξατο τὴν βασιλείαν· ἦν δὲ θερμὸς ὡς τὸ πῦρ, καὶ εὐπρόσωπος, ὡς ὁ λωτὸς, καὶ κατέστρεψε τὴν δύναμιν τῶν ἐχθρῶν, ὡς ὁ ἐλέφας τὴν βοτανώδη γῆν.
6. Οὗτος ὁ Νάλας, οὗ ἡ φήμη ᾖδετο καὶ ὑπὸ τῶν μουσικῶν θεῶν, ἔσχεν υἱὸν, Νάββαν τοὔνομα, ὃς ἦν κυανόχρους, ὡς ὁ οὐρανὸς, καὶ ἀγαπητὸς τοῖς λαοῖς, ὡς ὁ μὴν Νάββας (ὁ Ἰούλιος).
7. Παραδοὺς δ' ὁ φιλάρετος Νάλας τὴν βασιλείαν τῷ υἱῷ Νάββᾳ, ἱκανῷ ὄντι κυβερνῆσαι, βίον ἐρημικὸν καὶ ἡσυχαστικὸν εἵλετο, ἁρμόδιον τῇ γεροντικῇ ἡλικίᾳ, εἰς τὸ μὴ μετασωματωθῆναι.

8. Υἱὸς δ' ἐγεννήθη τῷ Νάββᾳ, Πουνδαρήκας τοὔνομα, ἀνίκητος ὢν τοῖς βασιλεῦσιν, ὡς ὁ Πουνδαρήκας [1] τοῖς ἐλέφασι· μετὰ δὲ τὸν θάνατον τοῦ πατρὸς ἠγκαλίσατο τὸν υἱὸν Πουνδαρήκαν ἡ βασιλεία, καθὼς ἡ λαξμὴ τὸν Βισνοῦν.

9. Οὗτος ὁ ἥρως Πουνδαρήκας, ἐγχειρίσας τὴν γῆν τῷ υἱῷ αὐτοῦ, ὃς ὠνομάζετο Ξεμαδδανβὰν [2], καὶ ἔμπειρος ἦν ὀρθῆς διοικήσεως, καὶ καρτερικὸς, ἐπορεύθη εἰς ἔρημον, κατατήκων τὸ ἑαυτοῦ σῶμα ἀσκήσει καὶ σκληραγωγίᾳ.

10. Ἐγένετο δὲ καὶ τούτῳ υἱὸς, θεοείκελος, καὶ πρόμαχος ἐν πολέμοις, ὃς ὠνομάζετο Δεβανείκας [3], καὶ ἐξάκουστος ἦν οὐ μόνον ἐν γῇ, ἀλλὰ καὶ ἐν οὐρανῷ.

11. Καθὼς δὲ ὁ πατὴρ Ξεμαδδανβὰν ἔτυχεν υἱοῦ λίαν ὑπηκόου καὶ φιλοπάτορος, οὕτω καὶ ὁ υἱὸς Δεβανείκας ἔτυχε πατρὸς λίαν φιλοστόργου καὶ φιλόπαιδος.

12. Ὁ μὲν οὖν πατὴρ, ὁ θησαυρὸς τῶν ἀρετῶν, καὶ τελεσιουργὸς πολλῶν θυσιῶν, θεὶς τὸ φορτίον τῶν ἀνθρώπων, ὃ διὰ πολλοῦ ἐβάσταξεν, ἐπὶ τοῦ πατρώζοντος υἱοῦ, ἐπορεύθη εἰς τὴν χώραν τῶν τελούντων θυσίας [4].

13. Τοῦ δὲ Δεβανείκα ὁ υἱὸς, ᾧ ὄνομα ἦν Ἀχηναγοῦς [5], ἐκ τῆς ἡδυλογίας καὶ εὐπροσηγορίας ἐφετὸς ἦν, οὐ μόνον τοῖς φίλοις, ἀλλὰ καὶ τοῖς ἐχθροῖς, καθὼς τὸ ἡδὺ ἄσμα ἐφετόν ἐστι ταῖς ἐλάφοις, καὶ ἱκανὸν συναγαγεῖν αὐτὰς, διασκορσθείσας ἐκ φόβου [6].

---

(1) Ὄνομα ἑνὸς τῶν μυθευομένων ὑπὸ ἐλεφάντων, οἳ βαστάζουσι τὴν γῆν.
(2) Καλλίτοξος.
(3) Θεόστρατος.
(4) Ἀπίθαινε δηλ:
(5) Φωσφόρος.
(6) Ἐφετόν ἐστι τὸ ἄσμα τῇ ἐλάφῳ.

14. Καὶ μετὰ τὸν θάνατον τοῦ πατρὸς ἐκυβέρνα πᾶσαν τὴν γῆν, ἰσχυρὸν ἔχων βραχίονα, καὶ ἄμοιρος ὢν κακῶν ἠθῶν καὶ ἐθῶν, ἐπειδὴ ἀπεστρέφετο τὴν μετὰ τῶν κακῶν ἀναστροφήν.

15. Ὢν δὲ συνετὸς, καὶ λίαν διακριτικὸς, καὶ ἄλλος Βισνοῦς κατὰ τὰς ἀρετὰς, κύριος ἐγένετο τοῦ τετραμεροῦς κόσμου, χρώμενος ἐπιμελῶς τοῖς τέσσαρσι βασιλικοῖς τρόποις.

16. Ἀπελθόντος δ' εἰς τὸν οὐρανὸν τοῦ Ἀχηναγοῦ, τοῦ νικητοῦ τῶν ἐχθρῶν, ἡ βασιλεία ἠγκαλίσατο τὸν υἱὸν αὐτοῦ, ὃς ὠνομάζετο Παριγέτρας, καὶ κεφαλὴν εἶχε μείζονα τοῦ ὄρους Παριγέτρα [1].

17. Τούτῳ υἱὸς ἐγένετο, Σίλας τοὔνομα· ἦν δὲ μεγαλοφυὴς, καὶ πλατὺ στέρνος, ὡς πλάκα, εἶχεν ὃς, νικῶν τοὺς ἐχθροὺς ὅπλοις, καὶ ἐπαινούμενος, ἰσχύνετο, καὶ ἐταπεινοφρόνει.

18. Ἀποδείξας δ' ὁ ἐπαινετὸς Παριγέτρας βοηθὸν τῆς βασιλείας τὸν υἱὸν ἑαυτοῦ Σίλαν, ὃς ἦν νέος, καὶ περίφρων, ἐτρύφα τρυφὰς, ἀφροντιστῶν· ἡ γὰρ ζωὴ τῶν βασιλέων ἄμοιρός ἐστι τρυφῶν, ὡς καὶ ἡ τῶν δεσμίων.

19. Ἡ δὲ φθονερὰ γεροντικὴ ἡλικία, καί τοι ἀνέραστος, εἵλκυσε πρὸς ἑαυτὴν εἰς οὐδὲν ὄφελος αὐτὸν τὸν Παριγέτραν [2], ὃς ἦν ἀκόρεστος τῶν τρυφῶν, αἳ αὐξάνουσι τὴν ἐπιθυμίαν, καὶ ἐραστὸς ταῖς γυναιξὶ διὰ τὴν εὐμορφίαν.

20. Βασιλεύοντι δὲ τῷ Σίλᾳ ἐγένετο υἱὸς, ᾧ ὄνομα ἦν Οὐν-

---

(1) Παίζει πρὸς τὴν λέξιν ὁ ποιητὴς, καὶ συγκρίνει ὑπερβολικῶς τὴν κεφαλὴν ὄρει τινὶ, ὃ ὀνομάζεται Παριγέτρα· καὶ ὁ μαστὸς δὲ καὶ γλουτὸς τῆς γυναικὸς συγκρίνεται ὑπερβολικῶς ὄρει μεγάλῳ.

(2) Ὡς γυνὴ ἑλκύει εἰς τὸν ἑαυτῆς ἔρωτα, οὕτω καὶ τὸ γῆρας εἵλκυσεν αὐτὸν, καί τοι οὐκ ἤθελε· δηλονότι ἐγήρασε, καὶ ἀπέθανε.

νάββας [1]· οὐκ ἦν δὲ φερώνυμος· κάλλιστος γὰρ ἦν, ὡς ὁ Βισνοῦς, καὶ ἄριστος ἐν πᾶσι τοῖς βασιλεῦσι.

21. Τοῦ δὲ Οὐννάββα ὁ υἱὸς, ᾧ ὄνομα ἦν Βαζρανάββας [2], βασιλεὺς ἐγένετο τῆς γῆς, τῆς ἐχούσης κοσμήματα τὰς μεταλλείας τῶν ἀδαμάντων· ἦν δ' ὅμοιος τῷ Ἴνδρᾳ κατὰ τὴν δύναμιν, καὶ κεραυνὸς ἐν πολέμοις.

22. Πορευθέντος δὲ τοῦ Βαζρανάββα εἰς τὸν οὐρανὸν, ὃς ἀπολαμβάνεται ἐξ ἀγαθῶν ἔργων, ἡ γῆ προσῆλθε τῷ ἐχθρολέτορι υἱῷ αὐτοῦ, ᾧ ὄνομα Σαγχάνας, προσφέρουσα δῶρα, πολυτίμους λίθους ἐκ τῶν ὧν ἔχει μεταλλειῶν [3].

23. Μετὰ δὲ τὸν Σαγχάναν διεδέξατο τὴν πατρικὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ, ὃς ἦν θερμὸς, ὡς ὁ ἥλιος, καὶ εὐειδὴς, ὡς οἱ δίδυμοι Ἀσβιναῖοι [4]· ὄνομα δ' ἦν αὐτῷ Βιουσσιτά-

---

(1) Οὐννάββας, Ἐξόμφαλος, ἢ Μεγαλόμφαλος· οὗτος δὲ οὐκ εἶχεν ὀμφαλὸν κατὰ τὸ ὄνομα· οὐκ εἶχε δηλ: ὀμφαλὸν ἐξφδηκότα, καὶ ὑπερανεστηκότα, ἀλλὰ βαθὺν καὶ στρογγύλον· ὁ γὰρ βαθὺς καὶ στρογγύλος ὀμφαλὸς ἐπαινεῖται· ψέγεται δὲ ὁ ἐξῳδηκὼς καὶ ὑπερανεστηκώς.

(2) Βαζρανάββας, Κεραυνόμφαλος, ἢ Ἀδαμαντόμφαλος.

(3) Βασιλεὺς δηλ: ἐγένετο τῆς γῆς, ἡ ἔχει μεταλλείας ἀδαμάντων.

(4) Ἡ Σαγνιὰ, θυγάτηρ τοῦ Τβάστα, υἱοῦ τοῦ Βραχμᾶ, παράκοιτις ἦν τοῦ Ἡλίου, οὗ τὴν θερμότητα μὴ φέρουσα, ἀφῆκε παρ' αὐτῷ τὴν ἑαυτῆς σκιὰν, τὸ ἀντίτυπον, καὶ ἦλθε πρὸς τὸν ἑαυτῆς πατέρα· ὁ δὲ ἀπέβαλεν αὐτήν. Ἀποβληθεῖσα δὲ, παρεγένετο εἰς τὸν Ἰμαὸν, καὶ μετεμορφώθη εἰς θήλειαν ἵππον. Μετὰ δὲ χρόνον, γνοὺς ὁ Ἥλιος τὴν ἀπάτην, ἐρευνῶν, εἶδεν αὐτὴν ἐν μορφῇ θηλείας ἵππου, καὶ γνοὺς, μετεμορφώθη καὶ αὐτὸς εἰς ἄῤῥενα ἵππον, καὶ ὀσφρανθεὶς τῶν μυκτήρων αὐτῆς ἐῤῥύσε δι' αὐτῶν γόνον. Ἡ δὲ, συλλαβοῦσα, ἔτεκε διδύμους παῖδας λαμπροὺς, οἳ καὶ ὠνομάσθησαν Ἀσβιναῖοι, παρωνύμως· Ἀσβινὴ γὰρ λέγεται ἰνδιστὶ ἡ θήλεια ἵππος. Οὗτοι οἱ Ἀσβιναῖοι, ἰατροί εἰσι παρὰ τοῖς θεοῖς, καὶ εὐειδεῖς πάνυ ὄντες, φέρονται παραδειγματικῶς ἐπὶ τῆς εὐειδείας, καθὼς καὶ ὁ Κάμας, τουτέστιν, ὁ Ἔρως. Ἐκ μὲν τῆς Σαγνιᾶς ἐγέννησεν ὁ Ἥλιος τὸν Ἰάμαν, ὅς ἐστιν ὁ Ἀϊδονεὺς, καὶ τὴν Ἰαμουνάν, ἥ ἐστι, ποταμός· ἐκ δὲ τῆς Σκιᾶς ἐγέννησε τὸν Σαναΐσσάραν, ὅς ἐστιν ὁ Κρόνος, ὁ ἐν οὐρανῷ ἀστὴρ, ὁ αἴτιος κακῶν. Τοῦτο μέν ἐστι μυθολογία· τὸ δ' ἑξῆς τροπολογία. Σαγνιὰ ἐστι κατὰ τὸ σημαινόμενον, Αἴσθησις, ἡ γυνὴ λέγεται τοῦ Ἡλίου· ἀνατέλλοντος γὰρ τοῦ Ἡλίου,

σβας, ὃ ἐτυμολογεῖται παρὰ τὸ θεῖναι τὸ ἱππικὸν ἐν τῇ ἀκτῇ τοῦ ὠκεανοῦ [1].

24. Λατρεύσας δὲ τῷ παντοκράτορι Θεῷ Σίβᾳ, αὐτὸς ὁ βασιλεὺς Βιουσσιτάσβας, ἐγέννησεν υἱὸν, ἄλλον (ὅμοιον) ἑαυτῷ, ᾧ ὄνομα ἐτέθη Βισβασάχας, ὅ ἐστιν, ἱκανὸς διαφυλάξαι πάντα τὸν κόσμον· φίλος δ' ἦν τοῦ κόσμου [2].

25. Υἱοῦ δὲ γεννηθέντος, ὃς ἦν ἀπόῤῥοια τοῦ Βισνοῦ, καὶ ὠνομάζετο Χιρανενάββας [3], ὁ πατὴρ Βισβασάχας, ὁ εἰδήμων τῆς πολιτικῆς, καὶ πολεμικῆς, λίαν ἀφόρητος τοῖς ἐχθροῖς ἐγένετο, καθὼς τὸ πῦρ τοῖς δένδροις, ἔχον βοηθὸν τὸν ἀέρα [4].

26. Ἐν δὲ τῷ γήρατι, χειροτονήσας ὁ Βισβασάχας βασιλέα τὸν υἱὸν Χιρανενάββαν, τὸν ἔχοντα χεῖρας μακρὰς μέχρι τῶν γονάτων, καὶ διατάξας, ἃ ἔδει, φλοιόδυτος ἐγένετο, ἐπιθυμῶν ἐπιτυχεῖν τῆς ἄκρας καὶ ἀτελευταίου ἡδονῆς [5].

27. Τῷ δὲ βασιλεῖ Χιρανενάββᾳ, ὃς ἦν ἀγλάϊσμα τῶν καταγομένων ἀπὸ τοῦ Ἰλίου, καὶ θυσίας ἐτέλει, υἱὸς γνήσιος ἐγένετο, Καουσσαλέας τοὔνομα, φαιδρὸς ὤν, ὡς ἄλλη σελήνη, ἣ χαρὰν δίδωσι τοῖς ὄμμασιν.

28. Ὁ δὲ Καουσσαλέας, ὃς ἦν διάσημος ἐκ φήμης μέχρι τοῦ βήματος τοῦ Βραχμᾶ, θεὶς ἐπὶ τοῦ βασιλικοῦ θρόνου τὸν

αἴσθησιν λαμβάνομεν, ἐξεγειρόμενοι τοῦ ὕπνου· καὶ ἡ Σκιὰ δὲ λέγεται γυνὴ τοῦ Ἡλίου· ἀποτέλεσμα γάρ ἐστι τοῦ ἡλιακοῦ φωτός.

(1) Μέχρι τῶν περάτων δηλαδὴ τῆς γῆς τὸ κράτος αὐτοῦ διῆκε.

(2) Κοσμόφιλος.

(3) Χιρανενάββας, Χρυσόμφαλος.

(4) Καθὼς τὸ πῦρ κατακαίει τὰ δένδρα, ἔχον βοηθὸν τὸν ἀέρα, οὕτω καὶ ὁ Βισβασέχας κατέστρεφε τοὺς ἐχθροὺς, ἔχων βοηθὸν τοιοῦτον υἱόν.

(5) Ἀπελθὼν εἰς ἔρημον, ἐνεδύθη φλοιοὺς δένδρων ἀνθ' ἱματίων, ἐπιτυχεῖν ἐπιθυμῶν τῆς ἀθανασίας.

ἑαυτοῦ υἱόν, ᾧ ὄνομα ἦν Βραχμίας, ὅ ἐστι, Θεογνώστης, ἔτυχε τῆς ἀθανασίας.

29. Τούτου τοῦ Βραχμίζα, ὃς ἦν κορωνὶς τῆς ἑαυτοῦ γενεᾶς, καὶ εὔτεκνος, κυβερνῶντος διὰ πολλοῦ τὴν γῆν καλῶς, καὶ ἀνεπηρεάστως, καὶ ἀστασιάστως, οἱ λαοὶ ἔχαιρον χαρὰν μεγάλην.

30. Ὁ δὲ υἱὸς αὐτοῦ, ὃς ὠνομάζετο Πούτρας, καὶ ὅμοιος ἦν τῷ Βισνοῦ κατὰ τὴν μορφὴν, καὶ ὄμματα εἶχεν, ὡς λωτοὺς, διὰ τὴν πρὸς τὸν πατέρα ὑπακοὴν καὶ θεραπείαν ἑαυτὸν μὲν ἀπέδειξε μακάριον, τὸν δὲ πατέρα ἄριστον πάντων τῶν εὐτέκνων.

31. Σκεψάμενος δ' ὁ Βραχμίας, ὡς ἔχει υἱὸν εἰς διαμονὴν τοῦ γένους, ἐπιθυμήσας γενέσθαι σύνεδρος τοῦ Ἴνδρα, ἐπορεύθη εἰς τὴν Πουσκάραν [1], ἔνθα λουόμενος, καὶ ἐπιθυμίας πάσης τρυφῆς ἀπεχόμενος, ἠξιώθη τῆς χορείας τῶν θεῶν.

32. Τούτου τοῦ βασιλέως Πούτρα ἡ γυνὴ ἔτεκεν υἱὸν λαμπρὸν, ὡς τὸν ἄνθρακα, τὸν πολύτιμον λίθον, ἐν τῇ πανσελήνῳ τοῦ μηνὸς Παούσσα [2], ὃς καὶ ὠνομάσθη Πουσσέας· ἐν δὲ τῇ γεννήσει αὐτοῦ οἱ ἄνθρωποι ἔτυχον πάντων τῶν ἐφετῶν, ὥσπερ εἰ ἐγεννήθη δεύτερος Πουσσέας [3].

33. Οὗτος ὁ μεγαλόφρων Πουσσέας, φοβούμενος τὴν παλιγγενεσίαν, παραδοὺς τὴν γῆν τῷ υἱῷ Δρουβασανδδῇ, μαθητὴς ἐγένετο τοῦ σοφοῦ Ζαϊμινῆ· ἐξ οὗ, διδαχθεὶς τὴν θεοφροσύνην, ἔτυχε τῆς ἀθανασίας.

34. Μετὰ δὲ τὸν Πουσσέαν ἐβασίλευε τῆς γῆς ὁ υἱὸς αὐτοῦ

---

(1) Πουσκάρα, τόπος ἅγιος.

(2) Παούσσας λέγεται ὁ Μὴν Δεκέμβριος.

(3) Ὄνομα ἀστερισμοῦ, ὃς αἴσιος γίνεται· συνίσταται δὲ ἐκ τριῶν ἀστέρων κατ' εὐθεῖαν γραμμὴν, καὶ συνανατέλλει τῇ πλησιφαεῖ Σελήνῃ τοῦ Μηνὸς Δεκεμβρίου, ὃς ὀνόμαζεται ἐκ τούτου Παούσσας, παρωνύμως.

Δρουβασανδδὴς [1], ὁ ὅμοιος τῷ βασιλεῖ Δρούβᾳ· ἐπειδὴ δὲ ἦν ῥωμαλέος καὶ φιλαλήθης, διὰ τοῦτο στερεὰ εἰρήνη ἦν ἐν τοῖς ὑποτεταγμένοις βασιλεῦσιν.

35. Οὗτος, ὁ ὢν ἐλαφόφθαλμος, φιλόθηρος, καὶ λεοντόθυμος, θάνατον ἔλαβεν ἐν θήρᾳ παρὰ λέοντος, ὅτε ὁ υἱὸς αὐτοῦ, ᾧ ὄνομα Σουδαρσσάνας, νήπιος ἦν, ἐφετὸς τῇ ὁράσει, καθὼς ἡ ἀρτίτοκος καὶ ἀρτιφανὴς σελήνη [2].

36. Ἀποθανόντος τοῦ βασιλέως, οἱ βουλευταὶ, ἰδόντες τὸν λαὸν ἀβασίλευτον, βασιλέα ἐχειροτόνησαν τῆς Αἰοδδεᾶς κατὰ νόμον τὸν υἱὸν αὐτοῦ Σουδαρσσάναν, ὃς ἦν μονογενὴς, καὶ μόνος διάδοχος.

37. Τὸ γένος τοῦ Ραγγοῦ, τὸ ἔχον βασιλέα παῖδα, ὁμοιοφανὲς ἦν τῷ αἰθέρι, ὃς ἔχει νέαν σελήνην, καὶ τῷ δάσει, ὃ ἔχει σκύμνον λέοντος, καὶ τῇ λίμνῃ, ἣ ἔχει κάλυκα λωτοῦ [3].

38. Καθὼς τὸ μικρὸν νέφος, τυχὸν ἀπηλιώτου, μεγαλύνεται [4], οὕτω καὶ οὗτος ὁ παῖς, ἀναδεξάμενος τὸ βασιλικὸν διάδημα, ἐκρίνετο ὑπὸ τῶν ἀνθρώπων, βλεπόμενος, ὡς μέγας γενήσεται κατὰ τὸν πατέρα.

39. Ὅτε δ' ἐξήρχετο, λαμπρῶς ἐστολισμένος, καθήμενος ἐπ' ἐλέφαντος, καὶ κρατούμενος ὑπὸ τοῦ ἐλεφαντηλάτου,

---

(1) Ὄνομα παλαιοῦ βασιλέως, ὃς κατήγετο ἀπὸ τῆς Σελήνης, καὶ διὰ τὴν ἑαυτοῦ ἀρετὴν ἠστεράθη.

(2) Ἡ νέα Σελήνη, ὅταν ἀναφανῇ κατὰ τὴν ἑσπέραν, δευτεραία οὖσα, ἐφετή ἐστι τῇ ὁράσει, καὶ ὑπὸ τῶν ὁρώντων προσκυνεῖται.

(3) Καθὼς ὁ μὲν κάλυξ διεκπετάννυται, ὁ δὲ σκύμνος τοῦ λέοντος λέων γίνεται, ἡ δὲ νέα σελήνη αὐξάνει, καὶ πληροῦται, οὕτω καὶ ὁ παῖς εἰς νεανικὴν καὶ ἀνδρικὴν ἔρχεται ἡλικίαν. Εἰς αὔξησιν δηλονότι ἤρχετο ὁ νέος βασιλεὺς Σουδαρσσάνας.

(4) Ὁ ἐξ ἀνατολῆς πνέων ἄνεμος φέρει καὶ αὐξάνει τὰ νέφη.

καί τοι ἦν παῖς ἑξαετής, οἱ πολῖται ὅμως ἔβλεπον αὐτὸν, καὶ ἐτίμων, ὡς πατέρα, ἐπειδὴ βασιλεὺς ἦν.

40. Μικρὸν δ' ἔχων σῶμα αὐτὸς ὁ Σουδαρσσάνας, ἅτε παῖς ὤν, οὐκ ἐπλήρου τὸν πατρικὸν θρόνον· ἐπλήρου δ' ὅμως αὐτὸν τῇ χρυσοειδεῖ λαμπρότητι τοῦ σώματος αὐτοῦ.

41. Οἱ δὲ βασιλεῖς, κλίνοντες τὰς κεφαλὰς, προσεκύνουν τοὺς πόδας αὐτοῦ, οἳ ἦσαν βεβαμμένοι ἐρυθρῷ λακκίῳ, ὀλίγον καθειμένοι ἀπὸ τοῦ θρόνου, καὶ εἰς τὸ χρυσοῦν ὑποπόδιον μὴ διήκοντες.

42. Καθὼς ἡ πολύτιμος λίθος, εἰ καὶ μικρά ἐστι, μεγάλη λέγεται ἐκ τῆς ἧς ἔχει μεγάλης λαμπρότητος, οὕτω καὶ αὐτὸς, εἰ καὶ μικρὸς ἦν τῷ σώματι, μέγας βασιλεὺς ἀληθῶς καὶ ἀραρότως ἐλέγετο.

43. Καὶ ἐν τοῖς πέρασι τῆς γῆς οὐκ ἠθετεῖτο ὁ ἐξερχόμενος λόγος ἐκ τοῦ στόματος αὐτοῦ, ὃς ἐρριπίζετο ἑκατέρωθεν τοῦ σώματος, καὶ ἠγλαΐζετο τοῖς εἰς τὰς παρειὰς καθειμένοις κρωβύλοις [1].

44. Χρίσμα ἔχων ἐπὶ τοῦ μετώπου, ὃ ἦν ἀγλαὸν καὶ χρυσαυγὲς, ἐποίει αὐτὸς ὁ ἡδὺς καὶ χαρίεις τὸ πρόσωπον τὰ πρόσωπα τῶν γυναικῶν τῶν ἐχθρῶν ἄχριστα καὶ ἀκόσμητα [2].

45. Ἐπειδὴ εἶχε σῶμα ἁπαλώτερον τοῦ ἁπαλοῦ ἄνθους, ὃ λέγεται Σιρήσσα, ἐθλίβετο καὶ ἐκ τῶν κοσμημάτων· ἔφερε δὲ τὸ βαρὺ φορτίον τῆς γῆς τῇ δυνάμει τοῦ ἑαυτοῦ θησαυροῦ καὶ στρατοῦ.

46. Πρὶν δὲ μάθῃ τελείως τὴν ἐπὶ γῆς στοιχειογραφίαν [3],

---

(1) Οἱ παῖδες ἔχουσι κρωβύλους ἐν ἀμφοτέροις τοῖς κροτάφοις· ὁ δὲ τοιοῦτος κρόβυλος λέγεται Κακαπάξα, ὅ ἐστι, κολοιοῦ πτέρυξ.

(2) Χήρας δηλ: ἐποίει, αἷς οὐκ ἔστιν ἔθος κοσμεῖσθαι.

(3) Ἐν Ἰνδίᾳ οἱ παῖδες προγυμνάζονται καὶ τὴν προφορὰν τῶν στοιχείων, καὶ

ἀπελάμβανε πάντα τὸν καρπὸν τῆς ὀρθῆς διοικήσεως διὰ τῶν εὐπαιδεύτων καὶ εὐφρόνων, ὧν εἶχε, βουλευτῶν.

47. Ἡ Λαξμὴ, ἐπιθυμοῦσα μὲν ἀγκαλίσασθαι αὐτὸν, αἰσχυνομένη δὲ τοῦτο ποιῆσαι φανερῶς, ἐπειδὴ ἦν παῖς καὶ μικρὸς τῇ ἡλικίᾳ, ἠγκαλίσατο αὐτὸν λεληθότως διὰ τῆς σκιᾶς τοῦ σκιαδίου [1].

48. Ἡ γῆ προστατευομένη ἦν ὑπὸ τῆς χειρὸς αὐτοῦ, καί τοι οὐκ ἦν στιβαρὰ καὶ μεγάλη, ὡς ὁ ζυγὸς τῆς ἁμάξης [2], οὐδ' εἶχε τύλους ἐκ τῆς πληγῆς τῆς χορδῆς τοῦ τόξου, οὐδέ γε τῆς λαβῆς τοῦ ξίφους ἥψατο.

49. Χρόνου δὲ προϊόντος, οὐ μόνον τὰ μικρὰ μέλη τοῦ σώματος αὐτοῦ αὔξησιν ἐλάμβανον, ἀλλὰ καὶ τὰ προτερήματα, ἃ ἦσαν προσήκοντα τῷ μεγάλῳ γένει αὐτοῦ, καὶ ἀγαπητὰ τῷ κόσμῳ.

50. Ὥσπερ ἐνθυμούμενος τὰς τρεῖς μαθήσεις [3], τὰς προξένους τῶν τριῶν γενικῶν ἀγαθῶν, ἃς ἔμαθεν ἐντελῶς ἐν τῇ προτέρᾳ γενέσει, ἄνευ πόνων τῶν διδασκάλων ἀντελαμβάνετο αὐτῶν, καὶ εἰς εὔνοιαν εἶλκε τὸν λαόν.

51. Ὅτε ἐγυμνάζετο τὴν τοξικὴν, πάνυ ἠγλαΐζετο, ἀναδεδεμένην ἔχων τὴν κόμην, ὀλίγον ἀνατείνων τὸ ἄνω μέ-

---

τὴν στοιχειογραφίαν ἐπὶ γῆς, ἥ ἐστιν ἐστρωμένη κόνει ἐρυθρᾷ ἢ λευκῇ· ἐν ταύτῳ γὰρ μανθάνουσι σχεδιάζειν ἐν κόνει, ὡς ἐν παιδιᾷ, στοιχεῖα, ἢ συλλαβὰς, ἢ λέξεις, καὶ προφέρειν, καὶ ἀναγινώσκειν.

(1) Ἡ σκιὰ τοῦ βασιλικοῦ σκιαδίου, ἡ Λαξμή ἐστι, τουτέστιν, ἡ βασιλεία, ἥ ἐστιν, ὡς γυνή· ἡ δὲ γυνὴ ἀγκαλίζεται ἐρωτικῶς οὐ παῖδα, ἀλλὰ νέον καὶ ἀκμαῖον.

(2) Ἡ χεὶρ τοῦ ἀνδρείου παραβάλλεται τῷ ζυγῷ τῆς ἁμάξης, καὶ τῷ μοχλῷ τῆς θύρας.

(3) Τρεῖς μαθήσεις εἰσὶ, τὰ τῆς Βέδας, τὰ πολιτικὰ, καὶ τὰ νομικά. Τρία δὲ γενικὰ ἀγαθά εἰσιν· ἡ ἀρετὴ, ἡ κτῆσις, καὶ ἡ τρυφὴ, περὶ ὧν ἐρρέθη πρότερον.

ρος τοῦ σώματος, τὸ ἀριστερὸν γόνυ ὑποκάμπτων, καὶ ἕλκων τὴν χορδὴν σὺν τῷ βέλει μέχρι τοῦ ὠτός.

52. Ἦλθε δὲ ἡ νεότης, ἥ ἐστιν ἡ ῥίζα καὶ τὸ κεφάλαιον τῆς τρυφῆς, τὸ ἀχειροποίητον κόσμημα πάντων τῶν μελῶν, τὸ ἄνθος τοῦ Ἔρωτος, ὃ φύλλον (οὐ φύλλον ἐστὶ) ἔχει τὸ φίλτρον, καὶ τὸ μέλι, ὅπερ πίνεται τοῖς ὄμμασι τῶν γυναικῶν [1].

53. Νέος δ' ὢν, καὶ ἔχων γυναῖκας τὴν δόξαν καὶ τὴν γῆν, ἔγημε καὶ βασιλικὰς κόρας, ἃς ἐξελέξαντο αὐτῷ οἱ βουλευταὶ εἰς τεκνοποίησιν (εὐπαιδίαν)· ἦσαν δ' αὗται εὐειδέστεραι τῶν εἰκόνων, ἃς ἔδειξαν οἱ ἀποσταλθέντες [2].

---

(1) Ἡ νεότης ἐστὶν ἡ ῥίζα τῆς τρυφῆς, καὶ τὸ μέλι, ὃ πίνει τὰ ὄμματα τῶν γυναικῶν. Αἱ γυναῖκες ἡδύνονται, βλέπουσαι νέον καὶ ἀκμαῖον.

(2) Ὅταν ὁ νυμφίος πόρρω οἰκῇ, οἱ γονεῖς τῆς κόρης στέλλουσι τὴν εἰκόνα αὐτῆς πρὸς τοὺς γονεῖς τοῦ γεννησομένου νυμφίου, εἰς βεβαίωσιν τῆς εὐειδείας καὶ εἰς πειθώ. Νῦν δ' οὐκ ἔστιν ἔθος, οὕτω ποιεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

1. Ἐν δὲ τῇ δύσει τῆς ζωῆς, ὁ βασιλεὺς Σουδαρσσάνας, ὁ πρῶτος τῶν πεπαιδευμένων καὶ τῶν ἐγκρατῶν, χρίσας βασιλέα τὸν υἱὸν αὐτοῦ, ᾧ ὄνομα Ἀγνιβάρνας, ὅ ἐστι, Πυροειδὴς, ἀνεχώρησεν εἰς τὴν Ναϊμίσσαν [1],
2. Ἔνθα ἄσκησιν ἤσκει, αἱρούμενος τὴν ἐν ἐρήμῳ λίμνην ἀντὶ τῆς ἐν κήπῳ ἀγλαᾶς, καὶ τὴν ἐκ Κούσσης στιβάδα ἀντὶ τῆς λαμπρᾶς κλίνης, καὶ τὴν καλύβην ἀντὶ τῆς βασιλικῆς οἰκίας, καὶ μὴ ἀποβλέπων εἰς καρπόν [2].
3. Ὁ δὲ υἱὸς αὐτοῦ ὁ Ἀγνιβάρνας οὐδένα πόνον εἶχεν εἰς διοίκησιν τῆς ληφθείσης βασιλείας· ἡ γὰρ γῆ ἐδόθη αὐτῷ παρὰ τοῦ νικητοῦ τῶν ἐχθρῶν πατρὸς [3], οὐκ εἰς τὸ ἐπανορθῶσαι καὶ ῥυθμίσαι αὐτὴν, ἀλλ' εἰς τὸ τρυφῆσαι καὶ ἀπολαῦσαι.
4. Καὶ κατὰ πρῶτον μὲν ἔν τισιν ἔτεσιν ἐκυβέρνα τὴν πατροπαράδοτον βασιλείαν αὐτός· εἶτα δὲ, παραδοὺς τὴν διοίκησιν τοῖς βουλευταῖς, ἐνεχείρισε τὴν ἑαυτοῦ νεότητα ταῖς γυναιξὶ, φιλήδονος ὤν.
5. Ἐν δ' οἴκοις λαμπροῖς, οἳ ἀντήχουν ἐκ τῶν μουσικῶν ὀργάνων, θαλίαι καὶ εὐωχίαι καθ' ἑκάστην πολυτελέστεραι τῶν πρώην πολυτελῶν ἐτελοῦντο τούτῳ τῷ ἐρωτομανεῖ μετ' ἐρωτομανῶν γυναικῶν.
6. Οὐδέ γε τὸ ἀκαρὲς τοῦ χρόνου ἠδύνατο φέρειν ἄνευ ἡδυπαθειῶν καὶ τρυφῶν· καθηδυπαθῶν δὲ ἡμέρας τε καὶ

---

(1) Ναϊμίσσα, τόπος ἅγιος.

(2) Οὐκ ἀπέβλεπεν εἰς ἀνταμοιβὴν τῶν ἔργων, ἀλλ' ἀνέπεμπεν αὐτὰ εἰς Θεόν.

(3) Οὐδένα δηλ: ἐχθρὸν εἶχεν ἡ γῆ· ὁ γὰρ πατὴρ αὐτοῦ πάντας κατέστρεψε.

νυκτὸς ἐν ταῖς γυναικωνίτισιν, οὐδεμίαν φροντίδα εἶχε τοῦ λαοῦ, ὃς ἐπεθύμει θεάσασθαι αὐτόν.

7. Βιαζόμενος δέ ποτε ὑπὸ τῶν βουλευτῶν εἰς τὸ δεῖξαι τὴν ἐπιθυμητὴν θέαν αὐτοῦ τῷ λαῷ, μόνον τὸν πόδα ἔδειξεν [1], ὃν ἐξέτεινεν ἐκ τῆς θυρίδος.

8. Οἱ δὲ λαοὶ, ἰδόντες, προσεκύνησαν τὸν πόδα αὐτοῦ, ὃς ἠγλαΐζετο τῇ ἐρυθρότητι τῶν ἁπαλῶν ὀνύχων, καθὼς ὁ λωτὸς τῇ φωτοβολίᾳ τοῦ ἀνατέλλοντος ἐρυθροῦ ἡλίου.

9. Ἐν ταῖς κατ' οἶκον λίμναις, ὧν ἐν μέσῳ ἦσαν ἀνεγηγερμένα οἰκήματα, ἐλούετο αὐτὸς ὁ ἐρωτόληπτος, παίζων μετὰ γυναικῶν, ὧν ὑπὸ τῶν μαστῶν θιγόμενοι οἱ λωτοὶ, ἐσαλεύοντο.

10. Ἔνθα ἔθελγον αὐτὸν σφόδρα αἱ γυναῖκες τοῖς ἑαυτῶν προσώποις, ἃ ἔλαβον τὴν φυσικὴν ἀγλαΐαν· ἐκ μὲν γὰρ τῶν ὀφθαλμῶν ἐξηλείφθη ἡ μέλαινα βαφὴ, ἐκ δὲ τῶν χειλέων [2] ἡ ἐρυθρὰ, τοῖς ῥαντίσμασι τῶν ὑδάτων.

11. Καθὼς ὁ ἐλέφας μετὰ θηλέων ἐλεφάντων ἔρχεται εἰς λειμῶνα λωτῶν, οὕτω καὶ αὐτὸς μετὰ γυναικῶν ἐρωτικῶν ἤρχετο εἰς διευθετημένον οἶκον τῆς πόσεως, ὃς καρδιόθελκτος ἦν ἐκ τῆς εὐοσμίας τοῦ οἴνου.

12. Αἱ μὲν γυναῖκες ἔπινον τὸν οἶνον, τὸν χεόμενον ἐκ τοῦ στόματος τοῦ βασιλέως εἰς τὰ στόματα αὐτῶν, καὶ αὐξάνοντα τὸν ἔρωτα· ὁ δὲ βασιλεὺς ἔπινεν ἀμοιβαίως τὸν ἐκχεόμενον ἐκ τοῦ στόματος τῶν γυναικῶν εἰς τὸ στόμα αὐτοῦ.

13. Ἀμφότερα ταῦτα, ἅπερ τίθενται ἐν ἀγκάλαις, εὔηχος

---

(1) Οὐκ ἔδειξε τὸ πρόσωπον, ἀλλὰ τὸν πόδα.

(2) Ἐκ λακκίου χρῶμα ἐρυθρὸν ἐτίθεντο ἐν τοῖς χείλεσιν αἱ γυναῖκες. Νῦν δ' οὐκ ἔστιν ἔθος.

δηλονότι κιθάρα, καὶ εὔφωνος γυνή, οὐδέ ποτε ἀπέλειπον τὰς ἀγκάλας αὐτοῦ.

14. Ἔμπειρος δ' ὢν κρούειν τύμπανον [1], οὐ ἐκ τοῦ κρούσματος ἐσείετο καὶ ὁ ὄρμος καὶ τὰ περικάρπια αὐτοῦ, ἤσχυνεν ἔμπροσθεν τῶν χοροδιδασκάλων τὰς χορευτρίας, τὰς μὴ χορευούσας συνῳδὰ τῷ κρούσματι.

15. Ἐν δὲ τῷ τέλει τοῦ καλοῦ χοροῦ ὁ βασιλεὺς, ὃς ὑπερέβαινε τῇ τρυφῇ τὸν Ἴνδραν καὶ τὸν Κουβέραν, ἐφίλει τὸ τῆς χορευτρίας πρόσωπον, οὗ τὸ ἐν τῷ μετόπῳ χρίσμα ἀπεμόρχθη τῷ ἐκ τοῦ πόνου ἱδρῶτι, καὶ ἐφύσα αὐτὸ ἐκ φίλτρου [2].

16. Ἐπειδὴ αὐτὸς ἐν συνουσίᾳ καθ' ἑκάστην ἄλλας γυναῖκας ἤθελε, καὶ ἄλλας νέας ἴυγγας, ὧν πεῖραν οὐκ ἔσχε, διὰ τοῦτο αἱ γυναῖκες, αἳ συνεμίγνυντο αὐτῷ, οὐκ ἐδείκνυον πᾶν ἐρωτικὸν θέλγητρον, ἵνα πάλιν ἔλθοι πρὸς αὐτάς.

17. Ἀπατῶν τὰς ἐρωμένας, καὶ παρὰ καιρὸν ἐρχόμενος ἐπεπλήττετο, καὶ ἠλέγχετο τοῖς δεικτικοῖς αὐτῶν δακτύλοις [3], καὶ σοβαρῶς ὑπ' αὐτῶν ἐβλέπετο, καὶ ἐδέετο ταῖς ζώναις αὐτῶν.

18. Ἐλθὼν ἐν ὡρισμένῃ νυκτὶ πρὸς ἐρωμένην, καὶ ὡς ὄπισθεν αὐτῆς, μὴ βλεπόμενος, ἤκουε τῶν λόγων, οὓς ἔλεγε, δεινοπαθοῦσα, πρὸς τὴν ἀγγελιαφόρον, πέμπουσα αὐτὴν εἰς τὸ καλέσαι αὐτὸν, βραδύνοντα [4].

---

(1) Αὐτὸς ἐποίει τὸ ἔργον τοῦ τυμπανοκρούστρου, καὶ εἰδήμων ὤν, ἐπανώρθου τὰ σφάλματα τῶν κινήσεων τῶν ποδῶν καὶ τῶν χειρῶν τῆς ὀρχηστρίας.

(2) Ἐφύσα τὸ πρόσωπον εἰς ἀνάψυξιν.

(3) Ὁ ἐλέγχων σείει τὸν λιχανὸν δάκτυλον. ὡς ῥάβδον.

(4) Ὅστις ἔχει πολλὰς γυναῖκας, ἐν ὡρισμένῃ νυκτὶ πορεύεται πρὸς μίαν ἑκάστην. Ἰδοῦσα δὲ μία ἐξ αὐτῶν τῶν ὡριομένων, ὡς βραδύνει ὁ βασιλεὺς, ἔστελλε τὴν ἀγγελιαφόρον· ἐκ δὲ τούτου δηλοῦται, ὡς ἠγάπων αὐτὸν καὶ ἐρωτικῶς εἶχον.

19. Ἐπειδὴ αἱ γαμεταὶ ἐκράτουν αὐτὸν, καὶ ἐπεῖχον, διὰ τοῦτο, μὴ δυνάμενος συνεῖναι ταῖς ὀρχηστρίαις, ἔγραφεν ἐξ ἔρωτος εἰς διατριβὴν τὰς εἰκόνας αὐτῶν, οὗ ἐκ τῆς χειρὸς ἔπιπτεν ἡ γραφὶς ἐξ ἱδρῶτος καὶ τρόμου [1].

20. Φθονοῦσα ἡ γαμετὴ τῇ ἀντιζήλῳ, ἣ ἐκαυχᾶτο, ὅτι ὁ βασιλεὺς ἐρᾷ αὐτῆς, καὶ ἐπὶ πολὺ συνδιατρίβει, καὶ οἰστρουμένη ἦγεν αὐτὸν πρὸς ἑαυτὴν προφάσει εὐωχίας, καὶ τυγχάνουσα τοῦ ἐφετοῦ, ἀπέλειπεν τὸν ὃν εἶχε θυμόν.

21. Ἐρχόμενος περὶ τὴν ἕω οἴκαδε, καθιλάρυνε ταπεινῶς τὰς γαμετὰς, αἳ ἐθλίβοντο καὶ ἠγανάκτουν, βλέπουσαι σημεῖα συνουσίας ἑταιρῶν [2]· πάλιν δ' ἔθλιβεν αὐτὰς, μὴ ἔχων τὸ θερμὸν φίλτρον ἐκεῖνο.

22. Ἀκούουσα ἡ ἐρωμένη, ὡς ἐξεφώνησε τὸ ὄνομα τῆς ἀντιζήλου πλαγιάζων, ἀπέστρεφεν ἀπ' αὐτοῦ τὸ πρόσωπον εἰς ἀτιμίαν, μηδὲν λέγουσα, καὶ ἐκ θυμοῦ διερρήγνυεν τὰ περικάρπια, καὶ ἐκ λύπης δάκρυσιν ἔβρεχε τὴν στρωμνήν.

23. Ὁδηγούμενος ὑπὸ τῆς προαγωγοῦ εἰς συνηρεφεῖς τόπους τῶν κήπων, ἔνθα ἦν στρωμνὴ ἁγλαὰ ἐξ ἀνθέων, συνεγίνετο λάθρᾳ ταῖς θεραπαίναις καὶ παλλακαῖς, φοβούμενος λίαν τὰς γαμετάς.

24. Ἐρωμένη, ἀκούσασα αὐτοῦ, ἐκφωνήσαντος ἐν συνουσίᾳ ἐκ λήθης ὄνομα ἑτέρας [3], ἔφη· « Ἐγὼ δέχομαι τὸ ὄνομα

---

(1) Ἐξ ἔρωτος ἱδρὼς γίνεται καὶ τρόμος τῷ σώματι.

(2) Κεχραμμένος ἦν ταῖς κατὰ τὸ σῶμα τῆς ἑταίρας βαφαῖς καὶ τοῖς χρίσμασιν ἐκ τῶν περιπτύξεων.

(3) Ἀντὶ τοῦ ἐκφωνῆσαι τὸ ὄνομα τῆς παρούσης, ἐξεφώνησε τὸ τῆς ἀπούσης.

» θέλω ὅμως καὶ τὴν τύχην αὐτῆς [1]· πόσον ἡ ἐμὴ καρ-
» δία ἀκόρεστός ἐστιν [2] »!

25. Ἀνισταμένου ἐκ τῆς κλίνης, ἡ ἐπὶ τοῦ στρώματος σιν-
δὼν σημεῖα ἐδείκνυεν ἐρωτικῆς παιδιᾶς· κεχραμμένη
γὰρ ἦν σανδάνῳ καὶ κρόκῳ καὶ ἐρυθρῷ λακκίῳ, καὶ ἄν-
θη εἶχε διεσκορπισμένα ἐκ τῶν διερρηγμένων στεφάνων,
καὶ μαργαρίτας ἐκ τῆς γυναικείας ζώνης.

26. Βάπτων αὐτὸς ταῖς αὐτοῦ χερσὶ τοὺς πόδας τῶν ἐρω-
μένων γυναικῶν [3], οὐ προσεῖχε καλῶς· ἀφηρπάζετο γὰρ
ἡ ὅρασις αὐτοῦ ὑπὸ τοῦ ἐκλελυμένου περιζώματος αὐ-
τῶν, ὃ καλύπτει τὴν ὀσφὺν καὶ τοὺς γλουτούς [4].

27. Θέλοντος φιλῆσαι τοῦ βασιλέως, ἔστρεφε τὸ πρόσωπον
ἡ ἐρωμένη [5]· θέλοντος δὲ λύσαι τὴν ζώνην, ἐκώλυε τῇ
χειρί· εἰ καὶ ἐμπόδια τοῦ ἐφετοῦ ἦν ταῦτα τὰ γυναι-
κεῖα παίγνια, ἦν ὅμως ἐναύσματα τοῦ ἔρωτος.

28. Ἐρχόμενος ἐξαίφνης εἰς χαριεντισμὸν, καὶ ἱστάμενος
ὄπισθεν τῶν γυναικῶν, αἳ ἐσκόπουν ἐν τῷ κατόπτρῳ τὰ
τῆς ἐρωτικῆς παιδιᾶς σημεῖα [6], ἐποίει αὐτὰς καμμύειν
ἐξ αἰσχύνης, ὅτε ἔβλεπον τὸ μειδιῶν αὐτοῦ πρόσωπον
ἐν τῷ κατόπτρῳ.

---

(1) Ἐπιπλήττει αὐτὸν εἰρωνικῶς.

(2) Κολακεία.

(3) Αἱ γυναῖκες τῆς Ἰνδίας τιθέασιν ἐν τοῖς πέλμασι τῶν ποδῶν ἐρυθρὸν χρῶ-
μα ἐκ λακκίου.

(4) Οἱ περὶ τὸν ἔρωτα δεινοὶ αἰνιγματικῶς λέγουσιν, ὡς, θίξαντος τοῦ ἀνδρὸς
μέλους γυναικείου, τὸ περίζωμα τῆς γυναικὸς αὐτομάτως λύεται.

(5) Ἀκκισμός.

(6) Τὰ ἐν τῷ χείλει δήγματα, καὶ τὰς ἐν τῷ στήθει νύξεις τῶν ὀνύχων τοῦ
βασιλέως ἐν συνουσίᾳ.

29. Ὅτε ἀνίστατο ἐκ τῆς κλίνης περὶ τὴν ἕω, καὶ ἐξελθεῖν ἤθελεν, αἱ γυναῖκες, τιθεῖσαι τοὺς μὲν πόδας αὐτῶν ἐπὶ τῶν ποδῶν αὐτοῦ, τὰς δὲ χεῖρας ἐπὶ τοῦ τραχήλου, ἐφίλουν αὐτόν [1].

30. Οὐ τοσοῦτον ἥδετο, καὶ εὐφραίνετο, ὅτε ἔβλεπεν ἐν τῷ κατόπτρῳ τὴν ἑαυτοῦ λαμπροτάτην βασιλικὴν στολήν, ὅσον, ὅτε ἔβλεπε τὰ ἐκ τῆς ἐρωτικῆς παιδιᾶς φαινόμενα σημεῖα, ἃ ἐνόμιζεν ὡς λαμπρὰ κοσμήματα [2].

31. Αἱ ἐρώμεναι, βλέπουσαι, ὡς οὐκ εἶχεν ἀτρέμας, ἀλλ' ἤθελεν ἀναχωρῆσαι, προτείνων ἔντευξιν σπουδαίων φίλων, ἔλεγον· « Οἴδαμεν, πανοῦργε, τὴν τῆς ψυγῆς σου » σκῆψιν [3] »· καὶ ἐπεῖχον αὐτὸν, λαβόμεναι τῆς κόμης.

32. Κεχαυνωμένη ἡ ἐρωμένη ἐκ τοῦ τῆς ἐρωτικῆς παιδιᾶς πόνου, ἀγκαλισαμένη τὸν βασιλέα, ἀνεπαύετο ἐν τῷ κόλπῳ αὐτοῦ, οὗ τὸ ἐν τῷ στήθει ἀλλιλιμμένον Σάνδανον ἐξηλείφετο, ὑπὸ τῶν μαστῶν αὐτῆς [4].

33. Πορευομένου κρυφίως ἐν νυκτὶ εἰς ἔντευξιν ἐρωμένης, αἱ λοιπαὶ, μανθάνουσαι τοῦτο παρὰ τῶν κατασκόπων γυναικῶν, προλαμβάνουσαι, εἶλκον αὐτὸν βίᾳ, λέγουσαι· « Ἐρωτόληπτε, πῶς δύνασαι ἀπατῆσαι ἡμᾶς, δολοφρο- » νῶν » ;

34. Οὗτος, ἐν μὲν τῇ νυκτὶ γρηγορῶν ἐκ τῆς ἡδονῆς τῆς ἀπολαύσεως τῶν γυναικῶν, ἐν δὲ τῇ ἡμέρᾳ κοιμώμενος

---

(1) Ἐτίθεντο τοὺς πόδας αὐτῶν ἐπὶ τῶν ποδῶν ἐκείνου εἰς τὸ ἐξικνεῖσθαι, οὖσαι μικρόσωμοι.

(2) Κεχοαμμένος ἦν τῷ ἐν τῷ στήθει τῶν γυναικῶν σανδάνῳ ἢ κρόκῳ, καὶ τῇ ἐν τοῖς ποσὶν ἐρυθρᾷ βαφῇ.

(3) Δηλ: πρὸς ἄλλην θέλεις ἀπειθεῖν.

(4) Τὸ ἐν τῷ στήθει τοῦ βασιλέως ἀλλιλιμμένον σάνδανον ἐξηλείφετο ἐκ τῆς προστριβῆς τῶν μαστῶν τῆς ἐρωμένης.

ὡμοιοῦτο τῷ νυκτάνθει λωτῷ, ὃς ἐν μὲν τῇ νυκτὶ διεκπετάννυται ἐκ τῆς ἀπολαύσεως τῶν σεληνιακῶν ἀκτίνων, ἐν δὲ τῇ ἡμέρᾳ συμμύει.

35. Αἱ μουσουργοὶ ἐν μὲν τῷ αὐλίζειν ἤλγουν, ἐπειδὴ εἶχον κατὰ τὸ χεῖλος δήξεις, ἐν δὲ τῷ κιθαρίζειν, ἐπειδὴ εἶχον κατὰ τὸ στῆθος ὀνύχων νύξεις· καὶ βλέπουσαι ταυρηδὸν, ἔθελγον αὐτόν [1].

36. Διδάσκων αὐτὸς κατ' ἰδίαν τὰς θηλείας τὴν μουσικὴν καὶ τὴν χορευτικὴν, καὶ δεικνύων τὴν μάθησιν αὐτῶν τοῖς φίλοις, αἰσχύνην ἐποίει τοῖς ἐμπείροις μουσουργοῖς καὶ χοροδιδασκάλοις [2].

37. Ἐν ὥρᾳ ὄμβρων [3] ἔχων ὅρμους, ἐξ ἀνθέων Κουτάζα καὶ Ἀρζούνα, κρεμαμένους ἀπὸ τοῦ τραχήλου, καὶ ξανθὸς ὢν τὸ σῶμα ἐκ κόνεως ἀνθέων Καδάμβα, εὐφραίνετο καὶ ἐτρύφα ἐν γηλόφοις χειροποιήτοις, ἔνθα ταῶνες ἦσαν χορεύοντες καὶ ᾄδοντες.

38. Οὐκ ἔσπευδεν ἐξευμενίσαι τὴν ἐρωμένην, ἣ ἐξ ἔριδος ἔστρεψε τὸ πρόσωπον, οὖσα ἐπὶ κλίνης· ἤθελε δ' αὐτὴν στρέψαι πάλιν τὸ πρόσωπον, καὶ ἀγκαλίσασθαι αὐτὸν οἰκειοθελῶς, ὅταν φοβηθῇ ἐκ τῆς βροντῆς τοῦ νέφους.

39. Ἐν ταῖς νυξὶ τοῦ Ὀκτωβρίου [4], καθήμενος ὑπὸ τὸ αἴθριον μετὰ γυναικῶν καρδιοθέλκτων, ἐτρύφα τοῦ φωτὸς τῆς σελήνης, ἣ λάμπουσα ἦν ἐκ τῆς ἀπουσίας τῶν νεφῶν, καὶ ἀπαλλάττουσα τὸν ἐκ τῆς ἐρωτικῆς παιδιᾶς πόνον.

---

(1) Οἱονεὶ ἔλεγον, σὺ εἶ ὁ ποιήτας ἡμῖν ταῦτα, ἐξ ὧν ἀλγοῦμεν.

(2) Δηλ: ὑπέρτερος ἦν καὶ αὐτῶν τῶν μουσουργῶν καὶ χοροδιδασκάλων.

(3) Ἐρωτικὴ παιδιὰ ἐν ὥρᾳ ὄμβρων.

(3) Ἐρωτικὴ παιδιὰ ἐν ὥρᾳ Σαράδα μετὰ τοὺς ὄμβρους.

40. Ἐκ τῶν θυρίδων τοῦ βασιλείου οἴκου ἐθεώρει ἡδέως τὴν Δεβὰν, ἢ ὡμοιοῦτο τῇ ἐρωμένῃ· ἡ γὰρ ἀναφαινομένη ἀμμώδης ὄχθη ἦν, ὡς ἡ ἀνακαλυπτομένη ὀσφὺς τῆς ἐρωμένης, ἡ δ' ἴλη τῶν νηχομένων χηνῶν, ὡς οἱ πεπλεγμένη ζώνη ἐκ μαργαριτῶν.

41. Αἱ ἀγλααὶ γυναῖκες, ἀγλαὰ ἔχουσαι ἄμφια χειμερινὰ [1], μύροις μεμυρισμένα, καὶ χρυσῆν ζώνην, ἔθελγον αὐτὸν σφόδρα, ὃς ἐμαίνετο λύσαι τὸ περίζωμα.

42. Αἱ νύκτες τῆς ὥρας Σισσίρας [2], αἱ προσήκουσαι ἐρωτικῇ παιδιᾷ, αὐτόπται ἐγίνοντο τούτου, καθηδυπαθοῦντος ἐν ἐνδομύχοις καὶ νηνέμοις δωματίοις· ὀφθαλμὸς δὲ τῶν νυκτῶν ἦν, ὁ καιόμενος ἡσύχως λύχνος.

43. Βλέπουσαι αἱ γυναῖκες τὰ ἄνθη τῆς Ἄμρας καὶ τὰ λεπτὰ φύλλα, τὰ ἀναφυόμενα ἐκ τοῦ πνέοντος νότου [3], εἴων τὴν ἔριν καὶ τὴν ἄμιλλαν, μὴ φέρουσαι τὴν διάζευξιν, καὶ ἐρωτικῶς συνεζεύγνυντο αὐτῷ.

44. Παραλαμβάνων τὰς ἐρωμένας ἐπὶ κρεμαστῆς, σαλευομένης ὑπὸ τῶν θεραπαινίδων, σφοδρὰς περιπτύξεις ἐλάμβανε παρ' αὐτῶν, αἳ ἐπλάττοντο, ὡς φοβοῦνται, μὴ πέσωσιν.

45. Ἐν θέρει [4] αἱ ἐρώμεναι συνῆσαν αὐτῷ, ἔχουσαι θερινὴν στολὴν, καὶ σάνδανον ἀλληλιμμένον κατὰ τὸ στῆθος, καὶ κοσμήματα ἐκ μαργάρων, καὶ ζώνην ἐξ ἀδαμάντων.

46. Οἶνον ἔπινε, μεμιγμένον φύλλοις ἁπαλοῖς Σαχακάρας [5]

---

(1) Ἐρωτικὴ παιδιὰ ἐν ὥρᾳ χειμῶνος.

(2) Ἐρωτικὴ παιδιὰ ἐν ὥρᾳ Σισσίρᾳ.

(3) Ἐρωτικὴ παιδιὰ ἐν ἔαρι.

(4) Ἐρωτικὴ παιδιὰ ἐν θέρει.

(5) Σαχακάρα, εἶδος δένδρου, οὗ τὰ φύλλα εὐώδη εἰσί.

καὶ ῥόδων· ἐκ δὲ τοῦ οἴνου ὁ Ἔρως, ὁ γεγεννημένος ἀσθενὴς ἐκ τῆς παρελεύσεως τοῦ ἔαρος [1], εὐσθενὴς καὶ ἀκμαῖος πάλιν ἐγένετο.

47. Οὕτως αὐτὸς ὁ βασιλεὺς διήνυε πάσας τὰς ἐρχομένας ὥρας τοῦ ἔτους, φερόμενος ἀλόγως ὑπὸ τοῦ Ἔρωτος εἰς ἀμέτρους ἡδυπαθείας καὶ τρυφὰς, καὶ ἀμελῶν τῶν προσηκόντων βασιλικῇ διοικήσει.

48. Καί τοι δ' ἦν προσηλωμένος ταῖς ἡδυπαθείαις, ἀλλ' οἱ ἄλλοι βασιλεῖς οὐκ ἴσχυον κατισχύειν αὐτοῦ, ἕνεκα τοῦ οὗ εἶχε κράτους· ἡ δ' ἐξ ἡδυπαθείας ἀσθένεια τοῦ σώματος εἰς φθίσιν αὐτὸν ἤγαγεν, καθὼς ἡ ἀρὰ τοῦ Δάξα τὴν Σελήνην.

49. Μὴ πειθόμενος τοῖς ἰατροῖς, οὐκ εἴα τὰς ἡδυπαθείας, καί τοι κακῶς ἔπασχεν· αἱ γὰρ αἰσθήσεις, κυριευθεῖσαι ὑπὸ τῶν ἡδονῶν, δυσκόλως αὐτῶν ἀπαλλάττονται.

50. Ὁ ἐκ τῆς φθίσεως μαρασμὸς εἰς στάσιν αὐτὸν ἤγαγεν ὁμοίαν τοῖς ἐρῶσι μὲν, ἀποτυγχάνουσι δὲ τῶν ἐρωμένων· ὠχρὸς γὰρ ἐγένετο, καὶ ἰσχνόφωνος, καὶ βαδίζειν οὐκ ἠδύνατο ἄνευ βοηθείας, οὐδὲ κοσμήματά γε φέρειν.

51. Τοῦ βασιλέως πάσχοντος φθίσει, ὁ οἶκος αὐτοῦ ἦν, ὥσπερ ὁ οὐρανὸς, ἔχων τὴν σελήνην φθίνουσαν κατὰ τὴν ἐσχάτην ἡμέραν, καὶ ὥσπερ ἡ λίμνη ἐν θέρει, ἔχουσα τέλμα, καὶ ὥσπερ ὁ λύχνος, ἔχων ἀμυδρὸν φῶς.

52. Οἱ βουλευταὶ, κρύπτοντες τὸ πάθος τοῦ βασιλέως, ἔλεγον τῷ λαῷ, ὃς δεινὰ ὑπώπτευε, μὴ βλέπων τὸν βασιλέα, ὡς ὁ βασιλεὺς ἐν ταῖς ἡμέραις ταύταις θυσίαν καὶ λατρείαν ποιεῖ κατὰ μόνας ὑπὲρ τεκνογονίας.

53. Τὴν δὲ νόσον, ἣ ἦν κρείττων ἰατρικῆς θεραπείας, οὐκ

(1) Ἐν τῷ ἔαρι εὐσθενεῖ καὶ νεάζει ὁ ἔρως.

ἠδυνήθη ἀποφυγεῖν ὁ βασιλεὺς[1], καθὼς οὐδὲ ὁ λύχνος ἀποφυγεῖν δύναται τὸν πνέοντα σφοδρὸν ἄνεμον. Καί τοι δὲ πολλαῖς συνῆν γυναιξίν, οὐκ ἔσχεν υἱόν.

54. Λαβόντες δὲ τὸν νεκρὸν οἱ βουλευταὶ μετὰ τοῦ ἱερουργοῦ, τοῦ γινώσκοντος τὴν νεκρώσιμον τελετήν, κατέκαυσαν αὐτὸν κρυφίως ἐν μεγάλῃ πυρᾷ ἐν τῷ τοῦ οἴκου κήπῳ, κηρύξαντες πλαστῶς, ὡς θυσία τελεῖται ὑπὲρ ἀναρρώσεως τοῦ βασιλέως.

55. Οἱ δὲ βουλευταὶ μετὰ τῶν ἐγκρίτων τοῦ λαοῦ, ἀκριβῶς σκεψάμενοι, ὡς ἡ νόμιμος γυνὴ τοῦ βασιλέως ἐγκυμονοῦσά ἐστιν, ἐψηφίσαντο αὐτὴν εὐθέως βασίλισσαν.

56. Ὁ δ' ἐν γαστρὶ αὐτῆς γόνος πρῶτον μὲν ἐθερμάνθη ἐκ τῶν καταχεομένων θερμῶν δακρύων ἐπὶ λύπῃ τοῦ θανάτου τοιούτου ἀνδρὸς, εἶτα δ' ἀνεψύχθη ἐκ τῶν καταχεομένων ψυχρῶν ὑδάτων ἐκ χρυσῶν στάμνων, τῶν νομιζομένων βασιλικῆ χειροτονίᾳ.

57. Φέρουσα δ' ἡ βασίλισσα ἐν γαστρὶ τὸν γόνον, καθὼς ἡ γῆ τὸν σπόρον, εἰς ὠφέλειαν τῶν ἀνθρώπων, τῶν ἐφιεμένων τῆς γεννήσεως, διώκει τὴν τοῦ ἀνδρὸς βασιλείαν μετὰ γερόντων βουλευτῶν νομίμως καὶ ἀταράχως, καθημένη ἐπὶ θρόνου χρυσοῦ.

---

(1) Ἐτελεύτησε δηλ.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ ΚΕΦΑΛΑΙΩΔΗΣ

ΤΗΣ

ΡΑΓΓΟΥ ΒΑΝΣΑΣ.

Σελ.

Προοίμιον τοῦ ποιητοῦ. 1

ΚΕΦΑΛ. Α'. Ὁ ἡλιογενὴς Μανοῦς Ἀ. Βασιλεὺς τῆς Ἰνδίας. Διλήπα, υἱοῦ αὐτοῦ καὶ Σουδαξινᾶς ἀτεκνία καὶ ἔξοδος ἐν ἐρήμῳ, πρὸς ἐπίσκεψιν τοῦ μεγάλου ὁσίου Βασίστα. 3

— Β'. Θεραπεία καὶ περιποίησις γενομένη παρ' αὐτῶν τῇ Νανδινῇ, κατὰ παραίνεσιν τοῦ ὁσίου, πρὸς λύσιν τοῦ δεσμοῦ τῆς τεκνογονίας αὐτῶν. 13

— Γ'. Ραγγοῦ σύλληψις, γέννησις, ἀνατροφή, νύμφευσις καὶ ἀνάβασις εἰς τὸν πατρικὸν θρόνον. 25

— Δ'. Ραγγοῦ ἐκστρατεία, ἐκπόρθησις διαφόρων ἐπικρατειῶν καὶ ἐθνῶν, καὶ παντόνικος θυσία. 39

— Ε'. Ραγγοῦ μεγαλοδωρία πρός τε τοὺς συμμάχους βασιλεῖς καὶ πρὸς τὸν Καούτσαν, μαθητὴν τοῦ μεγάλου ὁσίου Βαραταντοῦ, διὰ τῆς εὐχῆς τοῦ ὁποίου ἡ βασίλισσα ἐγέννησεν υἱὸν, τὸν Ἄζαν. Ἄζα πρόσκλησις παρὰ τοῦ Βόζα βασιλέως τῆς Βιδάρβας, εἰς τὴν συνέλευσιν τῶν βασιλέων, διὰ τὸν αἱρετὸν γάμον

τῆς ἀδελφῆς αὐτοῦ Ἰνδουματῆς. Πριγε- Σελ.
δαρσάνα λύσις ἀρᾶς ὑπὸ τοῦ Ἄζα καὶ
φιλία μεταξὺ αὐτῶν γενομένη ἐκ συγ-
κυρίας. 57

ΚΕΦΑΛ. Ϛ'. Περιγραφὴ τοῦ αἱρετοῦ γάμου καὶ ἐκλο-
γὴ τοῦ Ἄζα, ὡς νυμφίου τῆς Ἰνδου-
ματῆς. 70

— Ζ'. Τελετὴ τοῦ γάμου· ἀπαγωγὴ τῆς νύμ-
φης· συνωμοσία τῶν ἀντιζήλων βασι-
λοπαίδων πρὸς ἁρπαγὴν τῆς Ἰνδουματῆς
καθ' ὁδόν· ἥττα αὐτῶν καὶ ἐπανέλευσις
τῶν νεονύμφων εἰς τὰ ἴδια. . . . 86

— Η'. Ῥαγγοῦ παραίτησις καὶ Ἄζα εἰς τὸν πα-
τρικὸν θρόνον ἀνάβασις. Ἰνδουματῆς
σύλληψις καὶ Δασσαράτα γέννησις. Ἄζα
θρῆνος ἐπὶ τῷ θανάτῳ τῆς Ἰνδουματῆς. 98

— Θ'. Ἄζα τελευτὴ καὶ Δασσαράτα ἀναγόρευσις.
Ἔαρος καὶ θήρας περιγραφή, ἐν ᾗ καὶ
ἀκούσιος γίνεται φόνος παρὰ τοῦ βασι-
λέως. 111

— Ι'. Βραχμάνων θυσία πρὸς τὸν Βισνοῦν ὑπὲρ
τεκνογονίας τοῦ Δασσαράτα. Θεῶν ὕμνος
πρὸς τὸν Βισνοῦν ὑπὲρ ἐξολοθρεύσεως
τοῦ ἀντιθέου Ῥαβάνα, καὶ Βισνοῦ τε-
ταρτοειδὴς ἐνσάρκωσις ἐν τῷ οἴκῳ τοῦ
Δασσαράτα ὑπὸ τὴν μορφὴν τῶν υἱῶν
αὐτοῦ Ῥάμα, Βαράτα, Λαξμάνα καὶ
Σατρούγνα. 130

— ΙΑ'. Βισβαμίτρα αἴτησις πρὸς τὸν Δασσαράταν
πρὸς ἀποστολὴν τῶν παίδων αὐτοῦ εἰς
διατήρησιν τῆς μὴ τελουμένης θυσίας

ἐξ αἰτίας τῶν ἐναντίων δαιμόνων. Νίκη Σελ.
τοῦ Ῥάμα κατὰ τῆς δαίμονος Τατάκας· ἔντασις τοῦ θαυμαστοῦ τόξου τοῦ βασιλέως Ζανάκα ὑπὸ τοῦ Ῥάμα, καὶ γάμος αὐτοῦ μετὰ τῆς ἀγεννήτου ἐκ μήτρας θυγατρὸς τοῦ Ζανάκα Σητᾶς· τοῦ Λαξμάνα μετὰ τῆς Οὐρμύλας· τοῦ δὲ Βαράτα καὶ Σατρούγνα, μετὰ τῶν δύο θυγατέρων τοῦ Κουσσαβδάζα. Παρασσουράμα ἥττα, γενομένη διὰ τῆς ἐντάσεως τοῦ θαυμασίου τόξου αὐτοῦ ὑπὸ τοῦ Ῥάμα. 143

ΚΕΦΑΛ. ΙΒ'. Δασσαράτα παρακμὴ καὶ Ῥάμα χειροτονία ὡς διαδόχου. Ῥάμα καὶ Σητᾶς δεκατετραετὴς ἐξορία, κατὰ παράπεισιν τῆς Καϊκεγῆς. Δασσαράτα τελευτὴ ἕνεκα τῆς ἐξορίας τοῦ υἱοῦ Ῥάμα, καὶ Βαράτα υἱοῦ αὐτοῦ ἐκ τῆς Καϊκεγῆς ἀναγόρευσις. Ῥάμα κατὰ τῶν Δαιμόνων καὶ Τιτάνων ἐκστρατεία καὶ νίκη. Σιτᾶς ἁρπαγὴ, γενομένη δι' ἀπάτης ὑπὸ τοῦ Ῥαβάνα· θάνατος αὐτοῦ ὑπὸ τοῦ Ῥάμα καὶ ἐλευθέρωσις αὐτῆς. . . 161

— Γ'. Ῥάμα, Σητᾶς καὶ τῶν περὶ αὐτοὺς ἐπὶ τοῦ θείου φορείου ἐπιστροφὴ διὰ τοῦ αἰθέρος· ἐποπτεία τοῦ ὠκεανοῦ καὶ ἄλλων διαφόρων τόπων, καὶ ὑποδοχὴ τοῦ ἀδελφοῦ αὐτοῦ Βαράτα, ἐλθόντος μετὰ τοῦ ὁσίου Βασίστα καὶ τῶν γερόντων εἰς προϋπάντησιν αὐτῶν. 179

— ΙΔ'. Ῥάμα εἰς τὸν πατρικὸν θρόνον ἀνάβασις.

Σητᾶς ἐγκυμοσύνη καὶ κακὴ φήμη, δι' ἣν Σελ.
ὁ Ῥάμας ἀπέπεμψεν αὐτὴν εἰς τὸ ἀσκη-
τήριον τοῦ ὁσίου Βαλμήκη, εἰς ἔρημον. 194

ΚΕΦΑΛ. ΙΕ'. Σατρούγνα ἐκστρατεία κατὰ τοῦ ἀντιθέου
Λαβάνα, τοῦ λυμαίνοντος τοὺς ἀναχω-
ρητὰς, καὶ θάνατος αὐτοῦ. Κούσσα καὶ
Λάβα, διδύμων παίδων τῆς Σητᾶς, γέν-
νησις καὶ ἀνατροφὴ, γενομένη ὑπὸ τοῦ
ὁσίου Βαλμήκη. Ῥάμα ἐκστρατεία ἐπὶ
τοῦ ἐναερίου ὀχήματος τοῦ Κουβέρα,
πρὸς τιμωρίαν τῶν ἀνόμων καὶ ἀντι-
θέων· ἱπποθυσία καὶ ἀναγνώρισις τῶν
μετὰ τῆς Σητᾶς υἱῶν αὐτοῦ, καὶ τῆς
ἀθωότητος αὐτῆς, καταποθείσης ὑπὸ
τῆς μητρὸς γῆς, καὶ Ῥάμα εἰς οὐρανὸν
ἀνάβασις. 209

— ΙΣ'. Κούσα διαδοχὴ καὶ μετάθεσις τῆς πρω-
τευούσης ἐν τῇ μητροπόλει τῶν προ-
γόνων αὐτῶν. Ὑδροπαιδιὰ γενομένη ἐν
τῇ Δεβᾷ· ἀποβολὴ βασιλικοῦ ψελλίου
καὶ ἀπόδοσις αὐτοῦ παρὰ τοῦ ὄφεως
Κουμούδα, ὃς προσήνεγκε τῷ Κούσσᾳ
νύμφην τὴν ἀδελφὴν αὐτοῦ Κουμουδ-
βατήν. 224

— ΙΖ'. Ἀτίτου γέννησις ἐκ τῆς Κουμουδβατῆς καὶ
ἀνατροφή. Λουτροχοΐα καὶ ἀναγόρευσις
αὐτοῦ εἰς τὸν πατρικὸν θρόνον· βασιλικὴ
ἀρετὴ καὶ πατρικὴ κυβέρνησις τοῦ Ἀτί-
του· ἱπποθυσίας τελετή. 239

— ΙΗ'. Νισσάδα γέννησις, υἱοῦ τοῦ Ἀτίτου, οὗ
Νάλας, οὗ Νάβας, οὗ Πουνδαρήκας, οὗ

Ξεμαδδανδὰν, οὗ Δεβανείκας, οὗ Ἀχη- Σελ.
ναγοῦς, οὗ Παριγέτρας, οὗ Σύλας, οὗ
Οὐνάβας, οὗ Βαξρανάββας, οὗ Σαγχά-
νας, οὗ Βιουσιτάσβας, οὗ Βισβασάχας,
οὗ Χιρανενάβας, οὗ Καουσαλέας, οὗ
Πούτρας, οὗ Πουσέας, οὗ Δρουβασανδὺς,
οὗ Σουδαρσάνας· οὗτοι διεδέχθησαν ἀλ-
ληλοδιαδόχως τὴν βασιλείαν. . . 251

ΚΕΦΑΛ. ΙΘ'. Σουδαρσάνα παρακμὴ καὶ ἀναγόρευσις
τοῦ τρυφηλοῦ καὶ γυναικομανοῦς υἱοῦ
αὐτοῦ Ἀγνιβάρνα, ὃς ἕνεκα τῶν πολ-
λῶν καταχρήσεων, φθίσει τὸν βίον κα-
τέστρεψεν· ἡ δὲ βασιλεία μετῆλθεν εἰς
τὴν ἐγκυμονοῦσαν σύζυγον αὐτοῦ. . 261

Τὰ μέχρι τοῦδε δημοσιευθέντα ἐκ τῶν Ἰνδικῶν εἰσὶ τὰ ἑξῆς·

Α'. Πρόδρομος Ἰνδικῶν μεταφράσεων, περιέχων·

1ον. Βατριχαρῆ Βασιλέως Ἠθολογίας, Γνωμολογίας, καὶ ἀλληγορίας.

2ον. Τοῦ αὐτοῦ· Ὑποθήκας, ἢ περὶ ματαιότητος τῶν τοῦ Κόσμου.

3ον. Συλλογὴν πολιτικῶν, Οἰκονομικῶν, καὶ Ἠθικῶν ἐκ διαφόρων ποιητῶν.

4ον. Σανακέα· σύνοψιν Γνωμικῶν καὶ ἠθικῶν.

5ον. Ζαγαννάθα Πανδιταράζα, ἀλληγορικὰ, παραδειγματικὰ καὶ οἰκονομικά.

Εἷς τόμος εἰς 8ον, τιμ. δραχ. . 3.

Β'. Βαλαβαράτα, ἢ συντομὴ τῆς Μαχαβαράτας· (παρὰ τοῦ Ἀμάρα).

Εἷς τόμος εἰς 8ον. τιμ. δραχ. . 10.

Γ'. Γιτὰ ἢ θεσπέσιον μέλος (παρὰ τοῦ Βεάσα).

Εἷς τόμος εἰς 8ον. τιμ. δραχ. . 4.

Δ'. Ῥαγγοῦ-Βάνσα (παρὰ τοῦ Καλιδάσα).

Εἷς τόμος εἰς 8ον. τιμ. δραχ. . 8.

Ἤδη ἐνασχολούμεθα εἰς τὴν ἔκδοσιν τοῦ Εου τόμου, καλουμένου Ἰτιχασασαμουτσαία, τοὐτέστιν ἀρχαιολογίας συλογὴν, ἢ περὶ διαλόγων τε καὶ μύθων φιλοσοφικῶν, νομίμων τε καὶ ἐθίμων ἰνδικῶν, συλλεχθέντων κατ' ἐκλογὴν ἐκ τῆς Μαχαβαράτας, βίβλου παλαιᾶς, φιλοσοφικῆς καὶ ἱστορικῆς, συγγραφείσης ὑπὸ τοῦ φιλοσόφου Βεάσα.